# Sermones 64

ΛΟΓΟΣ Β΄.

2.1.1 Τῶν ἀκουόντων τὸν λόγον τοῦ θεοῦ καὶ ποιούντων ἀγαθὸν καρπὸν σημεῖα ἐν αὐτοῖς ταῦτά ἐστι στεναγμός, κλαυθμός, προσοχή, σιωπή, κατήφεια, ἐπιμονή, ἡσυχία, κεφαλῆς κίνησις, ὀδυνηρὸς κλαυθμός, πόνος καρδίας ὑπὲρ εὐσεβείας γινόμενος. τὰ δὲ ἔργα· ἀγρυπνία καὶ ἐγκράτεια, νηστεία, πραότης, μακροθυμία, ἀδιάλειπτος εὐχή, μελέτη τῶν θείων γραφῶν, πίστις, ταπείνωσις, φιλαδελφία, πόνος, κακοπάθεια, ἀγάπη, ὑποταγή, ἀγαθωσύνη, κοσμιότης καὶ τὸ ὅλον φῶς, ὅ ἐστιν ὁ κύριος. 2.1.2 τῶν δὲ μὴ ποιούντων καρπὸν ζωῆς αἰωνίου σημεῖά ἐστι ταῦτα· ἀκηδία, μετεωρισμός, περίβλεψις, ἀπροσεξία, γογγυσμός, κέμφωσις ὅ ἐστιν ὁ λάρος τὸ ὄρνεον ὅς ἐστι κοῦφος καὶ προχειρότατος. τὰ δὲ ἔργα· ἀδηφαγία, ἀσωτία, ὀργή, θυμός, καταλαλιά, φυσίωσις, ὑπερηφανία, ἀπιστία, ἀκαιρολογία, ἀκαταστασία, λήθη, ταραχή, αἰσχροκέρδεια, φιλαργυρία, ζῆλος, ἐριθεία, ὑπεροψία, φλυαρία, ἄκαιρος γέλως, ἐθελοδοξία καὶ τὸ πᾶν σκότος, ὅπερ ἐστὶν ὁ σατανᾶς. 2.2.1 Ἐρώτησις. Τί ἐστι σατανᾶς καὶ τί ποτε ἥμαρτεν, ἵνα σατανᾶς γένηται; 2.2.2 Ἀπόκρισις. Πνεῦμά ἐστι λογικόν, ἐγκόσμιον, λαλοῦν πονηρά, διὰ δὲ ἰδίαν κακίαν καὶ σκοτεινὴν προαίρεσιν σκοτεινὸς γέγονεν. ὡς δὲ μυστικώτερον ἀκούειν χρὴ τῶν γραφῶν καὶ βαθύτερον· πρὸ τοῦ γὰρ τὸν Ἀδὰμ κτισθῆναι παρέβη καὶ σατανᾶς γέγονε, τὸ θέλημα τοῦ θεοῦ ποιεῖν μὴ βουλη2.2.3 θείς. «πῶς, γάρ φησιν, ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος», καὶ ὁ ἀπόστολος· «πρὸ γὰρ τοῦ νόμου ἡ ἁμαρτία ἦν ἐν τῷ κόσμῳ», αὐτὸν ἁμαρτίαν καλῶν τὸν ἀρχηγὸν καὶ εὑρέτην τῆς ἁμαρτίας γενόμενον. καὶ πάλιν περὶ τῆς πτώσεως τοῦ ἀνθρώπου διηγούμενος λέγει· «ἥ τε γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆςδηλονότι τῆς τεθείσης τῷ Ἀδάμἐξηπάτησέ με καὶ δι' αὐτῆς ἀπέκτεινεν». καὶ ἐπάγει· «ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος; μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, 2.2.4 ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς». ὥστε ἦν ἤδη ἡ ἁμαρτία (τουτέστιν ὁ διάβολος) πάλιν δὲ διὰ τῆς πρὸς τὸν ἄνθρωπον ἔχθρας καὶ δολιότητος καὶ ζήλου καθ' ὑπερβολὴν ἁμαρτία ἀπεδείχθη. ὢν γὰρ πρὸ τούτου μέγας καὶ ἔνδοξος καὶ ἀρχῇ τινι ἀγγελικῆς δόξης ἐπερειδόμενος θεὸς γενέσθαι ἠθέλησεν εἰς ἀνταρσίαν τῆς θεϊκῆς δόξης χωρήσας, καθὼς γέγραπται· ὁ ἄδικος ἄρχων θεὸς θέλων εἶναι. διὰ τοῦτο οὖν ἐρρίφη εἰς τὴν γῆν σὺν τοῖς ὁμογνώμοσι καὶ ὑπηκόοις αὐτοῦ δαίμοσιν ἀποβληθείς. 2.2.5 Ὁ δὲ ῥιφεὶς καὶ ἐξορισθεὶς ἐκ τῆς ἄνω χώρας καὶ ἀπὸ τοῦ οὐρανίου φρονήματος πεσὼν οὐδὲ εἰς μετάνοιαν ἐχώρησεν, οὐδὲ εἰς ἀκοὴν ἀγαθὴν ἦλθε διὰ δεήσεως δυσωπῆσαι τὸν δεσπότην, ἵνα πάλιν ἔλθῃ εἰς τὸ ἀρχαῖον ἀξίωμα. ἀλλὰ προσθεὶς τῇ ἑαυτοῦ κακίᾳ φθόνον ἐκίσσησε κατὰ τοῦ ἀνθρώπου, ὅτι κατ' εἰκόνα θεοῦ ὑπῆρχεν ἀπὸ γῆς πλασθεὶς καὶ τῶν ὁρωμένων πάντων δεσπότης 2.2.6 ἐτύγχανε. διὸ καὶ δολερῶς αὐτῷ προσῆλθεν ἐπαγγειλάμενος αὐτὸν θεὸν γενέσθαι διὰ τῆς τοῦ ξύλου βρώσεως, ἐξ οὗ ὁ θεὸς ἐκώλυσεν αὐτὸν φαγεῖν. καὶ οὕτω διὰ τῆς τοιαύτης ἐπαγγελίας τὸν ἄνθρωπον κατέσπασεν ἀπὸ τῆς προτέρας δόξης ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν λαβών, καὶ οὕτως αὐτὸν ἁμαρτωλὸν 2.2.7 κατέστησεν. αὐτὸς δὲ καθ' ὑπερβολὴν ἁμαρτωλότερος γενόμενος ἀπεδείχθη διὰ τοῦ γηΐνου φρονήματος καὶ τῆς ὑπερηφάνου οἰήσεως, ἐπιθυμήσας διὰ κακοτεχνίας ἁρπάσαι τὸ δοθὲν τῷ ἀνθρώπῳ ἐν τῷ κόσμῳ δεσποτικὸν ἀξίωμα. ῥιφεὶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὖν ἄνωθεν, δι' ὃ προείρηται, ἔτι δὲ καὶ τὸν ἄνθρωπον ἀπατήσας, διὰ τὸ εἶναι αὐτὸν κτίσμα δεσποτικὸν εἰς ἑτέραν τινὰ οἰκονομίαν ἀφείθη. 2.2.8 ὥσπερ γὰρ σκληρὸς σίδηρος σκεῦος μὴ χρησιμεύων γενέσθαι, ἄκμων κατασκευάζεται, ἵνα δι' αὐτοῦ σκεύη ἕτερα καταρτισθῇ καὶ γὰρ ἐν τῷ Ἰὼβ περὶ αὐτοῦ φησιν· «ἕστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος», οὕτω καὶ ὁ πονηρὸς οὐ παραυτὰ εἰς τὴν γέενναν ἔκτοτε κατεδικάσθη, ἀλλ' ἀπατήσας τὸν ἄνθρωπον ἠφείθη καιροῖς τισι καὶ χρόνοις δοκιμάσαι καὶ γυμνάσαι πᾶσαν τὴν ἀνθρωπείαν κτίσιν, ἵνα τὸ τῶν ἀνθρώπων αὐτεξούσιον δι' αὐτοῦ δοκιμασθὲν γνωρισθῇ, τίνες τὸν θεὸν ἀγαπήσαντες κοινωνίαν μετ' αὐτοῦ οὐκ ἐκτήσαντο, ἀλλὰ καὶ πάντα πειρασμὸν δι' αὐτοῦ ἐπαγόμενον αὐτοῖς ὑπέμειναν καὶ πλέον τῷ θεῷ εὐηρέστησαν, ὡς ἐκ τῶν μνημονευομένων ἁγίων ἐν ταῖς ἁγίαις γραφαῖς 2.2.9 δεδήλωται. διὸ καὶ λέγεται ἐξ ἀρχῆς τῷ Ἀδὰμ ὑπὸ τοῦ θεοῦ· «ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, ἀπ' αὐτοῦ μόνου μὴ φάγῃ· ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ, θανάτῳ τελευτήσεις», ὡς ὄντος ἤδη τινός, ἀφ' οὗ μὴ ὤφειλε γεύσασθαι. προφυλαττόμενος γὰρ ὁ θεὸς τὸν ἄνθρωπον τὴν ἐντολὴν εἰς ζωὴν αὐτῷ ἔθετοκατὰ γὰρ τὸ μυστικώτερον τοιοῦτόν τινα νοῦν ἔχει ὁ γραφικὸς λόγος δένδρων νοουμένων παραδείσου νοεροῦ, τῶν ἁγίων δυνάμεων, καὶ αὐτοῦ ἐκείνου δένδρου τοῦ γινώσκειν καλὸν καὶ κακόν, ἐκωλύθη ἐξ αὐτοῦ ὑπὸ τοῦ θεοῦ, τουτέστι τούτῳ καθόλου μὴ κοινωνεῖν, τῶν δὲ ἄλλων πάντων κοινωνὸς καὶ φίλος καὶ συνόμιλος εἶναι. 2.3.1 Ἐρώτησις. Οὐκοῦν τὸ δένδρον τῆς γνώσεως ὁ σατανᾶς ἦν; Ἀπόκρισις. Διαφόρως καὶ τοῦτο νοεῖται. τὸ δένδρον γὰρ δένδρον ἦν ὁρατόν, ὡς ἓν τῶν λοιπῶν, καὶ ὁ παράδεισος ὁρατὸς ἦν· ἀλλὰ τὰ ὁρατὰ 2.3.2 τύπος ἐστὶ τῶν ἀοράτων. ὥσπερ γὰρ καθ' ἕκαστον ἡμῶν δύο εἰσὶν ἄνθρωποι, ὅ τε τοῦ σώματος καὶ ὁ τῆς ψυχῆς, οὕτω καὶ ὁ φαινόμενος ἄνθρωπος εἰς φαινόμενον παράδεισον ἐνετρύφα, καὶ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος 2.3.3 εἰς τὸν ἀόρατον τῶν ἁγίων ἀγγέλων νοερὸν παράδεισον ἀπήλαυε. δένδρον οὖν ἦν ὁρώμενον, ἐξ οὗ ἐκελεύσθη ὑπὸ τοῦ θεοῦ μὴ φαγεῖν. πάντων γὰρ αὐτὸν τῶν ὁρωμένων δεσπότην καταστήσας ἑνὸς δένδρου μὴ κυριεύειν κατ' οἰκονομίαν προσέταξεν ὁ θεὸς εἰς ὑπόμνησιν τῆς δεσποτικῆς ἀξίας, ἵνα γνωρίζῃ ἔχειν μείζονα τὸν ἑαυτοῦ κτίστην καὶ μὴ διὰ τὴν παραδοθεῖσαν αὐτῷ ἐξουσίαν 2.3.4 εἰς οἴησιν ἔλθῃ καὶ δόξῃ θεὸς εἶναι. ἐδόθη οὖν αὐτῷ «ἡ ἐντολὴ εἰς ζωήν», ὡς γέγραπται, καὶ λόγος ἦν ὁ ἀπολέσας καὶ ποιήσας αὐτὸν παρακοῦσαι τοῦ θεοῦ. λόγον οὖν θεοῦ καταλείψας καὶ λόγον ἀκούσας τοῦ πονηροῦ καὶ ὑπείξας καὶ φαγὼν ἐκ τοῦ δένδρου ἀπώλετο. ἐκεράσθη γὰρ μετὰ τοῦ καρποῦ ἐκεῖνος ὁ διὰ τοῦ ὄφεως λαλήσας καὶ εἰσῆλθεν εἰς αὐτὸν «ὁ θάνατος, ὅ ἐστι τὸ φρόνημα τῆς σαρκός», ὡς γέγραπται, καὶ οὕτω τὰ ζιζάνια τῶν παθῶν ὑπὸ τοῦ ἐχθροῦ ἐπεσπάρη ἐν τῇ ψυχῇ καὶ ἐν τῷ σώματι. 2.3.5 Ὥσπερ γὰρ τὸ ἀντίτυπον τοῦ σώματος τοῦ Χριστοῦ, ὁ ἄρτος τῆς εὐχαριστίας, διὰ λόγου ἁγιάζεται καὶ τοῖς πιστῶς καὶ εὐλαβῶς μεταλαμβάνουσιν αὐτός ἐστιν ἡ ζωὴ καὶ αὐτός ἐστι τὸ σῶμα τοῦ κυρίου, καὶ οὕτως ἁγιαζομένη ἡ ψυχὴ καὶ τὸ σῶμα προσοικειοῦται τῷ κυρίῳ, τὸν αὐτὸν τρόπον καὶ τὸ σῶμα τοῦ Ἀδὰμ διὰ λόγου τῆς παρακοῆς τὸν θάνατον εἰσεδέξατο. ὥσπερ γὰρ διὰ λόγου τοῦ πονηροῦ ἐκεῖ ὁ ἄνθρωπος ἀποθνῄσκει, οὕτω διὰ λόγου θεοῦ νῦν 2.3.6 πάλιν ἀνακαινιζόμενος τῷ νῷ ἀναζῇ. τότε γὰρ διὰ ὄφεως ἐλάλησεν ὁ πονηρὸς τῇ γυναικί. ἴσως γὰρ οὐδὲ προσεγγίσαι τῷ Ἀδὰμ ἐτόλμησεν, ἀλλὰ τὸ ἀσθενέστερον σκεῦος τὴν γυναῖκα πείσας δι' αὐτῆς τὸν Ἀδὰμ ἠπάτησε, καὶ οὕτως ὁ θάνατος αὐτοῖς ἐπηνέχθη κατὰ τὴν ἀπόφασιν τοῦ δεσπότου. εἰ γὰρ μὴ ὑπήκουσαν τῷ ἐχθρῷ, αὐτὸς μὲν ὁ ἐπιχειρήσας ἀπατῆσαι καταδικασθῆναι εἶχεν ἄν, αὐτοὶ δὲ εἰς μείζονας δόξας ἔμελλον προκόπτειν. οὕτως ἐνταῦθα διὰ λόγου τοῦ δευτέρου Ἀδὰμ ἡ δευτέρα Εὔα Μαρία συνέλαβε καὶ δι'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτῆς ἐγεν2.3.7 νήθη ζωὴ καὶ σωτηρία πᾶσι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. ἦν οὖν ἤδη, ὡς προέφημεν, ἡ ἁμαρτία, ἥτις ἐστὶν ὁ σατανᾶς, καὶ πρὸ τῆς παραβάσεως Ἀδάμὡς καὶ μυστικώτερον ἔστι νοεῖν τὰς γραφὰςκαὶ διὰ «τὴν σκληρότητα καὶ ἀμετανόητον αὐτοῦ καρδίαν» ἔκτοτε κατεκρίθη «ἀπελθεῖν εἰς τὴν γέενναν». ἀλλὰ διὰ τὸ ἀπατηθῆναι τὸν ἄνθρωπον καὶ ἐκβληθῆναι αὐτὸν τοῦ παραδείσου ἀνακαλούμενος λοιπὸν τὸ ἴδιον πλάσμα ὁ θεὸς διὰ τοῦ δὲ γυμνασθῆναι συνεχώρησεν. ἀφείθη γὰρ τὸ λοιπὸν ὥσπερ λῶρος ἢ ῥάβδος παιδείας, ἵνα ὡς οὐ θέλει δι' αὐτοῦ γένηται οἰκονομία μεγάλη καὶ κακῇ προαιρέσει συνεργήσῃ τῷ ἀγαθῷ, ἵνα αὐτὸς μὲν διὰ τὴν κακὴν καὶ ἄκαμπτον προαίρεσιν εἰς θάνατον πάντας ἀνθρώπους ἄγειν ἀεὶ ἐπιθυμῶν διὰ τῶν νικητῶν ἁμαρτωλότερος καὶ καταδικώτερος γένηται, οἱ δὲ δίκαιοι μείζονα δόξαν 2.3.8 ἑαυτοῖς περιποιήσωνται. τὸ γὰρ τοῦ πονηροῦ θέλημα πάντας ἀνθρώπους ἀπολέσαι θέλει, διὸ καὶ πειράζειν διαφόρως καὶ πολυτρόπως ἐπιχειρεῖ, ὥσπερ ὁ θεὸς «πάντας ἀνθρώπους σωθῆναι θέλει», διὸ πολυτρόπως καὶ διαφόρως εὐεργετεῖ ἐν τῇ τῶν χαρισμάτων διανομῇ κατὰ τὴν ἑκάστου πίστιν. ἀφείθη οὖν ἐν μέσῳ οὗτος εἰς δοκιμασίαν καὶ γυμναστήριον τῆς ἀνθρωπότητος μετὰ τὴν τοῦ Ἀδὰμ παράβασιν. ἀπατήσας γὰρ αὐτὸν ἔλαβεν ἀπ' αὐτοῦ τὴν ἐξουσίαν καὶ οὕτως αὐτοῦ κατακυριεύσας ἄρχων τοῦ αἰῶνος τούτου προσηγορεύθη. 2.3.9 ἄρχων δὲ τοῦ αἰῶνος τούτου καὶ δεσπότης τῶν ὁρωμένων ὁ ἄνθρωπος ἦν ὑπὸ τοῦ θεοῦ κατασταθεὶς ἐν ἀρχῇ. οὔτε γὰρ πῦρ αὐτὸν ἠδίκει οὔτε ὕδωρ ἐπόντιζεν οὔτε θηρία ἔβλαπτεν οὐκ ἰοβόλα ἐνήργει· ἀθάνατος γὰρ ἦν. ἀπατηθεὶς δὲ ἀπέδοτο τῷ ἀπατήσαντι τὴν ἀρχὴν καὶ τὴν ἐξουσίαν κατὰ συγχώρησιν θεοῦ. διὸ φαρμακοὶ καὶ ἐπαοιδοὶ καὶ μάγοι ἐκ διαβολικῆς ἐνεργείας θαυμάσια ἐπιτελοῦσι καὶ ἰοβόλων γὰρ κυριεύουσι καὶ πυρὸς καὶ ὑδάτων οἱ μάγοι, ὡς οἱ περὶ Ἰαννῆν καὶ Ἰαμβρῆν ἀντικείμενοι τῷ Μωϋσῇ ἐνεδείκνυντο ἢ ὡς Σίμων τῷ ἀποστόλῳ Πέτρῳ ἀνθίστατο, ἅπερ καὶ ταῦτα εἰς δοκιμασίαν αὐτεξουσίου ποιεῖν παρακεχώρηται τῷ πονηρῷ διὰ τῶν ὑπηκόων αὐτοῦ. 2.3.10 Ἀλλὰ καὶ τὸ εἰπεῖν τὴν γραφήν· «σκότος» ἐπεφέρετο «ἐπάνω τῆς ἀβύσσου» ποῖον ἆρα βούλεται σημαίνειν σκότος; ἴσως ἐρεῖ τις ὡς ἡ σκιὰ τοῦ οὐρανοῦ πρὸ τοῦ τὸν ἥλιον κτισθῆναι σκότος ἐποίει. ἀλλ', ὡς προειρήκαμεν, πάντα τὰ ὁρώμενα τύποι καὶ ὁμοιώματα καὶ εἰκόνες εἰσὶ τῶν ἀοράτων. οἶδα γὰρ σκότος κρυπτόν, λογικόν, ἐγκόσμιον, ἐσώτερον τούτου τοῦ φαινομένου τῆς κτίσεως σκότους καὶ τῆς σκιᾶς καὶ οἶδα ἥλιον τὸν Χριστὸν ἀληθινὸν φωτὸς ἀρρήτου καὶ ἐσώτερον τούτου τοῦ ἡλίου, «τὸ φῶς ἐν τῇ σκοτίᾳ» ἐκείνῃ φαῖνον «καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε», τουτέστιν οὔτε εἶδεν οὔτε ἐγνώρισε διὰ τὴν ἄρρητον καὶ ἀόρατον τοῦ φωτὸς τῆς θεότητος δύναμιν. οἷς γὰρ βούλεται μόνοις ἁγίοις γνωρίζεται καὶ νοερῶς ὁρᾶται, καθόσον χωρεῖν δύνανται. 2.3.11 Καθὼς οὖν προείρηται, ἤδη ἦν ἐν παραπτώματι γεγονὼς ὁ πονηρὸς καὶ ἀπερριμμένος ἦν ἀπὸ θεοῦ, ἐπεὶ κτίσμα καὶ ποίημά ἐστι τοῦ τὰ πάντα κτίσαντος λόγου θεοῦ, διὰ δὲ αὐτεξουσίου προαιρέσεως κατὰ τοῦ δεσποτικοῦ ἀξιώματος φυσιωθεὶς καὶ ἐπαρθεὶς καὶ φθόνῳ κινηθεὶς κατὰ τοῦ ἀνθρώπου καὶ ἀπατήσας αὐτὸν μείζονα παράβασιν εἰργάσατο, χρόνῳ οὖν ὁρισθείσης τῆς κατακρίσεως καὶ τῆς εἰς γέενναν καταδίκης αὐτοῦ. ἠφέθη οὖν, ὡς προείπομεν, εἰς ἑτέραν οἰκονομίαν, ὅπως καὶ μὴ θέλων μεγάλην δόξαν περιποιήσηται τοῖς δικαίοις, καὶ τελειότεροι καὶ ἁγιώτεροι διὰ τῆς πολλῆς αὐτῶν ὑπομονῆς γένωνται. αὐτὸς δὲ ἁμαρτωλότερος καὶ καταδικώτερος διὰ τὰς κακὰς αὐτοῦ ἐπινοίας 2.3.12 εὑρεθεὶς εἰς μείζονα τιμωρίαν γεέννης ὑπόδικος ἔσται. «ἵνα, φησί, γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς», ἵνα ἔτι μᾶλλον ἡ κακία αὐτοῦ θριαμβευθῇ, ἐπὶ πλεῖον καὶ παρὰ τοῖς ἁγίοις καὶ νοεροῖς τῶν ἀγγέλων κτίσμασι διὰ τῆς κακουργίας αὐτοῦ δειγματισθῇ, ἣν πρώτως εἰς τὴν Εὔαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνεδείξατο τῆς ἐντολῆς τοῦ θεοῦ παρακοῦσαι ποιήσας καὶ δι' αὐτῆς τὸν Ἀδὰμ ἀπατήσας ὡς δι' ὁμοίου σκεύους· γυμνῶς γὰρ τῷ Ἀδὰμ προσελθεῖν οὐκ ἐδύνατο, ἴσως διὰ τὴν περικειμένην αὐτῷ δόξαν. διὰ οὖν τῆς γυναικὸς κἀκεῖνον ἀπατήσας ἀφαιρεθῆναι αὐτοῦ τὴν δόξαν ἐποίησε, καὶ οὕτως εὑρέθη γυμνὸς καὶ εἶδε τὴν ἀσχημοσύνην αὐτοῦ, ἣν πρὸ τούτου οὐχ ἑώρα, τοῦ φρονήματος αὐτοῦ τοῖς οὐρανίοις κάλλεσιν ἐναπολαύοντος. μετὰ γὰρ τὴν παράβασιν τὰ νοήματα αὐτοῦ εἰς τὴν γῆν κατηνέχθησαν καὶ τὸ ἁπλοῦν καὶ τὸ ἀγαθὸν φρόνημα αὐτοῦ σαρκικῷ φρονήματι κακίας συνεπλάκη. ἐφράγη γὰρ ὁ παράδεισος καὶ ἡ φλογίνη ῥομφαία ἐτέθη καὶ τὸ Χερουβεὶμ κωλύειν, ἵνα μὴ εἰσέλθῃ ὁ Ἀδὰμ καὶ φάγῃ τοῦ ξύλου τῆς ζωῆς καὶ ζήσῃ εἰς τὸν αἰῶνα. 2.3.13 τοῦτο κατὰ μὲν τὸ ὁρατὸν οὕτω πιστεύομεν γεγενῆσθαι καθὼς εἴρηται, κατὰ δὲ τὸ κρυπτὸν ἐν ἑκάστῃ ψυχῇ εὑρίσκεται· κύκλῳ γὰρ τῆς καρδίας περίκειται τὸ κάλυμμα τοῦ σκότους τοῦ πυρὸς τοῦ πνεύματος τοῦ κοσμικοῦ, μὴ ἐῶν τὸν νοῦν προσεγγίσαι τῷ θεῷ καὶ ἐμποδίζον, ἵνα μὴ ὡς θέλει ἡ ψυχὴ εὔχηται καὶ μηδὲ ὡς θέλει πιστεύῃ καὶ μηδὲ ὡς θέλει ἀγαπᾷ τὸν κύριον. ταῦτα δὲ αὐτῇ τῇ πείρᾳ γνωρίζουσιν οἱ τελείως ἑαυτοὺς τῷ κυρίῳ ἐπιδεδωκότες προσκαρτερεῖν ταῖς εὐχαῖς καὶ τελείαν πρὸς τὸν ἀντικείμενον πάλην ἀναλαβόντες. 2.3.14 ἡγοῦμαι δὲ ὅτι τὴν προτέραν δόξαν τοῦ Ἀδὰμ ἰδὼν ὁ ἐχθρὸς ἐπὶ τοῦ προσώπου Μωϋσέως ἐτρώθη, ὅτι μέλλει τῆς βασιλείας αὐτοῦ καθαιρεῖσθαι. δύναται δὲ ἐν τούτῳ νοεῖσθαι καὶ τὸ τοῦ ἀποστόλου ῥητὸν τὸ «ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας». ἐπὶ μὲν γὰρ αὐτοῦ Μωϋσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τρωθεὶς κατ' ἐλπίδα καὶ ὑπόνοιαν καθῃρέθη τῆς βασιλείας ὁ θάνατος, ἐπὶ δὲ τοῦ κυρίου ἐν ἀληθείᾳ καθῃρέθη. ἐλευθερώσας γὰρ τὸν ἄνθρωπον ἀπὸ τοῦ θανάτου καὶ ἀναστὰς ἐκ νεκρῶν καὶ εἰς οὐρανοὺς ἀνελθὼν καὶ «ἐν δεξιᾷ τῆς μεγαλωσύνης» καθεσθείς, πλήρης δόξης ὑπάρχων, οὐκέτι μόνῳ προσώπῳ ὡς Μωϋσῆς, ἀλλ' ὅλῳ τῷ σώματι καὶ ὅλῃ τῇ ὑποστάσειἐκεῖ «κατεπόθη ἐν ἀληθείᾳ ὁ θάνατος εἰς νῖκος», οἴομαι γὰρ ὅτι τὸ δεδοξασμένον πρόσωπον Μωϋσέως τύπος ἦν καὶ δίδαγμα τοῦ πρώπου διὰ χειρῶν θεοῦ πλασθέντος Ἀδάμ, ὅπερ ἰδὼν ὁ θάνατος καὶ μὴ δυνηθεὶς ἀτενίσαι ἐτρώθη, λυθῆναι καὶ καθαιρεθῆναι ἐλπίσας τῆς 2.3.15 βασιλείας αὐτοῦ· ὅπερ ἐπὶ τοῦ κυρίου γέγονεν. ἐκείνην δὲ τὴν δόξαν ἐν τῷ ἔσω ἀνθρώπῳ ἀπὸ τότε οἱ ἀληθινοὶ Χριστιανοὶ φοροῦσι, καὶ ἔνδοθεν καταργεῖται ἀπ' αὐτῶν ὁ θάνατος, ἤγουν τὰ πάθη τῆς ἀτιμίας, μὴ ἰσχύοντα ἐνεργεῖν, ἀλλὰ παντελῶς καταργούμενα ἀπὸ τῶν τελείων Χριστιανῶν, τῆς τοῦ πνεύματος δόξης τελείως ἐλλαμπούσης ἐν ταῖς ψυχαῖς αὐτῶν. καὶ οὕτως ἐν τῇ ἀναστάσει καταργηθήσεται τέλεον ὁ θάνατος καὶ ἀπ' αὐτῶν τῶν σωμάτων τῶν δεδοξασμένων ἐν τῷ φωτί, οὗπερ ἀπὸ τοῦ νῦν καταξιοῦνται μετέχειν ἐν αἰσθήσει καὶ πάσῃ πληροφορίᾳ ψυχαὶ ἁγίων. 2.3.16 Ἐτέθη γοῦν καὶ ἀφείθη λοιπόν, ὡς προείρηται, ὁ διάβολος, τουτέστι τὸ 2.3.16 σκότος ἐκεῖνο τὸ νοητὸν καὶ λογικόν, οὗ τύπος ἐστὶ τὸ σκότος τοῦτο, εἰς δοκιμαστήριον καὶ γυμναστήριον τοῖς ἀνθρώποις, εἰς ὃ σκότος κρυπτὸν αἱ δυνάμεις τῆς κακίας καὶ ἐξουσίαι καὶ ἀρχαὶ πολλαὶ ἐμπεριπατοῦσιν. εἰς γυμναστήριον δὲ ἀφείθη, ἵνα ἀγωνιζόμενοι οἱ τὸν θεὸν τελείως ἀγαπῶντες καὶ νικήσαντες αὐτοῦ τὰς μηχανὰς καὶ κακουργίας καὶ πάντα πειρασμὸν ἐπαγόμενον ὑπ' αὐτοῦ ὑπομείναντες τελειότεροι γίνωνται, καὶ πλείονα δόξαν αὐτοῖς, 2.3.17 ὡς οὐ θέλει ὁ πονηρός, περιποιῆται. λοιπὸν ὡς εἰς θεωρίαν ὁ θεὸς καθέζεται μετὰ τῶν ἁγίων αὐτοῦ δυνάμεων καὶ ἀγγέλων καὶ πάσης τῆς ἐπουρανίου ἐκκλησίας θεωρῶν τοὺς ἀγωνιστὰς καὶ νικητάς. καὶ κρότοι καὶ ἔπαινοι καὶ φωναὶ μεγάλαι γίνονται ἐν οὐρανοῖς ἐπὶ τοῦ νικῶντος, καὶ στεφανοὶ οὐράνιοι καὶ δόματα πνευματικὰ καὶ μεγάλα ἀξιώματα δίδονται τοῖς ἐξειλοῦσι διὰ τῆς πίστεως αὐτῶν καὶ ἀνδρείας ἐκ τῆς τοῦ διαβόλου παγίδος καὶ ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτων νίκη ἐκείνῳ αἰσχύνην μεγάλην ἐργάζεται. οὐ γὰρ ἔδει τὰ λογικὰ κτίσματα ἅπλως ἀργεῖν ὡς τὰ ξύλα, ἀλλὰ γυμνασθῆναι καὶ δοκιμασθῆναι ἐχρῆν πρότερον, καὶ τὰ νικητήρια ὕστερον ἀπενέγκασθαι. 2.3.18 Ὥσπερ γὰρ ὁ ἐπὶ γῆς βασιλεὺς θεώριόν τι, εἰ τύχοι ἱππικοῦ, ἢ θέατρον ἵνα οὕτως εἴπω κελεύσας γενέσθαι, αὐτὸς ἄνωθεν καθεζόμενος θεωρεῖ, πῶς ἡ πυγμὴ τῶν ἀγωνιστῶν γίνεται, καὶ ἕκαστον ἅρμα κατασκευάσματα καὶ τέχνας τινὰς ποιεῖ εἰς πτῶσιν καὶ ἐμπόδιον τοῦ ἑτέρου, ἵνα νικῆσαι δυνηθῇ, οὕτως ὁ πονηρὸς ἀεὶ εἰς πτῶσιν τοῦ ἀνθρώπου ἑαυτὸν ἑτοιμάζει, καὶ ὅλη αὐτοῦ ἡ τέχνη καὶ κακουργία, ἵνα τοῦτον παγιδεύσῃ καὶ ἐμποδίσῃ διὰ πλειόνων καὶ διαφόρων βρόχων καὶ παγίδων, ἤτοι διὰ φαινομένου κέρδους ἢ πλούτου ἢ σοφίας λόγων κόσμου ἢ διὰ δόξαν ἀνθρώπων ἢ ἡδονὴν σαρκὸς ἢ ἀρχῆς τινος ἢ ζημιῶν βιωτικῶν ἢ παθῶν σωματικῶν ἢ μαστίγων ἢ λογισμῶν πονηρῶν ἢ φοβερισμῶν τινων καὶ θλίψεων ἔνδοθεν τῆς ψυχῆς κινουμένων ὑπ' αὐτοῦ, ἵνα οἱῳδήποτε τρόπῳ πτῶσιν τῷ ἀνθρώπῳ ἀπεργάσηται. τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ψυχὴ ἔχουσα τοσαύτην τοῦ θεοῦ ἐπιρρέπουσαν δύναμιν εἰς βοήθειαν ἀγωνιζέσθω καὶ ἀντιμηχανάσθω πρὸς τὰς ἐκείνου τέχνας, ἵνα δυνηθῇ διὰ πολλῆς νήψεως καὶ ὑπομονῆς καὶ πίστεως ἀγωνιζομένη ἐξειλῆσαι ἐξ αὐτοῦ καὶ τὴν νίκην κατ' αὐτοῦ ἀπενέγκασθαι. 2.3.19 Ῥάβδος οὖν παιδείας ἐστὶ καὶ λῶρος μαστιγῶν ὁ ἄρχων τοῦ αἰῶνος τούτου καὶ διὰ πειρασμῶν καὶ θλίψεων διαφόρων πάντες οἱ ἅγιοι τελειοῦνται καὶ μεγάλην δόξαν καὶ πλείονα τιμὴν πορίζονται, κἀκεῖνος πλείονα κόλασιν γεέννης διὰ τὴν κακὴν προαίρεσιν ἑαυτῷ παρασκευάζει. ὥσπερ γὰρ ἡ ῥάβδος ἀπὸ ζῶντος δένδρου ἐστὶν ἀφῃρημένη καὶ ὁ λῶρος ζῶντος ζῴου ἐστὶ νεκρὸν δέρμα, εἰς ὑπηρεσίαν δέ τινα χρῄζουσιν εἰς παιδείαν τοῖς νηπίοις, οὕτως ὁ πονηρὸς τῆς ἄνω χώρας τῶν ζώντων ἀποτμηθεὶς καὶ τοῦ οὐρανίου φρονήματος νεκρωθεὶς καὶ ὅλως σαρκικῷ φρονήματι ἑαυτὸν ἐκδεδωκὼς καὶ ἐπὶ γῆς ἕρπων διὰ τὸ εἶναι αὐτὸν κτίσμα, ὡς οὐ θέλει μεγάλην δι' ἑαυτοῦ οἰκονομίαν ἀποτελεῖ, καθὼς εἴρηταί που· «συνεργεῖ τὸ πονηρὸν τῷ ἀγαθῷ προαιρέσει οὐ καλῇ». 2.3.20 ὅσοι γὰρ ὄντως ἐν ἀληθείᾳ ἀγαπῶσι τὸν θεὸν καὶ ὀπίσω αὐτοῦ κατὰ τὰς εὐαγγελικὰς ἐντολὰς πορεύεσθαι προθύμως θέλουσι πάντα πειρασμὸν ἐπαγόμενον ὑπὸ τοῦ ἐχθροῦ ὥσπερ συνεργὸν τῆς βασιλείας ἔχουσι μαστιζόμενοι ὑπ' αὐτοῦ καὶ ἐμποδιζόμενοι ὀξυτέρως καὶ ταχυτέρως τῷ θεῷ προσεγγίζουσι τὴν ἀπ' αὐτοῦ ζητοῦντες βοήθειαν. οὐχ οἷον οὖν ὑπ' ἐκείνου ἐμποδιζόμενοι ἐγκόπτονται, ἀλλὰ ταχύτερον διὰ τὴν ὀρθὴν αὐτῶν καὶ ἀγαθὴν προαίρεσιν τελειοῦνται, ὀξυτέρως τῷ θεῷ προσεγγίζοντες, ὅσῳ πλεῖον ὑπὸ τοῦ πονηροῦ 2.3.21 μαστίζονται. καὶ πάσαις δὲ ψυχαῖς ἀγαθὴν καὶ καλὴν ἐχούσαις προαίρεσιν καὶ τὰ δοκοῦντα θλιβερὰ εἰς ἀγαθὸν ἀντικαθίστανται, καθὼς εἴρηται ὑπὸ τοῦ ἀποστόλου· «τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν». καὶ γὰρ πλοῦτος καὶ πενία, καὶ δόξα καὶ ἀδοξία, καὶ θλῖψις καὶ ἄνεσις διὰ τὸ ὀρθὸν τῆς ψυχῆς αὐτῶν φρόνημα καὶ διὰ τὸ ἀγαπᾶν αὐτοὺς ἐξ ὅλης καρδίας τὸν θεὸν πάντα εἰς ἀγαθὸν αὐτοῖς συνεργεῖ. ὅσοι δὲ τῷ δοκεῖν μόνον θέλουσιν ἐξακολουθεῖν τῷ κυρίῳ καὶ ἐν τῇ βασιλείᾳ εὑρεθῆναι, μὴ ἀρνούμενοι κατὰ τὸ εὐαγγέλιον ἑαυτούς, ὀλίγας μάστιγας ὑπὸ τοῦ πονηροῦ λαβόντες ἢ ἐν ὀλίγοις τισὶ πειρασμοῖς ἐξετασθέντες, εὐθέως εἰς τὰ ὀπίσω στρέφονται μὴ γενναίως πρὸς τὰ πάθη πολεμοῦντες, ἀλλὰ φοβούμενοι τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς τοῦ διαβόλου ὑποστέλλονται καὶ πάλιν ταῖς σαρκικαῖς ἡδοναῖς καὶ τῇ ἀπάτῃ τοῦ κόσμου ὑπ' αὐτοῦ ἐκπλανώμενοι συναπάγονται διὰ τὸ μὴ ἐξ ὅλης καρδίας αὐτοὺς 2.3.22 ἀγαπᾶν τὸν θεόν. ἵνα οὖν φανεροὶ γένωνται οἱ θέλοντες τῆς αἰωνίου ζωῆς τυχεῖν καὶ μετὰ πολλοῦ ἀγῶνος ὑπομένοντες πάντα πειρασμὸν καὶ θλῖψιν, ὅπως κτήσωνται τὴν αἰώνιον ζωήν, καὶ οἱ δοκοῦντες μὲν θέλειν, μὴ ὑπομένοντες δὲ τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θλίψεις μηδὲ τὰς ἡδονὰς τοῦ κόσμου τελείως ἀποστρεφόμενοι, ἀλλ' εἰς τὰ ὀπίσω πάλιν ἀπερχόμενοι ἀποδειχθῶσι μὴ φιλαλήθεις ὄντες μηδὲ θεὸν ὑπὲρ πάντα ἀγαπήσαντες, διὸ καὶ τῆς βασιλείας ἀπόβλητοι γίνονται. τούτου ἕνεκεν, ὡς προείρηται, ἀφείθη ἡ ῥάβδος αὕτη, τὸ τῆς πονηρίας ἕλκος ὡς κάμινός τις πυρός, ἵνα δι' αὐτοῦ τὰ δόκιμα σκεύη πυρούμενα δοκιμώτερα καὶ στερεώτερα εὑρεθῇ, τὰ δὲ ἀδόκιμα σαθρὰ καὶ εὔθρυπτα ἀποδειχθῇ, τὴν καῦσιν τοῦ πυρὸς ἐνεγκεῖν μὴ δυνηθέντα. 2.3.23 Ἵνα δὲ πληροφορεστέρως ταῦτα οὕτως ἔχειν ἀποδείξωμεν, ἀπὸ τῶν θεοπνεύστων γραφῶν ὀλίγα μνημονεύσωμεν διηγήματα. πόθεν τοσαύτη δόξα καὶ κρότος ἐπουρανίων καὶ ἐπιγείων τοῖς περὶ τὸν Ἀνανίαν γενέσθαι ἠδύνατο καὶ θεὸς κηρυχθῆναι καὶ φανερωθῆναι τότε τῷ κόσμῳ, ὅτι εἷς θεός ἐστιν ἐν οὐρανοῖς, εἰ μὴ παρεχώρησεν αὐτοὺς δοκιμασθῆναι, συγχωρήσας δὲ καὶ τὴν μεγάλην ἐκείνην χρυσῆν εἰκόνα ὑπὸ τοῦ βασιλέως κατασκευασθῆναι καὶ πάντα τὰ ἔθνη κατὰ τὸ βασιλικὸν πρόσταγμα συναθροισθῆναι ὡς εἰς προσκύνησιν τῆς εἰκόνος, τοῦ πονηροῦ δηλονότι ἐν τῷ τότε βασιλεῖ Ναβουχοδονόσορ τοῦτο ἐπιχειρήσαντος καὶ τῶν γενναίων παίδων ἀνδραγαθησάντων διὰ τῆς πίστεως αὐτῶν καὶ τῆς πρὸς κύριον πεποιθήσεως. ἑαυτοὺς γὰρ ἐκδότους δι' αὐτὸν δεδωκότων, ἐκ μεταβολῆς διὰ τῶν θαυμασίων τοῦ δεσπότου εὑρέθη ἀντὶ τῆς εἰκόνος προσκυνούμενος ὁ θεὸς καὶ ὁ ὑπεναντίος πλέον καταισχυνόμενος, ὅτι πᾶσαι αἱ κακουργίαι αὐτοῦ καὶ τέχναι ἐλύθησαν, καὶ ἣν ἐνόμιζε σπουδὴν εἰς ἀπώλειαν ἀνθρώπων ἐπιτελεῖν, καθ' ἑαυτοῦ γεγένηται. τότε γὰρ πάσῃ τῇ ἀνθρωπότητι ἐγνωρίσθη, ὅτι ἔστι θεὸς ἐν οὐρανοῖς διὰ τῆς τῶν τριῶν παίδων ἀνδραγαθίας καὶ τελείας 2.3.24 πίστεως. καὶ γὰρ αὐτὸς ὁ ἀγὼν τοῖς ἑαυτοὺς τῷ κυρίῳ ἐκδεδωκόσι διάφορος τυγχάνει. ὁ μὲν γὰρ ἐν πεποιθήσει καὶ πίστει θαρρεῖ τῇ τοῦ θεοῦ δυνάμει, ὡς μηδὲν παθεῖν χαλεπὸν ὑπὸ ἀνθρώπων δυνάμενος διὰ τὴν σκεποῦσαν αὐτὸν δύναμιν τοῦ πνεύματος, καί φησι πρὸς τοὺς ἐναντίους ὢν δίκαιος· "1οὐδέν μοι κακὸν ποιῆσαι δύνασθε· ἔχω γὰρ τὸν ὑπέρμαχον. οὐ πῦρ με ἀναλώσει, οὐ μάχαιρά με ἀποκτενεῖ, οὐ θηρία μου θίγει, οὐδὲ ἕτερόν μου τι κακὸν ἅψεται, ὅτι ἔχω θεὸν τὸν ἰσχυρότερον καὶ δυνατώτερον ὑμῶν, ὃς ἐκ πάντων τῶν κακῶν ῥύσεταί με, ἵνα δειχθῇ ὅτι ἔχω ἐν οὐρανοῖς θεὸν ζῶντα."2 κατὰ τὴν πίστιν οὖν καὶ πεποίθησιν αὐτοῦ οὕτως συνεργεῖ ὁ θεὸς ὡς ἐκ τῶν μνημονευθέντων ἀπεδείχθη. τῷ τοιούτῳ ἡλίκοι κρότοι ἐπαίνων καὶ φωναὶ ἐπουρανίων 2.3.25 καὶ ἐπιγείων γίνονται. ὁμοίως ἄγεται ἄλλος δίκαιος ἐπὶ ἄρχοντα εἰς παράβασιν ἀναγκαζόμενος, ὃς δίδωσιν ἑαυτὸν ἑτοίμως ὑπὲρ τοῦ θεοῦ ἀποθνῄσκειν καὶ εἰ τὰς χεῖρας αὐτοῦ ἐκκόψουσιν, οὐ προσποιεῖται, καὶ εἰ τοὺς ὀφθαλμοὺς ἐξορύξουσιν, οὐ δέδοικε, καὶ ὡς οὐδὲν χαλεπὸν παθὼν οὕτως ἐστὶ λέγων ὅτι· "1ἔχω θεόν, ὃς ἀμείψεταί με ἀγαθοῖς ἐπουρανίοις καὶ πάλιν μὲ ὑγιῆ ἀποκαταστήσει ἐν δόξῃ"2, καὶ ἑτοίμως τὸ μαρτύριον τοῦ θανάτου ὑπέμεινε. τούτῳ ἡλίκαι βοαὶ καὶ κρότοι ἐπουρανίων καὶ ἐπιγείων γίνονται. φησὶ γὰρ καὶ ὁ ἀπόστολος περὶ τῶν διαφόρως ἀθλούντων δικαίων «οἵτινες κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἰσχυροὶ ἐγένοντο ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων. ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν», καὶ ἐπιφέρει ἀναγκαίως τούτων ἑτέρους δικαίους διὰ τοῦ παθεῖν ἀθλήσαντας λέγων· «ἄλλοι δὲ ἐτυμπανίσθησαν, μὴ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακουχούμενοι, ἐπ' ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος». ὁρᾷς πῶς τῶν τὸν θεὸν ἐν ἀληθείᾳ ἀγαπώντων ὁ ἀγὼν καὶ ἡ ἄθλησις διαφόρως γίνεται διὰ τῆς αὐτῆς πίστεως, ἵνα διὰ τούτων δοξασθῇ ὁ θεὸς καὶ τῶν λογικῶν τῆς ἀνθρωπότητος καὶ αὐτεξουσίων κτισμάτων γυμνασθέντων καὶ δοκιμασθέντων φανερωθῇ τὰ τίμια σκεύη καὶ τὰ ἄτιμα ὁμοίως ἐξ αὐτεξουσίου προαιρέσεως ἀποδειχθῇ. 2.3.26 Ἠφείθη οὖν ὁ πονηρὸς ὡς ῥάβδος τῆς παιδείας εἰς τὴν μεσότητα τοῦ κόσμου. δοῦλος δὲ ὢν καὶ κτίσμα δεσποτικὸν οὐχ ὅσον θέλει πειράζει οὐδὲ ὅσον βούλεται ἐπιφέρει τὰς θλίψεις τοῖς ἀνθρώποις, ἀλλ' ὅσον τὸ δεσποτικὸν νεῦμα παραχωρήσει δοκιμασθῆναι τὴν ψυχήν. ἐπίσταται γὰρ ὡς θεός, πόσον ὑπομεῖναι δύναται ἡ ψυχή. διὸ τοσοῦτον καὶ παραχωρεῖ, ὥς φησιν ὁ ἀπόστολος· «πιστὸς δὲ ὁ θεός, οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν». καὶ γίνονται οἱ πειρασμοὶ τῇ ἀγαπώσῃ τὸν θεὸν ψυχῇ διὰ τῆς δεσποτικῆς συγχωρήσεως εἰς αἰσχύνην καὶ κατάκρισιν τοῦ ἐχθροῦ καὶ εἰς νίκην καὶ δόξαν τοῦ ἀνθρώπου, ὥσπερ πάλιν τοῖς μὴ ὑπομένουσι γενναίως τὰς θλίψεις, ἀλλ' εἰς τὰ ὀπίσω στρεφομένοις εἰς αἰσχύνην καὶ ὄνειδος αἰώνιον οἱ σὺν τῷ πονηρῷ ἐν γεέννῃ καταδικάζονται, ἵνα καὶ αὐτὸς ὁ σατανᾶς σὺν τοῖς ὑπηκόοις αὐτοῦ τοῖς τὸ θέλημα τοῦ θεοῦ ποιεῖν ἐξ ὅλης καρδίας μὴ βουλομένοις, πλέον ἐν γεέννῃ κατακριθῇ, καὶ οἱ ἀγωνιζόμενοι καὶ τὰ πάθη τῆς κακίας ὑποτάξαντες δίκαιοι πλέον δοξασθῶσιν ὑπομείναντες γενναίως πάσας τὰς ἐπενεχθείσας αὐτοῖς θλίψεις καὶ τὸ τοῦ θεοῦ δίκαιον δειχθῇ «ἑκάστῳ» ἀποδιδόντος «κατὰ τὰς πράξεις αὐτοῦ», καθὼς γέγραπται, καὶ ἡ βασιλεία τῶν ἐκλεκτῶν συσταθῇ διὰ τῆς αὐτῶν τελείας ἀθλήσεως. 2.4.1 Ἐρώτησις. Διὰ τί οἱ μὲν προσελθόντες τῇ ἀσκήσει ταχέως ἀξιοῦνται χάριτος, ἄλλοι δὲ χρόνῳ πολλῷ παραμείναντες οὐδέπω ἔτυχον τῆς τοιαύτης ἐνεργοῦς ἐπισκέψεως; Ἀπόκρισις. Ὁ λόγος τοῦ κυρίου ἀληθής ἐστιν ὁ εἰπών· «αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν». ἀπείη οὖν εἰπεῖν ὑμᾶς ὅτι· "1ὁ ζητῶν καὶ κρούων καὶ αἰτῶν ἕως τέλους οὐ τυγχάνει τῶν αἰτημάτων αὐτοῦ"2. μόνον παρρησίαν ἐχέτω ὁ ζητῶν ἔμπροσθεν τοῦ θεοῦ ἐν τῷ αὐτὸν τῷ νῷ καὶ τῇ διανοίᾳ πάντοτε ἐπιζητεῖν, ἀλλὰ καὶ τῇ σωματικῇ λατρείᾳ αὐτοῦ πάντοτε προσκαρτερεῖν, μὴ τοῖς κοσμικοῖς ἐμπλεκόμενον πράγμασι μηδὲ τοῖς πάθεσι τῆς κακίας συνηδόμενον, καὶ λοιπὸν ἀδύνατον αὐτὸν ἀποτυχεῖν τῆς ζωῆς. δίκαιος γὰρ καὶ ἀληθής ἐστιν ὁ κύριος ὁ τῷ ἀψευδεῖ στόματι ἐπαγγειλάμενος καὶ εἰπὼν ὅτι· «πᾶν ὃ ἐὰν αἰτήσητέ με ἐν προσευχῇ πιστεύοντες λήψεσθε». οἱ γὰρ λέγοντες ὅτι· "1πάντα ἐὰν ποιήσῃ τις τὰ παραγγέλματα καὶ παραμείνῃ καὶ μὴ τύχῃ τῆς χάριτος ἐν τῷ αἰῶνι τούτῳ, οὐδὲν ὠφέλησε"2, κακῶς λέγουσι καὶ ἀσυμφώνως τῶν θείων γραφῶν. εἰ γὰρ «ποτήριον ψυχροῦ» ἐν ἐπαγγελίᾳ ἕστηκε, πόσῳ μᾶλλον τοῖς διὰ τὸν θεὸν ἀναχωρήσασι τοῦ κόσμου καὶ ἁγνεύσασι καὶ ἀποταξαμένοις καὶ δεομένοις αὐτοῦ, νυκτὸς καὶ ἡμέρας αὐτὸν ἐπιποθοῦσι καὶ ζητοῦσι, δώσει ἃ ἐπηγγείλατο ἀγαθά. οὐ γάρ ἐστιν ἀδικία παρ' αὐτῷ, ἵνα τῶν ἀνθρωπίνων ἔργων δι' ἡμῶν κατορθωθέντων αὐτὸς τῆς ὑπὲρ φύσιν πνευματικῆς ἐν ἡμῖν κατορθώσεως καὶ τοῦ ἁγιασμοῦ ἀμελήσῃ. 2.4.2 Ἐν τούτῳ οὖν παρρησίαν ἔχωμεν, μόνον ἐν οἷς ἠρξάμεθα καλοῖς ἕως τέλους ἐμμείνωμεν καὶ μὴ στραφῶμεν εἰς τὰ ὀπίσω. οἱ ἐναρξάμενοι ἁγνὴν τὴν σάρκα φυλάσσειν, ἵνα τούτῳ ἕως τέλους ἐμμείνωμεν καὶ προσκαρτεροῦντες ταῖς εὐχαῖς εἰς τέλος ἐξομαλίσωμεν καὶ ἁπαξαπλῶς πᾶσιν ὁμοῦ τοῖς κατορθώμασι φανερὸν τέλος ἐπιθῶμεν· πάσης γὰρ ἀρχῆς τὸ τέλος ἐπίδοξον. ὁ γὰρ ἀκούσας τῶν λόγων τοῦ θεοῦ καὶ πιστεύσας καὶ διακρίνας καὶ συνιείς, ἀναχωρήσας τε τῶν ἰδίων διὰ τὸν κύριον καὶ προσκαρτερῶν ταῖς εὐχαῖς καὶ πάσαις ταῖς ἀρεταῖς ἕως τέλους ἐμμένων, οὐκ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποτεύξεται τῆς ἐπαγγελίας; μόνον ἵνα εὑρεθῇς ἐν τούτοις, ὅτε σου ἡ ψυχὴ ἀπὸ τῆς σαρκὸς παραλαμβάνεται, ἀγωνιζόμενος, σπουδάζων, προσδοκῶν τὴν ἐπαγγελίαν, προσκαρτερῶν, πιστεύων, ἐν διακρίσει ζητῶν, κἀγώ σοι λέγω ὅτι μετὰ χαρᾶς σε προσδέξεται καὶ παρρησίαν ἕξεις καὶ τῆς βασιλείας ἄξιος γίνῃ, καὶ οἱ τοῦ κυρίου ἄγγελοι ἀπαντῶσι σοι καὶ δέχονταί σε εἰς τὴν ζωήν. ὁ γὰρ τοιοῦτος ἐν λεπτότητι διὰ τῆς πίστεως καὶ προθυμίας ἤδη κοινωνεῖ τῷ θεῷ καὶ τοῦ κυρίου ἐστὶν ἐργάτης. ὡς γάρ φησιν ὁ κύριος· «ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ», καίτοι γὰρ σωματικῶς μὴ ἀπέλθων καὶ μιανθεὶς πρὸς αὐτὴν ἤδη ὡς μοιχεύσας λελόγισται. οὕτως ὁ ἀποστραφεὶς ἐκ πάντων τῶν κακῶν καὶ «κολλώμενος τῷ κυρίῳ» ζητήσει καὶ πόθῳ καὶ πάσῃ προσκαρτερήσει καὶ ἀρετῆς καταστάσει ἤδη ὥσπερ κοινωνεῖ τῷ θεῷ. ἔχει οὖν μέγα δῶρον θεοῦ ἤδη αὐτὸ τὸ παραμένειν αὐτὸν τῇ εὐχῇ καὶ τῇ ἀγαθῇ σπουδῇ καὶ τῇ ἐναρέτῳ πολιτείᾳ. 2.5.1 Ἐρώτησις. Τί οὖν ὅτι γίνεται ἡμέρα, καὶ μισῶ τὸν ἀδελφόν μου ἢ καὶ ἄλλα συγγινώσκω ἐμαυτῷ φαῦλα, ἅπερ καὶ ἄκων πάσχω; Ἀπόκρισις. Ὁ μὲν ἀγὼν καὶ ἡ σπουδὴ τοῦ ἀνθρώπου πάντοτε ἤτω εἰς τὸ ἀντιπίπτειν τῷ πονηρῷ καὶ πολεμεῖν τοῖς ἐναντίοις πάθεσι τῶν κακῶν λογισμῶν. ἀδύνατον γάρ, ἔνθα ἐστὶ τὸ σκότος ἐκεῖνο τῶν παθῶν καὶ ὁ θάνατος τοῦ φρονήματος τῆς σαρκός, μὴ δεικνύειν τινὰ ἴδιον κακίας καρπὸν ἤτοι κρυπτῶς ἤτοι φανερῶς. 2.5.2 Ὥσπερ γὰρ ἐὰν ἔχῃ τις ἐν τῷ σώματι τραῦμα, ἕως ἔτι θεραπεύῃ καὶ θάλπῃ τοῦτο κἂν μικρὸν μὴ ὑγροποιεῖν ἀδύνατον, θεραπεύοντος μέντοι καὶ ἐπιμελουμένου ἀμελήσαντος δηλαδὴ σῆψιν καὶ ἀφανισμὸν ὅλῳ τῷ σώματι ἐργάζεται, τὸν αὐτὸν τρόπον καὶ τὰ πάθη τῆς ψυχῆς θεραπευόμενα μὴ διὰ συντόνου καὶ πολλῆς προσοχῆς ἀκμὴν ἐνδομυχεῖ, ἐπιμελῶς μέντοι θεραπευόμενα διὰ τῆς δυνάμεως τοῦ κυρίου τελείαν τὴν ἴασιν δέχεται. καὶ εἰ ὁ ἐπὶ γῆς ἰατρὸς τὰ τοῦ σώματος θεραπεύει τραύματα, πόσῳ μᾶλλον ὁ ἐπουράνιος ἰατρός, ὁ κύριος, οὐ τὰ δυσίατα πάθη τῆς ψυχῆς θεραπεύει; ἔστι γάρ τι κρυπτὸν ῥύπος καὶ σκότος παθῶν περισσὸν παρὰ τὴν καθαρὰν φύσιν τοῦ ἀνθρώπου ἐπεισελθὸν πάσῃ τῇ ἀνθρωπότητι διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως, κἀκεῖνο θολοῖ καὶ 2.5.3 μιαίνει ψυχήν τε καὶ σῶμα. ἀλλ' ὥσπερ σίδηρος πυρούμενος καὶ τυπτόμενος καθαίρεται καὶ σκεῦος χρήσιμον τῷ δεσπότῃ ἀποτελεῖται, ἢ χρυσὸς μεμιγμένος χάλκῳ ἢ σιδήρῳ διὰ πυρὸς μόνου χωρίζεται, τὸν αὐτὸν τρόπον καὶ ψυχὴ διὰ τοῦ ἐπουρανίου τεχνίτου Χριστοῦ, πυρουμένη τῷ ἁγίῳ πνεύματι καὶ τυπτομένη τοῖς πάθεσι τοῦ Χριστοῦ καθαίρεται πάθους παντὸς καὶ πάσης 2.5.4 ἁμαρτίας. καὶ ὥσπερ ἐπὶ τῆς θαλάσσης ὁ κύριος πνέοντος τοῦ ἀνέμου, τοῦ τε κλύδωνος ἐγειρομένου καὶ τοῦ πλοίου κινδυνεύοντος, ἐπετίμησε τῷ ἀνέμῳ καὶ ἐκόπασεν, οὕτω καὶ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἐργαστηρίῳ, τῆς ψυχῆς κυμαινομένης ὑπὸ τῶν πονηρῶν διαλογισμῶν καὶ τῶν παθῶν τῆς κακίας, ὥσπερ διανίσταται ἐντευχθεὶς ὁ κύριος καὶ ἐπιτιμῶν τοῖς πνεύμασι τῆς πονηρίας καὶ τῷ κλύδωνι τῆς πικρᾶς θαλάσσης τῆς ἁμαρτίας, καὶ γίνεται γαλήνη χάριτος τῇ ψυχῇ καὶ τοῖς λογισμοῖς. καὶ οὕτως εἰς τὴν πρὸς κύριον καὶ τὸν πλησίον ἀγάπην ἀνεμποδίστως δεσμεῖται, μόνον ἵνα τῇ ἀρχῇ, ὡς προείρηται, τέλος ἀγαθὸν ἐπιθῶμεν, μὴ στρεφόμενοι εἰς τὰ ὀπίσω ἢ ἐκκλίνοντες ἀπὸ τῆς ὁδοῦ τῆς δικαιοσύνης, ἀλλὰ κατ' ἀλήθειαν ζητοῦντες τὸν κύριον καὶ προσκαρτεροῦντες ἕως τέλους ἐν τῇ εὐχῇ, καὶ οὕτω πάσαις ταῖς ἀρεταῖς ἐμμένοντες οὐ μὴ στερηθῶμεν τῆς ζωῆς. «πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος» αὐτὴν τοῖς ἐν ἀληθείᾳ ζητοῦσιν αὐτόν. 2.6.1 Ἐρώτησις. Τί ἐστιν· «ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ. οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν»; Ἀπόκρισις. Κατὰ δύο τρόπους νοεῖται τὸ νόημα τῆς γραφῆς. καθ' ἕνα μὲν ὅτι καὶ ἐνταῦθα ἐνίστανται αἱ ψυχαὶ οὖσαι νενεκρωμέναι τοῖς πάθεσι, τῇ δυνάμει τοῦ κυρίου λαμβάνουσαι τὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁγιασμὸν τοῦ πνεύματος, δι' οὗ εἰσάγονται εἰς τὴν τελείαν ἐργασίαν τῶν ἐντολῶν τοῦ Χριστοῦ· καθ' ἕτερον δὲ δι' αὐτῆς τῆς ἀναστάσεως τῶν σωμάτων ἐν διαφόρῳ δόξῃ ἐγειρομένων. τὸ δὲ «διαφέρει ἐν δόξῃ» ἐν τῇ τῶν χαρισμάτων διαφορᾷ, ἐπειδὴ «ᾧ μὲν δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως» καὶ τὰ ἑξῆς. 2.6.2 Ὥσπερ γὰρ λαμπάδες πολλαὶ ἑνὶ μὲν ἐλαίῳ καὶ ἑνὶ πυρὶ ἀνημμέναι τυγχάνουσιν, οὐκ ἴσῳ τῷ μέτρῳ τὴν αὐγὴνεἰ τύχοιτοῦ πυρὸς φαίνουσι, διὰ τὸ τὴν μὲν μείζονα τὴν δὲ ἐλάττονα εἶναι, οὕτω καὶ τὰ χαρίσματα τὰ διὰ πλειόνων κατορθωμάτων (τουτέστι τῷ ἐλαίῳ) αὐξηθέντα περισσοτέραν ἔχει τὴν φαιδρότητα τοῦ πνεύματος τοῦ ἁγίου. 2.6.3 Καὶ ὥσπερ ἐν πόλει πολλῶν ὄντων τῶν ἐν αὐτῇ οἰκούντων καὶ ἑνὶ ἄρτῳ καὶ ἑνὶ ὕδατι τρεφομένων οἱ μὲν εἰσὶν αὐτῶν ἄνδρες, οἱ δὲ νήπιοι, καὶ διαφορὰ πολλὴ ἐν αὐτοῖς ἐστι. 2.6.4 Καὶ ὥσπερ σῖτος ἐν τῇ αὐτῇ χώρᾳ ἐσπαρμένος διαφόρους σταχύας ἀνατέλλει πὴ μὲν πλείονας πὴ δὲ ἐλάττονας, ἐν τῇ αὐτῇ δὲ χώρᾳ, καὶ ἐν τῇ αὐτῇ ἅλωνι συνάγεται καὶ ἐν τῇ αὐτῇ ἀποθήκῃ ἀποτίθεται, οὕτω καὶ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν διαφορὰ δόξης τοῖς ἀνισταμένοις κεχάρισται κατὰ τὴν ἀξίαν τῶν κατορθωμάτων καὶ κατὰ τὴν μετουσίαν τοῦ ἀπὸ τοῦ νῦν οἰκοῦντος ἐν αὐτοῖς ἁγίου πνεύματος, ἑνὸς ὄντος τοῦ περὶ αὐτοὺς φωτόςὡς καὶ τοῦ περὶ τοὺς ἀστέραςκαὶ μιᾶς τῆς τοῦ θεοῦ δωρεᾶς κατὰ τὴν ἀξίαν τῶν νῦν κατορθωμάτων ἐπαστραπτούσης τοῖς ἀνισταμένοις. εἰ γὰρ καὶ μικρότερός ἐστιν «ἀστὴρ ἀστέρος», ἀλλὰ τῷ αὐτῷ ἀστράπτει φωτί, μόνον ἵνα τις γεννηθεὶς τῷ πνεύματι τῷ ἁγίῳ ἀποκαθαρισθῇ τῆς ἐνοικούσης ἁμαρτίας. 2.6.5 Ἐν γὰρ ἑνὶ μέρει καὶ αὐτὴ ἡ γέννησις τελειότητος ἔχει εἰκόνα, οἷον ἐν μορφῇ καὶ μέλεσιν, οὐ μέντοι δυνάμει ἢ νῷ ἢ ἀνδρείᾳ. ὁ γὰρ αὐξάνων πρὸς ἄνδρα τέλειον καὶ μέτρον ἡλικίας τὰ τοῦ νηπίου πάντα καταργεῖ. τοῦτο γάρ ἐστιν, ὃ λέγει ὁ ἀπόστολος· «εἴτε γλῶσσαι καταργηθήσονται εἴτε προφητεῖαι». ὥσπερ γὰρ ὁ ἀνὴρ οὔτε τὴν ὁμιλίαν τοῦ παιδίου καταδέχεται οὔτε τὴν τροφήν, ἑτέρας ἐχόμενος τροφῆς καὶ διαγωγῆς, οὕτω καὶ ὁ πρὸς τελείωσιν εὐαγγελικῶν κατορθωμάτων αὐξάνων τὴν νηπιότητα αὐτοῦ εἰς τὴν τελειότητα καταπαύει. καθὼς γέγραπται· «ὅτε γέγονα ἀνήρ, τὰ τοῦ νηπίου κατήργηκα». ὅτι γὰρ καλῶς εἴρηται, ὅτι ἡ γέννησις ἐν ἑνὶ μέρει τελεία ἐστίν, ἐκ τῶν ὑπὸ κυρίου γενομένων γνώσῃ. γεννηθέντος γὰρ τοῦ κυρίου πᾶσα ἡ κτίσις ἐθροήθη, ἄγγελοι ὕμνουν, ἀστὴρ ἐμήνυε, ποιμένες ἐξίσταντο ὡσαύτως καὶ ἐπὶ τοῦ σταυροῦ τοῦτο τὸ μυστήριον τελειοῦντος πᾶσα ἡ κτίσις ἐταράχθη· ἥλιος γὰρ ἐσκοτίσθη, καταπέτασμα ναοῦ ἐσχίσθη, μνήματα ἠνεῴχθη, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀνέστη. ὁρᾷς ὅτι ἐν ἑνὶ μέρει τὸ γεννηθῆναι πνεύματι ἁγίῳ τελείωσίς ἐστι. 2.7.1 Ἐρώτησις. Οὐκοῦν οὐκ ἔχει ἁμαρτίαν καὶ σκότος παθῶν ὁ γεννηθείς; Ἀπόκρισις. Τοῦτο τὸ σκότος, ὅπερ λέγεις καὶ τὰ πάθη, λῶρος καὶ ῥάβδος ἐστὶ τῶν παιδίων. ἕτερος οὗτος λόγος καὶ δοῦλος νήπιον ὄντα τὸν δεσπότην αὐτοῦ τύπτει εἰς συμφέρον αὐτοῦ. ἓν δὲ γίνωσκε ὅτι, εἰ ἀγαπᾷ ψυχὴ τὸν θεὸν ἐν ἀληθείᾳ, ταῦτα πάντα τὰ δοκοῦντα θλιβερώτερα καὶ οἱ πόλεμοι τῶν παθῶν εἰς συμφέρον αὐτῇ εἰσι. φησὶ γὰρ ὁ ἀπόστολος· «τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν», καὶ πάλιν· «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται» καὶ τὰ ἑξῆς. δύναται γὰρ καὶ τὸ κακὸν συνεργεῖν τῷ ἀγαθῷ προαιρέσει οὐ καλῇ, μόνον ἵνα τῇ ἀγάπῃ πρὸς θεὸν ψυχὴ δεσμῆται. Ἐρώτησις. Οὐκοῦν οὐκ ἔχει πόλεμον ὁ γεννηθείς; Ἀπόκρισις. Ὁ βασιλεὺς ἀκμὴν εἰς πόλεμον ἀπέρχεται, μέγα εἰ ὁ γεννηθείς. Ἐρώτησις. Οὐκοῦν ἐλεύθερος οὐκ ἔστιν; Ἀπόκρισις. Ἄλλο γεννηθῆναι καὶ ἄλλο πολεμιστής, ἄλλο νικητὴς καὶ ἄλλο ἐλεύθερος. περὶ γεννήσεως ἐλέγομεν ὅτι ἐν ἑνὶ μέρει τέλειόν ἐστιν, ἐν τῷ τὰ μέλη πάντα ἀποσῴζειν τὸ νήπιον. οὐ γὰρ δίδωσιν ὁ κύριος πνεῦμα καὶ χάριν, ἵνα τις πέσῃ ἐν ἁμαρτίαις, ἀλλ' αὐτοὶ ἑαυτοῖς αἴτιοι γίνονται οἱ ἄνθρωποι μὴ συμφωνοῦντες τῇ χάριτι,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ διὰ τοῦτο πίπτουσι. δύναται γὰρ καὶ ἀπὸ ἰδίων καὶ φυσικῶν λογισμῶν πλανᾶσθαι ὁ ἄνθρωποςἀμελῶν ἢ καταφρονῶν ἢ 2.9.2 καυχώμενος ἢ φυσιούμενος ἢ ἐπαιρόμενος. καὶ ἄκουε τί λέγει Παῦλος ὁ ἐλεύθερος· «ἵνα, φησί, μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατάν». ὁρᾷς ὅτι καὶ οἱ ἐν τηλικούτοις μέτροις πνευματικοῖς καταντήσαντες ἀσφαλείας πολλῆς χρῄζουσιν. ἐὰν γὰρ μὴ δῷ πρόφασιν καὶ ὁρμὴν τῷ σατανᾷ ὁ ἄνθρωπος, οὐ κυριεύει αὐτοῦ. βίᾳ γὰρ οὐ λαμβάνει αὐτὸν οὔτε ὁ κύριος οὔτε ὁ σατανᾶς, ἀλλ' εὐαρεστήσας καὶ συμφωνήσας τῇ χάριτι τελειοῦται εἰς αὐτήν, μὴ συμφωνήσας δέ, κἂν γεννηθῇ, τουτέστι μέτοχος πνεύματος γένηται, αὐτὸς αἴτιος γίνεται τοῦ πεσεῖν εἰς τὰ θελήματα τοῦ σατανᾶ. εἰ γὰρ βίᾳ ἐλάμβανεν ὁ σατανᾶς καὶ βίᾳ ὁ κύριος, οὐκ ἦν αἴτιος ὁ ἄνθρωπος ὑπάγων εἰς γέενναν, καὶ οὐκ ἦν ἐπαινετὸς εἰς βασιλείαν ἀπερχόμενος. 2.10.1 Ἐρώτησις. Τί ποιήσει ἄνθρωπος ἀποπλανώμενος ὑπὸ τοῦ σατανᾶ ὡς δι' εὐλογοφανῶν τινων ἢ ὡς δι' ὁμοίου φωτὸς ἀποκαλύψεως χάριτος; Ἀπόκρισις. Διὰ τοῦτο πολλῆς διακρίσεως χρείαν ἔχει ὁ ἄνθρωπος, ἵνα τὴν τοῦ καλοῦ καὶ τοῦ κακοῦ διαφορὰν ἀκριβῶς ἐπιγινώσκῃ καὶ τὰς ποικίλας τέχνας τοῦ πονηροῦ διὰ λόγων καὶ φαντασιῶν πολλοὺς πλανῶντος διακρίνων 2.10.2 συνήσῃ. ὥσπερ γάρ τις βουλόμενος δοκιμάσαι τὴν σωφροσύνην τῆς ἑαυτοῦ γαμετῆςεἰ ἀπέλθῃ νυκτὸς πρὸς αὐτὴν ὡς ἀλλότριός τις ἁμαρτῆσαι θέλων, κἀκείνη κράζει καὶ τύπτει αὐτόν, χαίρει ἐκεῖνος ὅτι τὴν σωφροσύνην αὐτῆς ἐν ἀκριβείᾳ φυλάσσει· οὕτω μετὰ δοκιμασίας καὶ γνώσεως, μετὰ διακρίσεως καὶ αὐτοὺς τοὺς οὐρανίους προσδέχου. ἐὰν γὰρ ἀποβάλῃς αὐτοὺς τοὺς οὐρανίους διὰ τοὺς οὐχ οὐρανίους, χαίρουσι καὶ πλέον σοι διδόασιν οἱ τοῦ κυρίου μετασχεῖν τῆς χάριτος καὶ ἐμπλησθῆναι ἐν πνευματικῇ ἀπολαύσει διὰ τὴν πρὸς τὸν κύριον ἀγάπην. μὴ οὖν ταχὺ σεαυτὸν ἐπιδίδου ἐλαφρότητι φερόμενος, ἀλλὰ μένων βαρὺς καὶ μετὰ δοκιμασίας ἀκριβοῦς τὸ καλὸν κατέχων τὸ 2.10.3 πονηρὸν ἀπόθου. εἰ γὰρ ἔχεις ἀγαπητὸν φίλον, ἔστι δέ τις ἐχθρὸς αὐτοῦ εἰς πρόσωπον τοῦ φίλου συνερχόμενοςκαὶ δέξῃ τὸν ἐχθρὸν ὡς φίλον, ὑβρίζεις σου τὸν φίλον, ὅτι τὸν ἐχθρὸν αὐτοῦ δεξιοῦσαι. 2.10.4 Ὀφείλεις οὖν δοκιμάζειν καὶ διακρίνειν, καὶ τότε ἐμπιστεύειν. τῆς δὲ χάριτος φανερά ἐστι τὰ ἐνεργήματα, ἅπερ ἡ ἁμαρτία κἂν μετασχηματίζηται εἰς πρόσωπον ἀγαθόν, παρασχεῖν οὐ δύναται. οἶδε, γάρ φησι, ὁ σατανᾶς καὶ εἰς ἄγγελον φωτὸς μετασχηματισθῆναι, δηλονότι πρὸς τὸ ἀπατῆσαι. ἀλλὰ κἂν εἰς ὁράσεις λαμπρὰς μετασχηματιζόμενος φαντάζῃ τὴν ψυχὴν βουλόμενος πλανῆσαι, ἐνέργειαν ἀγαθὴν παρασχεῖν οὐ δύναται, δι' ἧς ἀκριβῶς γνωρίζεται. οὔτε γὰρ ἀγάπην εἰς θεὸν καὶ εἰς τοὺς ἀδελφοὺς ἐνεργῆσαι δύναται, εἰ μὴ τάχα τῦφον καὶ ὑψηλοφροσύνην, οὐ πραότητα, οὐκ ἐπιείκειαν, οὐ ταπείνωσιν, οὐ χαράν, οὐκ εἰρήνην, οὐ κατάστασιν λογισμῶν, οὐ μῖσος τοῦ κόσμου, οὐκ ἀνάπαυσιν πνευματικὴν εἰς θεόν, οὐκ ἐπιθυμίαν τῶν οὐρανίων ἀγαθῶν, οὐχ ἡδονὰς καὶ πάθη παύει ἅπερ ἐστὶ τῆς χάριτος ἐνεργήματα. «ὁ γὰρ καρπὸς τοῦ πνεύματός ἐστιν 2.10.5 ἀγάπη, χαρά, εἰρήνη» καὶ τὰ ἑξῆς. ἐκ τῆς ἐνεργείας οὖν γνώσῃ τὸ ἐλλαμφθὲν εἰς τὴν ψυχήν σου νοερὸν φῶς, εἰ τοῦ θεοῦ ἐστιν, ἢ τοῦ σατανᾶ ἐστιν. ἀλλὰ καὶ αὐτὴ ἡ ψυχὴ ἐὰν ἔχῃ διάκρισιν, εὐθέως ἐκ τῆς νοερᾶς αἰσθήσεως γινώσκει τὴν διαφοράν. ὥσπερ γὰρ ὅμοιον θρίδαξ πικρίδι ἢ ὄξος οἴνῳ ὅμοιον μὲν εἶναι τῇ ὁράσει δύναται, ἀλλ' ἐκ τῆς γεύσεως ὁ λάρυγξ γνωρίζει τὴν ἑκάστου διαφοράν, οὕτως ἡ ψυχὴ ἐκ τῆς αἰσθήσεως τῆς νοερᾶς καὶ τῆς ἐνεργείας γνωρίζει καὶ τὰ τοῦ πνεύματος χαρίσματα καὶ τὰ τοῦ σατανᾶ φαντάσματα. 2.11.1 Ἐρώτησις. Τί ἐστιν ὅτι «πᾶσα ἁμαρτία ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει»; Ἀπόκρισις. Δύο τρόπους ἔχει τὸ νόημα. ἕνα μὲν ὅτι ἡ γυνὴ τοῦ ἀνθρώπου σῶμα αὐτοῦ λέγεται· «ἔσονται, γάρ φησιν, οἱ δύο εἰς σάρκα μίαν». ἐπὰν οὖν τις πορνεύῃ, εἰς τὸ ἴδιον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σῶμα ἁμαρτάνει, τουτέστιν εἰς τὴν ἰδίαν αὐτοῦ γυναῖκα. ἕτερον δὲ τρόπον βαθύτερον εἰς τὸ πνευματικόν· τὸ σῶμά σου γὰρ ὁ κύριός ἐστιν, ὥς φησι Παῦλος· «ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ 2.11.2 μέρους». ὥσπερ γὰρ κατὰ τὸ σωματικὸν ἡ Εὔα ἐκ τοῦ Ἀδὰμ ἐλήφθη καὶ εἰ μὴ συνήφθη αὐτῇ ὁ Ἀδάμ, καρπὸν τεκνογονίας οὐκ ἐποίει, οὕτως ἐὰν μὴ διὰ τῆς χάριτος συναφθῇ ἡ ψυχὴ Χριστῷ ἐν τῇ κοινωνίᾳ τοῦ πνεύματος, καρποὺς πνευματικοὺς καὶ ἐπουρανίους τελείων ἀρετῶν οὐ δύναται ποιῆσαι «ἔσονται, γάρ φησιν, οἱ δύο εἰς σάρκα μίαν», καὶ ἐπάγει ὁ ἀπόστολος πνευματικῶς ἀλληγορῶν τὴν γραφήν· «τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν», ἥτις ἐστὶ ψυχαὶ ἁγίων. οὐκοῦν τὸ σῶμά σου ὁ κύριός ἐστιν. ἐὰν οὖν ἡ ψυχὴ κοινωνῇ ἀοράτως ἐν τοῖς διαλογισμοῖς διὰ τῶν κρυφίων παθῶν τῷ πονηρῷ ὥσπερ ἀλλοτρίῳ ἀνδρί, «εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει», τουτέστιν εἰς τὸν κύριον. 2.12.1 Ἐρώτησις. Διὰ τί ὁ ὄφις ὃν ἐσταύρωσε Μωϋσῆς ἐν τῇ ἐρήμῳ εἰς εἰκόνα καὶ τύπον τοῦ σωτῆρος κεῖται; φησὶ γὰρ ὁ κύριος· «ὥσπερ Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου». ἆρα ἕτερον ζῷον εἰς εἰκόνα καὶ τύπον τοῦ κυρίου τεθῆναι οὐκ ἐδύνατο, εἰ μὴ τὸ ἰοβόλον ἑρπετὸν ὁ ὄφις; Ἀπόκρισις. Εἰς μυστήριον μέγα κεῖται ὁ ὄφις τοῖς συνιέναι τὰ μυστήρια τοῦ θεοῦ δυναμένοις. καθ' ὅσον δὲ χωροῦμεν εἰπεῖν, οὐκ ἀποκνήσομεν. ἔχει ἐν ἑαυτῷ ὁ ὄφις φάρμακον, δι' οὗ θανατοῦνται οἱ δηχθέντες, καὶ ἔχει πάλιν φάρμακον ζωῆς, ἐξ οὗ μεταλαμβάνοντες οἱ δεδηγμένοι ζωοποιοῦνται, καταργουμένου ἐν αὐτοῖς τοῦ θανατικοῦ ἰοῦ διὰ τοῦ τῆς ζωῆς φαρμάκου. λέγουσι δὲ οἱ τούτων ἔμπειροι οὕτω δοκιμάζεσθαι τὰ ἀμφότερα φάρμακα ἐπὰν τὸ αἴτιον τῆς ζωῆς ἐγγίσῃ τῷ κράματι τοῦ θανατικοῦ φαρμάκου, εὐθέως διϋλίζεται καθ' ἑαυτὸν ὁ ἰὸς ἀπὸ τοῦ συγκραθέντος οἴνου ὥσπερ πλησσόμενος 2.12.2 καὶ ὑποχωρῶν τῷ τῆς ζωῆς φαρμάκῳ. οὕτως οὖν καὶ τοῦ ἀνθρώπου γεγονότος ὑπὸ τὸν θάνατον διὰ τῆς ἀρχῆθεν παραβάσεως ὁ θάνατος γέγονεν ἐν αὐτῷ πικρός. διὰ γὰρ τὴν τοῦ ἑνὸς παράβασιν συνεθανατώθη καὶ συνέπαθεν ὅλον τὸ τῶν ἀνθρώπων γένος. «ὥσπερ, γάρ φησι, δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον». συνεπικράνθη γὰρ ἡ ἀνθρωπότης καὶ ὡμοιώθη διὰ τῶν ἁμαρτημάτων καὶ τῶν παθῶν τῷ ἰῷ τοῦ νοητοῦ ὄφεως καὶ τῇ κακίᾳ, καὶ ὥσπερ ἀπεθηριώθη ὡς ὄφις γενόμενος ὁ 2.12.3 ἄνθρωπος, ἕρπων ἐν γηΐνοις λογισμοῖς καὶ πάθεσιν ἁμαρτιῶν. ὅτι γὰρ διὰ τῆς κακίας ὁ ἄνθρωπος τῷ ὄφει ἐξωμοιώθη, ἄκουσον ἐν τῷ εὐαγγελίῳ Ἰωάννου τοῦ βαπτιστοῦ λέγοντος πρὸς τοὺς ἐρχομένους βαπτισθῆναι ὑπ' αὐτοῦ· «ὄφεις, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας». θανατωθέντος οὖν τοῦ ἀνθρώπου καὶ ἀφομοιωθέντος τῷ θανάτῳ εὑρέθη ἐξ αὐτοῦ φάρμακον ζωῆς αὐτὸς ὁ κύριος, δι' οὗ θανατοῦται ὁ θάνατος καὶ καταργεῖται ὑπ' αὐτοῦ ὁ θανατικὸς ἰὸς τῶν παθῶν τῆς κακίας καὶ ζωοποιοῦνται οἱ ἄνθρωποι. 2.12.4 Εἰς τύπον οὖν τοῦ σώματος τοῦ κυρίου ἦν, εἰς ἔλεγχον Ἰουδαίων τῷ ἐσταυρωμένῳ πιστεύειν μὴ βουλομένων. βουλόμενος γὰρ ὁ μακάριος Μωϋσῆς τὸν χαμερπῆ νοῦν τοῦ λαοῦ εἰς τὸ ὕψος ἐπᾶραι καὶ διδάξαι αὐτοὺς ἄνω προσέχειν, τὸν χαλκοῦν ὄφιν κελεύσει θεοῦ ὑψωθῆναι ἐπὶ τοῦ ξύλου ἐποίησε καὶ οὕτως οἱ δακνόμενοι ὑπὸ τῶν ὄφεων τότε ἀνανεύοντες καὶ προσέχοντες τῷ χαλκῷ ὄφει πιστεύοντες ἐσῴζοντο κατὰ τὸ δεσποτικὸν τότε πρόσταγμα. μήπω γὰρ δυνάμενοι πιστεύειν εἰς θεὸν ὥσπερ ὡδηγοῦντο ἄνω βλέπειν καὶ πιστεύειν τῇ 2.12.5 δεσποτικῇ δυνάμει καὶ οὕτως ἰῶντο. ὅμως τύπος ἦν τοῦ κυρίου, ἵνα ὥσπερ ὁ λαὸς ὁ δακνόμενος ὑπὸ τῶν ὄφεων, ὃς ἐπίστευε τῷ νεκρῷ ὄφει ἐσῴζετοκατηργεῖτο γὰρ ὁ ἐν αὐτοῖς ἰὸς διὰ τῆς δυνάμεως τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ ἐν τῷ χαλκῷ ὄφει τότε κατασκηνούσης, οὕτως οἱ δεδηγμένοι ὑπὸ τῶν πνευματικῶν ὄφεων τῆς κακίας καὶ τῷ θανατικῷ ἰῷ τῶν παθῶν τετρωμένοι, ἵνα πρόσχωσι καὶ πιστεύσωσι νεκρῷ σώματι ἐσταυρωμένῳ καὶ οὕτως ἰαθῶσιν, ὅπερ ἐστὶν «Ἰουδαίοις σκάνδαλον, ἔθνεσι δὲ μωρία», τοῖς δὲ πιστεύουσι τῷ 2.12.6 ἐσταυρωμένῳ σώματι Χριστὸς δύναμις θεοῦ καὶ θεοῦ σοφία. ὥσπερ οὖν ἐκεῖ οἱ ζῶντες δεδηγμένοι νεκρῷ ὄφει πιστεύοντες ἐσῴζοντο, ἐνταῦθα οἱ ζῶντες δεδηγμένοι ὑπὸ τοῦ ὄφεως τοῦ διαβόλου καὶ τὸν ἰὸν τῆς κακίας νεμόμενον ὑπὸ τῶν παθῶν ἐν αὐτοῖς ἔχοντες νεκρῷ σώματι θεοποιηθέντι πιστεύοντες σῴζονται, καταργουμένου τοῦ ἐν αὐτοῖς τῶν παθῶν θανατικοῦ ἰοῦ. ἐξ αὐτοῦ γὰρ τοῦ θανατωθέντος Ἀδὰμ εὑρέθη ζωῆς φάρμακον τῷ ἀνθρώπῳ, ὅ ἐστι τὸ σῶμα κυρίου, δι' οὗ πᾶς ἰὸς ἁμαρτίας ἀπὸ τῶν πιστευόντων καταργεῖται. ἅμα δὲ καὶ Ἰουδαίους ἐνταῦθα ὁ λόγος ἀπελέγχει, ὅτι εἰ ἐκεῖνοι νεκρῷ ὄφει χαλκῷ πιστεύοντες ἐσῴζοντο, διὰ τί οὗτοι ἐσταυρωμένῳ σώματι ἀποθανόντι καὶ 2.12.7 ἀναστάντι καὶ εἰς οὐρανοὺς ἀνελθόντι οὐ πιστεύωσιν, ἵνα ζήσωσι; τύπος οὖν καὶ μυστήριον ὁ ὄφις ὃν ἐσταύρωσε Μωϋσῆς ζωῆς καὶ θανάτου, τουτέστι τῆς ἁμαρτίας καὶ τοῦ κυρίου. ἔχει δὲ καὶ ἕτερον νοῦν τὸ περὶ τοῦ ὄφεως μυστήριον. ὥσπερ ὁ διάβολος ἐν ἀρχῇ φθόνῳ καὶ κακουργίᾳ χρησάμενος διὰ ξύλου καὶ ὄφεως τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἀπατήσας ἐκβληθῆναι τοῦ παραδείσου κατεσκεύασε καὶ ἐκ τῆς προτέρας καθαρότητος καὶ δόξης εἰς πάθη πικρὰ καὶ θάνατον αὐτοὺς κατήνεγκε, καὶ λοιπὸν ἀπ' αὐτῶν πᾶν τὸ γένος τῆς ἀνθρωπότητος ὑποχείριον λαβὼν εἰς πᾶσαν ἁμαρτίαν καὶ πάθη μιαρὰ ἐξεπλάνησεδι' ἧς καὶ ἡ κτίσις πᾶσα μιαινομένη διὰ τῆς εἰδωλολατρείας καὶ δαίμοσι προσφερομένη ἐστέναζε πικρῶς, τὸν αὐτὸν τρόπον τῇ ἀνεκδιηγήτῳ σοφίᾳ ὁ θεὸς τῆς ἀνθρωπότητος πρόνοιαν ποιούμενος τὸν θεράποντα Μωϋσῆν εἰς λύτρωσιν τοῦ λαοῦ ἐξαπέστειλε διὰ ξύλου τῆς ῥάβδου, ἥτις καὶ εἰς ὄφιν μεταβαλλομένη τὰς τῶν μάγων ῥάβδους εἰς ὄφεις μεταβληθείσας κατέπινε, δι' ἧς καὶ λύτρωσιν τῷ λαῷ ἐξειργάζετο, δι' ἧς καὶ τὰ σημεῖα ὁ θεὸς ἐν Αἰγύπτῳ ἐποίησε, δι' ἧς καὶ 2.12.8 ἡ θάλασσα διερρήγνυτο. ὁμοίως δὲ καὶ ἐν τῇ ἐρήμῳ, ὡς προείρηται, διὰ χαλκοῦ ὄφεως ὑψουμένου ἐπὶ ξύλου ζωὴν ἐν τῷ λαῷ τοῖς πιστεύουσιν ὁ θεὸς ἐχαρίζετο, ἵνα δι' ὧν ὁ διάβολος ἐν ἀρχῇ θάνατον καὶ αἰχμαλωσίαν ἐξειργάσατο, διὰ τούτων ὁ κύριος ζωὴν καὶ λύτρωσιν οἰκονομήσῃ. διὰ γὰρ ξύλου καὶ ὄφεως, γυναικός τε καὶ ἀνθρώπου ὁ θάνατος καὶ τὰ πάθη τῆς ἁμαρτίας τῇ ἀνθρωπότητι ἐπηνέχθη. 2.12.9 Διὰ οὖν Μωϋσέως τὸ ἥμισυ τῆς θεοσεβείας κατωρθώθη καὶ τὸ ἥμισυ τοῦ πάθους ἰάθη διὰ ξύλου καὶ ὄφεως, καθὼς προείρηται· «οὐδὲν γὰρ ἐτελείου ὁ νόμος», ἐπὶ δὲ τῆς παρουσίας τοῦ σωτῆρος τὸ πᾶν μυστήριον ἐπληρώθη καὶ ἡ τελεία κατόρθωσις τῇ ψυχῇ ἐτελέσθη διὰ Μαρίαςἥτις ἀντὶ Εὔας λαμβάνεται Ζωήτῷ κόσμῳ τὸν σωτῆρα τεκούσης, τὸν δεύτερον Ἀδάμ, ὃς ὑπὲρ τῆς σωτηρίας τῶν ἀνθρώπων ἑαυτὸν εἰς θάνατον ἔδωκε. «παρεδόθη, γάρ φησι, διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαιοσύνην ἡμῶν», καὶ πάλιν ὅτι «εἷς ὑπὲρ πάντων ἀπέθανεν», ἵνα οἱ εἰς αὐτὸν πιστεύοντες λυτρωθῶσι καὶ ζωοποιηθῶσιν ἀπὸ τῆς τοῦ Ἀδὰμ γενομένης τῶν παθῶν καὶ τοῦ θανάτου τῷ κόσμῳ καταδίκης, καὶ οἱ δεδηγμέμοι ὑπὸ τῶν νοητῶν ὄφεων τῆς κακίας εἰς αὐτὸν ἀτενίζοντες διὰ τῆς πίστεως ζῶσι ζωὴν αἰώνιον, παντὸς θανατικοῦ ἰοῦ 2.12.10 παθῶν διὰ τῆς δυνάμεως τοῦ κυρίου καταργουμένου ἐν αὐτοῖς. ἀλλὰ καὶ πᾶσα ἡ κτίσις ἐλευθερωθεῖσα διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἠγαλλιάσατο. «ἁγιάζεται γὰρ πάντα διὰ λόγου θεοῦ καὶ ἐντεύξεως», ὡς γέγραπται· τὰ γὰρ προχωροῦντα τὸ πρὶν τοῖς δαίμοσιν εἰς ναοὺς τῶν εἰδώλων, λέγω δὴ λίθοι καὶ ξύλα καὶ καρποὶ τῆς γῆς καὶ ἃ εἰς προσφορὰς τοῖς εἰδώλοις προσεκομίζετο, νῦν ἐν ὀνόματι κυρίου εἰς ἐκκλησίας καὶ θυσιαστήρια καὶ προσφορὰς πνευματικὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁγιαζόμενα προχωροῦσι. δι' ὧν οὖν ὁ διάβολος ἐν ἀρχῇ ἐμίανε καὶ θάνατον τῷ κόσμῳ ἐξειργάσατο, διὰ τούτων ὁ κύριος καθαρισμὸν καὶ ζωὴν τῷ κόσμῳ ᾠκονόμησεν ἀναλύων πάσας τὰς ἐκείνου μηχανάς. 2.12.11 Εἰσὶ καὶ λίθοι τίμιοι εἰς μυστήριον κείμενοι, ἐν οἷς ὁ λεγόμενος μαγνίτης. οὗτος διὰ τῆς ἑαυτοῦ σκιᾶς σίδηρον ἁρπάζει, καὶ διήκουσα ἡ δύναμις τοῦ λίθου διὰ τοῦ σιδήρου ἄλλον ἁρπάζει σίδηρον καὶ πάλιν δι' ἐκείνου ἕτερον, εἰς τύπον τῶν τιμίων καὶ ἁγίων λίθων τῶν μελλόντων κυλίεσθαι ἐπὶ τῆς γῆς, ὡς ὁ προφήτης εἶπεν· «ὅτι λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς», ἤτοι ὁ πρωτότυπος, ὁ ἀκρογωνιαῖος καὶ τίμιος λίθος ὁ κύριος καὶ οἱ ἅγιοι ἀπόστολοι. καὶ γὰρ ἡ σκιὰ Πέτρου νεκρὸν ἤγειρε καὶ τοῦ κυρίου τὸ δι' ἡμᾶς νεκρωθὲν σῶμα ἐπισκιάσαν εἰς τοὺς νεκροὺς ἱκανοὺς ἤγειρε. κατελθὼν γὰρ εἰς τὸν ᾅδην πολλοὺς ἀνήγαγε· 2.12.12 «πολλά, γάρ φησι, σώματα τῶν κεκοιμημένων ἁγίων ἀνέστη». καὶ νῦν δὲ κατὰ τὸ κρυπτὸν ἐν ἑκάστῃ ψυχῇ πιστῇ ἐπισκιάζουσα ἡ δύναμις τοῦ σώματος ἐκείνου ἐγείρει αὐτὴν ἐκ τῆς νεκρότητος τῶν παθῶν καὶ ἐν τῇ ἀναστάσει δὲ τῶν νεκρῶν ἐκείνου τοῦ σώματος ἐν δόξῃ πολλῇ ἐρχομένου πάλιν καὶ αὐτὰ τὰ σώματα πάσης τῆς ἀνθρωπότητος διὰ τῆς δυνάμεως αὐτοῦ ἀναστήσονται, «ἵνα κομίσηται ἕκαστος, ὃ διὰ τοῦ σώματος ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν». 2.12.13 οὗτος οὖν ὁ λίθος πέτρα ὠνομάσθη πολλὰ ποιοῦσα θαυμάσια τοῖς Ἰσραηλίταις. φησὶ γάρ· «ἔπινον ἐκ πνευματικῆς ἀκολουθούσης αὐτοῖς πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός». ἡ πέτρα οὖν αὐτοῖς ἠκολούθει, δι' ἧς καὶ τὰ ὕδατα ἐξεπορεύετο, καὶ αὕτη διεῖλε τὴν θάλασσαν, αὕτη ἐγένετο στύλος νεφέλης ἡμέρας καὶ στύλος πυρὸς νυκτός, αὕτη ἔφερεν ἀπὸ οὐρανοῦ τὸ μάννα τοῖς Ἰσραηλίταις, αὕτη ὡδήγει αὐτοὺς καὶ πάντα τὰ εὐεργετήματα παρεῖχεν αὐτοῖς, ἥτις ἦν ὁ Χριστός. 2.12.14 εἰς τοῦτο τὸ μέρος ἡ πέτρα εὐηργέτει, εἰς ἄλλο μέρος ῥάβδος, ὡς προείρηται, τῆς δυνάμεως τοῦ θεοῦ καὶ ἐν τῇ ῥάβδῳ καὶ ἐν τῇ πέτρᾳ κατασκηνούσης. ὅτε γὰρ ὤφθη ὁ θεὸς τῷ Μωϋσῇ ἐν τῇ ἐρήμῳ, "1πορεύθητί, φησι, πρὸς Φαραὼ καὶ εἶπον «ἐξαπόστειλον τὸν λαόν, ὅπως λατρεύσωσί μοι»."2 ὁ δὲ ἀπεκρίθη· "1βραδύγλωσσός, φησιν, εἰμὶ καὶ μογγιλάλος καὶ οὐ δύναμαι πορευθῆναι. οὐδεὶς γάρ μου ἀκούσεται."2 πείθει αὐτὸν ὁ θεός· "1πορεύου, ἐγὼ ἑτοιμάζομαι ἔμπροσθέν σου, ἵνα σου ἀκούσωσιν."2 εἶτα πληροφορεστέρως ἀποπείθει αὐτόν· «τί, φησιν, ἐν τῇ χειρί σου κρατεῖς; ὁ δὲ ἔφη· ῥάβδον. λέγει αὐτῷ ὁ θεός· ῥῖψον αὐτήν, καὶ ἔρριψε καὶ ἰδοὺ ἐγένετο ὄφις ἕρπων καὶ φοβηθεὶς Μωϋσῆς ἔφυγε. λέγει αὐτῷ ὁ θεός· μὴ φοβηθῇς, ἐπιλαβοῦ τῆς κέρκου καὶ ἐπιλαβομένου ἐγένετο πάλιν ῥάβδος». ὅρα θαυμάσια· ῥάβδον εἰς ὄφιν μεταβάλλει καὶ ὄφιν ῥάβδον ἀπερ2.12.15 γάζεταιΔόξα τῇ μεγαλωσύνῃ αὐτοῦπόσῳ μᾶλλον δύναται μεταστρέψαι καὶ μεταβάλαι ψυχὴν πιστεύουσαν ἐκ τῆς προτέρας προλήψεως κακῆς εἰς ἑτέραν κατάστασιν καὶ φύσιν ἀρετῆς θείαν; εἶτα ἡ ῥάβδος ἐκείνη, ὡς προείρηται, πάντα τὰ εὐεργετήματα τοῖς Ἰσραηλίταις παρεῖχεν, ἔτυπτε ῥάβδῳ τὰ ὕδατα καὶ μετέβαλεν αὐτὰ εἰς αἷμα, ἐπῆρεν εἰς οὐρανὸν τὴν χεῖρα καὶ ἤνεγκε σκνῖπα καὶ κυνόμυιαν. «ἔλαβεν αἰθάλην καὶ ἔρριψεν εἰς τὸν οὐρανόν, καὶ ἐγένοντο φλυκτίδες». πάλιν ἐπῆρε τὴν χεῖρα εἰς τὸν ποταμόν, καὶ ἀποκατεστάθη τὸ 2.12.16 ὕδωρ εἰς τὴν ἀρχαίαν φύσιν. εἰ ῥάβδος μεταβάλλει τὰ ὕδατα ἐκ τῆς ἀρχαίας φύσεως, πόσῳ μᾶλλον ὁ κύριος μεταβαλεῖ τὴν εἰς αὐτὸν ἐλπίζουσαν ψυχὴν εἰς τὴν ἀγάπην τοῦ πνεύματος ἐκ τῆς πικρᾶς τῶν παθῶν καταστάσεως. καὶ εἰ τὴν ῥάβδον Μωϋσέως ἰδοῦσα γῆ Αἰγύπτου ἐτρόμαξε, πόσῳ μᾶλλον, εἰ τὸ τοῦ θεοῦ πνεῦμα ἐπισκιάσει πιστῇ ψυχῇ, τρομάξει φόβῳ ἡ γῆ τῆς νοητῆς Αἰγύπτου τῶν παθῶν τῆς ἁμαρτίας; ἡ γὰρ ῥάβδος καὶ ἡ πέτρα μεγάλην ἑορτὴν τοῖς Ἰσραηλίταις παρεῖχε καὶ ὥσπερ εἰς παστόν τινα καὶ νυμφῶνα ἔθαλπον αὐτούς. στῦλος γὰρ πυρὸς προηγούμενος κατηύγαζε καὶ στῦλος νεφέλης ἄνωθεν ἐπεσκίαζε, μάννα ἐξ οὐρανοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὠμβρεῖτο, «τὰ ὄρη ἐσκίρτων ὡς κριοί, οἱ βουνοὶ ἥλλοντο ὡς ἀρνία προβάτων», θάλασσα ἰδοῦσα ἔφυγε σχιζομένη, Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. αὕτη ἡ πέτρα καὶ ποταμοὺς ἐξομβρεῖ εἰς τύπον τοῦ 2.12.17 κυρίου, ἀφ' οὗ ποταμοὶ πνευματικοὶ ἔμελλον ἐκπορεύεσθαι. καὶ νῦν δέ, εἴ τις πιστεύων κτήσεται τὴν ἀληθινὴν καὶ πνευματικὴν πέτραν καὶ ῥάβδον τῆς δυνάμεως αὐτοῦ ἐν τῇ ἑαυτοῦ ψυχῇ, πᾶσαν εὐεργεσίαν ἄρρητον καὶ πᾶσαν ἀπόλαυσιν ἄφθαρτον ἐν ἑαυτῷ ἐν πληροφορίᾳ εὑρήσει. 2.12.18 Σπουδάσωμεν τοίνυν, ἀδελφοί, ὅλοι ὅλους ἑαυτοὺς τῷ κυρίῳ ἀποδοῦναι, παντὸς γηΐνου περισπασμοῦ καὶ πάσης ἐπιθυμίας ἑαυτοὺς αἴροντες, καὶ εἰς τὴν πρὸς αὐτὸν εὐαρέστησιν καὶ λατρείαν ψυχήν τε καὶ σῶμα τελείως ἀφιερώσωμεν, ἵνα τῆς οὐρανίου δωρεᾶς τοῦ πνεύματος ἐντεῦθεν καταξιωθέντες καὶ δι' αὐτοῦ πάσης κακίας τὴν λύτρωσιν λαβόντες καὶ τελείως ἁγιασθέντες καὶ ἄμωμοι διὰ τῆς χάριτος ἀποκατασταθέντες, τῆς αἰωνίου ζωῆς κληρονόμοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ καὶ προσκυνητῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

3.τ.1 ΛΟΓΟΣ Γ΄.

3.1.1 Ἡ ψυχὴ διὰ τὴν παρακοὴν μακρὰν ἀπέστη ἀπὸ τοῦ θεοῦ. ὥσπερ γὰρ τὰ θηρία φεύγουσι τὸ τῆς ἡμέρας φῶς καὶ δύνουσιν εἰς τὰς ὕλας τῆς ἐρήμου, οὕτω καὶ ἡ ψυχὴ ἀποστραφεῖσα ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἰδίῳ θελήματι ἐνέδυ εἰς τὸν αἰῶνα τοῦτον, ὅπερ ἐστὶν ὕλη καὶ ἐρημία καὶ νὺξ καὶ φαντασία τῇ 3.1.2 ψυχῇ. ἠγάπησε γὰρ σκότος ἐγκαταλιποῦσα τὸ φῶς, ἀπέστη ἀπὸ τῆς ζωῆς καὶ ἠγάπησε θάνατον, κατέλιπε πηγὴν ζωῆς καὶ ἠγάπησε πηγὴν σκότους καὶ θανάτου, ἀπεδύσατο πίστιν καὶ ἀγάπην καὶ πραότητα καὶ ὑπομονήνοὐ γὰρ ἐνέμεινεν ἐν τῷ λόγῳκαὶ ἐνεδύσατο ἀπιστίαν καὶ ὀργὴν καὶ θυμόν, κακίαν τε καὶ ζῆλον καὶ αὐθάδειαν καὶ συμπλοκὴν πονηρὰν περιεβάλετο ὡς ἱμάτιον ἰδίῳ θελήματι ἡ ψυχή. διὸ παρήκουσε τῆς πρώτης φωτεινῆς τε καὶ ἑδραίας φωνῆς καὶ ὑπήκουσε δευτέρας τῆς μὴ ἑδραίας καὶ σκοτεινῆς φωνῆς, καὶ οὕτως ἰδίῳ θελήματι ἐγκαταλιποῦσα τὸν ἔνδοξον καὶ ἀπέραντον αἰῶνα, ἠγάπησε τὸν νῦν αἰῶνα καὶ ἐσκόρπισεν ἑαυτὴν ἡ ψυχὴ ἐπὶ πᾶσαν τὴν γῆν 3.1.3 ταύτην. οἱ οὖν ἀπ' ἀρχῆς προφῆται καὶ δίκαιοι ἐβιάζοντο συναγαγεῖν τὴν σκορπισθεῖσαν ψυχὴν καὶ τελείαν αὐτὴν παραστῆσαι, καὶ οὐκ ἠδυνήθησαν. ὁ δὲ ἀγαθὸς καὶ φιλάνθρωπος δεσπότης ὁ τὰ πάντα περιέχων τῇ ἑαυτοῦ βουλῇ, λόγος ζῶν, θεὸς ἀληθινὸς πρὸ αἰώνων. φησὶ γάρ· «οὗτος ὁ λόγος ἀληθῶς σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν», ὅς ἐστι κύριος ἡμῶν Ἰησοῦς Χριστός. οὗτος ὁ λόγος ἐστὶν ἐν μέσῳ ἡμῶν ὡς θηρευτὴς θήραν ἀγρεύων, καὶ οὗτος τὴν σκορπισθεῖσαν ψυχὴν ἐκ τοῦ αἰῶνος τούτου συνέλεξε καὶ ἀπειργάσατο ταύτην 3.1.4 τελείαν τε καὶ ἄσπιλον καὶ ἄμωμον. ἐλθούσης οὖν τῆς χάριτος καὶ ὑπόδειγμα καὶ τύπον λαβόντες τοῦ λόγου ἀγρεύσωμεν καὶ συναγάγωμεν τὰς ἑαυτῶν καρδίας διὰ τῆς ἐπιφανείας τοῦ λόγου ἀκτήμονές τε γενόμενοι καὶ μηδὲν κεκτημένοι τοῦ αἰῶνος τούτου ἑτοιμάσωμεν τὰς ἑαυτῶν καρδίας, καθὼς τὸ πνεῦμα διδάσκει ἡμᾶς διὰ τοῦ Δαβίδ· «ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ σοι. ἐξεγέρθητι ἡ δόξα μου». 3.1.5 Ὥσπερ γάρ τις ἐγκατάκλειστος γενόμενος ἐν σκοτεινῷ οἴκῳ οὐ θεωρεῖ τὸ ἑαυτοῦ σῶμα, οὕτω καὶ ἡ ψυχὴ διὰ τὴν παρακοὴν ὑπὸ τῆς ἁμαρτίας κατάκλειστος γενομένη εἰς τὸν αἰῶνα τοῦτον οὐκ ἐπιγινώσκει τὸ ἑαυτῆς κάλλος. πότε οὖν ἡ καρδία ἑτοιμάσει ἑαυτὴν καὶ μετὰ παρρησίας λαλήσει πρὸς τὸν θεόν· «ἑτοίμη ἡ καρδία μου, ὁ θεός, ἑτοίμη ἡ καρδία μου. ἐξεγέρθητι ἡ δόξα μου», ἵνα ἐλθὼν ὁ 3.1.6 ζῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

λόγος ἐμφανίσῃ αὐτῇ τὴν ἑαυτοῦ δόξαν. ἐπεὶ οὖν ἡ ψυχὴ ἰδίῳ θελήματι ἐξέδωκεν ἑαυτὴν πνεύμασι τῆς πονηρίας, ὁδηγεῖται ὑπ' αὐτῶν καὶ κινεῖται ἐν αὐτῇ πάθη ἀσωτίαςλέγω δὴ τὸ πνεῦμα τῆς γαστριμαργίαςἐμποιεῖ πολυποσίαν τε καὶ πολυβρωσίαν τρυφήν τε καὶ σπατάλην, ὑποτίθεται δὲ τῇ ψυχῇ μακροὺς χρόνους, ὥστε αὐτὴν συναγαγεῖν χρήματα ἐν τῷ αἰῶνι τούτῳ, περισπῶν αὐτήν, ἵνα ἐν τῷ μέλλοντι αἰῶνι ἀναξίαν αὐτὴν ἐργάσηται. οὐ μόνον δὲ ἀλλὰ καὶ ἡ τρυφή τε καὶ σπατάλη, καθὼς προείπομεν, τὴν φιλαργυρίαν τε καὶ πλεονεξίαν καὶ λογισμοὺς ῥυπαροὺς ἐμποιεῖ, καὶ οὕτως ἕκαστον πνεῦμα τὸ 3.1.7 ἑαυτοῦ πάθος ἐγκινεῖ. ταῦτα οὖν γινώσκων ὁ τῆς ἀληθείας λόγος, ὁ κύριος ἡμῶν, ὃς ὑπέδειξεν ἡμῖν ὁδὸν διὰ τοῦ εὐαγγελίου φησί· «μὴ μεριμνήσητε περὶ τῆς αὔριον», καὶ διὰ τῆς ὑπομνήσεως ταύτης τοῦ μὴ μεριμνᾶν περὶ τῆς αὔριον τὴν ὑπόθεσιν τῶν πονηρῶν πνευμάτων ἀπελαύνει τοῦ μὴ προσέχειν βρώσει καὶ πόσει καὶ μὴ μεριμνᾶν χρόνους μακρούς, ἀλλ' ὡς διδάσκει ἡμᾶς ὁ ζῶν λόγος διὰ τοῦ εὐαγγελίου· «ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπειρεν ἐν τῷ ἰδίῳ ἀγρῷ». 3.1.8 Ὥσπερ γὰρ ὄρνεον ἱπτάμενον εἰς τὴν πεδιάδα γῆν διώκεται ὑπὸ τῶν πονηρῶν ὀρνέων, ὥστε τὸ ὄρνεον ἐκεῖνο διαιρεθῆναι καὶ βρωθῆναι ὑπ' αὐτῶν, ἐὰν δὲ περιβλέψηται τὸ ὄρνεον ἐκεῖνο εἴς τινα τόπον, ἐν ᾧ παμμέγεθες δένδρον ἐρρίζωται, καὶ καταφύγῃ εἰς αὐτό, ῥύεται ἀπὸ τῶν πονηρῶν ὀρνέων, οὕτως δὴ καὶ ἡ ψυχὴ ἐσκόρπισται ἐν τῷ αἰῶνι τούτῳ πετομένη ἀπὸ ἀνατολῶν εἰς δυσμὰς καὶ ἀπὸ ἄρκτου εἰς μεσημβρίαν διωκομένη ὑπὸ τῶν πονηρῶν πνευμάτων εἰς τὰ ἔργα τοῦ αἰῶνος τούτου. ὅτε δὲ κατανοήσει ἡ ψυχὴ τὸ δένδρον τῆς ἀληθείας καὶ ἐγκαταφεύξει εἰς αὐτὸ καὶ κατασκηνώσει ἐν τοῖς κλάδοις αὐτοῦ, ῥύεται ἀπὸ τῶν πονηρῶν πνευμάτων καὶ ἀδυνατοῦσιν εἰσελθεῖν εἰς αὐτήν, ἔξωθεν δὲ ἐπιθηρεύουσιν αὐτήν, πότε ἐξέλθῃ ἀπὸ τοῦ λόγου, καὶ κατισχύσουσιν αὐτῆς. ὅταν δὲ ἔλθῃ εἰς τοὺς κλάδους τοῦ λόγου ἡ ψυχή, ὑπομονῆς χρεία καὶ μακροθυμίας, ἕως οὗ διαβλέψωσιν οἱ τῆς ψυχῆς ὀφθαλμοὶ καὶ κατανοήσῃ τὸν καρπὸν καὶ μεταλάβῃ καὶ ἐμπλησθῇ, ἵνα μηκέτι ᾖ ἀνάγκη ἔξω τοῦ λόγου περιπατεῖν. 3.2.1 Πῶς δὲ κατανοήσωμεν τὴν ὁδὸν τοῦ λόγου; ὥσπερ τις ὁδεύων ἐν βασιλικῇ στράτᾳ πορεύεται ἐπὶ τὴν πόλιν, ἐν ᾗ ὁ βασιλεὺς κατοικεῖ, καὶ ἐναρξάμενος τῆς ὁδοῦ κατανοεῖ τὰ σημεῖα μηδαμοῦ παραφερόμενος εἰς ἕτερον τόπον καὶ οὐκ ἐκλυθεὶς χαυνώσει καὶ ἀμελήσει, μᾶλλον δὲ σπουδάζων κατανοήσει, πόσον διάστημα ἔχει ἕως τῆς πόλεωςἀπὸ γὰρ τῶν σημείων γνωρίζει τὸ διάστημα, οὕτω γνωρίσωμεν τὴν ὁδὸν τοῦ πνεύματος, καθὼς ὑπέδειξεν ἡμῖν ὁ σωτήρ. 3.2.2 ὁ οὖν πλανώμενος ἐν τῷ αἰῶνι τούτῳ ὡς ἐν τῇ ὕλῃ τῆς ἐρήμου πλανᾶται καὶ ἐν ταῖς πέτραις ἀνοδίᾳ βαδίζων καταπατεῖ ἀκάνθας καὶ τριβόλους. ὅταν δὲ ἔλθῃ ἐπὶ τὴν ὁδὸν τοῦ λόγου, βλέπει τὸ σημεῖον καὶ κατανοεῖ τὸν λόγον, εἶτ' οὖν τὸν τόπον εἰς ὃν ἔφθασεν ἐν τῇ ὁδῷ τῆς ἀληθείας. τὸ δὲ πρῶτον σημεῖον ἐν τῇ ὁδῷ τοῦ λόγου φησί· «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν». μακαρίζει τοὺς πτωχοὺς τῷ πνεύματι, οἵτινες τῷ πνεύματι τοῦ νῦν αἰῶνος πτωχεύουσι μηδὲν κεκτημένοι ἀπ' αὐτοῦ, πλούσιοι δὲ κατὰ μέρος ἐν πνεύματι τῆς ἀληθείας καὶ ἀκόρεστοι τυγχάνουσιν ὡς μηδὲν 3.2.3 κεκτημένοι, ἕως οὗ καταλάβωσι τὸ τέλειον. κατανοείτω οὖν ἡ ψυχὴ ἐν τῇ ὁδῷ τῆς ἀληθείας, εἰ ἤγγισεν ἐπὶ τὸ σημεῖον τοῦτο· οὕτω γὰρ προκόπτει καὶ ὁδεύει ἐπὶ τὸ ἔμπροσθεν σημεῖον. φήσι γάρ· «μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται». οὐκ ἐπὶ τῇ τῶν σαρκικῶν ἐξελεύσει μακαρίζει τοὺς πενθοῦντας ἐπὶ γονέων ἢ τέκνων ἢ ἀνδρὸς ἢ γυναικός, ἀλλὰ τὸν κατανοήσαντα, πόθεν ἐστὶ καὶ ὅτι ζωῆς ἀθανάτου ἐκοινώνησεν. εἰσελθὼν εἰς τὰς ἐντολὰς τοῦ κυρίου καὶ βαδίζων ἐν τῇ ὁδῷ τῆς ἀληθείας ἔχει πάλην πρὸς τὰ πνευματικὰ τῆς πονηρίας· οὗ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πενθεῖ δὲ ἡ ψυχή, μή ποτε ἡττηθεῖσα πάλιν ἀποθάνῃ, καὶ οὕτω προκόπτει ἐν τῇ ὁδῷ. πενθικὴ δέ ἐστιν μὴ ἐπιδεχομένη δόξαν καὶ ἀγαλλίασιν τοῦ αἰῶνος τούτου, ἀλλὰ προβλέπει τὴν δόξαν τοῦ πρώτου ἀνθρώπου τὴν πρὸ τῆς παρακοῆς, καὶ οὕτως ἐν πένθει οὖσα, πότε καταλάβῃ τὴν δόξαν ἐκείνην, ἐκεῖ ἐμμένει οὕτως, ἕως οὗ ἔλθῃ ὁ παράκλητος, καὶ παρακληθήσεται ὑπ' αὐτοῦ. 3.2.4 «Μακάριοι οἱ πραεῖς ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν». ἐπειδὴ διὰ τὴν παρακοὴν ἰδίῳ θελήματι τὴν γῆν τῆς καρδίας ἔδωκε τῷ ἀντιδίκῳ καὶ κολακευτικῷ τρόπῳ δουλεύει ἡ ψυχὴ τῇ ἁμαρτίᾳ, μὴ ἔχουσα ἐξουσίαν τῆς ἑαυτῆς οὐσίας καὶ μὴ δυναμένη καθ' ἑαυτὴν ἐκδιῶξαι τὸν ἀντίδικον, πορεύεται πράως πρὸς τὸν νομοθέτην τοῦ πνεύματος, μαστιζομένη δὲ ὑπὸ τοῦ ἀντιδίκου καὶ μὴ ὑπακούουσα αὐτοῦ ἀποβλέπει πρὸς τὸν νομοθέτην καὶ διὰ πολλῶν θλίψεων μακροθυμεῖ καὶ ὑπομένει, καὶ ἀπεκδέχεται, πότε ὁ νομοθέτης Χριστὸς ἐγγράψει τὸν νόμον τοῦ πνεύματος εἰς τὴν πρᾶον καὶ ἡσύχιον καρδίαν τότε ἐκδιώκεται ὁ ἀντίδικος, καὶ ἀπολαμβάνει ἡ ψυχὴ τὴν ἑαυτῆς γῆν. τοιούτους πραεῖς μακαρίζει ὁ σωτήρ, καὶ κληρονομοῦσι τὴν γῆν τῆς καρδίας. τοιαύτη καρδία μετὰ αἴνου δοξάζει τὸν νομοθέτην ῥυόμενον πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν. 3.2.5 «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται». ὁ πεινῶν καὶ διψῶν τὴν δικαιοσύνην οὐκ ἀκηδιᾷ, οὐ ῥέμβεται, οὐ περιβλέπεται ἔξω ὁ νοῦς αὐτοῦ, ἀλλὰ προσέχει τῷ λόγῳ τῆς ἀληθείας καὶ ἐστηριγμένη καὶ τεθεμελιωμένη καὶ ἑδραίᾳ τῇ πίστει ἀπεκδέχεται τὸν λόγον, ὅς ἐστιν ἄρτος ζωῆς. 3.2.6 «Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται». ὁ μὴ ἐλεῶν ἑαυτὸν ἕτερον οὐ δύναται ἐλεῆσαι, ὁ δὲ ἀπεχόμενος ἀπὸ τῶν ἡδονῶν τοῦ αἰῶνος τούτου προπορεύεται διὰ τῆς ὁδοῦ εἰς τὴν μονὴν τῶν ἁγίων. ἡ τοιαύτη ψυχὴ ἐλεήμων τυγχάνει καὶ διὰ τῆς ἐνδόξου αὐτῆς πολιτείας ἐλεεῖ τὸν πλησίον, τύπος αὐτῷ γινομένη. 3.2.7 «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται». ἡ τοιαύτη καρδία θεωρεῖ ἐν αὐτῇ τόν τε πρῶτον λόγον καὶ τὸν δεύτερον καὶ μαστιζομένη ὑπὸ τοῦ δευτέρου λόγου οὐχ ὑποτάσσεται αὐτῷ, βιαζομένη δὲ ὑπὸ τοῦ πρώτου τὸν δεύτερον καταλείπει, καὶ οὕτως ἰδὼν ὁ λόγος τὸν ἀγῶνα τῆς ψυχῆς ἀνατέλλει εἰς αὐτὴν τὸν φωτισμὸν τοῦ εὐαγγελίου καὶ ἀπελαύνει πᾶσαν ἐμφάνειαν πονηρὰν ἀπ' αὐτῆς. τότε καταξιοῦται ἡ ψυχὴ μεταλαβεῖν τῶν καρπῶν τοῦ 3.2.8 δένδρου τῆς ζωῆς, ὅ ἐστιν ὁ λόγος τῆς ἀληθείας. τοιαύτη καρδία ναὸς τοῦ θεοῦ καταξιοῦται γενέσθαι καὶ οἰκητήριον πνεύματος. τοιαύτη καρδία ἀπεκδέχεται τὸν ἔνδοξον καὶ ἐπουράνιον θησαυρὸν ἐν ὀστρακίνοις σκεύεσι. τοιαύτη καρδία αὐτὸν τὸν θησαυροφύλακα Χριστὸν ἀπεκδέχεται καὶ ἔνδυμα δόξης ἄφθαρτον ἐνδιδύσκεται καὶ ἐν τοῖς ἀφθάρτοις δείπνοις ἀνακλίνεται μετὰ τῶν τελείων καὶ ἐν τῇ τῶν πρωτοτόκων ἐκκλησίᾳ λειτουργεῖ καὶ προσκυνεῖ τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. 3.2.9 Κατανοήσωμεν, ἀδελφοί, ἕκαστος τὴν ἑαυτοῦ καρδίαν, πόσον ὁδὸν διώδευσε καὶ πόσον διάστημα ἕως τῆς πόλεως ἔχει, μήποτε νομίζοντες ἐν τῇ ὁδῷ τῆς ἀληθείας περιπατεῖν καὶ κατανοοῦντες τὸ σεμνὸν ἔξωθεν σχῆμα καὶ εἰς τὸ ἔσωθεν μὴ ἐγκύψαντες εὑρεθείημεν ἐν ὕλῃ καὶ ἐρημίᾳ πελαζόμενοι, ὅ ἐστιν ὁ αἰὼν οὗτος, νὺξ καὶ φαντασία τῇ ψυχῇ. 3.3.1 Χρὴ οὖν προβλέπειν τὴν ψυχὴν τοῖς ἔσωθεν ὀφθαλμοῖς, μήποτε παγιδευθῇ ὑπὸ τῆς τοῦ ἀντικειμένου δυνάμεως. ὥσπερ γὰρ τὰ ζῷα παγιδεύονται καὶ θηρῶνται ὑπὸ τῶν θηρευτῶν, καὶ εἴ τι ἓν μέλος παγιδευθῇ, κάμπτεται ὅλον τὸ ζῷον καὶ μελίζεται ὑπὸ τῶν θηρευτῶν, οὕτω δὴ νοήσωμεν καὶ περὶ ψυχῆς, καθὼς τὸ πνεῦμα ἡμῖν δηλοῖ διὰ τοῦ προφήτου· «παγίδα ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου». πρῶτον γὰρ μέλος τι παγιδεύεται καὶ κατέχεται, καὶ οὕτως οἱ δαίμονες κάμπτουσι τὴν ψυχὴν εἰς τὰ ἑαυτῶν ἔργα καὶ διὰ τῶν ἡδονῶν τῆς βρώσεως περιποιεῖ ἡ ψυχὴ ὄγκον σώματος,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὅπερ ἐστὶ πῦρ 3.3.2 φλογιζόμενον. μνησθῶμεν οὖν τοῦ εἰπόντος ὅτι· «σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν». ὁ γὰρ βουλόμενος «εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι» οὐκ ἀγαπᾷ ὄγκον σώματος, ἀλλ' ἐνδυναμοῦται πνεύματι. πῶς δὲ δεῖ ἐνδυναμωθῆναι φησὶν ὁ ἀπόστολος· ἡ σοφία τοῦ θεοῦ μωρία ἐστὶ τοῖς ἀνθρώποις. δεῖ οὖν πρῶτον ταπεινωθῆναι καὶ ξένον γενέσθαι τοῦ αἰῶνος τούτου. ὁ γὰρ προφήτης δηλοῖ ἡμῖν· εἶδον τὸν υἱὸν τοῦ ἀνθρώπου καὶ «τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων». ἐλθὼν δὲ ὁ λόγος τοῦ θεοῦ καὶ ὁδὸς ἡμῖν γενόμενος καὶ πύλη τῆς ἄνω πόλεως, ὑπέδειξεν ἡμῖν ἐν ταπεινῇ καρδίᾳ ἐν τῷ αἰῶνι τούτῳ μωροὺς γενέσθαι. 3.3.3 Δεῖ οὖν τὸν βουλόμενον υἱὸν θεοῦ γενέσθαι κατανοῆσαι ἑαυτόν, εἴ ἐστι τὸ εἶδος ἑαυτοῦ «ἄτιμον, ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων», εἰ ἠτιμάσθη καὶ οὐκ ἐταράχθη, εἰ τὸν νῶτον ἑαυτοῦ ἔδωκεν εἰς μάστιγας καὶ τὸ πρόσωπον ἑαυτοῦ οὐκ ἀπέστρεψεν «ἀπὸ αἰσχύνης ἐμπτυσμάτων», μὴ ἀγαπῶν δόξαν, ἀλλὰ καὶ διδομένην ἀποβαλλόμενος, μὴ κάλλος τοῦ νῦν αἰῶνος, ἀλλὰ διωκόμενος καὶ μαστιζόμενος, ὑπὸ τῆς τοῦ ἀντικειμένου δυνάμεως ὀνειδιζόμενος καὶ ἐξουδενούμενος ὑπὸ πάντων, ἑαυτὸν ἐλάττονα ποιῶν καταπατούμενος ὑπὸ πάντων, ὡς μὴ ἔχων «ποῦ τὴν κεφαλὴν κλῖναι» καὶ ἀναπαυθῆναι, πολεμούμενος κρυπτῶς καὶ φανερῶς, ὁρατῶς καὶ ἀοράτως ἐν πολλῷ ἀγῶνι, ὑποφέρων τὸν κόπον, τῷ νοΐ ἀντιμαχόμενος καὶ προκόπτων, ἵνα ᾖ ἀληθῶς «υἱὸς ὑψίστου». ἐπὶ γῆς γὰρ περιπατοῦντος «τὸ πολίτευμα αὐτοῦ ἐν οὐρανοῖς ὑπάρχει», καὶ σοφὸς βιάζεται τῆς ἄνω πόλεως γενέσθαι. καὶ οὕτως ἰδὼν ὁ κύριος τὸν κόπον καὶ τὸν ἀγῶνα τῆς ψυχῆς ὅτι ἐστένωσεν ἑαυτὴν ἐν τῷ αἰῶνι τούτῳ, τότε ἐμφανίζεται ἐν τῇ καρδίᾳ αὐτοῦ ὁ εἰπών· «ἐνοικήσω καὶ ἐμπερι3.3.4 πατήσω ἐν ὑμῖν». τότε λαμβάνει δύναμιν καὶ ἴσχυν καὶ δεσμεύει τὸν ἰσχυρὸν καὶ τὰ σκεύη αὐτοῦ διαρπάζει καὶ τὰ σκῦλα ἐπαίρει τοῦ ἰσχυροῦ, ἅπερ εἰσὶν ὡς ἀμφιβλήστρῳ ἰχθύες κατεχόμεναι ψυχαὶ ὑπὸ τῆς ἁμαρτίας. ἡ τοιαύτη ψυχὴ «ἐπάνω σκορπίων καὶ ὄφεών» ἐστι, καταπατοῦσα «λέοντα καὶ δράκοντα», «ἐπὶ ἀσπίδα καὶ βασιλίσκον» ἐπιβαίνει, καὶ εἰς τὸν φωλεὸν τοῦ λέοντος εἰσελ3.3.5 θοῦσα αἰχμαλωτίζει τὰ τέκνα αὐτοῦ οὖσα ἐν πολλῇ δυνάμει. ὦ ψυχή, θεοῦ τίμιον σκεῦος, οἰκείᾳ βουλήσει ἀδοξίαν ἑαυτῇ καὶ ἀτιμίαν περιποιήσασα, ἥτις ὑπὸ σκοτεινῆς νεφέλης καταποθεῖσα εἰς βάθη θαλάσσης κατεβιβάσθης, ὑπὸ ὄφεων ἐμπαιζομένη καὶ βιβρωσκομένη ὡς ἰχθύδιον, ἐπίγνωθι σεαυτὴν ποῦ κατέχῃ, γνώρισον πόθεν ἦλθες. ἰδοὺ ὁ ἀληθὴς λόγος ὡς ἀμφίβληστρον ἐλθών σε ἀνεβίβασεν ὡς σκεῦος τοῦ μεγάλου βασιλέως. ναὸς θεοῦ προσαγορευθεῖσα φωλεὸς ὄφεων ἐγένου. 3.3.6 Ὥσπερ οὖν κεραμεὺς τίμιον σκεῦος ἔπλασεν εἰς χρῆσιν ἰδίαν, ὄφις δὲ εἰσῆλθεν ἕρπων εἰς τὸ σκεῦος, οὕτω δὴ γνῶθι σεαυτόν, ὦ ἄνθρωπε, σκεῦος τοῦ μεγάλου βασιλέως ὑπάρχων καὶ ὑπ' αὐτοῦ τετιμημένος, λαβὼν τὸ αὐτεξούσιον σῷ θελήματι ἐπεδέξω τὸν ἐχθρόν, φωλεὸς ὄφεως γενόμενος. ὁ δὲ θεὸς ἀγαθὸς ὢν καὶ φιλάνθρωπος δεσπότης πολλὴν εὐσπλαγχνίαν ποιησάμενος τῷ πλάσματι δι' ἑαυτοῦ ἐλθὼν ἐλυτρώσατο αὐτό. 3.3.7 Καὶ ὥσπερ ὁ κεραμεὺς ἐπὶ ἄνθρακος πυρὸς πυρῶν τὸ ἀγγεῖον ποιεῖ ἐκπορεύεσθαι τὸ ζῷον, οὕτω δὴ καὶ ὁ λόγος τῆς ἀληθείας τῷ πλάσματι αὐτοῦ φησι· «πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη». πυρουμένης οὖν τῆς ψυχῆς σὺν τῷ σώματι ὑπὸ τοῦ λόγου ἐκδαπανᾶται ἡ ἁμαρτία· δεξαμένη γὰρ ἡ ψυχὴ τὸν λόγον ἐργάζεται ὑπὸ τοῦ λόγου. ψυχὴ δὲ ἐν ἀκηδίᾳ οὖσα ὑπὸ ἀπιστίας φρουρεῖται καὶ ὑπερτίθεται ἡμέραν καὶ ἡμέραν καὶ οὐ δέχεται τὸν λόγον, μακρὰν γενομένη ἀπ' αὐτοῦ, ὥστε ὑπὸ τῆς ἀκηδίας οὐδὲ τῆς φωνῆς τοῦ θεοῦ ἀκούει. ἀναπτεροῖ δὲ ἑαυτὴν ἡ ψυχὴ δι' ὀνείρων καὶ ἐναναπαύεται ἐνυπνίοις, μὴ κατανοήσασα τὸν ἔνδον πόλεμον, ὡς ἐν ἐπάρσει ὕπνων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενομένη καὶ εἰς οἴησιν ἐλθοῦσα· ἡ δὲ οἴησις κάλυμμά ἐστι ψυχῆς καὶ οὐ δύναται γνῶναι ἑαυτήν. ὢ φιλανθρωπίας τοῦ μεγάλου δεσπότου, «ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι» πολυμερῶς νύσσει τὴν ψυχήν, ἵνα ἐξυπνισθῇ. 3.3.8 Ὥσπερ γὰρ ὁ οἰκοδεσπότης ἔχων ἀμπελῶνα καὶ προσέρχεται ἀνθρώπῳ μισθῷ συλλαβεῖν αὐτὸν εἰς τὸν ἀμπελῶνα καὶ ὁ μὲν ἀμπελὼν αἱ ἐντολαί εἰσιν, ὁ δὲ λόγος ὡς οἰκοδεσπότης προσκαλεῖται τὸν ἄνθρωπον μισθῷ εἰς τὸν ἀμπελῶνα, ἵνα ἐργασάμενος τὰς ἐντολὰς ἐπιγνῶ ἑαυτὸν καὶ οὕτως ἡ ψυχὴ ἀναλαβοῦσα τὰς ἐντολὰς εἰς τὴν γῆν τῆς καρδίας ἐργάζεται τὴν γῆν, ἔχουσα καλὴν φυτείαν ἐν ἑαυτῇ καὶ πολὺν καρπὸν ἀναδείξας ὁ ἀμπελὼν ἁπλοῦται ἐν ταῖς ἐντολαῖς σκιαζόμενος ὑπ' αὐτῶν, ἵνα μὴ ὑπὸ τοῦ καύματος ἐκλείπῃ, λέγω δὴ ὑπὸ τῆς τοῦ ἀντικειμένου δυνάμεως. τότε ἡ ψυχὴ ἐν μεγάλῃ χαρᾷ γενομένη ἀπεκδέχεται τὸν οἰκοδεσπότην, πότε ἔλθῃ ὁ λόγος καὶ ἐπισκέψεται τὴν αὐτοῦ φυτείαν θάλλουσαν ἐν τῇ γῇ ἐκείνῃ. τότε ὁ οἰκοδεσπότης χαίρει ἐπὶ τῷ ἐργασαμένῳ τὸν ἀμπελῶνα. τότε ἡ ψυχὴ ἀναπαύεται ἐν τῷ λόγῳ. 3.3.9 Ἔκβαλε οὖν τὴν κρυφίαν πέτραν τὴν ἄκαρπον ἐκ τῆς γῆς τῆς καρδίας καὶ πᾶσαν τὴν λεπτολιθίαν, ἀνάλεξαι «ἀκάνθας τε καὶ τριβόλους» καὶ μὴ ἀκηδιάσῃς οὐ γὰρ μόνος ἐργάζῃ· ἔστι γὰρ θεία δύναμις ἔν σοι συνεργοῦσα. μὴ οὖν ἐκκακήσῃς καὶ ἀκηδιάσῃς σπεῦσον, ἵνα καταλάβῃς, ἵνα ἀναπαυθῇς ἐν τῷ λόγῳ καὶ θυγάτηρ ὑψίστου κληθήσῃ. φησὶ γάρ· "1ποῦ εἰσι τὰ τέκνα σου;"2 καὶ τί ἀπεκρίθη, φησίν, ἐν τῷ λόγῳ μου; μακάριοι οἱ ἀόκνῳ σπουδῇ τρέχοντες, ὅτι αὐτοὶ καταλαβόντες ἀναπαυθήσονται. οὐαὶ δὲ τῇ ψυχῇ ἐκείνῃ, ἥτινι οὐκ ἐμέλησε περὶ τῆς γῆς τῆς καρδίαςκαὶ οὐ παρεκάλησε τὸν οἰκοδεσπότην, ἵνα λάβῃ σφύραν καὶ μοχλοὺς σιδηροῦς, ἵνα ἐκβάλῃ τὴν κρυφίαν καὶ ἄκαρπον πέτρανοὔτε περὶ τῆς λεπτολιθίας ἐμέλησεν, ἀλλ' οὕτω χερσώδης ὑπάρχει ὁ πᾶς τόπος ὅλος ἔρημος. ὑπερτίθεται οὖν ἡμέραν καὶ ἡμέραν καὶ τὸ ἔξωθεν σχῆμα μόνον φυλάσσει μὴ ἀτενίσασα εἰς ἑαυτήν, ἀλλ' ἐν ὑψηλοφροσύνῃ καὶ κενοδοξίᾳ ἐστὶ «πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις». ἡ τοιαύτη ψυχὴ ἀπέχει τὸν μισθὸν αὐτῆς. 3.4.1 Τί δὲ ποιήσει, ὅταν ἀναλύσῃ ἐκ τοῦ σώματος, ὅταν ἑκάστη ψυχὴ ἀναδείξῃ τὸν ἑαυτῆς ἀμπελῶνα τῷ δεσπότῃ; τί εἴπῃ ἡ ψυχὴ ἐκείνη τὴν ἑαυτῆς γῆν ἔρημον καὶ χερσώδη καταλείψασα, ἄλλας δὲ ψυχὰς θεωροῦσα ὅτι εἰργάσαντο τὴν ἑαυτῶν γῆν καὶ ἐν πολλῇ δόξῃ ὑπάρχουσι. φησὶ γάρ· «λάμψει τὰ πρόσωπα αὐτῶν ὡς ὁ ἥλιος». ὅταν οὖν ἴδῃ ἡ ψυχὴ ἐκείνη τοιαύτην δόξαν ἑτέρων ψυχῶν, τότε νοήσει ὅτι ἐνεπαίχθη ὑπὸ τῆς ὑψηλοφροσύνης καὶ κενοδοξίας θεωροῦσα 3.4.2 ἑαυτὴν ἔρημον, μὴ ἐργασαμένην τὴν ἑαυτῆς γῆν. ἐὰν οὖν νοήσῃ ἡ ψυχὴ ἐκείνη, ἔτι ἐν τῷ σώματι οὖσα, ὅτι ἐμπαίζεται ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας, βοησάτω ἐξ ὅλης καρδίας πρὸς τὸν θεόν, εἰπάτω δέ· «ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. ταχὺ εἰσάκουσόν μου, κύριε, ἐξέλιπε τὸ πνεῦμά μου». ἐν πολλῇ γὰρ δυνάμει ἐστὶν ὁ ταπεινῶν ἑαυτόν, καθὼς λέγει· «καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενεῖ», καὶ ἔτι· «θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον». ἡ οὖν συντετριμμένη καὶ τεταπεινωμένη καρδία ἐν πολλῇ δυνάμει ἐστὶ τοῦ ἀντιστῆναι «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας» καὶ ἐκζητεῖν τὴν ἑαυτῆς οὐσίαν. μακάριοι οἱ σπουδῇ βαδίζοντες ἐν ταῖς ἐντολαῖς, ὅτι αὐτοὶ καταλάβωσι τὸ τέλειον. διὰ τοῦτο ὁ κύριος ἐφανερώθη, ἵνα ἡμεῖς πεισθῶμεν τῇ ἀληθείᾳ, καὶ κατέβη καὶ ἀνέβη, ἵνα ἡμεῖς ἀκολουθήσωμεν αὐτῷ, γενόμενος ὅ ἐσμεν κατ' οἰκονομίαν, ἵνα γενώμεθα ἡμεῖς ὅ ἐστιν. 3.4.3 Ὁ ἔνδοξος στρατιώτης ὁ μετὰ πολλῆς σπουδῆς καὶ εὐνοίας ἐκτελῶν τὸ διάταγμα τοῦ βασιλέως καὶ βουλόμενος πορευθῆναι εἰς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων καὶ ἀντιστῆναι καὶ πολεμῆσαι καὶ ἐκδιῶξαι καὶ ἐξολοθρεῦσαι τὰ ἔθνη, ἃ εἶπε κύριος ὁ θεός, ἵνα ἀπολάβῃ τὴν γῆν καὶ ἴδῃ τὴν αὐτοῦ δόξαν, ἣν καὶ ἐπηγγείλατο ὁ βασιλεὺς δοῦναι, «ἃ ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». ὁ τοιοῦτος ὡπλίσατο κατὰ τὸν ἀποστολικὸν λόγον «θώρακα δικαιοσύνης» ἐνδυσάμενος καὶ τὰ ἑξῆς, καὶ οὕτως ἐν καιρῷ πολέμου χαλιναγωγεῖ τὸν ἑαυτοῦ ἵππον, ἵνα κατὰ τὰ ἴχνη τοῦ νοῦ † βαδίζῃ ὁ ἵππος· εἰ δ' οὖν † τῇ ἑαυτοῦ ἀσυνεσίᾳ χρησάμενος ἁρπάζει τὸν ἐπάνω αὐτοῦ ἄοπλον ὄντα καὶ ἐν μέσῳ τῆς παρεμβολῆς τῶν ἀλλοφύλων ῥίπτει, τότε καταγελᾶται ὑπὸ τῶν ἀλλοφύλων, ὅτι ὁ ἔνδοξος στρατιώτης παρελήφθη ὑπ' αὐτῶν, καὶ 3.4.4 χρῶνται αὐτῷ κατὰ τὸν ἑαυτῶν νόμον. ἐπειδὴ οὖν ἡ ψυχὴ κυρία ἐστὶ τοῦ σώματος, ἔχει τὸ σῶμα ὥσπερ τὸν ἵππον, ἡ ψυχὴ χαλιναγωγεῖ τὸ σῶμα καὶ ὁδηγεῖ αὐτό, καθὼς ὁδηγεῖ τὸ πνεῦμα. ἐὰν δὲ καταληφθῇ ἡ ψυχὴ τῷ φρονήματι τῷ σαρκικῷ, κατὰ τὰ ἐπιτηδεύματα τῆς σαρκὸς πορεύεται. ταῖς τοιαύταις ψυχαῖς τὸ πνεῦμα παραγγέλλει διὰ τοῦ προφήτου· «μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὔκ ἐστι σύνεσις». ψυχὴ γὰρ σαρκικῷ φρονήματι συναπαγομένη ἵππος καὶ ἡμίονος τυγχάνει καὶ οὐκ ἔστιν ἐν αὐτῇ σύνεσις ἀγάπης ὅπου γὰρ ζῆλος καὶ ὀργή, ἔρις τε καὶ ὑψηλοφροσύνη, οὐκ ἔστιν ἐν αὐτῇ σύνεσις ἀγάπης. καθὼς οὖν προείπομεν, ψυχὴ ἐνηδυνομένη σαρκικαῖς ἡδοναῖς· ὄντως ἁρπάζεται ὑπ' αὐτῶν καὶ ἐν μέσῳ τῆς παρεμβολῆς τῶν πνευμάτων τῆς πονηρίας εὑρίσκεται, καὶ καταγελᾶται ὑπ' αὐτῶν καὶ ἐξουδενεῖται. 3.4.5 Οὐ μικρὸς οὖν ἀγὼν πρόκειται, ἀδελφοί, διαρρῆξαί τε τὸν θάνατον καὶ διελθεῖν εἰς τὴν ζωήν. φησὶ γάρ· «ἡ βασιλεία ἐντὸς ὑμῶν ἐστιν», ἡ ἀνάπαυσις καὶ ἡ χαρὰ καὶ εὐφροσύνη. ἐντὸς δὲ εὑρίσκεται ὁ αἰχμαλωτίζων καὶ πολεμῶν, ὅ ἐστι θάνατος καὶ ἀπώλεια τῆς ψυχῆς. μὴ οὖν ἀναπαυέσθω ἡ ψυχή, ἕως οὗ θάψῃ ἐπιμελῶς τὰ αἰχμαλωτίζοντα αὐτήν. τότε «ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμὸς» διὰ τὸ ῥαγῆναι ὕδωρ «ἐν γῇ διψώσῃ» καὶ γέγονεν ἡ ἔρημος εἰς πλῆθος ὑδάτων. ἰδοὺ γὰρ ἐπηγγείλατο τὴν ἔρημον καρδίαν πλῆσαι ὕδατος ζῶντος, πρῶτον διὰ τοῦ προφήτου· «ἐγὼ δώσω ὕδωρ τοῖς ἐν δίψει, τοῖς πεπορευμένοις ἐν ἀνύδρῳ», διὰ γὰρ πατρῴαν παρακοὴν ἐν πολλῷ καύσωνι γέγονεν ἡ ψυχή. ἐλθὼν δὲ ὁ κύριος «κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν», ἵνα γνωρίσῃ ἡμῖν τὸ ὕδωρ τὸ ζῶν καὶ τὸν καύσωνα τῆς ψυχῆς καταπαύσῃ, ἐν ᾧ κατείχετο, φησίν· «ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα». 3.4.6 ἔσται γὰρ «πηγὴ ὕδατος ἁλλομένου ἐν αὐτῷ». οὐ μικρόν ἐστιν, ἀδελφοί, ζητῆσαι τὴν παραγγελίαν τοῦ ἀποστόλου καὶ γνῶναι. «εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός· ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς». πῶς ἂν οὖν γνῶμεν τὴν παραγγελίαν τοῦ ἀποστόλου; ὁ αὐτὸς λέγει· «λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ». 3.4.7 Ὥσπερ γὰρ βασιλεὺς οἰκοδομήσας ὁ θεὸς πόλιν καὶ παλάτιον ἐν αὐτῇ, ἔθετο θησαυροὺς ἀποκρύφους ἐν αὐτῇ καὶ παρέδωκε τῷ οἰκονόμῳ εἰπών· "1ταῦτα πάντα δίδωμί σοι εἰς ἐξουσίαν, φύλασσε τὴν πόλιν καὶ τὰ ἐν αὐτῇ. ἃ δὲ ἀπεκάλυψά σοι, ἔχε εἰς τροφήν, καὶ ἀφ' οὗ παρηγγέλῃ σοι μὴ φαγεῖν, βλέπε μὴ παρακούσῃς. εἰ δὲ μήγε, θανάτῳ ἀποθανῇ. ἰδοὺ τὰ τείχη μου ὑψηλὰ καὶ αἱ πύλαι τῇ ἐμῇ σοφίᾳ γεγένηται πρὸς τὸ ἀδυνατεῖν τινα ἀνοῖξαι αὐτάς, εἰ μή σοι μόνῳ ἐδόθη ἡ ἐξουσία ἀνοίγειν καὶ κλείειν. μὴ οὖν ἀκούσῃς τοῦ τυράννου. εἰ δὲ μήγε, εἰς δοῦλον παραληφθήσῃ ὑπ' αὐτοῦ καὶ ἔσῃ ἐργαζόμενος 3.4.8 τὰ ἔργα αὐτοῦ."2 καὶ ταῦτα παραγγείλας ἀπῆλθεν ἀπ' αὐτοῦ. Καὶ προσελθὼν ὁ τύραννος τῷ οἰκονόμῳ εἶπεν αὐτῷ· "1διὰ τί τῶν ὄντων ὑπὸ τὴν πόλιν οὐ πάντων ἐξουσιάζεις; δέξαι με ὑπὸ τὴν πόλιν καὶ χρῆσαι ταῖς συμβουλίαις μου, καὶ ἔσῃ ἴσος τῷ βασιλεῖ."2 ὁ δὲ οἰκονόμος ἀκούσας ταῦτα, παρακούσας τῆς ἐντολῆς τοῦ βασιλέως, ἰδίῳ θελήματι ἀνοίξας τὰς θύρας τῆς πόλεως ἐδέξατο τὸν τύραννον καὶ τὸν στρατὸν αὐτοῦ. τότε ἤρθη τὸ ἔνδυμα τοῦ οἰκονόμου καὶ εὑρέθη ἐξαίφνης γυμνός. ἠλαύνετο γὰρ ὑπὸ τῆς στρατιᾶς τοῦ τυράννου εἰς τὰ ἔργα αὐτῶν ποιεῖν τὰ κελευόμενα ὑπὸ τοῦ μείζονος. 3.4.9 ἔχων δὲ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἐξουσίαν ποιεῖν ὃ θέλει ἀφόβως ὁ βασιλεὺς ζητεῖ τὸν οἰκονόμον· "1ποῦ εἶ ᾧ ἐνεπίστευσα τὴν πόλιν μου; διὰ τί μου ἀπέστης; τί μου κατέγνως; οὐ γὰρ ἦν πάντα τὰ ἐν τῇ πόλει ὑπ' ἐξουσίαν σήν; καὶ ἵνα τί μου παρήκουσας τῆς ἐντολῆς καὶ ὑπήκουσας τοῦ τυράννου; καὶ νῦν ὁρῶ σε ὑποτεταγμένον ὡς δοῦλον αὐτοῦ. σοὶ ἐθεμελίωσα πόλιν, ἵνα μοι συμβασιλεύσῃς, σὺ δὲ ἀπέστης ἀπ' ἐμοῦ καὶ ὁρᾷς σεαυτὸν γυμνὸν καὶ μηδὲν κεκτημένον. εἰ δὲ βούλει ἐπαναδραμεῖν εἰς τὸν τόπον σου καὶ ἀπολαβεῖν τὴν δόξαν σου, ὥσπερ ἐγκατέλιπες τὰς ἐντολάς μου καὶ ἐποίησας τὸ διάταγμα τοῦ ἀντάρτου, οὕτως ἐγκαταλιπὼν τὸ διάταγμα τοῦ ἀντάρτου οὗ ὑπήκουσας, ἐπιστράφηθι πρός με ποιῶν τὸ θέλημά μου. πλὴν ἐν πολλῷ κόπῳ καὶ «ἐν ἱδρῶτι τοῦ προσώπου σου» ἀπολάβῃς τὸν πλοῦτόν σου. ἀκαμάτως γὰρ λαβὼν καὶ μὴ εἰδὼς τὸν κόπον οὕτως ἀπώλεσας καὶ παρέδωκας τὴν κληρονομίαν σου."2 3.5.1 Ἐπίγνωμεν οὖν, ἀδελφοί, ἕκαστος τί ἀπωλέσαμεν, καὶ ἀναλάβωμεν τὸν θρῆνον τοῦ προφήτου· ὄντως γὰρ «ἡ κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις καὶ οἱ οἶκοι ἡμῶν ξένοις» διὰ τὸ παρακοῦσαι ἡμᾶς τῆς ἐντολῆς τὰ ἑαυτῶν θελήματα ἐκτελοῦντας καὶ ἡδυνομένους ἐν τοῖς ῥυπαροῖς καὶ γηΐνοις λογισμοῖς. ἀποστὰς γὰρ νοῦς ἀπὸ τῶν ἐντολῶν ἀσχολεῖται ὑφ' ὧν κατέχεται λογισμῶν τῆς πονηρίας καὶ ἐν αὐτοῖς ἔγκειται. ἀπὸ πολλοῦ οὖν διαστήματός ἐστιν ἡ ψυχὴ ἀπὸ τοῦ θεοῦ, καὶ ὄντως «ὀρφανοὶ ἐγενήθημεν» ὡς μὴ ἔχοντες πατέρα. 3.5.2 τοῦτο οὖν ἀγωνιζέσθω ὁ ἔχων πόνον ψυχῆς, τὸ καθαίρειν πονηροὺς «λογισμοὺς καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ», καὶ οὕτω βιαζομένου τὸν ναὸν τοῦ θεοῦ ἄσπιλον φυλάσσειν, ἔρχεται ὁ ἐπαγγειλάμενος καὶ εἰπών· «ἐνοικήσω καὶ ἐμπεριπατήσω» ἐν ὑμῖν. τότε ἀπολαμβάνει τὴν ἑαυτῆς κληρονομίαν ἡ ψυχὴ καὶ καταξιοῦται ναὸς γενέσθαι θεοῦ, ἐκδιώξασα τὸν πονηρὸν καὶ τὸν στρατὸν αὐτοῦ, καὶ λοιπὸν βασιλεύει. πῶς ἠγάπησεν ὁ θεὸς τὴν ψυχὴν καὶ ἐτίμησεν αὐτήν, ἐν ὁμοιώσει καὶ εἰκόνι ἑαυτοῦ δοξάσας αὐτήν, καὶ αὐτὴ ἠθέτησεν αὐτὸν παροργίσασα αὐτόν. 3.5.3 Ὥσπερ γὰρ φυτεύεται φυτὸν καὶ εἰκὼν τίς ἐστι τελείου δένδρου, οὕτως δὴ καὶ ἡ ψυχὴ ὡς φυτὸν ἐτέθη ἐν τῷ παραδείσῳ, ἵνα αὐξηθῇ καὶ καρποφορήσῃ, διὰ δὲ τὴν παρακοὴν ἀπέστη ἀπὸ τῆς ἐντολῆς καὶ ἐν φρονήματι κακίας ἐκαρποφόρησε τὴν ἁμαρτίαν. ὥσπερ οὖν ἰδίῳ θελήματι ηὐξήθη τῇ κακίᾳ, οὕτω δὴ πάλιν αὐτεξουσίως ἐξᾶραι τὸν ἐγκεντρισμὸν ὀφείλει τῆς κακίας, ἵνα τῇ ἑαυτῆς 3.5.4 ἐλαίᾳ ἐγκεντρισθῇ κατὰ τὸν ἀποστολικὸν λόγον. εἰ δὲ θέλεις γνῶναι, ὅτι ὁ θεὸς φυτῷ τὴν ψυχὴν παρεικάζει, τί λέγει ὁ προφήτηςμᾶλλον δὲ τὸ πνεῦμα διὰ τοῦ προφήτουκαὶ διὰ τοῦ μακαρισμοῦ ἀποστρέφει τὴν ψυχὴν ἀπὸ τῆς βουλῆς τῆς ἀσεβείας καὶ ἑστάναι ἐν τῇ ὁδῷ τῆς ἁμαρτίας κωλύει καὶ ὁδηγεῖ αὐτὴν ἐν τῷ νόμῳ τοῦ πνεύματος, ἵνα νυκτὸς καὶ ἡμέρας ἐν τῷ νόμῳ γενομένη αὐξηθῇ ἐν πνεύματι; διὸ καὶ ἐπιφέρει· «καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὁ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ». ψυχῇ δὲ ἐν τῇ ὁδῷ τῆς βουλῆς τῆς ἀσεβείας βαδισάσῃ ὁμοίως καὶ ἐν τῇ ὁδῷ τῆς ἁμαρτίας ἐπιφέρει· «οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' 3.5.5 ἢ ὡσεὶ χνοῦς, ὃν ἐκριπτεῖ ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς». γνῶθι οὖν τὴν διαφορὰν τῶν ἀμφοτέρων ψυχῶν. ἡ γὰρ ἐν κόπῳ καὶ πολλῷ ἀγῶνι γενομένη διὰ τὴν ἐντολήνἐπίρροια πνεύματος γίνεται ἐπ' αὐτήν, καὶ οὕτως ἐν πολλῇ δυνάμει οὖσα μεταβάλλεται «εἰς μέτρον ἡλικίας», ὃ ὑπέδειξεν ἐλθὼν ὁ σωτήρ. ἡ δὲ ἐνάμαρτος ψυχὴ ἡδυνομένη ἐν βουλαῖς ἀσεβείας βαδίζειν καὶ ἐν τῇ ὁδῷ τῶν ἁμαρτωλῶν ἑστάναι ἐπιθυμοῦσα, ἡ τοιαύτη ψυχὴ παραφέρεται ὑπὸ τῆς τοῦ ἀντικειμένου δυνάμεως καὶ ἐμπαίζεται ἐν τῷ ἀέρι. πάντα γὰρ πεφανέρωται τῷ θεῷ καὶ γινώσκει τὰς ὁδοὺς τῶν καρδιῶν ἡμῶν καὶ τὰς τρίβους τῶν ψυχῶν ἡμῶν ἐπίσταται. καταργήσωμεν οὖν ἕκαστος τὸ σαρκικὸν ἡμῶν θέλημα, ἵνα μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπὸ τῆς τοῦ ἀντικειμένου δυνάμεως «ὡς χνοῦς» ἐπαρθῶμεν, μᾶλλον δὲ ἑνωθέντες τῇ ἐντολῇ ἐπιρροίᾳ πνεύματος αὐξηθῶμεν κατὰ τὸ εἰρημένον φυτόν. 3.5.6 Ὥσπερ γὰρ βρέφος γεννηθὲν εἰκών ἐστι τελείου ἀνδρός, οὕτω δὴ καὶ ἡ ψυχὴ εἰκών ἐστι τοῦ ποιήσαντος αὐτήν. καὶ ὥσπερ παιδίον κατὰ μέρος αὐξανόμενον ἐκ μέρους γινώσκει τὸν πατέρα, ἐλθὸν δὲ εἰς ἡλικίαν παιδεύεται τῇ τοῦ πατρὸς σοφίᾳ καὶ τότε ἐπιγινώσκει πατὴρ υἱὸν τελείως καὶ υἱὸς πατέρα καὶ ἀποκαλύπτεται ὁ τοῦ πατρὸς θησαυρὸς τῷ υἱῷ, οὕτω καὶ ἡ ψυχὴ ἔμελλε προκόπτειν πρὸ τῆς παρακοῆς καὶ ἔρχεσθαι εἰς ἄνδρα τέλειον, διὰ δὲ τὴν παρακοὴν καὶ ἡ εἰκονικὴ ἀγάπη ἐκαλύφθη. μέρος δέ τι κέκτηται ἐξ αὐτῆς, εἰς πόντον δὲ ἀγνωσίας ἐνέδυ καὶ εἰς πέλαγος λήθης καὶ εἰς ὄγκον πλάνης κατε3.5.7 βιβάσθη καὶ ἐν πύλαις ᾅδου κατέλυσε. ἀπὸ πολλοῦ οὖν διαστήματος ἐμακρύνθη ἀπὸ τῆς ἐντολῆς ἡ ψυχὴ καὶ οὐκ ἠδύνατο ἑνωθῆναι αὐτῇ οὐδὲ ἐπιγνῶναι, ἀλλὰ ὁ θεὸς πρῶτον μὲν διὰ τῶν προφητῶν ἐπέστρεφεν αὐτὴν πάλιν εἰς ἐπίγνωσιν, ἐπ' ἐσχάτων δὲ τῶν καιρῶν ὁ ἀκατάληπτος καὶ ἀπερινόητος καὶ μήτε ἀρχὴν ἔχων μήτε τέλος, ἡ μακαρία τριάς, ἡ ἀμέριστος βουλὴ καὶ ἀπέραντος οὐσία, οὗτος ὁ θεὸς ἡμῶν ὁ ἀνεξερεύνητος καὶ ἀνεκδιήγητος, αὐτὸς ἑαυτὸν ἐντολὴν ἐποίησε κατ' οἰκονομίαν δι' ἡμᾶς ἀποστείλας αὐτὸς 3.5.8 ἑαυτόν. ἐλθὼν οὖν ὁ υἱὸς παρὰ τοῦ πατρὸς διεσκέδασε τὸν βυθὸν τῆς ἀγνωσίας τήν τε λήθην καὶ τὴν πλάνην καὶ πύλας ᾅδου μὴ ἀνοιγομένας διέρρηξε καὶ εἰσῆλθεν ἐπὶ τὴν πεπλανημένην ψυχήν, ἵνα αὐτὸν ἡ ψυχὴ ὑπόδειγμα λαβοῦσα ἀκολουθήσῃ τῇ ἐντολῇ ἕως πρώτης εἰκόνος, ἵνα τότε κατὰ μέρος ἑνωθῇ καὶ κραθῇ τῇ ἐντολῇ καὶ ἕν τι γένηται μετ' αὐτῆς, ἵνα ἐκ τῆς παρακοῆς ἔλθῃ εἰς τὴν εἰκονικὴν ἀγάπην, ἐκ δὲ τῆς εἰκονικῆς διὰ τῆς ἐντολῆς εὕρῃ τὴν 3.5.9 ἀνάπαυσιν, ἀγάπην τὴν μηδέποτε τρεπομένην. ἰδοὺ ὁ Ἰησοῦς βαπτίζεται ὑπὸ Ἰωάννου ἁγιάσας μὲν τὰ ὕδατα, καθὼς γέγραπται, ψυχῶν δὲ πιστῶν ὑποδείξας συγχώρησιν παραπτωμάτων. ἔπειτα μαρτυρεῖ Ἰωάννης ὅτι εἶδον «τὸ πνεῦμα τοῦ θεοῦ» «ἐρχόμενον ἐπ' αὐτὸν» τὸν Ἰησοῦν. ὁ δὲ ἀποστέλλων καὶ ὁ ἀποστελλόμενος καὶ ἐφ' ὃν ἀπεστάλη ἕν εἰσι. κατ' οἰκονομίαν οὖν, καθὼς προείπομεν, ὑπέδειξε διὰ τοὺς μέλλοντας προκόπτειν καὶ «εἰς ἄνδρα τέλειον» ἔρχεσθαι. πειραζόμενος δὲ κατ' οἰκονομίαν καὶ μέχρι τῆς ἀγγελικῆς διακονίας ὑποδεικνύει τὴν ἐλευθερίαν τῆς ψυχῆς. ἔπειτα ὀνειδισμοὺς καὶ ἐξουθενώσεις, ὕβρεις τε καὶ ῥαπίσματα καὶ ἀνακρίσεις ὑπὸ ἀρχόντων μέχρι τοῦ σταυροῦ 3.5.10 ὑπέδειξε. καθὼς οὖν ἔπαθεν ὁ σωτήρ, ἀναλαβέτω ἡ ψυχὴ εἰς ἑαυτήν, ἵνα προσέχῃ. πῶς δεῖ ἀπαντῆσαι πρὸς τοὺς ὀνειδίζοντας καὶ ἐξουδενοῦντας καὶ σταυροῦντας αὐτήν, ἵνα γένηται ὡσεὶ κωφὸς καὶ ἄλαλος, μὴ ἀνοίγων τὸ στόμα, καθὼς ὑπέδειξε, καὶ οὕτω κατὰ τὰ ἴχνη τοῦ ὑποδείξαντος βαδίζουσα, ἵνα προβλέπῃ τὴν ἐνέργειαν καὶ λεπτότητα τῆς πονηρίας καὶ ὡς ἐν σταυρῷ ἐμπεπηγμένων τῶν ἥλων μετὰ κραυγῆς ἰσχυρᾶς βοησάτω πρὸς τὸν δυνάμενον αὐτὴν ῥύσασθαι ἐκ θανάτου. εἰπάτω δέ· «ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας», ἵνα καθαρισθεῖσα ἄμωμος γένηται. τότε εὑρίσκει τὸν ὑποτάξαντα αὐτῷ τὰ πάντα, τότε ἀνακιρνᾶται ἡ ψυχὴ τῇ ἐντολῇ, τότε θαμβοῦται καὶ βασιλεύει καὶ ἀναπαύεται. 3.6.1 Διὰ γὰρ τὴν παρακοὴν ὑπὸ ὑλικῶν καὶ ῥυπαρῶν λογισμῶν καταποθεῖσα ἄλογος γέγονεν. οὐ μικρόν ἐστιν, ἀδελφοί, ἐκ τῆς τοιαύτης ὕλης ἐξελθεῖν καὶ κατανοῆσαι τὴν λεπτότητα τῆς πονηρίας καὶ διελθεῖν, ἵνα ἀνάρχῳ νοῒ συγκραθῇ. ὢ ἀγάπη ἀνεκλάλητος καὶ εὐσπλαγχνία καὶ οἰκτιρμοὶ τοῦ δεσπότου. ἑαυτὸν ὀρνέῳ παρεικάζει, ἵνα ἡ ἐν πλάνῃ ψυχὴ εἰς τὰς πτέρυγας αὐτοῦ καταφύγῃ, καί φησιν ὁ ζωοποιὸς λόγος· «ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν ὑμᾶς, ὃν τρόπον ὄρνις τὰ νοσσιὰ ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε»; ἰδοῦ ἥπλωσε τὰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πτέρυγας αὐτοῦ καὶ ἐκδέχεται τὴν ψυχήν, πότε εἰσέλθῃ 3.6.2 καὶ ἀναπαυθῇ ἐν ταῖς πτέρυξιν αὐτοῦ. ὥσπερ γὰρ ὄρνεον ἐκ δευτέρου γεννᾶται, πρῶτον μὲν ἐν καλύμματι, ἔπειτα ἐκ δευτέρου ἀναλαμβανόμενον ὑπὸ τὰς πτέρυγας, καὶ ὃν μὲν ἐν τῷ καλύμματι ὑπὸ τῆς θερμότητος πυροῦται τὸ εἶδος, ὅ ἐστιν ὁ νεοσσός, περιαιρομένου δὲ τοῦ καλύμματος ἐμμένει ἐν ταῖς πτέρυξι τῆς μητρός, ἕως ὅτου αὐξηθῇ «εἰς μέτρον ἡλικίας» τῆς μητρὸς αὐτοῦ καὶ τὰ ἑξῆς, ὥστε αὐτὸ εἰς οὐρανὸν ἵπτασθαι καὶ ἐπάνω γενέσθαι πάντων τῶν ἑρπετῶν τῶν βουλομένων διελεῖν αὐτὸ καὶ ἀπολέσαι· οὕτω δὴ καὶ ἡ ψυχὴ ἐλθοῦσα εἰς τὸν κόσμον, εἰσέρχεται διὰ τῶν προφητῶν εἰς τὸ τῆς δικαιοσύνης ἐργαστήριον καὶ νόμον φυλάσσει, ἐλθὼν δὲ ὁ ζωοποιὸς λόγος διδάσκει ἡμᾶς περισσεύειν τὴν δικαιοσύνην «πλεῖον τῶν γραμματέων 3.6.3 καὶ Φαρισαίων». αἰνίττεται δὲ ἡμῖν ἐπάνω γενέσθαι τοῦ νόμου, φησὶ γάρ· «ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, κἀγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν». καὶ τὰ πλεῖστα ἐντελλόμενός ἐστιν, ἵνα εἰσέλθωμεν εἰς τὰς πτέρυγας τῆς μητρὸς ἡμῶν (τουτέστιν εἰς τὰς ἐντολὰς αὐτοῦ). πυρουμένη γὰρ ἡ ψυχὴ ὑπὸ τοῦ λόγου καὶ ἐνδυναμωθεῖσα περιαιρεῖ τὸ κάλυμμα καὶ ἀναγεννᾶται ἐν πνεύματι, ἀνακαλυφθεὶς δὲ Χριστὸς αὐτῇ ἐκράθη ἀπερι3.6.4 ορίστῳ πηγῇ καὶ ἀνάρχῳ νοΐ. γνῶθι οὖν, ψυχή, ἐὰν ᾖ ἐν ταῖς πτέρυξι τῆς μητρός σου καὶ μὴ ἐξέλθῃς, ἵνα μὴ ὑπὸ ὄφεων ἀναλωθήσῃ. ἦλθε γὰρ ὁ σωτὴρ ἀνακαινίσαι καὶ ζωοποιῆσαι τὴν ψυχὴν καὶ ἐκδαπανῆσαι τὸ ἀλλότριον, ὅ ἐστι τυφλὴ καὶ νυκτερίνη ἐπισπορά, ἵνα τὴν ἑαυτοῦ ἀγάπην ἐπιδείξηται καὶ πλεονάσῃ ἐν αὐτῇ, ἵνα διελθοῦσα ἀρχὰς καὶ ἐξουσίας μίξῃ γόνιμον φῶς φωτὶ μακαρίῳ. Ὦ πτέρυγες ἡπλωμέναι, ὢ σπλάγχνα πατρός. Ἀμήν.

4.τ.1 ΛΟΓΟΣ Δ΄.

**4.1.1** Περὶ τῆς φαινομένης ἀσκήσεως καὶ ποῖον ἀγαθὸν ἐπιτήδευμα μεῖζον καὶ πρῶτον τυγχάνει. 4.1.2 Τοῦτο γινώσκετε, ἀγαπητοί, ὅτι ἀλλήλων πᾶσαι αἱ ἀρεταὶ ἐκδέδενται καὶ ἀλλήλων ἐκκρέμανται, ὥσπερ σειρά τις ἅλυσις πνευματικὴ μία ἀπὸ τῆς μιᾶς ἀπηρτημέναι. ἡ εὐχὴ ἀπὸ τῆς ἀγάπης, ἡ ἀγάπη ἀπὸ τῆς χαρᾶς, ἡ χαρὰ ἀπὸ τῆς πραότητος, ἡ πραότης ἀπὸ τῆς ταπεινώσεως, ἡ ταπείνωσις ἀπὸ τῆς διακονίας, ἡ διακονία ἀπὸ τῆς ἐλπίδος, ἡ ἐλπὶς ἀπὸ τῆς πίστεως, ἡ πίστις 4.1.3 ἀπὸ τῆς ὑπακοῆς, ἡ ὑπακοὴ ἀπὸ τῆς ἁπλότητος. ὥσπερ τὸ ἐναντίον μέρος ἓν ἀφ' ἑνὸς τὰ κακὰ ἐκδέδενται· τὸ μῖσος ἀπὸ τοῦ θυμοῦ, ὁ θυμὸς ἀπὸ τῆς ὑπερηφανίας, ἡ ὑπερηφανία ἀπὸ τῆς κενοδοξίας, ἡ κενοδοξία ἀπὸ τῆς ἀπιστίας, ἡ ἀπιστία ἀπὸ τῆς σκληροκαρδίας, ἡ σκληροκαρδία ἀπὸ τῆς ἀμελείας, ἡ ἀμέλεια ἀπὸ τῆς χαυνότητος, ἡ χαυνότης ἀπὸ τῆς ὀλιγωρίας, ἡ ὀλιγωρία ἀπὸ τῆς ἀκηδίας, ἡ ἀκηδία ἀπὸ τῆς ἀνυπομονησίας, ἡ ἀνυπομονησία ἀπὸ τῆς φιληδονίας, καὶ τὰ λοιπὰ μέλη τῆς κακίας ἀλλήλων εἰσὶν ἐκκρεμάμεναοὕτως ἐν τῷ ἀγαθῷ μέρει ἀλλήλων αἱ ἀρεταί εἰσιν ἀπηρτημέναι. 4.1.4 Κεφάλαιον δὲ πάσης σπουδῆς ἀγαθῆς καὶ κορυφαῖον τῶν κατορθωμάτων ἐστὶν ἡ τῆς προσευχῆς καρτέρησις, δι' ἧς καὶ τὰς λοιπὰς ἀρετὰς διὰ τῆς παρὰ θεοῦ αἰτήσεως ὁσημέραι προσκτᾶσθαι δυνάμεθα. ἐπειδὴ πρὸς θεὸν ἁγιότητος κοινωνία μυστική τις διὰ πνευματικῆς ἐνεργείας καὶ συνάφειά τις διαθέσεως αὐτοῦ τοῦ νοῦ ἐν ἀγάπῃ ἀρρήτῳ πρὸς κύριον τῇ εὐχῇ τοῖς καταξιουμένοις γίνεται καὶ εἰς ἔρωτα θεῖον καὶ πόθον ἔμπυρον ὑπὸ τῆς πνευματικῆς ἀγάπης τοῦ θεοῦ ἕλκεται ὁσημέραι ὁ ἑαυτὸν ταῖς εὐχαῖς προσκαρτερεῖν ἀναγκάζων καὶ τὴν τοῦ πνεύματος χάριν τῆς τελειότητος αὐτεξουσίῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προαιρέσει ἕκαστος ὑποδέχεται τοῦ θεοῦ αὐτῷ διδόντος. 4.2.1 Ἐρώτησις. Ἀλλ' ἐπειδή τινες μὴ ἀκούσαντες τὸν λόγον ὡς χρή, ἀκούσαντες δὲ τοῦ εὐαγγελίου ὅτι ἐάν τις «ψυχροῦ ποτήριον ποτίσῃ», μισθὸν ἔχει, πωλοῦσιν ὑπάρχοντα καὶ ἐλευθεροῦσι δούλους καὶ ἐντολὰς ποιοῦσιν, οὐ ζητοῦσι δὲ λαβεῖν ἐν τῷ κόσμῳ τούτῳ τὸ πνεῦμα, οὕτω ζῶντες οὐκ ἀπέρχονται εἰς βασιλείαν οὐρανῶν; 4.2.2 Ἀπόκρισις. Ὁ λόγος οὗτος λεπτός ἐστι. τινὲς γὰρ λέγουσι μίαν βασιλείαν καὶ μίαν γέενναν, ἡμεῖς δὲ λέγομεν βαθμοὺς πολλοὺς καὶ διαφορὰν καὶ μέτρα καὶ ἐν αὐτῇ τῇ βασιλείᾳ καὶ ἐν αὐτῇ τῇ κολάσει περισσείαν. καὶ ὥσπερ ἐστὶ μία ψυχὴ ἐν ὅλοις τοῖς μέλεσι, καὶ ἄνω ἐν τῷ ἐγκεφάλῳ καὶ τοῖς λοιποῖς μέλεσι καὶ κάτω τοὺς πόδας αὐτὴ κινεῖ, οὕτω καὶ ἡ θεότης πάντα τὰ κτίσματα τὰ ἐπουράνια καὶ τὰ ὑποκάτω τῆς ἀβύσσου περιέχει, καὶ πανταχοῦ πεπλήρωται ἐν τῇ κτίσει, καὶ ἐξώτερός ἐστι τῶν κτισμάτων, ἐπειδὴ ἀμέτρητός ἐστι. προσέχει οὖν αὐτὴ ἡ θεότης τῇ ἀνθρωπότητι καὶ οἰκονομεῖ αὐτούς. 4.3.1 Ἐρώτησις. Εἶπες ὅτι προσέχει αὐτοῖς, οὐκ εἶπες δὲ ὅτι ἐνεργεῖ 4.3.1 εἰς αὐτοὺς ἢ διακρίνεται ἐν αὐτοῖς. διάκρινόν μοι ὧδε τοὺς υἱοὺς τῆς βασιλείας καὶ χώρισον τὸν βαθμὸν τοῦτον. ὧδε γὰρ ὁ λόγος ὁ βληθεὶς περὶ πάντων τῶν κοσμικῶν. τινὲς γὰρ εὔχονται καὶ οὐκ οἴδασι τί ζητοῦσι, τινὲς νηστεύουσι, τινὲς στήκουσιν εἰς διακονίαν. οὗτοι ἔχουσι μισθόν; Ἀπόκρισις. Ἐπειδὴ δικαιοκρίτης ἐστὶν ὁ θεός, κατὰ τὸ μέτρον τῆς πίστεως ἀποδίδωσιν αὐτοῖς τὸν μισθόν, ἐπειδὴ ἃ ποιοῦσι, διὰ φόβον θεοῦ 4.3.2 ποιοῦσιν, ἀλλ' οὔκ εἰσιν οὗτοι κληρονόμοι οὔτε υἱοὶ οὔτε βασιλεῖς. εἰσὶ δὲ ἐν αὐτῷ τῷ κόσμῳ οἱ μὲν φονεῖς, ἄλλοι πόρνοι, ἄλλοι ἅρπαγες, καί εἰσιν ἄλλοι τὰ ἴδια αὐτῶν πτωχοῖς διδόντες. προσέχει τούτοις κἀκείνοις ὁ κύριος, καὶ τοῖς ἀγαθοποιοῦσι δίδωσιν ἀνάπαυσιν καὶ τὸν μισθόν. εἰσὶ γὰρ μέτρα ὑπερέχοντα καὶ μέτρα μικρά, καὶ ἐν αὐτῷ τῷ φωτὶ καὶ ἐν αὐτῇ τῇ δόξῃ διαφορά ἐστι· καὶ ἐν αὐτῇ δὲ τῇ γεέννῃ καὶ ταῖς κολάσεσι φαίνονται οἱ φάρμακοι καὶ οἱ λῃσταὶ καὶ οἱ πόρνοι πῶς κρίνονται, καὶ πῶς οἱ ἄλλοι μικρὰ 4.3.3 πλημμελήσαντες. οἱ δὲ λέγοντες ὅτι «μία ἐστὶ βασιλεία καὶ γέεννα μία καὶ οὔκ εἰσι βαθμοί», κακῶς λέγουσι. καὶ γὰρ οἱ τὰ καλὰ ποιοῦντες ἔχουσι μισθὸν καὶ βοήθειαν καὶ τόπους ἀναπαύσεως. πόσοι κοσμικοὶ εἰς τὰ θέατρα στήκουσι καὶ εἰς ἀταξίας, καὶ πόσοι εἰσὶν ἄρτι εὐχόμενοι καὶ φοβούμενοι τὸν θεόν. καὶ τούτοις κἀκείνοις ὁ θεὸς προσέχει, καὶ ὡς δικαιοκρίτης τοῖς μὲν ἀνάπαυσιν ἑτοιμάζει, τοῖς δὲ κόλασιν. 4.3.4 Ὥσπερ βλέπεις τὰ ἅρματα καὶ τοὺς ἵππους πῶς ζευγνύουσι καὶ ἡνιοχοῦσιν ἐλαύνοντες κατ' ἀλλήλωνἕκαστον γὰρ ἅρμα φέρει συμπήξεις καὶ μηχανὰς κατὰ τοῦ ἄλλου ἅρματος, ὅπως ῥίψῃ καὶ νικήσῃ, οὕτως ἐστὶν ἐν τῇ καρδίᾳ τῶν ἀγωνιζομένων θέατρον τῶν πονηρῶν πνευμάτων παλαιόντων τῇ ψυχῇ καὶ θεοῦ καὶ ἀγγέλων θεωρούντων τὸν ἀγῶνα. λοιπὸν καθ' ἑκάστην ὥραν κτίζονται ὑπὸ τῆς ψυχῆς πολλοὶ λογισμοὶ νεαροί, ὁμοίως δὲ καὶ τῆς κακίας ἔνδον. καὶ γὰρ ἡ ψυχὴ πολλοὺς ἔχει ἀποκρύφους λογισμούς, οὓς μήπω οἶδε καὶ ἐν αὐτῇ τῇ ὥρᾳ προφέρει καὶ γεννᾷ καὶ αὐτὴ ἡ κακία πολλοὺς λογισμοὺς ἔχει καὶ ἐπιτηδεύματα, καὶ καθ' ὥραν γεννᾷ λογισμοὺς νεαροὺς κατὰ τῆς ψυχῆς. καὶ γὰρ ὁ νοῦς ἡνίοχός ἐστι καὶ ζεύγνυσι τὸ ἅρμα, κατέχων τὰς ἡνίας τῶν λογισμῶν. καὶ τρέχει κατὰ τοῦ ἅρματος τοῦ σατανᾶ, ὅπερ αὐτὸς ἔζευξε κατὰ τῆς ψυχῆς. 4.4.1 Ἐρώτησις. Πῶς λέγουσί τινες ὅτι "1οὐκέτι δυνάμεθα εὔξασθαι"2; εἰ οὖν ἀνάπαυσίς ἐστι, διὰ τί οὐχ ὑπομένουσιν ἐν τῇ εὐχῇ; Ἀπόκρισις. Αὕτη ἡ ἀνάπαυσις πλεονάζουσα εἰς τὸν ἄνθρωπον δίδωσι σπλάγχνα καὶ διακονίας ἑτέρας, τοῦ ἐπισκέψασθαι ἀδελφοὺς ἢ τὸν λόγον διακονεῖν. καὶ αὐτὴ δὲ ἡ φύσις † ἀπελθεῖν † ἰδεῖν τοὺς ἀδελφούς, λαλῆσαι λόγον. οὐδὲν γὰρ ἐν πυρὶ βαλλόμενον δύναται μεῖναι ἐν τῇ φύσει, ἀλλὰ ἀνάγκη ὅτι καὶ αὐτὸ γίνεται πῦρ, ὃν τρόπον ἐὰν βάλῃς κόχλακα εἰς πῦρ (ἢ λίθον) γίνεται ἄσβεστος. καὶ εἰς θάλασσαν ἐὰν θελήσῃς πολὺ δῦναι καὶ ἀπελθεῖν εἰς τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέσον πέλαγος, ὥσπερ καταποντίζεται τὸ ὅλον σου καὶ ἀφανὲς γίνεται, ἀλλ' ὅσῳ κατὰ βάθους κατέρχεται καὶ εἰσέρχεται, πάλιν θέλει αὐτὴ ἡ φύσις ἀναβῆναι καὶ ἐπιπλεῦσαι καὶ ἐξελθεῖν εἰς τὸν λιμένα καὶ ἰδεῖν τοὺς ἐπὶ γῆς ἀνθρώπους, οὕτω καὶ τὸ πνεῦμα· εἰσέρχεταί τις εἰς βάθος τῆς θεότητος πολὺ καὶ εἰς πέλαγος χάριτος, καὶ πάλιν μνημονεύει τῶν ἑταίρων αὐτοῦ καὶ αὐτὴ ἡ φύσις θέλει ἀπελθεῖν πρὸς ἀδελφούς, ἀποπληρῶσαι ἀγάπην, πληροφορῆσαι εἰς λόγον. Ἐρώτησις. Πῶς δύναται τὰ δύο πρόσωπα εἶναι ἐν τῇ καρδίᾳ, ἡ χάρις καὶ ἡ ἁμαρτία; Ἀπόκρισις. Ὥσπερ ἐὰν ᾖ πῦρ ἔξωθεν χαλκίου, λοιπὸν ἐὰν ὑποβάλῃς ξύλα, ἰδοὺ ἔκπυρον γίνεται, καὶ τὸ ἔσωθεν τοῦ σκεύους ἑψεῖται καὶ βράζει, ἔξωθεν τοῦ πυρὸς ὑποκαίοντος. ἐὰν δέ τις ἀμελήσῃ καὶ μὴ βάλῃ ξύλα, ἄρχεται χλιαρώτερον γίνεσθαι τὸ πῦρ καὶ ὥσπερ κατασβέννυσθαι, οὕτω καὶ ἡ χάρις, τὸ πῦρ τὸ οὐράνιον, καὶ ἔσωθέν σού ἐστι καὶ ἔξωθεν. λοιπὸν ὅταν εὔξῃ καὶ δῷς τοὺς λογισμούς σου εἰς τὴν ἀγάπην τοῦ κυρίου, ἴδε ὑπέβαλες τὰ ξύλα καὶ γίνονται ὅλοι οἱ λογισμοί σου πῦρ καὶ βάπτονται εἰς τὸν λογισμὸν τοῦ θεοῦ καὶ ὑποχωρεῖν ἡ ἁμαρτία ὡς ἐξωτέρω γίνεσθαι αὐτήν, ἀλλὰ καὶ ἔσωθεν 4.5.2 σοῦ ἐστιν καὶ ἔξωθέν σου ἐμφαίνεται. ὀλίγον δὲ ἐὰν ἀμελήσῃ τις ἢ εἰς κοσμικὰ πράγματα ἢ εἰς ῥεμβασμόν, πάλιν εἰσέρχεται ἡ κακία καὶ ἐνδύονται τὴν ψυχὴν καὶ ὅλον τὸν ἄνθρωπον θλίβουσι· μνημονεύει γὰρ ἡ ψυχὴ τῆς προτέρας ἀναπαύσεως. ἄρχεται οὖν δεῖσθαι καὶ συνεχέστερον ταλαιπωρεῖν. πάλιν προσέσχεν ὁ νοῦς πρὸς τὸν θεὸν καὶ ἤρξατο προσεγγίζειν αὐτῷ ἡ προτέρα ἀνάπαυσις, ἄρχεται σφοδρότερον ἐπιζητεῖν· "1δέομαί σου"2, λέγων, "1κύριε"2, κατὰ μικρὸν μικρὸν προστίθεται αὐτῷ τὸ πῦρ ἐξάπτειν, ἀνεπαύθη ἡ ψυχή. 4.5.3 ὥσπερ τὸ ἄγκιστρον κατὰ μικρὸν αἴρει ἐκ τοῦ βυθοῦ τὸν ἰχθύν, εἰ γὰρ μὴ τοῦτο ἦν καὶ ἐγεύετο τοῦ πικροῦ θανάτου, πῶς ἐδύνου διακρῖναι τὸ πικρὸν ἀπὸ τοῦ γλυκέως καὶ τὸν θάνατον ἀπὸ τῆς ζωῆς καὶ εὐχαριστῆσαι τῷ ζωοποιῷ. 4.6.1 Ἐρώτησις. Τί ἐστιν ὁ σατανᾶς καὶ πότε ἐξέπεσε καὶ διὰ τί ἠφείθη εἰς τὸν κόσμον; Ἀπόκρισις. Ὁ σατανᾶς ἄγγελος ἦν κτίσμα καὶ πρὸ τοῦ τὸν Ἀδὰμκτισθῆναι. οὗτος ἰδίῳ θελήματι προσέκρουσε τῷ θεῷ καὶ ἥμαρτε. λοιπὸν οὖν οὗτος αὐτὸς εἰς κυβέρνησιν καὶ γυμνασίαν τῷ Ἀδὰμ ἐτέθη καὶ ὡς ῥάβδος ἐστὶ παιδείας. δι' αὐτοῦ γὰρ παιδεύονται οἱ παιδευόμενοι, δι' αὐτοῦ δοκιμάζονται οἱ δοκιμαζόμενοι, δι' αὐτοῦ τελειοῦνται οἱ τελειούμενοι. δι' αὐτοῦ στεφανοῦνται οἱ συνετοί, δι' αὐτοῦ γνωρίζονται οἱ ἀθλοῦντες ἀθληταὶ καὶ στεφανοῦνται. ἐπεὶ εἰ μὴ ἦν οὗτος, ἡσυχία ἂν ἦν πολλὴ καὶ ἠρεμία τῷ Ἀδάμ καὶ γὰρ τὰ ὄρη ἢ τὰ δένδρα οὐ κάμνει οὐδὲ ποιεῖ τιἀλλὰ διὰ τοῦτο ὡς ἠθέλησεν ὁ θεὸς ἐποίησε τὸν κόσμον τοῦτον καὶ εἰς αὐτὸν τὸν Ἀδὰμ παρεχώρησε τῷ πονηρῷ εἰς γυμνασίαν. 4.6.2 Ὥσπερ ἵνα ᾖ κιρκίσιον καὶ ὦσι τρέχοντα δύο ἅρματα, λοιπὸν ὁ βασιλεὺς καὶ ὁ λαὸς καὶ ὁ δῆμος θεωρεῖ ἡδέως, ἐπεὶ οὐ κάμνουσιν αὐτοί, ἀλλὰ οἱ ἀγωνιζόμενοι κατ' ἀλλήλωνἕκαστον γὰρ ἅρμα εἰς πτῶσιν τοῦ ἄλλου τρέχει, τίς τίνα προλάβῃ, τίς τίνα καταρίψῃ, καὶ λοιπὸν ἐπὶ μὲν τῶν νικώντων φωναί, ἐπὶ δὲ τῶν ἡττωμένων πένθος καὶ κλαυθμός, οὕτω καὶ ὁ κύριος ποιήσας τὸν κόσμον τοῦτον, ἵνα μὴ ᾖ ἀργὸς ἁπλῶς ὁ Ἀδάμ, ἔθηκεν αὐτῷ ἀντίπαλον, καὶ ἴδε εἰς τὸ θέατρον τοῦ κόσμου τούτου καὶ εἰς τὸ κιρκίσιον ἀγῶνες πολλοὶ καὶ δρόμοι. ὁ θεὸς καὶ ἡ ἐπουράνιος ἐκκλησία, ἴδε, ὁρᾷ τὸν πόλεμον καὶ τοὺς ἀγῶνας καὶ ἐπὶ τῇ νίκῃ εὐφημίαι πολλαὶ ὑπὸ τῶν ἀγγέλων καὶ νίκης φωναὶ δίδονται, δοξαζόντων τὸν ἐπουράνιον δεσπότην. 4.6.3 Ὥσπερ ἵνα ᾖ λέων καὶ ᾖ ἐκεῖ ὁ ὀφείλων αὐτὸν ὑπεράλλεσθαι καὶ λοιπὸν ἐκεῖ θεωρεῖ ὁ κόσμος καὶ οἱ ἄρχοντες. ἐπὰν οὖν ἀπολυθῇ ὁ λέων καὶ ὑπερπηδησθῇ, ἰδοὺ εἰς γέλωτα καὶ παίγνιον πίπτει ὁ λέων καὶ ἄρχονται καταγελᾶν αὐτοῦ, οὕτω καὶ ὁ σατανᾶς ἡττώμενος ὑπὸ τοῦ Ἀδὰμ εἰς γέλωτα καὶ ἐμπαιγμὸν ὑπὸ τῶν ἀγγέλων πίπτει. αὐτὸς γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ λέων εἰς τὸ κλονεῖν κεῖται, καὶ ὁ σατανᾶς εἰς τὸ ἀφανίζειν τὰς ψυχάς. 4.6.4 Πῶς ὅτε ἦσαν οἱ τρεῖς παῖδες ἐν τῇ πυρᾷ, ἔχαιρεν ὁ κύριος καὶ ἔλεγε τοῖς ἀγγέλοις αὐτοῦ· ἄγωμεν, ἴδωμεν σώματα δικαίων (τοῦ Ἀδὰμ) πῶς αἱ τρίχες τῶν ὄψεων αὐτῶν ἐνίκησαν τὸ πῦρ. πῶς πάλιν ἐθεώρουν τὴν Θέκλαν εἰσελθοῦσαν εἰς τὸ θέατρον, ἐκεῖ λέοντες κατ' αὐτῆς καὶ ταῦροι, ἐκεῖ θηρία πολλά, ἐκεῖ φωναί. ἡ δὲ ἔχουσα τὴν πίστιν καὶ τὴν ἀγάπην καὶ τὸν νοῦν εἰς οὐρανούς, πάντων ἐκείνων περιεγένετο. ὀφείλει οὖν ὁ νοῦς ἕτοιμος εἶναι καὶ ηὐτρεπισμένος εἰς τὸν πόλεμον καὶ μὴ φοβεῖσθαι τὰς ἀπειλὰς τοῦ ἐχθροῦ. πάσας παρ' αὐτοῦ τὰς ἁρμολογίας καὶ τέχνας καὶ τὰ μάγγανα καὶ τὰς συμπήξεις, ἃς ἐπιφέρει τοῖς νοήμασι καὶ τοῖς λογισμοῖς τῶν ἀνθρώπων διὰ τῆς 4.6.5 πίστεως ὁ κύριος καταλύει καὶ θριαμβεύει, μόνον σὺ μὴ φοβηθῇς. Ὥσπερ ἐκεῖ ἔλεγον τῷ βασιλεῖ οἱ τρεῖς παῖδες "1βάλλεις ἡμᾶς εἰς τὸ πῦρ καὶ οὐκ ἀποθνήσκομεν"2, οὕτω καὶ σὺ εἰπὲ τῷ σατανᾷ. "1οὐ φοβοῦμαί σε, υἱὲ πλάνης. εἰ καὶ ἐπιφέρεις μοὶ πληγὰς καὶ πειρασμούς, ἔχω τὸν θεόν, ἔχω τὸν Ἰησοῦν τὸν καταναλίσκοντά σε τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, τὸν κολάσει αἰωνίᾳ τιμωρούμενόν σε. καὶ ἐὰν φάγῃς μοὺ ὅλα τὰ μέλη, οὐ φοβοῦμαί σε οὐδὲ ἀποθνήσκω."2 ὥσπερ ἵνα ᾖ μάρτυς καὶ κόψουσιν αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας καὶ ὅλα τὰ μέλη καὶ ἔτι οὗτος θαρσῶν καὶ πιστεύων εἰς τὸν κύριον λέγει τῷ κόπτοντι· "1ποίει ὃ θέλεις. δυνατός ἐστιν ὁ θεός, ᾧ πιστεύω, ὅτι ἐμὲ μὲν σώσει, σὲ δὲ αἰωνίῳ πυρὶ κολάσει."2 μὴ φοβηθῇς οὖν τὸν σατανᾶν ἀνδρίσαι καὶ ἀγωνίσαι κατ' αὐτοῦ. εἰπὲ αὐτῷ· "1ἔχω θεὸν τὸν κολάζοντά σε, σατανᾶ."2 εἰς ἓν δὲ μέρος 4.6.6 σκληρότερός σού ἐστιν ὁ σατανᾶς. οἷον ἐκεῖ τὸν Παῦλον εἰς τὸ φαινόμενον ἔσυραν εἰς τὸ θέατρον καὶ ἔβαλον εἰς θηρία, τὸ μὲν ἀντιστῆναι οὐκ ἠδύνατο, τὸ δὲ εἰσελθεῖνεἰσῆλθεν, οὕτω καὶ σὺ τὸ μὲν εἰσελθεῖν εἰς τὸ θέατρον τῆς καρδίας καὶ συρῆναι καὶ κρατηθῆναι ὑπὸ τῶν ἀκαθάρτων πνευμάτων καὶ τῶν ἰοβόλων θηρίων, ὡς οὐ θέλεις, κατασύρῃ καὶ ἄκων πάσχεις, τὸ δὲ ἀντιστῆναι καὶ ἀγωνίσασθαι τῆς φύσεως σού ἐστι ὥστε καὶ τῆς βοηθείας 4.6.7 τοῦ κυρίου περιγενέσθαι. Καὶ γὰρ ὁ ἅγιος Παῦλος τότε διὰ πίστεως καὶ θείας δυνάμεως συνεργούσης περιεγένετο τῶν θηρίων. νοήματα δὲ καὶ προαιρέσεις αἱ δεθεῖσαι εἰς τὴν ἀγάπην καὶ ἔθη κακά, ἃ συνεγενήθησαν, δυσχερῶς λύονται καὶ ἀφίστανται. πολλοὶ γάρ εἰσι καὶ ἀγαπῶσι τὰς κακὰς συνηθείας, εἰς ἃς ἀνεστράφησαν, εἰς ἡδονὰς αἰσχρὰς ἢ εἰς φιλαργυρίαν ἢ εἰς ἔπαρσιν, τοῦτο ὥσπερ οὐκ εὐκόλως ἀποτίθεται, ὁμοίως πάλιν νοήματα καὶ λογισμοὶ οἱ δεθέντες εἰς τὴν ἀγάπην τοῦ κυρίου καὶ ἀναστραφέντες εἰς 4.6.8 αὐτὴν οὗτοι καλῶς πορεύονται καὶ ἀληθινῶς τὴν ὀρθὴν ὁδὸν διοδεύουσι. καὶ ὥσπερ ἐκεῖ ἡ κιβωτός, ἣν παρέλαβον οἱ ἀλλόφυλοι, ὅπου ἦν ἀποκείμενος ὁ νόμος τοῦ θεοῦ καὶ ὡς μόνον εἰσῆλθεν εἰς τὴν πόλιν ἐκείνην, εὐθέως τὰ ξόανα καὶ τὰ εἴδωλα τῆς πόλεως ἐκείνης κατέπεσαν καὶ πολλαὶ πληγαὶ ἐπηνέχθησαν αὐτοῖς, οὕτω καὶ ὅπου οἱ νόμοι τοῦ θεοῦ εἰς τὰς πλάκας τῆς καρδίας εἰσὶν ἐγγραφόμενοι, πίπτουσι τὰ ξόανα καὶ τὰ εἴδωλα τῶν ἀκαθάρτων πνευμάτων ἐκ τῆς καρδίας τῶν λογισμῶν. 4.7.1 Ἐρώτησις. Πῶς ὀφείλει ἕκαστος συναγαγεῖν τὸν νοῦν αὐτοῦ καὶ τοὺς διαλογισμοὺς αὐτοῦ ῥεμβομένους εἰς τὸν κόσμον καὶ μηδὲν ἄλλο ἐννοεῖν ἢ τὴν προσδοκίαν τοῦ κυρίου καὶ τὴν ἀγάπην τῆς ψυχῆς πρὸς αὐτὸν ἀποσῴζειν; Ἀπόκρισις. Ὥσπερ μήτηρ ἐὰν ἔχῃ τέκνα καὶ ἀπέρχονται ἁπλῶς καὶ ὡς ἔτυχε ῥέμβονται, οὐχὶ λαβοῦσα ἡ μήτηρ συναγάγῃ εἰς τὸν οἶκον αὐτὰ παιδεύουσα καὶ νουθετοῦσα; οὕτω καὶ ἡ ψυχὴ ὀφείλει συνάγειν πανταχόθεν τοὺς ἑαυτῆς λογισμοὺς ῥεμβομένους, ὥσπερ ἑαυτῆς τέκνα. κἂν ὑπὸ τῆς ἁμαρτίας καὶ τῶν μεριμνῶν σκορπίζονται, ὅμως τὸ ἑαυτὴς δυνατὸν ἀεὶ ἀπαύστως ὀφείλει συνάγειν τοὺς λογισμοὺς εἰς τὸν οἶκον τοῦ σώματος αὐτῆς, εἰς ἑαυτήν, καὶ ἀεὶ προσδοκᾶν τὸν κύριον ἐν πίστει βεβαίᾳ καὶ ἀγάπῃ, πότε ἐλθὼν ἐξ ἀληθείας συναγάγῃ αὐτὴν εἰς ἑαυτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ποιήσῃ τοὺς λόγους αὐτῆς θεϊκούς, λογικούς, οὐρανίους καὶ διδάξῃ αὐτὴν εὐχὴν ἀληθινήν, ἀπερίσπαστον, 4.7.2 ἀρέμβαστον. εἰ δὲ καὶ εἰς εὐχὴν κείμενοι τοῖς λογισμοῖς ἔξω ῥεμβόμεθα καὶ μὴ συνάγομεν ἑαυτούς, ἀλλ' ἐπιδίδομεν καὶ χαυνοῦμεν ἑαυτοὺς τοῖς λογισμοῖς τῆς ἁμαρτίας καὶ μὴ τὸ θέλημα ἡμῶν ἕλκῃ καὶ βιάζηται τοὺς λογισμοὺς πρὸς τὸν κύριον, πῶς αὐτὸς ὁ κύριος θελήματι τῷ ἑαυτοῦ ἔλθῃ πρὸς ἡμᾶς καὶ ἐξ ἀληθείας συναγάγῃ ἡμᾶς πρὸς ἑαυτὸν ἡμῶν χαυνωμένων καὶ ῥεμβομένων ἔξω τοῖς λογισμοῖς; (ἐὰν τὸ σῶμα εἰς εὐχὴν δὴ κεῖται, οὐκ ἀφίῃς τὸν κύριον ἐλθεῖν πρός σε τῷ ἑαυτοῦ θελήματι, ὥσπερ οὐδὲ σὺ τῷ σῷ θελήματι σπεύδεις πρὸς αὐτόν). 4.7.3 Πᾶσα γὰρ ἡ εὐαρέστησις τῷ θεῷ καὶ ἡ διακονία τῆς ψυχῆς ἐν τοῖς λογισμοῖς ἐστιν. σπούδασον ἔσωθεν ἀρέσαι αὐτῷ πάντοτε, ἔσωθεν προσδοκῶν αὐτόν, ἀεὶ σπουδαίως ἔσωθεν ζητῶν αὐτὸν ἐν τοῖς διαλογισμοῖς καὶ βιαζόμενος καὶ ἀναγκάζων τὸ ἑαυτοῦ θέλημα καὶ τὴν προαίρεσιν διαπαντὸς πρὸς αὐτόν, καὶ ὄψει πῶς καὶ αὐτὸς τῷ θελήματι αὐτοῦ ἔρχεται πρός σε καὶ μονὴν ποιεῖται παρὰ σοί. ὅσον γὰρ σὺ τὸν νοῦν σου ἀναγκάζεις εἰς τὴν ζήτησιν αὐτοῦ, αὐτὸς πολὺ μᾶλλον ἀναγκάζεται ὑπὸ τῆς εὐσπλαγχνίας καὶ χρηστότητος αὐτοῦ ἐλθεῖν πρός σε καὶ ἀναπαῦσαί σε πνευματικῶς. οὐκ ἀφέστηκέ σου ὅλως, ἕστηκεν ἀοράτως πρός σε, θεωρῶν σου τὸν νοῦν, τοὺς διαλογισμούς, τὰς ἐνθυμήσεις, θεωρῶν πῶς ζητεῖς αὐτόν· εἰ ἐξ ὅλης ψυχῆς, εἰ μὴ νωθρῶς, εἰ μὴ ἀμελείᾳ καὶ χαυνώσει νοός, εἰ μὴ τοῖς πάθεσι τῆς ἀτιμίας συνεργῶν. 4.7.4 καὶ ὅτε ἴδῃ σε ὅτι πάντοτε σπουδαίως ἕλκεις πανταχόθεν τοὺς διαλογισμούς σου πρὸς τὴν αὐτοῦ μόνην ζήτησιν, τότε αὐτὸς φανεροῦται καὶ ἐπιφαίνεται τῇ ψυχῇ σου ἀρρήτῳ καὶ ἐπιθυμητικῷ κάλλει καταλάμπων σε καὶ οὕτω βοηθείας τῆς ἐξ αὐτοῦ μεταδίδωσί σοι καὶ τὴν νίκην ἐν σοὶ πᾶσαν ποιεῖται, ῥυόμενός σε ἐκ τῶν ἀοράτων ἐχθρῶν σου, θεωρήσας πρότερον τὴν σὴν πρὸς αὐτὸν ὀρθὴν καὶ ἀπερίσπαστον ζήτησιν καὶ τοῦ νοός σου τὴν προσδοκίαν ἀδιαλείπτως καὶ τὴν εἰς αὐτὸν εὐθείαν ἀγάπην καὶ οὕτω διδάσκει σε καὶ δίδωσί σοι ἀληθινὴν εὐχήν, ἀγάπην ἀληθινήν, πίστιν ἀληθείας καὶ ἀληθινὴν χαράν, ἥτις αὐτός ἐστιν ὁ κύριος πάντα ἐν σοὶ γινόμενος. 4.8.1 Εἰσέρχεται γάρ τις κλῖναι γόνυ, καὶ ἡ καρδία πληροῦται ἐκ τῆς θείας ἐνεργείας καὶ εὐφραίνεται ἡ ψυχὴ μετὰ τοῦ κυρίου ὡς νύμφη μετὰ τοῦ νυμφίου κατὰ τὸν λόγον Ἠσαΐου τοῦ προφήτου λέγοντος· «ὃν τρόπον εὐφραίνεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται κύριος ἐπί σοι». καὶ συμβαίνει ὅτι ἀσχολεῖται ὁ τοιοῦτος πᾶσαν ἡμέραν καὶ ἐν μιᾷ ὥρᾳ δίδωσιν ἑαυτὸν εἰς εὐχὴν καὶ ἁρπάζεται ἐν τῇ προσευχῇ ὁ ἔσω ἄνθρωπος εἰς ἄπειρον βάθος ἐκείνου τοῦ αἰῶνος ἐν ἡδύτητι πολλῇ, ὥστε ξενίζεσθαι τὸν νοῦν ὅλον ὄντα μετέωρον καὶ ἡρπασμένον ἐκεῖ, ὥστε κατ' ἐκεῖνον τὸν καιρὸν λήθην γενέσθαι ἐν τοῖς λογισμοῖς τοῦ φρονήματος τοῦ ἐπιγείου, διὰ τὸ μεστωθῆναι τοὺς λογισμοὺς καὶ αἰχμαλωτισθῆναι εἰς τὰ θεῖα καὶ ἐπουράνια, εἰς τὰ ἀπέραντα καὶ ἀκατάληπτα πράγματα, εἰς θαυμάσιά τινα, ἃ ἀνθρωπίνῳ στόματι φρασθῆναι ἀδύνατον, ὥστε ἐν ἐκείνῃ τῇ ὥρᾳ εὔχεσθαι καὶ λέγειν ὅτι "1εἴθε ἀπῆλθεν ἡ ψυχὴ σὺν τῇ εὐχῇ"2. Ἐρώτησις. Εἰ πάντοτε εἰσέρχεται ὁ ἄνθρωπος εἰς ἐκεῖνα τὰ πράγματα; Ἀπόκρισις. Ἡ μὲν χάρις ἀδιαλείπτως σύνεστι καὶ ἐρρίζωται καὶ ἐζύμωται ἐκ νέας ἡλικίας καὶ ὡς φυσικὸν καὶ πεπηγμένον ἐγένετο αὐτὸ τὸ συνὸν τῷ ἀνθρώπῳ, μία δὲ οὖσα ἡ χάρις πολυτρόπως ὡς θέλει πρὸς τὸ συμφέρον τῷ ἀνθρώπῳ οἰκονομεῖ. ποτὲ μὲν πλέον ἐκκαίεται καὶ ἀνάπτεται τὸ πῦρ, ποτὲ δὲ ὥσπερ πραΰτερον καὶ μαλακώτερον καὶ τοῦτο τὸ φῶς κατὰ καιρούς τινας πλέον ὑφάπτεται καὶ λάμπει, ποτὲ δὲ ὑποστέλλεται καὶ στυγνάζει, καίτοι ἡ λαμπὰς πάντοτε καιομένη ἐστὶ καὶ λάμπουσα, ὅταν δὲ φαιδρυνθῇ, πλέον ἐν μέθῃ ἐξετάζεται τῆς ἀγάπης τοῦ θεοῦ, πότε δὲ κατ' οἰκονομίαν ἐνδίδωσι, καίτοι συνὸν τὸ φῶς ἀμβλύτερόν ἐστι. 4.9.2 Πλὴν καὶ ἐπεφάνη



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τισὶ τὸ σημεῖον τοῦ σταυροῦ διὰ φωτὸς καὶ προσεπάγη τῷ ἔσω ἀνθρώπῳ. ἄλλοτε πάλιν ἐν εὐχῇ ὡς ἐν ἐκστάσει γέγονεν ὁ ἄνθρωπος καὶ εὑρέθη εἰς θυσιαστήριον ἑστὼς ἐν ἐκκλησίᾳ καὶ προσηνέχθησαν τῷ τοιούτῳ ἄρτοι τρεῖς ὡς δι' ἐλαίου ἐζυμωμένοι, καὶ ὅσῳ ἤσθιεν, ἐκεῖνο πλέον ηὔξανε καὶ ἐμηκύνετο. ἄλλοτε πάλιν ὥσπερ ἔνδυμά τι φωτεινὸν ἦν οἷον οὐκ ἔστιν ἐπὶ τῆς γῆς εἰς τὸν αἰῶνα τοῦτον οὔτε ὑπὸ ἀνθρωπίνων χειρῶν δυνατὸν κατασκευασθῆναι. καὶ ὃν τρόπον εἰς τὸ ὄρος ἀνελθόντος τοῦ κυρίου μετὰ Ἰωάννου καὶ Πέτρου καὶ Ἰακώβου μετεμορφώθη τὰ ἱμάτια αὐτοῦ καὶ ἐξήστραψεν· οὕτως ἦν τὸ ἔνδυμα ἐκεῖνο καὶ ἐθαμβοῦτο καὶ ἐθαύμαζεν ὁ ἄνθρωπος ἐνδεδυμένος. ἐν ἄλλῳ δὲ καιρῷ αὐτοῦ τοῦ φωτὸς ἀδιαλείπτως φαίνοντος ἐν τῇ καρδίᾳ ἠνοίγετο ἐνδότερον καὶ βαθύτερον καὶ ἀπόκρυφον φῶς καὶ ὁ καινὸς κόσμος καὶ ὁ φωτεινὸς συνῆν τῷ κυρίῳ αἰνῶν καὶ δοξολογῶν, ὥστε ὅλον τὸν ἄνθρωπον καταποθέντα εἰς ἐκείνην τὴν γλυκύτητα καὶ θεωρίαν μηκέτι ἔχειν αὐτόν, ἀλλ' εἶναι ὡς μωρὸν καὶ βάρβαρον τῷ κόσμῳ τούτῳ διὰ τὴν ὑπερβάλλουσαν ἀγάπην καὶ ἡδύτητα καὶ διὰ τὰ ἀπόκρυφα μυστήρια ὡς τὸν ἄνθρωπον κατ' ἐκεῖνον τὸν καιρὸν ἐλευθερωθέντα φθάσαι εἰς τὰ τέλεια μέτρα καὶ εἶναι καθαρὸν καὶ ἐλεύθερον ἀπὸ τῆς ἁμαρτίας. 4.9.3 Ἀλλὰ μετὰ ταῦτα ὑπέστειλεν ἡ χάρις καὶ ἦλθε τὸ κάλυμμα τῆς ἐναντίας δυνάμεως· φαίνεται δέ πως μερικῶς, καὶ ἔστη εἰς βαθμὸν κατώτερον τῆς τελειότητος. ὡς ἵνα εἴπωμεν, δεῖ δεκαδύο βαθμοὺς παρελθεῖν τινα καὶ φθάσαι εἰς τὴν τελειότητα. ἐν καιρῷ τινι ἔφθασε καταλαβεῖν ἐκεῖνο τὸ μέτρον καὶ εἰσελθεῖν εἰς τὴν τελειότητα, πάλιν ἐνδίδωσιν ἡ χάρις καὶ κατέρχεται παρὰ ἕνα βαθμὸν καὶ στήκει εἰς τοὺς ἕνδεκα. εἷς δέ τις πλούσιος ἐν τῇ χάριτι πάντοτε, νυκτὸς καὶ ἡμέρας εἰς τὰ τέλεια μέτρα ἕστηκεν, ὢν ἐλεύθερος καὶ καθαρὸς πάντοτε, αἰχμάλωτος καὶ μετέωρος. καὶ νῷ ἐδείχθη μοι ἐκεῖνα τὰ θαυμάσια καὶ ὧν πεῖραν ἔλαβεν ὁ ἄνθρωποςσυνῆν γὰρ αὐτῷ πάντοτεκαὶ οὐκ ἠδύνατο τὴν οἰκονομίαν τοῦ λόγου ἢ τὸ βάρος ὑποδέξασθαι οὔτε ἠνείχετο ἀκούειν τι ἢ μεριμνᾶν κἂν εἰς τὸ τυχὸν περὶ ἑαυτοῦ οὔτε περὶ τῆς αὔριον, εἰ μὴ μόνον κεῖσθαι ἐν μιᾷ γωνίᾳ μετέωρος καὶ μεμεθυσμένος. ὥστε τὸ τέλειον μέτρον οὐκ ἐδόθη, ἵνα δυνηθῇ σχολάσαι εἰς τὴν μέριμναν τῶν ἀδελφῶν καὶ εἰς τὴν διακονίαν τοῦ λόγου πάλιν «τὸ μεσότοιχον τοῦ φραγμοῦ» διαλέλυται. 4.9.4 Τὰ δὲ πράγματα οὕτως ἐστίν. ὡς γνοφώδης τις δύναμις ἐπίκειται καὶ σκεπάζει ἐλαφρῶς ὡς ἀὴρ παχύς, καίτοι πάντοτε τῆς λαμπάδος καιομένης καὶ φαινούσης, ἀλλ' ὥσπερ ἐπίκειται ἐκείνῳ τῷ φωτὶ κάλυμμα· ὅθεν ὁμολογεῖ ὁ τοιοῦτος, ὅτι οὐκ ἔστι τέλειος οὔτε ἐλεύθερος τὸ ὅλον ἐκ τῆς ἁμαρτίας· ὥστε εἰπεῖν καὶ ἐλεύθερος καὶ οὐκ ἐλεύθερος καὶ διαλέλυται καὶ τέθραυσται «τὸ μεσότοιχον τοῦ φραγμοῦ», καὶ πάλιν ἔν τινι οὐ διαλέλυται τὸ ὅλον. οὔτε δὲ πάντοτε ἴση ἡ εὐχή ἐστι· ἔστι γὰρ καιρὸς ὅτε πλέον ἐξάπτει καὶ παρακαλεῖ καὶ ἀναπαύει καὶ ἔστι καιρὸς ὅτε ὑποστέλλει καὶ στυγνάζει, ὡς αὐτὴ ἡ χάρις οἰκονομεῖ πρὸς τὸ συμφέρον τῷ ἀνθρώπῳ. ὅμως εἰσελθὼν εἰς τὸ μέτρον τὸ τέλειον ἐν καιροῖς καὶ γευσάμενος καὶ πεῖραν ἔχων ἐκείνου τοῦ αἰῶνος, ἀκμὴν δὲ οὐδένα εἶδον τέλειον Χριστιανὸν ἢ ἐλεύθερον, ἀλλὰ καὶ ἀναπαύεταί τις ἐν τῇ χάριτι καὶ εἰσέρχεται εἰς μυστήρια καὶ ἀποκαλύψεις καὶ εἰς ἡδύτητα πολλὴν τῆς χάριτος, καὶ ἡ ἁμαρτία ἀκμὴν ἔσω σύνεστιν. αὐτοὶ δὲ διὰ τὴν ὑπερβάλλουσαν χάριν καὶ τὸ ἐν αὐτοῖς φῶς νομίζουσιν ἐλεύθεροι καὶ τέλειοι εἶναι, παρὰ ἀπειρίαν σφαλλόμενοι, ἐπειδὴ ἔχουσι τῆς χάριτος ἐνέργειαν. ἀκμὴν δὲ οὐδένα εἶδον ἐλεύθερον, ἐπειδὴ κἀγὼ μερικῶς ἐν καιροῖς τισιν εἰσῆλθον εἰς τὸ μέτρον ἐκεῖνο καὶ οἶδα καταμαθεῖν, πῶς ἔστι τέλειος ὁ ἄνθρωπος. 4.10.1 Ἐρώτησις. Εἰπὲ ἡμῖν· σύ, ἐν ποίοις μέτροις εἶ; Ἀπόκρισις. Μετὰ τὸ σημεῖον τοῦ σταυροῦ νῦν ἡ χάρις οὕτως ἐνεργεῖ καὶ εἰρηνεύει ὅλα τὰ μέλη τῆς καρδίας, ὥστε τὴν ψυχὴν καθαρὰν γενομένην ἐκ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλῆς χαρᾶς ὡς παιδίον ἄκακον καὶ ἀφελὲς φαίνεσθαι καὶ οὐκέτι κατακρίνει ὁ ἄνθρωπος Ἕλληνα ἢ Ἰουδαῖον ἢ ἁμαρτωλὸν ἢ κοσμικόν, ἀλλ' ὁ ἔσω ἄνθρωπος καθαρῷ ὀφθαλμῷ πάντας ὁρᾷ καὶ χαίρει ἐπὶ ὅλῳ τῷ κόσμῳ καὶ πάντας θέλει προσκυνεῖν καὶ Ἕλληνας καὶ Ἰουδαίους ἀγαπᾷ. ἄλλῃ ὥρᾳ ὡς υἱὸς βασιλέως οὕτω θαρσεῖ τῷ υἱῷ τοῦ θεοῦ ὡς πατρί, καὶ ἀνοίγονται αὐτῷ θύραι καὶ εἰσέρχεται ἔνδον εἰς πολλὰς μονάς, καὶ ὅσῳ εἰσέρχεται, πάλιν ἀνοίγονται αὐτῷ, πρὸς λόγον ἀπὸ ἑκατὸν μονῶν ἄλλαι ἑκατὸν μοναὶ καὶ πλουτεῖ, καὶ ὅσῳ πλουτεῖ, πάλιν ἄλλα καινότερα καὶ θαυμάσια δείκνυται αὐτῷ, καὶ ἐμπιστεύεται ὡς υἱὸς καὶ κληρονόμος πράγματα μὴ δυνάμενα ῥηθῆναι ὑπὸ φύσεως ἀνθρωπίνης ἢ στόματι καὶ γλώσσῃ διαρθρωθῆναι. Ἄλλῃ ὥρᾳ λοιπὸν ὡς πρέσβις θεοῦ ἐκ τῆς πολλῆς πρὸς αὐτὸν ἀγάπης ἄρχεται δέεσθαι ὑπὲρ τοῦ κόσμου, ἵνα σωθῇ ὅλος ὁ Ἀδὰμ ἐκκαιόμενος ἐκ τῆς ἀγάπης. καὶ θέλων πάντας σωθῆναι διδάσκει λόγον ζωῆς καὶ τὰ τῆς βασιλείας πρεσβεύων ὑπὲρ Χριστοῦ καὶ ἐξηγούμενος, ὅσον δυνατόν ἐστιν ἀκοῦσαι μυστήριά τινα ἐπουράνια καὶ θεῖα τοῦ ἀπείρου αἰῶνος τοῦ ἀκατονομάστου καὶ ἀκαταλήπτου. 4.11.2 Ἄλλῃ ὥρᾳ ὁπλίζεται ὅλος ὁ ἄνθρωπος τὴν πανοπλίαν τοῦ θεοῦ ἐνδεδυμένος καὶ λαμβάνει στρατιὰν ἐπουράνιον πνευμάτων ἁγίων καὶ ἄρχεται κατακόπτειν τὰς παρεμβολὰς τῶν ἐχθρῶν καὶ ποιεῖν ἐκεῖ σφαγὰς πολλῶν πτωμάτων. 4.11.3 Ἄλλῃ ὥρᾳ ἐνεργεῖ τῇ ψυχῇ καὶ εὐφραίνονται μετ' ἀλλήλων ἡ ψυχὴ καὶ ὁ κύριος καὶ ὁ ἄνθρωπός ἐστιν ἐν πολλῷ φωτὶ καὶ χαρᾷ πρός τε τὸν κύριον καὶ τοὺς ἀδελφούς, ὅμως δὲ ἡ λαμπὰς καὶ τὸ φῶς νυκτὸς καὶ ἡμέρας καίεται. τὸ δὲ ὅλον κατ' οἰκονομίαν οὐκ ἠλευθέρωται ὁ ἄνθρωπος καὶ σχεδὸν ὅλος ἠλευθέρωται καὶ ὅλος ἐστὶ καθαρὸς καὶ σχεδὸν οὔκ ἐστιν ὡς δεῖ. ὅμως διακόπτεται τὸ 4.11.4 μεσότοιχον καὶ νενίκηται ὁ θάνατος. ποτὲ δὲ ἡ λαμπὰς πλέον ἐκκαίεται καὶ φαιδρύνεται, ὥστε μὴ δύνασθαι τὸν ἄνθρωπον φέρειν τὴν λαμπηδόνα ἐκείνην καὶ τὴν στιλβότητα, ἀλλὰ εἶναι ὡς ἐκλελυμένον. πάλιν καίτοι ἁπτόμενον τὸ φῶς ὥσπερ στυγνάζει καὶ ἐπίκειται ὥσπερ ἀήρ τις λεπτός, γνοφώδης, ὡς ἐπὶ δέρματος τῆς ἐναντίας δυνάμεως. διὰ τοῦτο λέγει ὁ τοιοῦτος ἄνθρωπος· ὅτι οὐκ εἰμὶ τὸ ὅλον ἐλεύθερος. 4.12.1 Ἐρώτησις. Διὰ τί οἱ μὴ ἔχοντες τὸ ἅγιον πνεῦμα ἐν ἑαυτοῖς οὐ δύνανται ἄρτιον καὶ ζωηρὸν ἀποδοῦναι λόγον; Ἀπόκρισις. Ὥσπερ τὸ γεννώμενον παιδίον ἐκ τῆς μήτρας σῶα τὰ μέλη ἔχον ἐξέρχεται καὶ μὴ ἔχον σίνος εἰς τὸ σῶμα, οὕτω καὶ οἱ γεννηθέντες ἐκ τῆς χάριτος τοῦ πνεύματος καὶ εἰ ἐν σαρκὶ εἰς τὸν κόσμον τοῦτον φαίνονται, ἀλλὰ τῷ πνεύματι διόλου εἰς τὸν ἐκεῖ κόσμον εἰσὶ ἀναπεπαυμένοι, ὅθεν καὶ ἐγεννήθησαν, καὶ οὗτοι μόνοι δύνανται τέλειον λόγον δοῦναι τοῖς ἀδελφοῖς, ἔχοντες τὰ μέλη τοῦ πνεύματος τέλεια ἐν ἑαυτοῖς. εἰ δέ τινες ἐκεῖθεν οὐκ ἐγεννήθησαν, οὐ δύναται παραδοῦναι λόγον πνευματικόν, ἐπειδὴ οὐκ ἔχουσι τὸ ζῶν πνεῦμα, ὅπερ ὑπαγορεύει αὐτοῖς τὰ ἐπουράνια. Καὶ ὥσπερ ἵνα ἐὰν ᾖ παιδίον ἐκ μήτρας γεννώμενον ἐπίμωμον ἢ χωλὸν ἢ τυφλὸν ἀπὸ γενετῆς, ὡς τέρας καὶ σημεῖόν ἐστι τῷ κόσμῳ, οὕτως εἰσὶν οἱ σοφοὶ οἱ θέλοντες ἑρμηνευταὶ εἶναι τῶν γραφῶν μὴ ἔχοντες τὸ οὐράνιον πνεῦμα· μηκέτι γὰρ κερασθέντες ἐν τῇ θεότητι ἐπίμωμοί εἰσι, μὴ ἔχοντες ὑγιῆ τὰ 4.13.2 μέλη, ἀλλ' ἐπιλήψιμον λόγον καὶ σαθρὸν παραδιδόντες. καὶ ὥσπερ ἵνα ᾖ νόμισμα, ὃ εἰς ἓν μέρος δοκεῖ ἔχειν χάραγμα καὶ εἰς τὸ ἄλλο μέρος βεβλαμμένον ἐστὶ καὶ ἄχρηστον, μὴ ἀπερχόμενον εἰς ἐμπορίαν, οὕτως εἰσὶ καὶ οἱ βεβλαμμένοι ὄντες ὑπὸ τῆς ἐμπυρίας ἤγουν ὑπὸ τῆς ἁμαρτίας· ὑπὸ γὰρ τοῦ νοὸς αὐτῶν ἤτοι σοφίας θέλουσι λαλεῖν τὰ οὐράνια, ὅθεν οὐκ ἐγεννήθησαν. 4.13.3 ἐπεὶ ὑπόστησόν μοι πρόσωπον ἕν, ὅτι ἔστι τις σοφός, παρθένος καὶ ἐν τοῖς φαινομένοις ἀνεπίληπτος, νηστεύων, ἀγρυπνῶν, ἀποταξάμενος, ξένος τοῦ κόσμου, εὐχόμενος. λοιπὸν διαλέγομαι ἐγὼ πρὸς τοῦτον· παρθένος εἶ σύ; μᾶλλον σοῦ ἐγώ. πτωχὸς εἶ; περισσότερον σοῦ ἐγώ.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νηστεύεις; μᾶλλον σοῦ ἐγώ. λοιπὸν ἐν τούτοις ἐγὼ περισσότερός σου· λέγω οὖν ὅτι οὐκ ὀφείλει τις ἐναπομεῖναι ἐν τούτοις τοῖς φαινομένοις καὶ οὐκ ὀφείλει ἀμεριμνεῖν ὁ νοῦς καὶ ἐπαναπαύεσθαι ἐν τούτοις ὡς ὢν τέλειος, ἀλλὰ ζητεῖν χρὴ τὸν νοῦν δύναμίν τινα ἐπουράνιον, ἵνα κερασθῇ ἐν τῷ νῷ καὶ ἐκδέξασθαι κατὰ πᾶσαν ὥραν τὸ οὐράνιον δῶρον τοῦ τὴν φύσιν σου τοῖς φυσικοῖς καρποῖς μιγῆναι, ἵνα πάντα ἅπερ ποιῇς 4.13.4 καθαρῶς ᾖς ποιῶν. καὶ ὥσπερ ἵνα ᾖ βασιλεὺς ἔχων σῶα τὰ μέλη, ἐὰν μὴ ᾖ τὴν πορφύραν ἐνδεδυμένος, οὐ προσκυνεῖται ὡς βασιλεύς, οὕτω καὶ σύ, εἰκῇ τὰ φυσικὰ μέλη σῶα ἔχεις, ἐὰν μὴ ἐνδύσῃ πορφύραν πνεύματος οὐ στεφανοῦσθαι οὐδὲ εἰς θρόνον βασιλικὸν ἀναβῆναι δυνήσῃ· ἀλλὰ εἰκῆ ταῦτα περιφέρεις. 4.14.1 Ἐρώτησις. Ἐὰν δὲ εἰς ἔτη τριάκοντα ἢ τεσσαράκοντα μὴ δέξωμαι τὴν θείαν δύναμιν καὶ συμβῇ με ἐξελθεῖν ἐκ τοῦ βίου, τί; Ἀπόκρισις. Ἐγώ σοι πρὸς τοῦτο ἀποκρίνομαι, ὅτι οὐ κρίνει σε ὁ θεὸς ὡς βλάσφημον, ὅτι περισσοτέραν σπουδὴν ἐνεδείξω. εἰπεῖν σοι ἔχει ὁ θεός, ὅτι ἐπειδὴ ἐξῆλθες ὀπίσω μου καὶ ἔκλαυσας καὶ ἐζήτησας νυκτὸς καὶ ἡμέρας καὶ παρ' ὃ ᾖς τὸ πρότερον ἀμεριμνῶν ἐν τοῖς φαινομένοις καὶ φυσιούμενος ἐπ' αὐτοῖς, νῦν πλέον ἐσπούδασας κατὰ τὰς γραφὰς ζητῶν τὴν ἀλήθειαν, ὥστε δέξασθαι τὴν θείαν δύναμιν ἐν ἑαυτῷ, οὐ κρίνω σε ἐν τούτῳ ὡς βλάσφημον· μὴ γένοιτο, ἀλλὰ δέχεται σε ὡς καλλίονα σεαυτοῦ γενόμενον παρ' ὃ ᾖς τὸ πρότερον. καὶ σὺ δὲ αὐτὸς δοκίμασον ἐν ἑαυτῷ καὶ διάκρινον ὅτι ἡ νῦν σου πολιτεία καὶ ἐργασία ἀνωτέρα ἐστίν. ἐγὼ δέ σοι λέγω κατὰ τὰς γραφάς, ὅτι «ὁ ζητῶν εὑρίσκει, καὶ ὁ αἰτῶν λαμβάνει, καὶ τῷ κρούοντι ἀνοιγήσεται». 4.14.2 Ἀλλὰ λέγεις μοι ὅτι· ἀπόδειξόν μοι, πῶς σύνεστι τοῖς πιστοῖς ἡ θεία δύναμις. ἀποκριθήσομαι σοι καὶ πῶς σε πείσω, ὅτι ἡ θεία δύναμις τοῖς πιστοῖς σύνεστιν, ἀπὸ τῆς παλαιᾶς διαθήκης ἢ ἀπὸ τῆς καινῆς; ἔλθωμεν πρῶτον ἐπὶ τὴν σκιάν. τίς ἐνεδυνάμωσε τὸν Ἀβραὰμ γέροντα ὄντα καὶ ἔχοντα «σῶμα νενεκρωμένον» ἐλθεῖν εἰς ἀνακαινισμὸν καὶ γεννῆσαι υἱόν; ἀλλὰ λέγεις μοι· τὰς μὲν θυσίας αὐτοῦ ἐδέξατο, πρὸς αὐτὸν δὲ οὐκ ἦν. καὶ τίς φίλος βουλόμενος τῷ φίλῳ αὐτοῦ συντυχεῖν πρῶτον εἰς τὴν ὕπαρξιν αὐτοῦ διακινεῖ, εἰς χώραν ἢ εἰς ἄμπελον, καὶ τότε αὐτὸν ὁρᾷ καὶ καταφιλεῖ; καὶ ὁ θεὸς ἄρα οὐ τὰς μὲν θυσίας τοῦ Ἀβραὰμ ἐδέξατο καὶ τὰ ὑπάρχοντα, πρὸς αὐτὸν δὲ οὐκ ἦν οὐδὲ ᾤκει ἐντὸς αὐτοῦ; καὶ ὅτε συνέβαλεν εἰς πόλεμον, τίς ἦν ὁ νικῶν; ἡ φύσις αὐτοῦ μόνον ἢ ὁ θεὸς ἦν οἰκῶν ἐν αὐτῷ καὶ ποιῶν τὴν νίκην; ἔλθωμεν ἐπὶ τὸν Νῶε. τίς ἦν ὁ ὑποτάξας ἔμπροσθεν αὐτοῦ ὅλα τὰ γένη τῶν θηρίων; ἡ φύσις αὐτοῦ ἢ οὐράνιόν τι συνὸν αὐτῷ τὸ ὑπὲρ τὴν φύσιν, ὅπερ ἔκτισεν καὶ αὐτὰ τὰ ζῶα καὶ ὑπέταξεν ἔμπροσθεν αὐτοῦ ταῦτα τὰ θηρία; ὁ Ἰακὼβ δὲ ὑπὸ ἰδίας δυνάμεως τοιοῦτον λίθον ἀπεκύλισεν ἢ θεία δύναμις ἦν ἐν τῷ νοῒ αὐτοῦ ἡ ἀποκυλίσασα τὸ βάρος τοῦ λίθου; τοσοῦτον δὲ ἀδιαλείπτως σὺν αὐτῷ ἦν ὁ θεός, ὅτι οὐδὲ εἰ ἐκοιμᾶτο ἠφίει αὐτόν. ἤνοιξε γὰρ αὐτῷ τὰς θύρας τῶν οὐρανῶν καὶ ἔδειξεν αὐτὸν τὸν οὐράνιον οἶκον, εἰς τύπον κλίμακος φανεὶς αὐτῷ. εἶτα ἐπάλαιεν αὐτῷ ὡς ἄνθρωπος πρὸς ἄνθρωπον. 4.15.1 Τίς ἦν ὁ κλείσας τὰς θύρας τῶν οὐρανῶν; Ἠλίας ἦν; ἢ θεὸς ἦν ἐν αὐτῷ ὁ ἐπιτάξας τῷ ὑετῷ; νομίζω ὅτι ὁ ἐξουσιαστὴς τῶν ὑετῶν καὶ κτίστης τῶν οὐρανῶν. οὗτος ἐνεκαθέσθη ἐντὸς τοῦ νοὸς αὐτοῦ καὶ διὰ τῆς γλώσσης αὐτοῦ ὁ λόγος τοῦ θεοῦ ἐκώλυσε τοῦ μὴ κατελθεῖν ὑετὸν ἐπὶ τῆς γῆς, καὶ πάλιν 4.15.2 εἶπε, καὶ ἠνοίγησαν αἱ θύραι τῶν οὐρανῶν καὶ κατῆλθεν ὑετός. ὁμοίως ὁ Μωϋσῆς ἔθηκε τὴν ῥάβδον καὶ ἐγένετο ὄφις καὶ εἶπε καὶ ἐγένετο ξύλον, ἔλαβεν ἀπὸ καμίνου τέφραν καὶ ἐσκόρπισε καὶ ἐγένοντο σκνῖφες καὶ βάτραχοι εἰς τοὺς οἴκους τῶν βασιλέων καὶ πάντων τῶν Αἰγυπτίων. ἡ μία δρὰξ τῆς αἰθάλης πῶς ἤκουσε καὶ ὥδευσε καὶ εἰσῆλθεν ὡς οὔτε ψυχὴν εἶχεν οὔτε νοῦν λογικόν; ταῦτα ἆρα φύσις ἀνθρωπίνη ποιεῖν δύναται; λέγει τῇ θαλάσσῃ καὶ διαμερίζεται, λέγει τῷ ποταμῷ καὶ μεταβάλλεται εἰς αἷμα,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δηλονότι οὐρανία δύναμις ᾤκει ἐν 4.15.3 τῷ σώματι αὐτοῦ καὶ διὰ Μωϋσέως ἐποίει τοιαῦτα σημεῖα. ὁ Δαβὶδ πῶς ἐδύνατο ἄνευ ὅπλου κατὰ τοιούτου γίγαντος συμβαλεῖν εἰς πόλεμον; λέγει γὰρ ὁ θεὸς τῷ Δαβὶδ ἀποθέσθαι αὐτὸν τὰ ὅπλα καὶ γυμνὸν ἀπελθεῖν πρὸς αὐτόν, καὶ ὁ ἀλλόφυλος κατεγέλα αὐτοῦ. καὶ ὅτε ἔρριψεν ὁ Δαβὶδ τὸν λίθον κατὰ τοῦ ἀλλοφύλου, διὰ τῆς χειρὸς τοῦ Δαβὶδ χεὶρ θεοῦ ὡδήγει τὸν λίθον, ὅπως ἀπέλθῃ κατ' αὐτοῦ καὶ αὐτὴ ἡ θεία δύναμις ἀπέκτεινεν αὐτόν. οὐ γὰρ ἐδύνατο ὁ Δαβὶδ ἀσθενὴς ὢν κατὰ τὸ σῶμα νικῆσαι τοιοῦτον γενναῖον, εἰ μὴ 4.15.4 θεία δύναμις συνῆν αὐτῷ ἡ ποιήσασα τὴν νίκην. Ἰησοῦς ὁ τοῦ Ναυὴ ὅτε ἀπῆλθεν εἰς τὴν πόλιν Ἰεριχώ, περιεκαθέσθη ἑπτὰ ἡμέρας μηδὲν δυνάμενος τῇ ἰδίᾳ φύσει ποιῆσαι. ἐκέλευσεν οὖν αὐτῷ ὁ θεὸς συλλέγειν κιθάρας καὶ σάλπιγγας, καὶ οὕτως ἀφ' ἑαυτῶν τὰ τείχη ἔπεσον τῆς πόλεως. ὁμοίως καὶ ὅτε ἀπῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, λέγει τῷ Ἰησοῦ ὁ κύριος· "1ἄπελθε εἰς πόλεμον."2 λέγει ὁ Ἰησοῦς τῷ κυρίῳ· "1ζῇ κύριος, οὐ μὴ ἄνευ σου ἀπέλθω."2 καὶ τίς ἐστιν ὁ ἐπιτάξας τῷ ἡλίῳ, ὥστε στῆναι αὐτὸν εἰς ἄλλας δύο ὥρας ἐν τῇ συμβολῇ τοῦ πολέμου; αὕτη ἡ φύσις ἐδύνατο ἐπιτάξαι; ἢ ἡ δύναμις ἡ συνοῦσα αὐτῷ ἐπέταξε 4.15.5 τῷ ἡλίῳ καὶ ἐπήκουσε καὶ ἐποίησε τὴν νίκην; Μωϋσῆς ὅτε συνέβαλε τῷ Ἀμαλήκ, ὅτε μὲν ἐξέτεινε τὰς χεῖρας πρὸς τὸν θεόν, ἐπάτει τὸν Ἀμαλήκ, ὅτε δὲ ἔκλινε τὰς χεῖρας, περιεγένετο ὁ Ἀμαλήκ. 4.15.6 Ὅτε ἀκούεις ταῦτα γενόμενα, μὴ μακράν σου ἀπέλθῃ ὁ νοῦς, ἐπειδὴ ἐκεῖνα τύπος ἦν καὶ σκιὰ τῶν ἀληθινῶν πραγμάτων. ἀνάλαβε οὖν πρὸς ἑαυτόν. ὅτε γὰρ ἐκτείνῃς τὰς χεῖρας τοῦ νοός σου καὶ τοὺς λογισμούς σου εἰς τὸν οὐρανὸν καὶ θελήσεις προσκολληθῆναι τῷ κυρίῳ, κατώτερος τῶν λογισμῶν σου γίνεται ὁ σατανᾶς, καὶ πατεῖς αὐτόν, ὅταν δὲ κλίνῃ σου ὁ λογισμὸς ἤγουν ὁ νοῦς ἐπὶ τὰ γήϊνα καὶ σαρκικά, ἀνώτερος τῶν λογισμῶν σου γίνεται ὁ σατανᾶς. καὶ ὥσπερ ἐκεῖ τὰ τείχη ἔπεσαν διὰ δυνάμεως θεοῦ, οὕτω καὶ νῦν τὰ τείχη τῆς κακίας τὰ κωλύοντα τὸν νοῦν καὶ αἱ πόλεις τοῦ σατανᾶ καὶ οἱ ἐχθροὶ ἐξολοθρεύ4.15.7 ονται διὰ δυνάμεως θεοῦ. εἰ οὖν κατὰ τὸ εἰρημένον εἰς τὴν σκιὰν οὕτω συνῆν τοῖς δικαίοις ἡ δύναμις τοῦ θεοῦ ποιοῦσα θαυμάσια φοβερὰ καὶ φανερὰ, ἀλλ' εἰ καὶ ἔξωθεν σημεῖα ἐποίουν διὰ τῆς θείας δυνάμεως, ἀλλ' ἔσωθεν δὲ ᾤκει ἐν αὐτοῖς ἡ θεία χάρις, ὁμοίως καὶ εἰς τοὺς προφήτας, ὅτε χρεία ἦν πράγματα μεγάλα εἰπεῖν τῷ κόσμῳ, ἐνήργει εἰς αὐτοὺς καὶ διηκόνει τὸ πνεῦμα ἐν ταῖς ψυχαῖς, τοῦ προφητεύειν καὶ λαλεῖν. οὐ πάντοτε δὲ ἐλάλουν, ἀλλ' ὅτε ἤθελε τὸ 4.15.8 ἐν αὐτοῖς πνεῦμα· πλὴν ἡ δύναμις πάντοτε συνῆν. εἰ οὖν εἰς τὴν σκιὰν τοσοῦτον ἐξεχύθη τὸ πνεῦμα, πόσῳ μᾶλλον εἰς τὴν καινὴν διαθήκην, εἰς τὴν ἔλευσιν τοῦ κυρίου, ὅπου ἐγένετο ἡ ἔκχυσις καὶ ἡ μέθη τοῦ πνεύματος. «ἐκχέω, γάρ φησιν, ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα». διὰ τοῦτο γὰρ εἶπε· «μεθ' ὑμῶν ἔσομαι ἕως τῆς συντελείας τοῦ αἰῶνος». «πᾶς γὰρ ὁ ζητῶν εὑρίσκει». «εἰ γὰρ ὑμεῖς πονηροὶ ὄντες οἴδατε ἀγαθὰ δόματα διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὁ οὐράνιος δίδωσι πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν». 4.15.9 ἐκείνη ἡ δύναμις ἡ ἐξ ἀρχῆς γενομένη μετὰ τῶν πατέρων καὶ μετὰ τῶν ἀποστόλων, ἡ αὐτὴ ἵνα κατασκηνώσῃ εἰς ἡμᾶς καὶ ἀναπαύσῃ ἡμᾶς. 4.16.1 Ἐρώτησις. Ἐπειδή τινες λέγουσιν, ὅτι οἱ θρόνοι καὶ οἱ στέφανοι κτίσματά εἰσι καὶ οὐχὶ πνεύματα, πῶς ὀφείλομεν ἀκοῦσαι; Ἀπόκρισις. Ὁ θρόνος τῆς θεότητος ὁ νοῦς ἡμῶν ἐστι, καὶ πάλιν ὁ θρόνος τοῦ νοῦ ἡ θεότης ἐστὶ καὶ τὸ πνεῦμα. ὁμοίως δὲ καὶ ὁ σατανᾶς καὶ αἱ δυνάμεις καὶ ἄρχοντες διὰ τῆς παραβάσεως τῆς ἐντολῆς ἐνεκάθισαν εἰς τὴν καρδίαν καὶ εἰς τὸν νοῦν καὶ εἰς τὸ σῶμα τοῦ Ἀδὰμ ὡς εἰς θρόνον ἴδιον. λοιπὸν οὖν διὰ τοῦτο ἦλθεν ὁ κύριος καὶ ἔλαβεν ἐκ τῆς παρθένου τὸ σῶμα. εἰ γὰρ ἠθέλησε γυμνῇ τῇ θεότητι κατελθεῖν, τίς ἠδύνατο ὑπενεγκεῖν; ἀλλὰ διὰ τοῦ ὀργάνου τοῦ σώματος λαλεῖ τοῖς ἀνθρώποις. λοιπὸν οὖν τὸ σῶμα, εἰς ὃ ἐνεκαθέζοντο τὰ πονηρὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνεύματα, ἀπεξέδυσεν ὁ κύριος καὶ ἐνεδύσατο τὸ σῶμα «ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας» καὶ ἐποίησεν ἐκεῖνο τὸ σῶμα ἴδιον θρόνον τοῦ πνεύματος αὐτοῦ. ὥσπερ καὶ ἡ Μαρία λέγει ὅτι «ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός». «καθεῖλε δυνάστας ἀπὸ θρόνων», τὰ ἀρχοντικὰ πνεύματα τῆς πονηρίας ἀπὸ τῶν θρόνων τῶν νοημάτων καὶ τῶν λογισμῶν, ὅπου ἐνεπολιτεύοντο, καθεῖλε καὶ ἐκαθάρισε τὴν συνείδησιν ὁ κύριος καὶ ἑαυτῷ θρόνον ἐποίησε τὸν νοῦν καὶ τὸ σῶμα καὶ τοὺς λογισμούς. Ἐρώτησις. Τί οὖν ἐστιν ὃ εἶπε· «καθήσεσθε ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»; Ἀπόκρισις. Τοῦτο εὑρίσκομεν ὅτι ἐπὶ τῆς γῆς ἐγένετο, ὅτε ἀνελήφθη ὁ κύριος εἰς τοὺς οὐρανούς. ἔπεμψε γὰρ τὸ πνεῦμα τὸ παράκλητον ἐπὶ τοὺς δώδεκα ἀποστόλους, τὴν ἁγίαν αὐτοῦ δύναμιν, ἥτις ἐλθοῦσα κατεσκήνωσε καὶ ἐνεκαθέσθη εἰς τοὺς θρόνους τῶν νοημάτων αὐτῶν. καὶ ἴδε οἱ παρεστῶτες λέγουσιν· «ὅτι γλεύκους μεμεστωμένοι εἰσί». λοιπὸν ἤρξατο Πέτρος κρίνειν αὐτούς, λέγων περὶ τοῦ Ἰησοῦ ὅτι "1ἄνδρα δυνατὸν ἐν λόγῳ καὶ ἐν σημείοις ὑμεῖς ἐσταυρώσατε κρεμάσαντες ἐπὶ ξύλου"2, καὶ ποιεῖ θαυμάσια καὶ διαρρήσσει τοὺς λίθους τῶν μνημείων καὶ ἐγείρει τοὺς νεκρούς. γέγραπται δὲ ὅτι· «ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες» καὶ νῦν πληροῦται. ἦλθον οὖν εἰς μετάνοιαν κατηχηθέντες ὑπὸ τοῦ Πέτρου πολλοί, ὡς γενέσθαι κόσμον θεοῦ ἐκλεκτόν. 4.17.2 Ὁρᾷς πῶς ἀρχὴ κρίσεως τότε γέγονεν, ἐκεῖ γὰρ ἐφάνη κόσμος καινός. ὧδε δὲ ἐδόθη αὐτοῖς ἐξουσία τοῦ καθεσθῆναι ἐν τῷ κόσμῳ τούτῳ καὶ κρῖναι καίτοι μελλόντων αὐτῶν καθέζεσθαι καὶ ποιεῖν κρίσιν ἐπὶ τῆς παρουσίας αὐτοῦ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν, ὧδε γίνεται τοῦ ἁγίου πνεύματος καθεσθέντος ἐν τῷ θρόνῳ τῶν νοημάτων αὐτῶν. ἀλλὰ καὶ τὰ διαδήματα, ἅπερ λαμβάνουσιν οἱ Χριστιανοὶ ἐν ἐκείνῳ τῷ αἰῶνι, οὐκ εἰσὶ κτίσματακαὶ οἱ λέγοντες κακῶς λέγουσιν, ἀλλὰ ταῦτα τὸ πνεῦμα μεταμορφούμενον ὑποδεικνύει. τί λέγει ὁ ἀπόστολος περὶ Ἱερουσαλὴμ τῆς ἐπουρανίου, ὅτι «αὕτη ἐστὶ μήτηρ πάντων ἡμῶν», εἰς ἣν ὁμολογοῦμεν. περὶ δὲ τοῦ ἐνδύματος, οὗ φοροῦσιν οἱ Χριστιανοί, δηλονότι αὐτὸ τὸ πνεῦμα ἀμφιάζει αὐτούς. 4.18.1 Ὥσπερ ἐάν τις ἔλθῃ εἰς οἴκους βασιλικοὺς καὶ ἴδῃ τὰς ἐκεῖ ἱστορίας καὶ τὰ κάλλη, ἀλλαχοῦ θησαυροὺς ἀποκειμένους, καὶ ἀνακλιθῇ μετὰ τοῦ βασιλέως καὶ παρατεθῇ ἐδέσματα καὶ πόματα ἡδύτατα καὶ ἀναπαυθῇ παντοίως εἰς τὰς θεωρίας καὶ τὰ κάλλη, μετὰ ταῦτα δὲ ἀποσπασθεὶς ἔνθεν εὑρεθῇ εἰς δυσώδεις τόπους, λοιπὸν ἄρχεται ἐκχέειν δάκρυα ὡς ἀπὸ τοιούτων τόπων εἰς σκοτεινοὺς 4.18.2 καὶ δυσώδεις τόπους ἀπαχθείς. ἢ ὥσπερ ἵνα ᾖ τις ὡραία καὶ σοφωτάτη καὶ πλουσιωτάτη ὑπὲρ πάσας, καὶ ἀναλάβῃ ἄνδρα πενιχρὸν καὶ ταπεινόν, δυσειδῆ, ἐνδεδυμένον ῥάκη, καὶ ἀποδύσῃ αὐτὸν τὰ ῥυπαρὰ ἐνδύματα καὶ ἐνδύσῃ βασιλικὴν ἐσθῆτα καὶ θῇ αὐτῷ διαδήματα καὶ γένηται αὐτῷ κοινωνική, λοιπὸν ἄρχεται ὁ πτωχὸς πτοεῖσθαι καὶ ξενίζεσθαι λέγων· "1ἐμοὶ τῷ ταλαιπώρῳ καὶ ταπεινῷ καὶ μετρίῳ τοιαύτη κοινωνικὴ ἐδόθη;"2 οὕτως ὁ θεὸς τῷ ταπεινῷ καὶ ταλαιπώρῳ ἀνθρώπῳ ἐποίησεν. ἔγευσεν αὐτὸν ἄλλου αἰῶνος, ἄλλης τρυφῆς ἡδυτάτης, ἔδειξεν αὐτῷ δόξας καὶ κάλλη βασιλικά, ἄρρητα, ἐπουράνια, καὶ λοιπὸν ὁ ἄνθρωπος συγκρίνων ἐκεῖνα τὰ πνευματικὰ τοῖς τοῦ αἰῶνος τούτου, πάντα ἀποβάλλει, εἴτε βασιλέα βλέπει εἴτε δυνάστας εἴτε σοφούς, ὅλα σικχαίνει πρὸς ἐκεῖνον τὸν θησαυρὸν τὸν ἐπουράνιον· ἐπειδὴ γὰρ «ὁ θεὸς ἀγάπη ἐστίν», ἐδέξατο τὸ νοερὸν καὶ θεῖον πῦρ τοῦ Χριστοῦ καὶ ἀνεπαύθη καὶ ἐχάρη, καὶ ἐκεῖ ἐστιν ἀποδεδεμένος. 4.19.1 Ἐρώτησις. Σύνεστιν ὁ σατανᾶς τῷ θεῷ εἴτε ἐν τῷ ἀέρι εἴτε ἐν ἀνθρώποις; Ἀπόκρισις. Ὁ ἥλιος οὗτος κτίσμα ὤν, καταλάμπων εἰς βορβορώδεις τόπους τί βλάπτεται; πόσῳ μᾶλλον τὸ θεῖον συνὸν τῷ σατανᾷ οὔτε ῥυποῦται οὔτε μιαίνεται· ἐπέτρεψε δὲ εἶναι τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακὸν εἰς γυμνασίαν τῷ ἀνθρώπῳ. πλὴν τὸ κακὸν ἐσκότωται καὶ τετύφλωται καὶ οὐ δύναται ἰδεῖν τὸ καθαρὸν καὶ λεπτὸν τοῦ θεοῦ. εἰ δὲ λέγεις ἴδιον τόπον ἔχειν τὸν σατανᾶν καὶ ἴδιον τὸν θεόν, ποιεῖς αὐτὸν μὴ ἐν παντὶ ὄντα καὶ περιγραπτὸν εἰς ἐκεῖνον τὸν τόπον, ἔνθα κατοικεῖ. ἡμεῖς δὲ λέγομεν τὸν θεὸν ἀκατάληπτον καὶ ἀπερίγραπτον καὶ πάντα ἐν αὐτῷ εἶναι, καὶ μὴ μιαίνεσθαι τὸ ἀγαθὸν ὑπὸ τοῦ κακοῦ. μὴ γάρ, ἐπειδὴ ὁ οὐρανὸς καὶ ὁ ἥλιος καὶ τὰ ὄρη ἐν αὐτῷ τῷ θεῷ εἰσι καὶ δι' αὐτοῦ συνεστήκασι, μὴ καὶ αὐτὰ θεὸς ἐγένετο; τὰ δημιουργήματα εἰς τὴν ἰδίαν τάξιν πέπηκται, καὶ ὁ δημιουργὸς συνὼν τοῖς κτίσμασι θεός ἐστι. Ἐρώτησις. Ἐπειδὴ ἡ ἁμαρτία «μεταμορφοῦται εἰς ἄγγελον φωτὸς» καὶ παρόμοια τῆς χάριτος φέρει, πῶς ἵνα νοήσῃ ἄνθρωπος «τὰς μεθοδείας τοῦ διαβόλου», καὶ πῶς δέξηται καὶ διακρίνῃ τὰ τῆς χάριτος; Ἀπόκρισις. Τὰ τῆς χάριτος χαρὰν ἔχει, εἰρήνην, ἀγάπην, ἀλήθειαν, καὶ ὅταν δέξηται τὴν ἀλήθειαν, ἀναγκάζει τὸν ἄνθρωπον ἀλήθειαν ἐπιζητεῖν. τὰ δὲ τῆς ἁμαρτίας ἀειδή ἐστι, τεταραγμένα, οὐκ ἔχει ἀγάπην καὶ χαρὰν πρὸς τὸν θεόν. ὥσπερ ἐστὶν ἡ πικρὶς ὁμοία τῆς θρίδακοςἀλλὰ τὸ μὲν γλυκύ, τὸ δὲ πικρὸν εἶναι καὶ παρόμοιον, οὕτω καὶ ἐν αὐτῇ τῇ χάριτι ἔστιν ὁμοίωμα 4.20.2 ἀληθείας καὶ ἔστιν αὐτὴ ἡ ὑπόστασις τῆς ἀληθείας. οἷον ἔστιν ἡ αὐγὴ τοῦ ἡλίου καὶ αὐτὸς ὁ κύκλος, ἄλλως ἡ αὐγὴ φαίνει καὶ ἄλλως τὸ φῶς τὸ ἀποκείμενον ἐν τῷ κύκλῳ. ἔστι λύχνος ἅπτων εἰς οἶκον, ἄλλος ἐστὶν ἅπτων πανταχοῦ. ἄλλη οὖν ἡ αὐγὴ ἡ ἁπτομένη ἐν αὐτῷ τῷ λύχνῳ, λαμπροτέρα καὶ φαιδροτέρα. οὕτως ἐστίν, ὅτε ὡς μακρόθεν αὐτοῦ ὁράσεις τινὰς βλέπει ὁ ἄνθρωπος καὶ χαίρει ἐν αὐταῖς ταῖς ὁράσεσι, καὶ ἔστιν ἄλλος καὶ εἰσέρχεται εἰς αὐτὸν ἡ δύναμις τοῦ θεοῦ καὶ κατέχει αὐτοῦ τὰ μέλη καὶ τὴν καρδίαν καὶ αἰχμαλωτίζει τὸν νοῦν 4.20.3 εἰς ἀγάπην θεοῦ. τὸν Πέτρον ὅτε ἐκράτησαν καὶ ἔβαλον εἰς φυλακήν, ὡς ἦν αὐτὸς ἐγκεκλεισμένος, ἦλθεν ἄγγελος καὶ διέρρηξε τὰ δεσμὰ αὐτοῦ καὶ ἐξέβαλεν αὐτόν, καὶ αὐτὸς ὥσπερ ἐν ἐκστάσει ὢν ἐνόμιζεν ὅραμα εἶναι. 4.21.1 Ἐρώτησις. Καὶ πῶς πίπτουσιν οἱ ἐνεργούμενοι ὑπὸ χάριτος θεοῦ; Ἀπόκρισις. Αὐτοὶ οἱ λογισμοὶ οἱ καθαροὶ ἐν τῇ ἰδίᾳ φύσει αὐτοὶ ὀλισθαίνουσι καὶ πίπτουσιν. ἔρχεται γὰρ ἐπαίρεσθαι καὶ κατακρίνειν καὶ λέγειν· "1σὺ ἁμαρτωλὸς εἶ"2, ἔχει δὲ ἑαυτὸν δίκαιον. οὐκ οἶδας, τί λέγει Παῦλος· «ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι»; ἔχει γὰρ ἡ καθαρὰ φύσις τὸ ἐπαίρεσθαι. Ἐρώτησις. Εἰ δύναταί τις διὰ φωτὸς ἰδεῖν τὴν ἑαυτοῦ ψυχήν, ἐπειδή τινες τὴν ἀποκάλυψιν ἀναιροῦσι καὶ λέγουσι, διὰ γνώσεως καὶ αἰσθήσεως εἶναι τὴν ὅρασιν; Ἀπόκρισις. Ἔστιν αἴσθησις καὶ ἔστιν ὅρασις καὶ ἔστι φωτισμός. καὶ οὗτος ὁ ἔχων τὸν φωτισμὸν μειζότερός ἐστι τοῦ ἔχοντος τὴν αἴσθησιν. ἐφωτίσθη γὰρ ὁ νοῦς αὐτοῦ, ὅτι μερίδα τινὰ μειζοτέραν ἔλαβε παρὰ τοῦτον τὸν τὴν αἴσθησιν ἔχοντα, ἐπειδὴ εἶδέ τινα πληροφορίαν ἐν ἑαυτῷ ὁράσεων. πλὴν ἄλλο ἐστὶν ἀποκάλυψις καὶ ἄλλο φωτισμός. ἀνωτέρα δέ ἐστιν ἡ ἀποκάλυψις, ὅτι πράγματα μεγάλα καὶ μυστήρια θεοῦ ἀποκαλύπτεται τῇ ψυχῇ. Ἐρώτησις. Εἰ βλέπει τις διὰ φωτὸς θεϊκοῦ καὶ ἀποκαλύψεως τὴν ψυχήν; Ἀπόκρισις. Ὥσπερ οἱ ὀφθαλμοὶ οὗτοι βλέπουσι τὸν ἥλιον, οὕτω καὶ οἱ φωτισθέντες βλέπουσι τὴν εἰκόνα τῆς ψυχῆς, ἀλλὰ ταῦτα ὀλίγοι καὶ Χριστιανοί. Ἐρώτησις. Εἰ ἔχει μορφὴν ἢ εἰκόνα ἡ ψυχή; Ἀπόκρισις. Ἔχει εἰκόνα καὶ μορφὴν ὁμοιάζουσαν τῷ ἀγγέλῳ, ὥσπερ καὶ οἱ ἄγγελοι ἔχουσιν εἰκόνα καὶ μορφήν. καὶ ὥσπερ ὁ ἔξω ἄνθρωπος ἔχει εἰκόνα, οὕτω καὶ ὁ ἔσω ὁμοίαν τῷ ἀγγέλῳ ἔχει εἰκόνα καὶ οὐ τῷ ἔξω ἀνθρώπῳ. Ἐρώτησις. Εἰ ἄλλος ἐστὶ νοῦς καὶ ἄλλη ψυχή; Ἀπόκρισις. Ὥσπερ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα εἷς ἄνθρωπος λέγεται, οὕτω καὶ μέλη ψυχῆς ἐστι πολλά, νοῦς, συνείδησις, λογισμοὶ θέλημα κατηγοροῦντες καὶ ἀπολογούμενοι. ἀλλὰ ταῦτα εἰς ἕν εἰσιν ἀποδεδεμένα. μέλη ἐστὶ ψυχῆς, μία δέ ἐστι ψυχή, εἷς ὁ ἔσω ἄνθρωπος. ὥσπερ δὲ οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔξω ὀφθαλμοὶ βλέπουσι μακρὰν τὰς ἀκάνθας καὶ τοὺς κρημνοὺς καὶ τοὺς βόθρους, οὕτω καὶ ὁ νοῦς προβλέπει γοργότερος ὢν τῆς ἀντικειμένης δυνάμεως τὰς τέχνας καὶ τὰς ἐπισκευὰς καὶ προασφαλίζεται τὴν ψυχήν, ὡς ὀφθαλμὸς ὢν τῆς ψυχῆς. Οἱ Χριστιανοὶ ἄλλου αἰῶνός εἰσι, γέννημα καινόν, τέκνα πνεύματος ἁγίου, φωτεινοί, ὅμοιοι τοῦ πατρὸς αὐτῶν, τοῦ Ἀδὰμ τοῦ πνευματικοῦ, τοῦ φωτεινοῦ, ἐκείνης τῆς πόλεως, ἐκείνου τοῦ γένους, ἐκείνης τῆς δυνάμεως. οὔκ εἰσι τοῦ κόσμου τούτου, ἄλλου κόσμου εἰσίν· αὐτὸς γὰρ λέγει· «οὐκ ἐστὲ ἐκ τοῦ κόσμου 4.26.2 τούτου, ὡς ἐγὼ οὔκ εἰμι ἐκ τοῦ κόσμου τούτου». ὥσπερ γὰρ ἔμπορος ἀπὸ πολλῶν μονῶν ἀπερχόμενος καὶ πολυπλασιάζων αὐτοῦ τὴν ἐμπορίαν ἀποστέλλει τοῖς ἰδίοις ἐπὶ τῷ κτισθῆναι αὐτῷ παραδείσους, οἴκους, ἐνδύματα ἀναγκαῖα, καὶ ὅταν ἀναλύσῃ εἰς τὰ ἴδια, πάλιν πλοῦτον πολὺν ἐπιφέρεται, καὶ μετὰ πολλῆς χαρᾶς δέχονται αὐτὸν οἱ ἴδιοι αὐτοῦ, οὕτω πολλῷ μᾶλλον εἰς τὸ πνευματικόν, ὅσοι ἐμπορεύονται τὸν πλοῦτον τὸν ἐπουράνιον, οἴδασι τούτους οἱ συμπολῖται αὐτῶν, τουτέστι τῶν ἁγίων τὰ πνεύματα καὶ τῶν ἀγγέλων, καὶ θαυμάζουσιν ὅτι εἰς μέγα πλοῦτον ἐνέπεσον οἱ ἀδελφοὶ ἡμῶν ἐπὶ τῆς γῆς. ἔχοντες οὖν τὸν κύριον μεθ' ἑαυτῶν ἐν τῇ ἀναλύσει, ἐν πολλῇ χαρᾷ ἀπέρχονται πρὸς τοὺς ἄνω, καὶ δέχονται αὐτοὺς οἱ τοῦ κυρίου ἐκεῖ, εὐτρεπίσαντες αὐτοῖς οἴκους καὶ παραδείσους, ἐνδύματα ὁλόλαμπρα καὶ πολυτελῆ. 4.27.1 Ὅτι καὶ οἱ πνευματικοὶ καὶ οἱ ἔχοντες χαρίσματα πίπτουσιν ἐπαιρόμενοι. Καὶ οἱ χρηστοὶ κατὰ φύσιν, ἐὰν μὴ ἀσφαλίσωνται, κατὰ μικρὸν δι' αὐτῆς τῆς χρηστότητος ὑποσύρονται, καὶ οἱ ἔχοντες σοφίαν δι' αὐτῆς τῆς σοφίας κλέπτονται. χρὴ οὖν ἐν πᾶσι τοῖς μέρεσι συγκεκερασμένον εἶναι τὸν ἄνθρωπον, τὸ χρηστὸν μετὰ τοῦ ἀποτόμου, τὸ σοφὸν μετὰ διακρίσεως, τὸν λόγον μετὰ τοῦ ἔργου, τὸ ὅλον πεποιθέναι ἐπὶ τὸν θεὸν καὶ μὴ ἐφ' ἑαυτόν. 4.27.2 Οἱ λέγοντες μὴ εἶναι ἁμαρτίαν ἐν ἀνθρώπῳ οὕτως εἰσὶν ὡς ὑπὸ πλημμύρας ὑδάτων πολλῶν καταπεποντισμένοι καὶ ἀπαγόμενοι καὶ λέγοντες "1ἤχους ὑδάτων ἠκούσαμεν."2 οὕτω καὶ οὗτοι καταπεποντισμένοι ὑπὸ τοῦ βυθοῦ τῆς κακίας καὶ τῶν κυμάτων οὐ λέγουσιν εἶναι ἐν τῷ νῷ αὐτῶν καὶ τοῖς λογισμοῖς τὴν ἁμαρτίαν. 4.27.3 Ἄλλοι εἰσὶν οἱ λόγον λαλοῦντες μὴ ἠρτυμένοι τῷ ἅλατι τῷ ἐπουρανίῳ, ὥστε διηγεῖσθαι περὶ τραπέζης βασιλικῆς καὶ μηδὲν φαγεῖν ἢ κτήσασθαι. ἄλλος δέ ἐστιν ὁ θεασάμενος αὐτὸν τὸν βασιλέα ἀνοιγέντων τῶν θησαυρῶν καὶ εἰσελθὼν καὶ κληρονομήσας καὶ φαγὼν καὶ πιὼν ἐκ τῶν ἐδεσμάτων τῶν πολυτελῶν. 4.27.4 Ὥσπερ δὲ ἵνα ᾖ μήτηρ ἔχουσα υἱὸν μονογενῆ, εὐειδέστατον, σοφόν, ἐφ' ᾧ ἔχει πάσας τὰς ἐλπίδας, καὶ συμβῇ τοῦτον θάψαι, πόνον ἔχει ἄπαυστον καὶ πένθος ἀπαραμύθητον, οὕτω καὶ ὁ νοῦς ὡς ἀποθανούσης τῆς ψυχῆς ἀπὸ 4.27.5 θεοῦ ὀφείλει ἔχειν πένθος καὶ πόνον καὶ δάκρυα ἄπαυστα, συντετριμμένην ἔχειν τὴν καρδίαν καὶ εἶναι ὑπὸ φόβον καὶ μέριμναν, ἔχειν πεῖναν καὶ δίψαν τοῦ ἀγαθοῦ πάντοτε. καὶ τὸν τοιοῦτον λοιπὸν διαδέχεται χάρις θεοῦ καὶ ἐλπίς, καὶ οὐκέτι ἐστὶν ἐν τῷ τοιούτῳ πένθει, ἀλλ' ὡς εὑρὼν τὸν θησαυρὸν χαίρει καὶ πάλιν τρέμει, μήπως ἀπολέσῃ αὐτόν. ἐπέρχονται γὰρ οἱ λῃσταί. 4.27.6 Ὥσπερ ἵνα τις εἰς πολλὰς λειτουργίας καὶ ζημίας ἐμπεσὼν μετὰ πολλοῦ καμάτου διαφύγῃ καὶ μετὰ ταῦτα ἐμπέσῃ εἰς περιουσίαν μεγάλην καὶ ὑπόστασιν πολλήν, καὶ οὗτος οὐκέτι δέδοικε ζημίας ἢ πενίαν διὰ τὸν πλεονάσαντα πλοῦτον, οὕτω καὶ οἱ πνευματικοί, πρῶτον διελθόντες εἰς τόπους φοβερούς, εἶτα μεμεστωμένοι χάριτος οὐκέτι δεδοίκασι τοὺς θέλοντας συλῆσαι αὐτούς, ἐπειδὴ ὁ πλοῦτος σύνεστιν αὐτοῖς, ἔχουσι δὲ φόβον, οὐ τὸν τῶν ἀρχαρίων τῶν φοβουμένων τὰ πονηρὰ πνεύματα, ἀλλὰ τὸν φόβον καὶ τὴν μέριμναν, πῶς διοικήσωσι 4.27.7 τὰ ἐμπιστευθέντα αὐτοῖς πνευματικὰ χαρίσματα. ἔχει δὲ οὗτος ἐξουδενωμένον ἑαυτὸν παρὰ πάντας τοὺς ἀνθρώπους, καὶ τοὺς ἁμαρτωλοὺς καὶ τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀτάκτους, καὶ ὅσῳ εἰς πλοῦτον χάριτος καὶ φωτός ἐστι, τοσοῦτον ἔχει ἑαυτὸν πένητα καὶ ἐμφυτευθέντα ἐν αὐτῷ ὡς φυσικὸν τὸν τοιοῦτον λογισμόν, καὶ ὅσον εἰσβαίνει εἰς γνῶσιν θεοῦ τοσοῦτον ἔχει ἑαυτὸν ἰδιώτην, καὶ ὅσῳ μανθάνει ὡς μηδὲν εἰδὼς διάκειται. ταῦτα δὲ ἡ χάρις διακονοῦσα ὡς φύσιν τινὰ ἀπεργάζεται ἐν τῇ ψυχῇ. 4.27.8 Ὥσπερ ἵνα ᾖ παιδίον ὑπὸ νεανίσκου ὀξυδρόμου βασταζόμενον οὐκέτι τὸ παιδίον ὃ θέλει πράσσει, ἀλλ' ὁ βαστάζων αὐτὸ περιφέρει ὡς θέλει, οὕτω καὶ ἡ κατὰ βάθος ἐνεργοῦσα χάρις βαστάζει τὸν νοῦν καὶ ἀναφέρει εἰς τοὺς οὐρανοὺς καὶ ἀναφέρει εἰς τὸν ἴδιον κόσμον, εἰς τὴν τελείαν κατάπαυσιν. 4.28.1 Οἱ γὰρ Χριστιανοὶ οὐδὲ ἐν τοῖς θλιβεροῖς πράγμασιν ἄχθονται ἢ λυποῦνται. ἐὰν ἐξετασθῶσιν ἐν πενίᾳ καὶ κακουχίᾳ ἢ ἐν ἀστοχήμασιν, οὐκ ὀφείλουσιν ἀηδίζεσθαι, ἀλλὰ μᾶλλον χαίρειν καὶ προτιμᾶν τὴν πενίαν ἀντὶ πλούτου, τὴν νηστείαν ἀντὶ τρυφῆς, τὴν ἀδοξίαν ἀντὶ δόξης. καὶ πάλιν ὅταν ἐμπέσωσιν εἰς πράγματα τρυφηλὰ καὶ ἔνδοξα τοῦ βίου τούτου, ἅπερ προτρέπεται αὐτοὺς εἰς ἀνάπαυσιν ἐλθεῖν τὴν φαινομένην ἢ δόξαν ἢ πλοῦτον ἢ τρυφήν, οὐκ ὀφείλουσιν ἥδεσθαι ἐν τούτοις καὶ ἐπαναπαύεσθαι, ἀλλὰ μᾶλλον ἀποφεύγειν ὡς ἀπὸ πυρός. Τιμία γάρ ἐστιν ἡ ψυχὴ ὑπὲρ ὅλα τὰ δημιουργήματα. μόνος γὰρ ὁ ἄνθρωπος κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ ἐγένετο. ἰδοὺ γὰρ ὁ οὐρανὸς οὗτος πόσος ἐστὶν ὑπερμεγέθης καὶ ἡ γῆ, ὡς τίμια σκεύη τῶν κτισμάτων, ἀλλ' ὁ ἄνθρωπος παρὰ πάντα κτίσματα τίμιός ἐστιν, ἐπειδὴ εἰς αὐτὸν μόνον εὐδόκησεν ὁ κύριος, εἰ καὶ τὰ κήτη τῆς θαλάσσης καὶ τὰ ὄρη καὶ τὰ θηρία εἰς τὸ φαινόμενον μείζω αὐτοῦ εἰσι. «ποιήσωμεν, γάρ φησιν ὁ θεός, ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν». βλέπε οὖν σοῦ τὸ ἀξίωμα, πῶς εἰ τίμιος καὶ παρ' ἀγγέλους, ὁπότε αὐτὸς δι' ἑαυτοῦ εἰς σὴν πρεσβείαν καὶ λύτρωσιν παρεγένετο ἐπὶ τῆς γῆς. 4.29.2 Ὁ θεὸς οὖν καὶ οἱ ἄγγελοι εἰς τὴν σὴν λύτρωσιν καὶ σωτηρίαν ἦλθον. βασιλεὺς υἱὸς βασιλέως συμβούλιον ἐποιήσατο καὶ ἐλθὼν ἔθηκε τὴν ψυχὴν αὐτοῦ ἐπὶ τοῦ σταυροῦ. καὶ τοσαύτη ἐστὶν ἀγάπη θεοῦ πρὸς ἄνθρωπον, ὅτι ὁ ἀθάνατος σταυροῦται διὰ σέ. «οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ μονογενῆ ἔδωκεν» ὑπὲρ αὐτοῦ· «πῶς οὐχὶ καὶ σὺν αὐτῷ πάντα ἡμῖν χαρίσηται»; καὶ ἀλλαχοῦ πάλιν λέγει· «ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν». καὶ γὰρ Ἐλισσαῖος ὅτε ἦν εἰς τὸ ὄρος καὶ ἦλθον κατ' αὐτοῦ οἱ ἀλλόφυλοι, τὸ παιδίον ἔλεγε· "1πολλοὶ ἔρχονται καθ' ἡμῶν. καὶ ἡμεῖς μόνοι ἐσμέν·"2 ἀπεκρίνατο Ἐλισσαῖος· "1οὐχ ὁρᾷς παρεμβολὰς καὶ πλήθη ἀγγέλων κύκλῳ ἡμῶν βοηθοῦντα ἡμῖν;"2 ὁρᾷς ὅτι τὰ πάντα καὶ πλήθη ἀγγέλων σύνεστι τοῖς τοῦ θεοῦ δούλοις. πόση οὖν ἐστιν ἡ ψυχή, ὅτι ὁ θεὸς καὶ οἱ ἄγγελοι ταύτην ἐπιζητοῦσιν εἰς κοινωνίαν ἰδίαν καὶ εἰς τὴν βασιλείαν, καὶ ὁ σατανᾶς καὶ αἱ δυνάμεις αὐτοῦ ταύτην ἐπιζητοῦσιν εἰς τὸ ἴδιον μέρος. 4.29.3 Ἐν τοῖς φαινομένοις γὰρ ὁ βασιλεὺς οὐ διακονεῖται ὑπὸ ἀγελιμαίων, ἀλλ' ὑπὸ ὡραίων, πεπαιδευμένων, οὕτω καὶ εἰς τὸ ἐπουράνιον παλάτιον οἱ ἄμωμοι, οἱ ἀνεπίληπτοι, οἱ καθαροὶ τῇ προαιρέσει καὶ ὡραῖοι, μὴ ἔχοντες μῶμόν τινα, οἱ εὐειδέστατοι, ἐκεῖνοι εἰς κοινωνίαν βασιλέως ἀπέρχονται, οὕτω καὶ εἰς τὸ πνευματικόν· ψυχαὶ αἱ ἐν πᾶθεσιν ἤθεσι καὶ τρόποις χρηστοῖς κεκοσμημέναι αὗται κοινωνοῦσι τῷ ἐπουρανίῳ βασιλεῖ. 4.29.4 Εἰ εἰς τὸ φαινόμενον ὅπου ἀπέρχεται ἄρχων μεῖναι, καὶ συμβῇ ἐκείνην τὴν οἰκίαν ἔχειν ἀκαθαρσίαν, εὐτρεπίζεται καὶ διακόσμησις πολλὴ γίνεται καὶ ἀρώματα βάλλεται, πόσῳ μᾶλλον ὁ οἶκος τῆς ψυχῆς, εἰς ὃν ὁ κύριος ἀναπαύεται, πολλῆς διακοσμήσεως χρῄζει, ἵνα δυνηθῇ ἐκεῖ εἰσελθεῖν ὁ ἄμωμος καὶ ἄσπιλος καὶ ἀναπαυθῆναι· εἰς γὰρ τοιαύτην καρδίαν ὁ θεὸς καὶ ὅλη ἡ ἐπουράνιος ἐκκλησία ἐπαναπαύεται. 4.29.5 Ἐν γὰρ τοῖς φαινομένοις ἐὰν ἔχῃ πατὴρ κτήματα, ἔχῃ δὲ καὶ διαδήματα καὶ λίθους τιμίους, ταῦτα εἰς οἴκους ἀποθέτους κρύβει καὶ ταμιεύεται τῷ ἀγαπητῷ αὐτοῦ υἱῷ κἀκείνῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δίδωσιν. οὕτω καὶ ὁ θεὸς τὴν ἰδίαν φύσιν μετὰ τῶν ἑαυτοῦ τιμίων ἐμπιστεύει τῇ ψυχῇ. 4.29.6 Εἰς τὸ φαινόμενον, ἐὰν ᾖ πόλεμος (καὶ ἔλθῃ ὁ βασιλεὺς μετὰ τοῦ στρατοῦ εἰς τὸ πολεμῆσαι), καὶ ἐὰν ᾖ τὸ ἓν μέρος ἐλάχιστον, εὐθέως ἀποστέλλει πρεσβείαν τὰ πρὸς εἰρήνην ζητῶν. ἐὰν δὲ ᾖ ἔθνος μέγιστον πρὸς ἔθνος μέγιστον, οἷον βασιλεὺς Περσῶν πρὸς βασιλέα Ῥωμαίων, ἀνάγκη ὅτι οἱ δύο βασιλεῖς μετὰ ὅλων τῶν στρατοπέδων κινοῦνται. βλέπεις ὁποῖον σοῦ ἐστι τὸ ἀξίωμα, ὅτι ὁ θεὸς ἐκινήθη μετὰ τοῦ ἰδίου στρατοπέδου, μετὰ τῶν ἀγγέλων καὶ τῶν πνευμάτων συμβαλεῖν τῷ ἀντικειμένῳ, ἵνα σε λυτρώσηται ἐκ τοῦ θανάτου. ὁ θεὸς παρεγένετο διὰ σέ. 4.29.7 Ὥσπερ ἵνα ᾖ βασιλεὺς καὶ εὕρῃ πτωχὸν ἔχοντα λέπραν εἰς ὅλα τὰ μέλη, καὶ μὴ ἐπαισχυνθῇ, ἀλλὰ θῇ αὐτῷ φάρμακα εἰς ὅλα τὰ τραύματα καὶ ἰάσηται αὐτοῦ τὰς πληγὰς καὶ εἰς τράπεζαν βασιλικὴν ἀπενέγκῃ καὶ περιθῇ αὐτῷ πορφύραν καὶ ποιήσῃ αὐτὸν βασιλέα, οὕτω καὶ ὁ θεὸς ἐποίησε τῷ γένει τῶν ἀνθρώπων. ἀπέπλυνεν αὐτῶν τὰ τραύματα καὶ ἰάσατο αὐτοὺς καὶ εἰσ4.29.8 ήγαγεν αὐτοὺς εἰς τὸν ἐπουράνιον νυμφῶνα. μέγα οὖν ἐστι τὸ ἀξίωμα τῶν Χριστιανῶν τοιοῦτον, ὅτι ἀπ' ἀρχῆς (ἐξ οὗ ἐκτίσθη ὁ Ἀδάμ) ἕως τῆς συντελείας τοῦ κόσμου εἰ ἠγωνίζετο πρὸς τὸν σατανᾶν, οὐδὲν ἄξιον ἐποίει πρὸς τὸ δόμα, πρὸς τὴν δωρεὰν καὶ τὴν δόξαν, ἣν μέλλει κληρονομεῖν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἀντιπράττων καὶ ἀντιμαχόμενος. 4.29.9 Ἐὰν δὲ μετεωρίζῃ καὶ ἐκλύῃ, ἔοικας τινί; ὥσπερ γὰρ ἵνα ᾖ πόλις μὴ ἔχουσα τεῖχος καὶ οἱ λησταὶ ὅθεν θέλουσιν εἰσέρχονται μὴ ἐμποδιζόμενοι καὶ ἐρημοῦσι καὶ ἐμπυρίζουσιν, οὕτως ἀμελοῦντός σου καὶ μὴ ἑαυτῷ ὀργιζομένου εἰσέρχονται τὰ πνεύματα τῆς πονηρίας καὶ ἀφανίζουσι καὶ ἐρημοῦσι τὸν νοῦν, σκορπίζοντες τοὺς διαλογισμοὺς εἰς τὸν αἰῶνα τοῦτον. 4.29.10 Πολλοὶ γὰρ περὶ τὰ ἔξωθεν ἀκριβευόμενοι καὶ ἐπιστήμην ἀσκοῦντες καὶ βίου ὀρθοῦ ἐπιμελούμενοι τοῦτο νομίζουσιν εἶναι τὸ τέλειον, μὴ ἐγκύπτοντες εἰς τὴν ἑαυτῶν καρδίαν καὶ ὁρῶντες τὰ ἐκεῖ συνέχοντα τὴν ψυχὴν κακά. ἐπειδὴ ἡ ῥίζα τῆς κακίας ἐνδότερον τῶν μελῶν τοῦ σώματός ἐστι, καὶ ὁ ληστὴς ἐν τῇ οἰκίᾳ ἐστί, τουτό ἐστιν ἡ ἐναντία δύναμις ὑποστατικὴ οὖσα νοερά, καὶ ἐὰν μή τις θῇ ἀγῶνα κατὰ τῆς ἁμαρτίας, κατὰ μέρος ὑπερεκχυνομένη ἡ ἔσωθεν κακία διὰ τὸν πλεονασμὸν φέρει τὸν ἄνθρωπον καὶ εἰς τὸ φανερὰς ἁμαρτίας κατεργάζεσθαι. ἐπειδὴ ὡς ὀφθαλμὸς πηγῆς ἐστι πάντοτε βρύων καὶ εὐθὺς οὐ γίνῃ ἐπὶ τὸ ἐπισχεῖν τὰ ῥεύματα, ἀλλὰ συντίθῃ καὶ συνηδύνῃ καὶ λοιπὸν ἐμπίπτων εἰς μυρία κακὰ ὡς θαμβούμενος εἶ καὶ ἔκφρων γενόμενος. 4.29.11 Ὃν τρόπον ἵνα ᾖ τις εὐγενής, ἀμέριμνος πλούσιος, καὶ τοῦτον οἱ διάκονοι τοῦ ἄρχοντος, οἱ ὀφφικιάλιοι, ἁρπάσουσιν ἀποφέροντες, πρὸς αὐτὸν λέγοντες ὅτι "1κατηγορήθης ἐπὶ ἐγκλήματι καὶ θανάτῳ ὑπόκεισαι"2, λοιπὸν ἐκ τοῦ φόβου ἀπώλεσεν ὅλας αὐτοῦ τὰς ἐνθυμήσεις καὶ ὥσπερ τεθαμβωμένος ἐστίν. οὕτως ὑπολάμβανέ μοι καὶ περὶ τῶν πνευμάτων τῆς πονηρίας. 4.29.12 Καὶ γὰρ ὁ φαινόμενος κόσμος ἀπὸ βασιλέως καὶ ἕως πτωχοῦ ἐν θορύβῳ εἰσὶ καὶ ἀκαταστασίᾳ καὶ μάχῃ, καὶ οὐδεὶς αὐτῶν οἶδε τὴν αἰτίαν, ἐπειδὴ οὐκ ἔστι φαινόμενον τὸ κακὸν τὸ παρεισελθὸν διὰ τῆς παρακοῆς τοῦ Ἀδάμ, «τὸ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία». ἡ γὰρ παρεισελθοῦσα δύναμις λογικὴ καὶ οὐσία νοερὰ τοῦ σατανᾶ ἐνέσπειρε πάντα τὰ κακά, ἐπειδὴ λεληθότως εἰς τὸν ἔσω ἄνθρωπον καὶ εἰς τὸν νοῦν ἐνεργεῖ καὶ μάχεται τοῖς λογισμοῖς, καὶ οὐκ οἴδασιν οἱ ἄνθρωποι, ὅτι ὑπὸ ἀλλοτρίας δυνάμεως ἐλαυνόμενοι ταῦτα πράττουσιν, ἀλλὰ νομίζουσι φυσικὰ ταῦτα εἶναι καὶ ἀπὸ ἰδίας φύσεως ταῦτα ποιεῖν. οἱ δὲ ἔχοντες τὴν εἰρήνην τοῦ Χριστοῦ ἐν αὐτῷ τῷ νῷ καὶ τὸν φωτισμὸν αὐτοῦ 4.29.13 οἴδασι, πόθεν ταῦτα κινεῖται. πάσχει γὰρ οὗτος ὁ κόσμος πάθος κακίας καὶ οὐκ οἴδασιν. ἔστι γὰρ πῦρ ἀκάθαρτον, ὅπερ ἀνάπτει τὴν καρδίαν καὶ οὕτω διατρέχει εἰς ὅλα τὰ μέλη καὶ προτρέπεται τοὺς ἀνθρώπους εἰς ἀσελγείας καὶ μυρία



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κακά. οἱ οὖν συγγαργαλιζόμενοι καὶ συνηδόμενοι ἔνδον ἐν τῇ καρδίᾳ ἐπιτελοῦσι τὴν πορνείαν, καὶ οὕτω νεμομένου τοῦ κακοῦ καταπίπτουσι καὶ εἰς φανερὰν πορνείαν. τὸ αὐτὸ νόει καὶ περὶ τῆς φιλαργυρίας καὶ 4.29.14 κενοδοξίας, τυφώσεως, ζήλου, θυμοῦ. ὥσπερ ἵνα τις κληθῇ εἰς ἄριστον καὶ παρατεθῇ ἐδέσματα πολλά. λοιπὸν ἡ ἁμαρτία ὑποβάλλει πάντων ἅψασθαι, 4.29.15 καὶ οὕτως ἡ ψυχὴ συνηδομένη βαρύνεται. ὄρη γάρ ἐστι δύσβατα ἐν μέσῳ καὶ ποταμοὶ καὶ πλῆθος δρακόντων καὶ θηρίων ἰοβόλων καὶ ἑρπετῶν. καὶ ὥσπερ ἵνα ᾖ κῆτος καὶ καταπίῃ τὸν ἄνθρωπον ἐν τῇ κοιλίᾳ, οὕτω καὶ ἡ ἁμαρτία καταπίνει τὰς ψυχάς. φλόγες πυρός εἰσι καίουσαι καὶ «βέλη πεπυ4.29.16 ρωμένα». ἐνεμήθη γὰρ τὸ κακὸν ἐν ταῖς ψυχαῖς καὶ ἐθεμελίωσεν. οἱ δὲ φρόνιμοι, ὅταν ἐπαναστῇ τὰ πάθη, οὐχ ὑπακούουσιν, ἀλλὰ μετὰ τὸ ἄρξασθαι ὑποβάλλειν ἀπωθοῦνται καὶ ὀργίζονται ταῖς κακαῖς ἐπιθυμίαις καὶ ἑαυτῶν ἔχοροι γίνονται. ὁ γὰρ σατανᾶς πολὺ θέλει τῇ ψυχῇ ἐπαναπαυθῆναι καὶ ἐφαπλωθῆναι, 4.29.17 καὶ θλίβεται καὶ στενοχωρεῖται μὴ ὑπακουούσης αὐτῆς τῆς ψυχῆς. εἰσὶ δέ τινες κρατούμενοι ὑπὸ θείας δυνάμεως, οἱ ἐὰν ἴδωσι νέον μετὰ γυναικός, εἰ καὶ οὐ λογίζονταί τινα ὅλως, οὐδὲ μιαίνεται ὁ νοῦς αὐτῶν, οὐδὲ ἐπιτελοῦσιν ἔνδον ἁμαρτίαν, ἀλλ' οὔπω ἐστὶ τῷ τοιούτῳ πράγματι θαρρῆσαι. εἰσὶ δὲ ἄλλοι, εἰς οὓς τελείως πέπαυται τὰ πάθη καὶ κατεσβέσθη καὶ ἐξηράνθη· ἀλλὰ τὰ μέτρα ταῦτα τῶν μεγάλων εἰσίν. 4.29.18 Ὥσπερ οἱ ἔμπειροι γυμνοὶ κατέρχονται εἰς βυθὸν θαλάσσης καὶ εἰς θάνατον τοῦ ὕδατος, ἵνα ἐκεῖ εὕρωσι μαργαρίτας προχωροῦντας εἰς τὸν στέφανον τοῦ βασιλέως καὶ εἰς τὴν πορφύραν, οὕτω καὶ οἱ μονάζοντες γυμνοὶ ἐξέρχονται ἐκ τοῦ κόσμου καὶ κατέρχονται εἰς βυθὸν θαλάσσης τῆς κακίας καὶ εἰς τὴν ἄβυσσον τοῦ σκότους καὶ ἀπὸ τῶν βαθέων λαμβάνουσι καὶ ἀναφέρουσι λίθους τιμίους καὶ μαργαρίτας προχωροῦντας εἰς τὸν στέφανον τοῦ Χριστοῦ, εἰς τὴν ἐκκλησίαν τὴν ἐπουράνιον, εἰς αἰῶνα καινὸν καὶ πόλιν φωτεινὴν καὶ δῆμον ἀγγελικόν. 4.29.19 Ὥσπερ γὰρ ἐν τῇ σαγήνῃ πολλὰ εἴδη ἐμπίπτει, καὶ τὰ ἀχρηστότερα πάλιν ὁ θηρατὴς εἰς τὸν βυθὸν ῥίπτει, οὕτω καὶ ἡ σαγήνη τῆς χάριτος ἐφαπλοῦται εἰς πάντας καὶ ζητεῖ ἀνάπαυσιν, καὶ οἱ ἄνθρωποι οὐχ ὑπακούουσιν· διὰ τοῦτο πάλιν εἰς αὐτὸν τὸν βυθὸν τοῦ σκότους ῥίπτονται. 4.29.20 Ὥσπερ γὰρ ὁ χρυσὸς ἀπὸ πολλῆς ἄμμου πλυνόμενος εὑρίσκεται ὡς κέγχρος, 4.29.21 οὕτω καὶ ἀπὸ πολλῶν ὀλίγοι εἰσὶ δόκιμοι, ἐπειδὴ οἱ ἔχοντες τὸ ἔργον τῆς βασιλείας φανεροί εἰσι καὶ οἱ κοσμοῦντες τὸν λόγον αὐτῶν φαίνονται, ὁμοίως δὲ καὶ οἱ ἠρτυμένοι τῷ ἅλατι τῷ ἐπουρανίῳ καὶ ἐκ τῶν θησαυρῶν τοῦ πνεύματος λαλοῦντες. καὶ φαίνεται σκεύη, ἐν οἷς ὁ θεὸς εὐδοκεῖ καὶ δίδωσι τὴν ἑαυτοῦ χάριν. καὶ ἄλλοι μετὰ πολλῆς ὑπομονῆς δέχονται τὴν ἁγιαστικὴν δύναμιν, καθὼς ὁ κύριος θέλει πολυτρόπως. ὁ οὖν λαλῶν, ἐὰν μὴ ᾖ ὁδηγούμενος ὑπὸ φωτὸς οὐρανίου καὶ σοφίας, οὐ δύναται πληροφορεῖν τὸν ἑκάστου νοῦν, ἐπειδὴ πολλαί εἰσιν αἱ προαιρέσεις, αἱ μὲν ἐν πολέμῳ, ἄλλαι ἐν ἀναπαύσει. 4.29.22 Ὥσπερ ἵνα ᾖ πόλις ἠρημωμένη, καὶ θέλῃ τις ταύτην ἀνακτίσαι, εὐθέως τὰ ὑπεκρεύσαντα καὶ καταπεσόντα τελείως καταβάλλει, καὶ οὕτως ἄρχεται σκάπτειν καὶ προβάλλεσθαι τὴν οἰκοδομήν· οὔπω δέ ἐστιν ἡ οἰκία. ἢ ὥσπερ τις παράδεισον οἰκοδομεῖ εἰς τόπους ἐρήμους καὶ δυσώδεις, πρῶτον ἄρχεται καθαρίζειν καὶ φραγμὸν περιτιθέναι καὶ ἑτοιμάζειν ὀχετοὺς καὶ φυτεύειν, ἵνα μετὰ πολὺν χρόνον ἐξενέγκῃ καρποὺς ὁ παράδεισος, οὕτω καὶ αἱ προαιρέσεις τῶν ἀνθρώπων μετὰ τὴν παράβασιν κεχερσωμέναι εἰσίν, ἠρημωμέναι, ἀκανθώδεις· εἶπε γὰρ αὐτῷ ὁ θεός· «τριβόλους καὶ ἀκάνθας ἀνατελεῖ σοι ἡ γῆ». χρεία οὖν καμάτου καὶ κόπου πολλοῦ, ἵνα τις ζητήσῃ καὶ θῇση τὸν θεμέλιον, ἕως οὗ ἔλθῃ εἰς τὰς καρδίας τὸ ἐπουράνιον πῦρ καὶ ἄρξηται περικαθαίρειν τὰς ἀκάνθαςκαὶ οὕτως ἄρχονται ἁγιάζεσθαι. 4.30.1 Οἱ λόγοι μὲν οἱ λεγόμενοι προτρεπτικοί



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰσι, προθυμοποιοῦντες τὴν ψυχήν, αὐτοὶ δὲ οὗτοι οἱ λόγοι ἔργων χρῄζουσιν. ἰδοὺ γὰρ γραφαὶ καὶ νόμος καὶ διδάσκαλοι καὶ ὁ θεὸς λαλοῦσι λόγους, ἵνα οὗτοι οἱ λόγοι ἐν ἔργῳ γένωνται τῇ 4.30.2 ψυχῇ. καὶ γὰρ ἐλθὼν ὁ κύριος ἐπὶ τῆς γῆς ἔργον ἐποίησεν ἐν αὐτῇ, εἰργάσατο γὰρ τὴν χερσωθεῖσαν γῆν καὶ ἐρημωθεῖσαν καὶ ἐξέβαλεν ἐξ αὐτῆς ἀκάνθας καὶ τριβόλους καὶ ἔλαβεν ἐξ αὐτῆς φυτὸν νέον καὶ ἐφύτευσεν ἐν αὐτῇ οὐράνιον φυτείαν καινήν. εἰ γὰρ ἤθελε γυμνῇ τῇ θεότητι κατελθεῖν ἐπὶ γῆς, οὔτε οἱ ἄνθρωποι ἠδύναντο ἰδεῖν τὴν δόξαν αὐτοῦ οὔτε αὐτὸς ὁ θάνατος ἠδύνατο ὑπενεγκεῖν οὔτε ὑποστῆναι ἡ κτίσις. ἀλλ' εἰς ἓν μέρος ἔθηκε τῆς δόξης αὐτοῦ τὸ μέγεθος καὶ ἐχρήσατο ἐργαλείοις γεωργικοῖς καὶ σχῆμα ἀνέλαβε γεωργοῦ, ὁμοίως δὲ καὶ ἐνδύματα ἐνεδύσατο τὰ σκεύη τοῦ σώματος καὶ τῆς ψυχῆς καὶ οὕτως εἰσελθὼν τὴν ἔρημον γῆν τῆς καρδίας εἰργάσατο. εἰ γὰρ τὴν δόξαν Μωϋσέως ὑπενεγκεῖν Ἰσραὴλ οὐκ ἠδυνήθη, πόσῳ μᾶλλον τὴν θεϊκὴν δόξαν οὐδεὶς ἐδύνατο ὑποστῆναι. ἀνέλαβεν οὖν σχῆμα γεωργοῦ καὶ ἔνδυμα ζευγηλάτου. ὥσπερ ἵνα ᾖ ἐργάτης καὶ λάβῃ τὰ ἐργατικὰ σκεύη καὶ τὰ τοῦ ἀρότρου καὶ οὕτω σκάψῃ τὴν γῆν, οὕτως ὁ κύριος λαβὼν τὸ ἔνδυμα τὸ ἐργατικὸν ἔβαλεν ἐργάτας εἰς τὴν γῆν καὶ εἰργάσατο καὶ ἔσκαψε κατὰ βάθους καὶ ἔβαλε σπόρον ἐπουράνιον. 4.30.3 Ὥσπερ γὰρ ἐν δικαστηρίῳ καθέζεται ὁ ἄρχων πρὸ βήματος καὶ λοιπὸν εἰς τὴν θύραν τίθεται παραπέτασμα, ἵνα οἱ ἔξωθεν προθυμότεροι ὦσι καὶ ἄφοβοι, οὕτως αὐτὴ ἡ θεότης ἐκρύβη εἰς τὴν ἀνθρωπότητα καὶ ὡς καλύμματι ἢ παραπετάσματι τοῦ ἀνθρώπου τῷ σώματι ἀπεχρήσατο. καὶ κελεύει ἔξωθεν καὶ γίνεται εἰς ἄλλο πρόσωπον. ἁλιεύς ἐστι βαλὼν τὸ δίκτυον εἰς τὸ βάθος τῆς θαλάσσης καὶ ἀπὸ τοῦ σκοτεινοῦ βάθους ἀνήνεγκε τὸν Ἀδάμ, καὶ ἴδε ἐπάνω τοῦ ὕδατος κολυμβᾷ. 4.30.4 Τίς γὰρ ἦν κάματος τῇ θεότητι, ὡς ἦν καθ' ἑαυτὴν γυμνή, ἀποκτεῖναι τὸν θάνατον; ἀλλὰ καὶ λαβὼν τὸ σῶμα μᾶλλον ὑβρίσθη καὶ ἔπαθεν. ἄλλως δὲ θαύμασον αὐτοῦ τὴν σοφίαν καὶ τὴν δόξαν, πῶς κατῆλθε νεκρὸν σῶμα καὶ αὐτὸν τὸν χοῦν καὶ τὰ ὀστᾶ καὶ τὰς ἁρμονίας τῇ τέχνῃ αὐτοῦ καὶ τῇ σοφίᾳ πάλιν συνέπηξεν, ἔσχισε λίθους καὶ ἀνέστησε σώματα νεκρά. κἀκεῖ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας κατεθεμάτισεν, ἐθριάμβευσε τὸν σατανᾶν καὶ ἐπάνω τοῦ τάφου πάλιν ὧδε ἐποίησε νίκην, καὶ ἐλυτρώσατο τὸν καταδεδουλωμένον Ἀδὰμ ἀπὸ τοῦ βαρυτάτου φορτίου τοῦ θανάτου. αὐτός ἐστι τὰ ὅπλα, αὐτός ἐστιν ὁ πολεμιστής, διὰ τούτου γὰρ νίκη δίδοται τῷ Ἀδάμ. ἴδε ὁποῖον ἔργον ἐλθὼν ὁ κύριος εἰργάσατο ἐπὶ τῆς γῆς καὶ ἐν τῷ ᾅδῃ κατελθών. ἐπειδὴ γὰρ μετὰ τὴν παράβασιν ἐφυτεύθη εἰς τὸν Ἀδὰμ πικρὸν δένδρον, ἦλθεν ὁ κύριος ἐκεῖνο ἐκριζῶσαι καὶ νέα φυτὰ ἐπουράνια στῆσαι. τούτους δὲ τοὺς λογισμοὺς ἐβάλομεν, ἵνα τις σὺν τῷ λόγῳ καὶ τοῦ ἔργου ἐπιλάβηται, ἵνα αὐτὸς οὗτος ὁ λόγος ἐνέργεια καὶ δύναμις γένηται. 4.30.5 Ὥσπερ γάρ ἐστι πόλις ἔχουσα τείχη, καὶ πάντα γέμει ἐν τῇ πόλει ἐν ταῖς ἀγοραῖς, καὶ ἐν αὐταῖς πρόσωπα βασιλέων ἐζωγραφημένα καὶ αὐτὴ ἡ πορφύρα τοῦ βασιλέως ἄλλοι διὰ χαλκοῦ ποιοῦσιν ὁμοιώματα ἀνδριάντων, ἄλλοι ποιοῦσιν εἰκόνας, ἕτεροι ζωγραφοῦσι θάλασσαν καὶ ἰχθύας, ἄλλοι ὁμοιώματα πτηνῶν καὶ προστιθέασιν αὐτοῖς πτερά, ἃ οὔτε ζῶσιν οὔτε πέτανται, ἄλλοι ζωγραφοῦσιν ἥλιον σὺν ταῖς ἀκτισιν, ἄλλοι ποιοῦσιν οὐρανὸν καὶ ἀστέρας. ἀλλὰ ταῦτα νεκρά ἐστι, μὴ ἔχοντα ψυχὴν μήτε δύναμιν κινοῦσαν αὐτά. ἄπελθε πρὸς τὴν εἰκόνα τοῦ βασιλέως καὶ λάλησον αὐτῇ, καὶ οὔτε ἀκούει οὔτε ἀποκρίνεταί σοι ἢ κινεῖται· οὐ γὰρ ἔχει ψυχὴν κινοῦσαν αὐτήν. ἄπελθε πρὸς τοὺς ζωγραφηθέντας ἀνδριάντας ἢ ἐν τῷ χαλκῷ ἢ ἐν τοῖς ξύλοις· ὁμοίως κἀκεῖ εὑρίσκεις νεκρὰς εἰκόνας μὴ ἐχούσας φωνὴν μηδὲ ψυχὴν ζῶσαν. θεωρεῖς ὄρνεα ἐζωγραφημένα, καὶ οὔτε ὁδεύει οὔτε πέταται. θεωρεῖς ἥλιον ἐζωγραφημένον καὶ ζήτησον παρ' αὐτοῦ φῶς, καὶ οὐκ ἔχει σοι δοῦναι. διὰ τί; ἐπειδὴ οὐκ ἔχει κινητικὴν ὑπόστασιν. οὕτω καὶ ὅλος ὁ Ἀδὰμ ἐκ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραβάσεως τῆς ἐντολῆς εἰκόνα μέν τινα εἶχε τοῦ πρώτου ἀνθρώπου, ψυχὴν δὲ ἐπουράνιον οὐκ εἶχεν οὔτε εἰκόνα θεϊκὴν ζῶσαν ἐν ἑαυτῷ. διὰ τοῦτο νεκρός ἐστιν ἀπὸ τοῦ θεοῦ καὶ οὔτε πτερὰ ἔχει, ἵνα πετασθῇ εἰς τὸν θεϊκὸν ἀέρα, οὔτε φῶς ἔχει ἵνα φωτισθῇ καὶ σχῇ κληρονομίαν μετὰ τοῦ ἐπουρανίου φωτός. 4.30.6 Εἰσῆλθε ζύμη παλαιὰ τοῦ σκότους καὶ ἐζύμωσεν ὅλον τὸν Ἀδάμ, ζύμη τοῦ ἐχθροῦ, καὶ ἔν τινι μέρει συνεφυράθη αὐτὸς ὁ Ἀδὰμ μετὰ τῆς κακίας. εἰκόνα μὲν εἶχε τοῦ πλάσματος τοῦ πρώτου, ἐν θεῷ δὲ ζῆν οὐκ ἠδύνατο καὶ οὐδεὶς τούτῳ ἴσχυσε δοῦναι ζωὴν ἢ δύναμιν οὔτε ψυχὴν κινοῦσαν αὐτόν, οὔτε Μωϋσῆς οὔτε προφῆται, μόνην δὲ σκιάν τινα ἔφερον καὶ ἐπαγγελίαν ὅτι ἔρχεται 4.30.7 ὁ λυτρωτής. ὥσπερ δὲ βασιλεὺς ὁρᾷ τὴν εἰκόνα αὐτοῦ καὶ προσεγγίζει αὐτῇ καὶ σπουδαίως προσέχει, ἐπειδὴ ἰδία αὐτοῦ ἐστιν εἰκών, οὕτω καὶ ὁ κύριος ἀπέστειλε τὴν εἰκόνα αὐτοῦ διὰ νόμου, ὕστερον δὲ ἐπηκολούθησεν αὐτὴ ἡ ὑπόστασις. γεγραμμένον γὰρ ἦν ἐν τῷ νόμῳ, ὅτι ὅπου ἂν εὑρεθῇ παλαιὰ ζύμη ἐξολοθρευθήσεται. οὕτως οὖν παραγενόμενος ὁ κύριος ἐπ' ἐσχάτων τῶν ἡμερῶν πᾶσαν τὴν παλαιὰν ζύμην τὴν ἐξαφανίσασαν τὸν νοῦν καὶ τὴν ψυχὴν τοῦ Ἀδὰμ ἐκαθάρισε καὶ ἐξωλόθρευσε καὶ ἔβαλε νέον προζύμιον εἰς τὴν γῆν τοῦ Ἀδὰμ καὶ πάλιν ἀνεζύμωσε τὸν Ἀδὰμ ζύμῃ ἐπουρανίῳ. 4.30.8 Εἰ οὖν οἱ λόγοι καλοί εἰσιν, ἀλλὰ σκία εἰσὶ τῶν ἀληθινῶν πραγμάτων. εἰκόνος γὰρ ζώσης χρεία, ἵνα ἐλθοῦσα ἡ ἐπουράνιος εἰκὼν τοῦ Χριστοῦ κερασθῇ μετὰ τῆς ψυχῆς, καὶ τότε δύναται ζῆν ἐν θεῷ, ἵνα λάβῃ πτερὰ ἐκεῖθεν τοῦ πνεύματος καὶ χεῖρας καὶ πόδας καὶ ὀφθαλμοὺς τοῦ περιπατεῖν εἰς ἀέρα θεϊκὸν καὶ ἰδεῖν τὸ φῶς τὸ οὐράνιον καὶ ἐργάζεσθαι ἔργον θεϊκόν. καὶ αὐτοὶ δὲ οἱ τεχνῖται οἱ τὰ εἴδωλα ποιήσαντες διὰ ξύλου καὶ χαλκωμάτων καὶ χρυσοῦ καὶ ἀργύρων ἐποίησαν εἰκόνας ἀνθρώπων καὶ ζῴων καὶ θηρίων. ἄπελθε ἐκεῖ ζήτησον· οὐ ψυχὴν εὑρίσκεις, οὐ φωνὴν ἀκούεις, ἵνα ἀποκρίνηταί σοι ὀφθαλμοὺς γὰρ ἔχουσι καὶ οὐ βλέπουσι, πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν. 4.30.9 Ἔστη οὖν ὁ κύριος εἰς τὸ μέσον τοῦ στοιχείου τῆς γῆς, καὶ ἰδοὺ διὰ τῆς δυνάμεως αὐτοῦ ὅλον τὸν κόσμον συνήγαγε πρὸς ἑαυτόν. τὸ γὰρ φορτίον αὐτοῦ μεμέστωται παντοίων ἀγαθῶν. καὶ ἔστησε τὴν πανήγυριν αὐτοῦ πεπληρωμένην παντοίων εἰδῶν πολυτίμων βασιλικῶν. πάντα οὖν εὑρίσκεις ἐκεῖ, προτρέπεται πάντας καὶ συνάγει ὅλον τὸν Ἀδὰμ λέγων· πραγματευτής εἰμι καὶ ἡ πανήγυρίς μου γέμει. ἰατρός εἰμι καὶ ἔχω φαρμάκων εἴδη πολλά. ὁ χωλὸς λάβῃ φάρμακον τὸ ἰώμενον τὴν ἀσθένειαν αὐτοῦ καὶ ὁ κυλλὸς δέξεται φάρμακον τὸ ἰώμενον τὸ πάθος αὐτοῦ, ὁ τυφλὸς λάβῃ κολλύριον τὸ ἀνοῖγον τὴν πήρωσιν αὐτοῦ, ὁ νεκρὸς λάβῃ ψυχὴν τὴν κινοῦσαν αὐτὸν καὶ ζωοποιηθήσεται ἐκ τῆς νεκρώσεως αὐτοῦ. 4.30.10 Ὥσπερ γὰρ διὰ τοῦ σώματος τοῦ Ἀδάμ, τοῦ πρώτου ἀνθρώπου, κατέστρεψεν ὁ θάνατος ὅλον τὸν κόσμον καὶ ἀντῆρε καὶ ὑψηλοφρόνησεν, οὕτως πάλιν ὁ κύριος δι' αὐτοῦ τοῦ σώματος, οὗπερ ἀνέλαβε, κατεπάτησε καὶ ἦρε τὰ σκῦλα ἀπὸ τοῦ ἀνθρώπου, ἐλευθερώσας αὐτοὺς ἐκ τοῦ πικροῦ ζυγοῦ τῆς δουλείας, ἀπέστειλε γὰρ τὸ δίκτυον καὶ προσέδησε τὸ βάρος τοῦ σώματος, καὶ οὕτως κατῆλθεν εἰς τὰ καταχθόνια καὶ ἐποίησε πόλεμον πρὸς τὸν θάνατον καὶ ἀνήγαγεν ἐλεύθερον τὸν Ἀδάμ, καὶ κάτω οὖν αὐτὸς ἐποίησε τὴν νίκην καὶ ἄνω ἐπὶ τῆς γῆς αὐτὸς διὰ τοῦ σταυροῦ κατέκρινε τὴν ἁμαρτίαν. 4.30.11 Προσκολληθῶμεν οὖν αὐτῷ νυκτὸς καὶ ἡμέρας καὶ διακονήσωμεν ἑαυτοὺς καὶ εἰς πάντα μιμησώμεθα αὐτόν. ὥσπερ γὰρ σὺ τρέχεις ὀπίσω αὐτοῦ, οὕτω καὶ αὐτὸς κατελθὼν ἐξ ἁγίων οὐρανῶν ἦλθεν ὀπίσω σου εἰς ἀναζήτησιν καὶ ἔλαβε μορφὴν δούλου, ἵνα ἐκ τῆς δουλείας σε ῥύσηται, καὶ ἀφῆκε πλοῦτον καὶ ἔλαβε πτωχείαν, ἵνα σε ἐλευθερώσῃ ἐκ τῆς δουλείας τῆς πτωχείας ἐγεύσατο θανάτου ὁ ἀθάνατος, ἵνα σε τὸν τεθανατωμένον ζωοποιήσῃ ἐκ τοῦ θανάτου σου εἰσῆλθεν εἰς πάθη καὶ θλίψεις, ἵνα σε ἐκ τῶν παθῶν καὶ πειρασμῶν ῥύσηται. αὐτὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γὰρ ὁ σατανᾶς νομίσας αὐτὸν ἄνθρωπον εἶναι ἀπῆλθε πειράσαι αὐτὸν καὶ τῷ σώματι αὐτοῦ ἐνόμιζεν ἐμπαίζειν, καὶ εὑρέθη δι' αὐτοῦ τοῦ σώματος ἐμπίπτων καὶ κατακρινόμενος. 4.30.12 Εἰσὶ δέ τινες, οἵτινες ἐὰν ἀναστῶσι διακονῆσαι ἀδελφοῖς, ὥσπερ βάρος ἡγοῦνται, κλεπτόμενοι ὑπὸ τῆς ἁμαρτίας. ἆρα οὐ βλέπεις ὅτι ὁ κύριος ἐλθὼν ὑπέδειξεν ὁδὸν καὶ εἰς τὸ σωματικὸν καὶ εἰς τὸ πνευματικόν; λαβὼν γὰρ λέντιον περιεζώσατο καὶ ἔνιψε τοὺς πόδας τῶν μαθητῶν. οὕτως εἶ λιθοκάρδιος, ὅτι οὐ κινεῖταί σου ἡ καρδία εἰς ζῆλον δικαιοσύνης καὶ ἐξακολουθεῖς τῷ κυρίῳ καὶ δουλεύεις τοῖς ἀδελφοῖς; 4.30.13 Περὶ τῶν υἱῶν Ζεβεδαίου λέγει ἡ μήτηρ αὐτῶν· κύριε, θέλω «ἵνα οἱ δύο μου υἱοὶ καθίσωσιν εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων». ἀπεκρίθη ὁ κύριος· «τοῦτο οὐκ ἔστιν ἐμόν», ἐπειδὴ μόνον τὰ περὶ αὐτῶν ἐζήτησεν. ὁ δὲ Πέτρος λέγει περὶ πάντων, ὡς μέλη ἴδια λογιζόμενος τοὺς ἀδελφούς, οὓς κοινωνοὺς ἐζήτησεν· «ἡμεῖς οἱ ἀφέντες πάντα καὶ ἀκολουθήσαντές σοι· τί ἕξωμεν»; ἀπεκρίθη ὁ κύριος αὐτῷ περὶ πολλῶν εἰπών· «ὑμεῖς οἱ ἀφέντες καὶ ἀκολουθήσαντές μοι καθήσεσθε ἐν τῷ καινῷ αἰῶνι ἐπὶ δώδεκα θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ». καὶ πάλιν· «ἑκατονταπλασίονα λήψεσθε ἐν τῷ νῦν αἰῶνι». 4.30.14 Πάντες οὖν οἱ ἀδελφοὶ ἑαυτοὺς ὡς ἴδια μέλη καὶ ἓν σῶμα λογιζώμεθα. ἓν γὰρ μέλος ἐσμὲν ἐν Χριστῷ οἱ πάντες. οὕτω γὰρ εὐδόκησεν ὁ θεός, ἵνα οἱ κάτω καὶ οἱ ἐπουράνιοι μία ἐκκλησία γένωνται εἰς ἕνα σύνδεσμον τῆς ἀγάπης. μὴ τὸ βρῶμα ἐὰν ἀπενέγκῃ ἡ χεῖρ εἰς τὸ στόμα, τῷ ἑνὶ μέλει ἐποίησεν; οὐχὶ ὅλῳ τῷ σώματι; οὕτως οἱ πολλοὶ ἀδελφοὶ ἕν εἰσιν ἐν Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 5.τ.1 ΛΟΓΟΣ Ε΄.

5.1.1 Ἐρώτησις. Ὁ ἔξωθεν ἄνθρωπος τὰ ὀπίσθια αὐτοῦ ὁρᾶν οὐ δύναται· εἰ οὖν φασι τὸν ἔσω ὅμοιον τῷ ἔξω, πῶς δύναται οὗτος ὁρᾶν τὰ ὀπίσθια; Ἀπόκρισις. Ὥσπερ μαργαρίτης λαμπρὸς ἢ φεγγίτης λίθος πανταχόθεν φαίνεται, οὕτω καὶ ἡ ψυχὴ πανταχόθεν φαίνεται καὶ λάμπει. Ὥσπερ δὲ καὶ ἔμπειρος γεωργὸς κατὰ τὴν ποιότητα καὶ ὑπόστασιν τῆς γῆς ἐπιφέρει τὰ σπέρματα καὶ τὴν μὲν πυροὺς σπείρει, τὴν δὲ κριθὴν καὶ ἄλλην ὄσπρια, καὶ ἑκάστην πρὸς τὸ μέτρον τῆς ποιότητος διοικεῖ καὶ τὴν μὲν εἰς ἀμπελῶνα ποιεῖ, τὴν δὲ εἰς ἐλαιῶνα, οὕτω καὶ ὁ κύριος εἰς τὰς γαίας τῆς καρδίας ἐπιμετρεῖ τὴν χάριν κατὰ τὸ μέτρον τῆς πίστεως καὶ κατὰ τὴν ἕξιν τοῦ δεχομένου καί, καθὼς τὸ πνεῦμα βούλεται, ἐνεργεῖ ἐν τοῖς τρισὶ τούτοις τρόποις. καὶ μύριοι ἐὰν ὦσι πνευματοφόροι, ἑτέρως καὶ ἑτέρως ἔχουσιν ἐπιφαινομένην τὴν χάριν καὶ πολυμερῶς καὶ πολυτρόπως. 5.2.2 Οἷον Ἀβραὰμ πλούσιος ὢν ἔλαβε τὴν χάριν τοῦ θεοῦ διὰ τὴν πίστιν, Ἠλίας διὰ τὴν ἀνδρείαν καὶ διὰ τὸ μονάζειν ἐν ἐρημίαις, Ἰὼβ διὰ τὴν ὑπομονήν, Δαβὶδ διὰ τὴν ἀγαθότητα καὶ διὰ τὸ φιλάνθρωπον· καὶ ἓν πνεῦμα πάντες ἔχοντες διαφόρως ἐνήργουν. καὶ οἱ ἀπόστολοι κατ' αὐτὴν τὴν ὥραν λαβόντες πάντες τὸν παράκλητον πολυτρόπως μετέσχον. παρακεχώρηται δὲ καὶ τοῖς ἁμαρτωλοῖς εἶναι ἐν ἀδείᾳ διὰ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου ὡς οἰκονομεῖ ἡ χάρις. 5.2.3 Οἱ οὖν Χριστιανοί, ὅταν πειρασμοὶ αὐτοῖς ἐπέλθωσιν, οὐκ ὀφείλουσι θαυμάζειν, ξενίζεσθαι δὲ μᾶλλον ἐν τῇ ἀνέσει καὶ ἀμεριμνίᾳ καὶ ἀφορᾶν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πῶς γενόμενος ἡμῶν τύπος ἐμυκτηρίσθη καὶ ἔπαθε καὶ ἐσταυρώθη, καὶ πῶς τῶν ἀποστόλων οἱ μὲν ἐσταυρώθησαν, οἱ δὲ τὴν κεφαλὴν ἀπετμήθησαν, ἄλλοι «ἐν φόνῳ μαχαίρας ἀπέθανον», καὶ τῶν προφητῶν δὲ οἱ πλείους ἐν ἀτιμίαις ἐπλήρωσαν τὸν πάντα αὐτῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βίον. ἀποβλέποντες οὖν καὶ ἀφορῶντες εἰς τὸν προειρημένον θεμέλιον χαίρειν ὀφείλομεν συμπάσχοντες τῷ Χριστῷ, λυπεῖσθαι δὲ ἡνίκα ἐν δόξῃ καὶ τιμῇ ἐσμέν, ὡς μὴ ἐπιβάντες μηδὲ ἁψάμενοι τῆς ὁδοῦ τοῦ κυρίου καὶ τῶν ἀποστόλων· πάντες γὰρ διὰ θλίψεων παρῆλθον τὸν βίον. οἱ οὖν εἰσελθόντες εἰς τὴν ὁδὸν τῆς δικαιοσύνης, ὡς ἄνθρωπος ἔχων πένθος ἀπαραμύθητον ἐπὶ μονογενεῖ υἱῷ ἀποθανόντι, οὕτως ἐν πένθει εἰσὶ καὶ λύπῃ καὶ δακρύοις. ἔστι δὲ τῷ τοιούτῳ πένθει χαρὰ καὶ τῷ τοιούτῳ πόνῳ καὶ τῇ θλίψει παράκλησις ἀναπαύουσα καὶ τὰ δάκρυα καὶ οἱ ἐκ βάθους καρδίας στεναγμοὶ τρυφᾶν ποιοῦσι τοὺς κεκτημένους· ἀναπαύονται γὰρ καὶ ἥδονται ἐπὶ τῷ θλιβερῷ βίῳ καὶ οἱ τοιοῦτοι οἰκεῖοί εἰσι τῷ θεῷ. οἱ δὲ ὑπερβαίνοντες τοῦτο τὸ μέτρον ἐξήλειψαν πᾶν δάκρυον ἀπὸ προσώπου τῆς ψυχῆς καὶ ἀποθέμενοι διὰ τοῦ κυρίου τὸ πένθος χαρὰν καὶ ἀγάπην ἀνέλαβον. τοῦτο δὲ τὸ μέτρον τῶν τελείων ἐστίν. 5.2.4 Ὀφείλουσιν οὖν οἱ Χριστιανοὶ πᾶσαν προαίρεσιν ἐν ἀνεξικακίᾳ καὶ μακροθυμίᾳ βαστάζειν. κἂν εὕρῃς τινὰ τῶν ἀδελφῶν σου εἰς βραχύ τι ἐκτραπέντα ἢ σφαλέντα, ἔχοντα δέ τινα εὐάρεστα, μὴ ἀποκόψῃς αὐτὸν τῆς ἐλπίδος. γέγραπται γάρ· «παρακαλεῖτε ἀλλήλους, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον», εἰ δύναται ἐπιδέξασθαι θεραπείαν. κρεῖττον δὲ δουλεύειν πάσῃ προαιρέσει καὶ μὴ κρίνειν. εἰ δὲ σὺ κρίνεις τὸν πλησίον σου, ὅτι ἁμαρτωλός ἐστι, ἔχεις εἰπεῖν σὺ τῷ θεῷ ὅτι δίκαιός εἰμι; καὶ εἰ λέγεις ὅτι μιαρός ἐστι καὶ ἀκάθαρτος, καὶ σὺ τῷ θεῷ μιαρὸς εἶ καὶ ἀκάθαρτος. καὶ ὥσπερ σὺ ποιεῖς τῷ πλησίον σου, οὕτω καὶ σοὶ ὁ θεός. ἐὰν ἀγαπήσῃς τὸν πλησίον σου, ἔρχεται πρός σε ὁ θεὸς καὶ ἀγαπᾷ σε. ἐὰν δὲ εἴπῃς· ἰδιώτης ἐστὶ καὶ μιαρὸν νοῦν ἔχει, καὶ σὺ τῷ θεῷ ἰδιώτης εἶ καὶ βδελυκτὸς καὶ μηδὲν εἰδώς. καὶ ἐὰν ἀποστραφῇς τὸν πλησίον σου, καὶ ὁ κύριος ἀποστρέφεταί σε καὶ οὐ παραδέχεταί σε εἰς τὴν βασιλείαν. «ᾧ γὰρ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν». 5.2.5 Διὰ τοῦτο σπουδαίως ἐπιτελέσωμεν τὰ προστεταγμένα καὶ διοδεύσωμεν διὰ τῆς ἀληθινῆς ὁδοῦ, ἵνα οὕτως ἐπιτύχωμεν τῆς ἀληθείας καὶ μὴ προφασισώμεθα προφάσεις ἁμαρτίας. μὴ γὰρ ἐπειδὴ οὐκ ἔστιν ἐν ἡμῖν ἀληθινὴ νηστεία νηστεία γάρ ἐστιν ἀποχὴ τῶν πονηρῶν διαλογισμῶν, παρὰ τοῦτο ὀφείλομεν αὐτὴν ἀπολύειν καὶ μὴ φυλάττειν; μὴ γένοιτο. μὴ γὰρ ἐπειδὴ ἔσωθεν ἡμῶν ἐστι θηλεία ἡ καρδία κοινωνοῦσα καὶ περιλαμβάνουσα μυσαρὰς προλήψεις, παρὰ τοῦτο ὀφείλεις καὶ φανερῶς πορνεῦσαι; μὴ γὰρ ἐπειδὴ ἀποταξάμενος τῷ κόσμῳ εὑρίσκεις ἐν τῷ νῷ σου καὶ τῇ ψυχῇ ὅλον τὸν κόσμον καὶ τὴν οἰκουμένην, παρὰ τοῦτο οὐ δεῖ σε τοῖς φαινομένοις ἀποτάξασθαι; μὴ γὰρ ἐπειδὴ οὐκ εὔχῃ τὴν καθαρὰν εὐχὴν καὶ ἀληθινήν, παρὰ τοῦτο οὐδὲ πρὸς ὥραν κλῖναι γόνυ θέλεις; ἀγῶνος γὰρ χρεία, ἀδελφοί, οἱ δὲ Χριστιανοὶ εἰσὶν ὃ εἰσίν. 5.2.6 Ὡς ἄνθρωπος ἀπόδημος, πολὺν ἀπὸ τῆς ἰδίας πόλεως ἐξοικισθεὶς χρόνον καὶ βουλόμενος ἐπανελθεῖν, καὶ δι' ἀγρίων τόπων διοδεύων καὶ ἐν καταλύμασι καὶ πανδοχείοις γινομένης ῥυπαρᾶς δυσωδίας γέμουσιν, ἀποδύρεται παντοίως καὶ ἀλύει μνημονεύων τῆς ἐνεγκούσης † καὶ τῶν ἐκεῖσε τιμῶν καὶ τοῦ πλούτου καὶ τῶν συγγενῶν καὶ φίλων καὶ πάσης τῆς ἀποκειμένης αὐτῷ ἐκεῖσε τρυφῆς καὶ ὑπάρξεως, καὶ διὰ τὴν πρὸς ἐκεῖνα σχέσιν καὶ ἀγάπην ὑπερβῆναι ἤθελε πάντα καὶ ἠβούλετο μηδὲ ἡμιώριον ἀποστῆναι οἴκοθεν, οὕτως οἱ Χριστιανοὶ ὄντες ἐν τῷ αἰῶνι τούτῳ ὡς ἐν πανδοχείῳ συνέχονται καὶ ὡς ἐν τόποις ἐρημικοῖς καὶ λῃστρικοῖς, καὶ ὡς ἐν πατρίδι ἐχθρῶν καὶ βαρβάρων ὄντες ἀηδίζονται καὶ λυποῦνται καὶ μόλις φέρουσι τὴν ἐν τῷ αἰῶνι τούτῳ διαβίωσιν, καίτοι τῷ νῷ καὶ τῷ ἔσω ἀνθρώπῳ ἀπὸ τοῦ νῦν ὄντες ἐν τῇ ἰδίᾳ πόλει τῇ ἐπουρανίῳ καὶ τῷ κόσμῳ ἐκείνῳ, πρὸς τοὺς ὁμοδόξους ἀγγέλους, πρὸς τοὺς ἀδελφοὺς τοὺς ἀποστόλους, πρὸς τὰ ἅγια πνεύματα, πρὸς τὸν γλυκὺν πατέρα Ἰησοῦν Χριστόν· ὅπου οἱ στέφανοι καὶ ἡ δόξα καὶ ὁ πλοῦτος αὐτοῖς ηὐτρέπισται, συναναστρέφονται. 5.2.7 Μηδεὶς οὖν ἡμῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν θεὸν μόνῳ λόγῳ ἐπιγνῷ, ἀλλ' ἵνα ἔχῃ αὐτὸν ἐν τῇ καρδίᾳ ἐν πάσῃ αἰσθήσει καὶ ἐπιγνώσει. διότι μέγα ἐστὶ τὸ ἀξίωμά σου, ὦ ἄνθρωπε, ὑπερβαῖνον πᾶσαν κτίσεως ποικιλίαν. πρόσεχε πῶς πλατὺς ὁ οὐρανὸς καὶ στίλβων τοῖς ἄστροις, καὶ οὐκ εὐδόκησεν ἐν αὐτῷ ὁ κύριος· καὶ ὁποῖοι ἐν αὐτῷ φωστῆρες, ὁποῖα δὲ καὶ πόση ἡ γῆ, καὶ πάντα παριδὼν ὁ θεὸς εἰς ἀγαθοὺς λογισμοὺς καὶ καρδίαν ἀνθρώπου ἀναπαύεται. μόνος σὺ ναὸς ἐκλήθης θεοῦ καὶ οἰκητήριον θεότητος ἐγένου, εἰς τὸ καταλύειν καὶ κατασκηνοῦν τὸν κύριον. «ἐπὶ τίνα γὰρ ἐπιβλέψω ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους»; καὶ πάλιν· «ἐμφανίσω αὐτῷ ἐμαυτόν» καὶ ἐγὼ καὶ ὁ πατήρ μου «ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». σὺ εἶ κτῆμα θεοῦ, σὺ εἶ κληρονομία τοῦ βασιλέως. μὴ καταφρονήσῃς αὐτοῦ, ὦ ἄνθρωπε, ἀλλ' ἐλθὲ ἐπὶ τὸν ἀγῶνα καὶ ἄθλησον, ἵνα καὶ τοῦ στεφάνου καταξιωθῇς ἔργῳ καὶ ἀληθείᾳ. πολλοὶ γάρ εἰσιν ἐξ ἡμῶν ἀκούοντες τὸν ἀπὸ τῶν γραφῶν λόγον καὶ μηδέν, ὧν λέγουσιν αἱ γραφαί, κεκτημένοι, ἀλλὰ ξένοι τῆς ἐργασίας καὶ τῆς αἰσθήσεως μόνον λαλεῖν εἰδότες. «ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ». χρεία δρόμου καὶ κόπου καὶ ἀγῶνος, χρεία θλίψεως καὶ πόνου, ἵνα τις ἀναπαυθῇ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 5.2.8 Ὑποδείξω σοι ἀπὸ μέρους τὴν ὑπερβολὴν τοῦ ἀποκειμένου τοῖς ἀθλοῦσι πλούτου. ὥσπερ ἐάν τις προσελθὼν βασιλεῖ πορφύραν ἐνδεδυμένῳ εἴπῃ· "1ἄφες τὴν βασιλικὴν ἀξίαν, ἀπόστηθι τῆς τυραννικῆς δυναστείας, καὶ δεῦρο χοίρους νέμησον καὶ ἔνδυσαι χιτῶνας ῥυπαροὺς καὶ κατερρωγότας"2, οὕτω καὶ ὁ ἀνδρὶ πνευματικῷ κατηξιωμένῳ τῆς ἐπαγγελίας τοῦ θεοῦ καὶ ἀπογεγραμμένῳ ἐν τῇ ἐπουρανίῳ πόλει διδοὺς πλοῦτον ἢ ἀξίωμα ἢ κράτος γήϊνον δυσωδίαν καὶ ἀτιμίαν καὶ ὕβριν νομίζεται διδόναι, διότι ἐν ἐκείνοις τοῖς ἐπουρανίοις βυθίζονται, καὶ οἱ τοιοῦτοι πλουτοῦντες καὶ μεθυσκόμενοι μέθῃ πνευματικῇ καὶ ἄλλης γεγονότες πόλεως πάντα τὰ φαινόμενα φαντασίαν ἡγοῦνται, εἴτε δόξαν εἴτε λόγων δύναμιν καὶ κόμπον, πάντα σαλευόμενα καὶ μὴ ἐπιβεβηκότα βάσεως στερεᾶς. 5.2.9 Ἐάν τις ᾖ ἀπὸ ἀξιώματος, μὴ λογισάσθω καθ' ἑαυτὸν κατόρθωμά τι ἀξιόπιστον πεποιηκέναι, ἀφορῶν εἰς τὴν ταπεινοφροσύνην τοῦ Χριστοῦ καὶ τὰ ἐμπτύσματα, ἀλλὰ παιδευθήτω ὅτι ἄνθρωπός ἐστι, γῆ καὶ σποδὸς ὅλος, ἐπισκεψάσθω δὲ ἑαυτόν, εἰ υἱός ἐστι προφητῶν καὶ ἀποστόλων. ἐκτὸς γὰρ ἐκείνου τοῦ ἐπουρανίου κτήματος, ἐκτὸς ἐκείνης τῆς βασιλείας, ἐκτὸς τοῦ παρακλήτου ἐκείνου, τῆς ζωῆς καὶ τοῦ φωτός, ἐκτὸς τῆς τρυφῆς καὶ τῆς εἰρήνης καὶ τῆς ἀγαλλιάσεως κονιορτός ἐστι τὰ πάντα. 5.2.10 Μακάριαι αἱ ψυχαὶ τῶν Χριστιανῶν, ὅτι ἔχουσι τὸν ποιμένα Ἰησοῦν Χριστὸν φωτίζοντα, ὁδηγοῦντα. τί τούτου μεῖζον, ὅτι τὴν ὑπόστασιν αὐτοῦ καὶ τὴν φύσιν ἐμπιστεύει καὶ συγκιρνᾶται τῷ νῷ καὶ τοῖς λογισμοῖς, καὶ σκιρτῶσιν ὡς ἄρνες ἐν τῇ εὐλογημένῃ βασιλείᾳ; 5.2.11 Ἔστι γεωργὸς ἔμπειρος μετὰ πολλῆς τέχνης ἐργαζόμενος τὴν γῆν, καὶ διότι ἡ γῆ τραχεῖα καὶ ἄκαρπός ἐστιν, οὐδὲν ὤνησεν ἡ τέχνη τοῦ τεχνίτου. καὶ ἔστι στερρὰ γῆ καρποφόρος καὶ γονίμη, νικῶσα τῇ εὐκαρπίᾳ τὴν τῶν ἐμπονούντων ἀπειρίαν. 5.2.12 Οἱ περιγενόμενοι τῶν παθῶν τῆς ἁμαρτίας οὗτοι καὶ τῶν σωματικῶν ἠλευθέρωνται παθῶν, πόνων καὶ πυρετῶν καὶ πάντοτε ὑγιεῖς εἰσιν. ἀλλ' οὐδὲ τοιοῦτοι ὄντες ἀμεριμνοῦσι παντελῶς. εἰ γὰρ ἦσαν οἱ τοιοῦτοι πάντοτε ἀμέριμνοι, ἐλεύθεροι, ἀφειμένοι, ὡς ἀναγκαστικῇ δυνάμει ὄντες ἀγαθοί, ὑπὸ τῆς συνούσης χάριτος ἐγίνοντο τοιοῦτοι καὶ οὐκέτι ἐφαίνετο τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου. ἐπεὶ οὖν μέσον ἐστὶ τὸ θέλημα, παραχωρεῖ ἡ χάρις καὶ ἐπέρχονται αὐτοῖς θλίψεις καὶ πειρασμοί. οὔτε οὖν οἱ ἁμαρτωλοὶ πάντοτε ἐν θλίψει εἰσὶν οὔτε οἱ δίκαιοι πάντοτε ἀμέριμνοι. 5.3.1 Ἐρώτησις. Εἰ ὡς τῷ κυρίῳ ἐλάλησεν ὁ διάβολος, ὅτε αὐτὸν ἐν τῇ ἐρήμῳ ἐπείρασεν εἰπών· «εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται», οὕτω καὶ τοὺς δικαίους πολεμεῖ, λαλῶν λόγους ἔξωθεν πρὸς τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πειρᾶσαι; Ἀπόκρισις. Τοῖς μηδέπω τελειωθεῖσιν ὁ σατανᾶς ἐν μυστηρίῳ ἔσωθεν διὰ τῶν πονηρῶν διαλογισμῶν τῇ ψυχῇ προσδιαλέγεται, τοὺς δὲ νηπιωτέρους πολλάκις καὶ ἔξωθεν φαντάζει παραφαινόμενος ἐν εἴδεσί τισι πρὸς τὸ ἁρπάσαι τὸν νοῦν αὐτῶν. μεγάλοις δὲ ἀνδράσιν, οἵτινες ἔσωθεν αὐτὸν ἐξέβαλον διὰ τῆς θείας δυνάμεως, ταρασσόμενος καὶ συνεχόμενος ἐπιφαίνεται πρὸς τὸ μετεωρίσαι καὶ ἀσχολῆσαι τὸν νοῦν, τοῦ μὴ προσεγγίσαι τῷ θεῷ. 5.3.2 ὅταν γὰρ καθαρεύσῃ ὁ νοῦς, βλέπει αὐτὸν ἔσωθεν καὶ ἔξωθεν. καὶ τί θαυμαστόν, ὁπότε καὶ οἱ δίκαιοι ἔσωθεν καὶ ἔξωθεν βλέπουσι τὸν Χριστόν; τί γὰρ λέγει Στέφανος; «ὁρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ θεοῦ ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ». καὶ Παῦλον ἐν τῇ ἀρχῇ ἔξωθεν «περιήστραψε φῶς» καὶ ἐλάλησε· «τί με διώκεις»; καὶ περὶ τῶν ἀποστόλων γέγραπται ὅτι εἶδον γλώσσας πυρὸς διαμεριζομένας αὐτοῖς καὶ ὁ παρεστὼς ὄχλος εἶδε καὶ ἤκουσε τὸ γεγονός. 5.3.3 ἐπεὶ οὖν ὁ νοῦς οἶκός ἐστι τοῦ θεοῦ καὶ ὁ πονηρὸς ἐκβέβληται αὐτόθεν, οἱ πνευματικοὶ διὰ τὴν ἄκραν καθαρότητα ὁρῶσιν ὡς ἔσωθεν καὶ τὴν ἁμαρτίαν καὶ τὴν χάριν. τοῦτο οὖν ζητεῖται, ἵνα ὁ νοῦς παρὰ τῷ θεῷ ζῇ καὶ ἐρρῶται. καὶ ἐὰν θλιβῇ τὸ σῶμα καὶ ὅλον ἐξαφανισθῇ, οὐδὲν ἀδικεῖται ἡ ψυχή. τί γὰρ ἔπαθεν ἡ σὰρξ τοῦ περικειμένου αὐτῇ χιτῶνος διαρραγέντος; καὶ Ἰὼβ «ἀπὸ κεφαλῆς ἕως ποδῶν ἕλκει πονηρῷ» ὑπὸ τοῦ διαβόλου πληγείς, κατὰ νοῦν τί ἐβλάβη, ὁπότε ἦν ἐρρωμένος εἰς τὴν ἀγάπην καὶ πίστιν τὴν πρὸς τὸν θεόν; θεν φαίνεται, οὕτω καὶ ἡ ψυχὴ πανταχόθεν φαίνεται καὶ λάμπει. Ὥσπερ δὲ καὶ ἔμπειρος γεωργὸς κατὰ τὴν ποιότητα καὶ ὑπόστασιν τῆς γῆς ἐπιφέρει τὰ σπέρματα καὶ τὴν μὲν πυροὺς σπείρει, τὴν δὲ κριθὴν καὶ ἄλλην ὄσπρια, καὶ ἑκάστην πρὸς τὸ μέτρον τῆς ποιότητος διοικεῖ καὶ τὴν μὲν εἰς ἀμπελῶνα ποιεῖ, τὴν δὲ εἰς ἐλαιῶνα, οὕτω καὶ ὁ κύριος εἰς τὰς γαίας τῆς καρδίας ἐπιμετρεῖ τὴν χάριν κατὰ τὸ μέτρον τῆς πίστεως καὶ κατὰ τὴν ἕξιν τοῦ δεχομένου καί, καθὼς τὸ πνεῦμα βούλεται, ἐνεργεῖ ἐν τοῖς τρισὶ τούτοις τρόποις. καὶ μύριοι ἐὰν ὦσι πνευματοφόροι, ἑτέρως καὶ ἑτέρως ἔχουσιν ἐπιφαινομένην τὴν χάριν καὶ πολυμερῶς καὶ πολυτρόπως. 5.2.2 Οἷον Ἀβραὰμ πλούσιος ὢν ἔλαβε τὴν χάριν τοῦ θεοῦ διὰ τὴν πίστιν, Ἠλίας διὰ τὴν ἀνδρείαν καὶ διὰ τὸ μονάζειν ἐν ἐρημίαις, Ἰὼβ διὰ τὴν ὑπομονήν, Δαβὶδ διὰ τὴν ἀγαθότητα καὶ διὰ τὸ φιλάνθρωπον· καὶ ἓν πνεῦμα πάντες ἔχοντες διαφόρως ἐνήργουν. καὶ οἱ ἀπόστολοι κατ' αὐτὴν τὴν ὥραν λαβόντες πάντες τὸν παράκλητον πολυτρόπως μετέσχον. παρακεχώρηται δὲ καὶ τοῖς ἁμαρτωλοῖς εἶναι ἐν ἀδείᾳ διὰ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου ὡς οἰκονομεῖ ἡ χάρις. 5.2.3 Οἱ οὖν Χριστιανοί, ὅταν πειρασμοὶ αὐτοῖς ἐπέλθωσιν, οὐκ ὀφείλουσι θαυμάζειν, ξενίζεσθαι δὲ μᾶλλον ἐν τῇ ἀνέσει καὶ ἀμεριμνίᾳ καὶ ἀφορᾶν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, πῶς γενόμενος ἡμῶν τύπος ἐμυκτηρίσθη καὶ ἔπαθε καὶ ἐσταυρώθη, καὶ πῶς τῶν ἀποστόλων οἱ μὲν ἐσταυρώθησαν, οἱ δὲ τὴν κεφαλὴν ἀπετμήθησαν, ἄλλοι «ἐν φόνῳ μαχαίρας ἀπέθανον», καὶ τῶν προφητῶν δὲ οἱ πλείους ἐν ἀτιμίαις ἐπλήρωσαν τὸν πάντα αὐτῶν βίον. ἀποβλέποντες οὖν καὶ ἀφορῶντες εἰς τὸν προειρημένον θεμέλιον χαίρειν ὀφείλομεν συμπάσχοντες τῷ Χριστῷ, λυπεῖσθαι δὲ ἡνίκα ἐν δόξῃ καὶ τιμῇ ἐσμέν, ὡς μὴ ἐπιβάντες μηδὲ ἁψάμενοι τῆς ὁδοῦ τοῦ κυρίου καὶ τῶν ἀποστόλων· πάντες γὰρ διὰ θλίψεων παρῆλθον τὸν βίον. οἱ οὖν εἰσελθόντες εἰς τὴν ὁδὸν τῆς δικαιοσύνης, ὡς ἄνθρωπος ἔχων πένθος ἀπαραμύθητον ἐπὶ μονογενεῖ υἱῷ ἀποθανόντι, οὕτως ἐν πένθει εἰσὶ καὶ λύπῃ καὶ δακρύοις. ἔστι δὲ τῷ τοιούτῳ πένθει χαρὰ καὶ τῷ τοιούτῳ πόνῳ καὶ τῇ θλίψει παράκλησις ἀναπαύουσα καὶ τὰ δάκρυα καὶ οἱ ἐκ βάθους καρδίας στεναγμοὶ τρυφᾶν ποιοῦσι τοὺς κεκτημένους· ἀναπαύονται γὰρ καὶ ἥδονται ἐπὶ τῷ θλιβερῷ βίῳ καὶ οἱ τοιοῦτοι οἰκεῖοί εἰσι τῷ θεῷ. οἱ δὲ ὑπερβαίνοντες τοῦτο τὸ μέτρον ἐξήλειψαν πᾶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δάκρυον ἀπὸ προσώπου τῆς ψυχῆς καὶ ἀποθέμενοι διὰ τοῦ κυρίου τὸ πένθος χαρὰν καὶ ἀγάπην ἀνέλαβον. τοῦτο δὲ τὸ μέτρον τῶν τελείων ἐστίν. 5.2.4 Ὀφείλουσιν οὖν οἱ Χριστιανοὶ πᾶσαν προαίρεσιν ἐν ἀνεξικακίᾳ καὶ μακροθυμίᾳ βαστάζειν. κἂν εὕρῃς τινὰ τῶν ἀδελφῶν σου εἰς βραχύ τι ἐκτραπέντα ἢ σφαλέντα, ἔχοντα δέ τινα εὐάρεστα, μὴ ἀποκόψῃς αὐτὸν τῆς ἐλπίδος. γέγραπται γάρ· «παρακαλεῖτε ἀλλήλους, ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον», εἰ δύναται ἐπιδέξασθαι θεραπείαν. κρεῖττον δὲ δουλεύειν πάσῃ προαιρέσει καὶ μὴ κρίνειν. εἰ δὲ σὺ κρίνεις τὸν πλησίον σου, ὅτι ἁμαρτωλός ἐστι, ἔχεις εἰπεῖν σὺ τῷ θεῷ ὅτι δίκαιός εἰμι; καὶ εἰ λέγεις ὅτι μιαρός ἐστι καὶ ἀκάθαρτος, καὶ σὺ τῷ θεῷ μιαρὸς εἶ καὶ ἀκάθαρτος. καὶ ὥσπερ σὺ ποιεῖς τῷ πλησίον σου, οὕτω καὶ σοὶ ὁ θεός. ἐὰν ἀγαπήσῃς τὸν πλησίον σου, ἔρχεται πρός σε ὁ θεὸς καὶ ἀγαπᾷ σε. ἐὰν δὲ εἴπῃς· ἰδιώτης ἐστὶ καὶ μιαρὸν νοῦν ἔχει, καὶ σὺ τῷ θεῷ ἰδιώτης εἶ καὶ βδελυκτὸς καὶ μηδὲν εἰδώς. καὶ ἐὰν ἀποστραφῇς τὸν πλησίον σου, καὶ ὁ κύριος ἀποστρέφεταί σε καὶ οὐ παραδέχεταί σε εἰς τὴν βασιλείαν. «ᾧ γὰρ μέτρῳ μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν». 5.2.5 Διὰ τοῦτο σπουδαίως ἐπιτελέσωμεν τὰ προστεταγμένα καὶ διοδεύσωμεν διὰ τῆς ἀληθινῆς ὁδοῦ, ἵνα οὕτως ἐπιτύχωμεν τῆς ἀληθείας καὶ μὴ προφασισώμεθα προφάσεις ἁμαρτίας. μὴ γὰρ ἐπειδὴ οὐκ ἔστιν ἐν ἡμῖν ἀληθινὴ νηστεία νηστεία γάρ ἐστιν ἀποχὴ τῶν πονηρῶν διαλογισμῶν, παρὰ τοῦτο ὀφείλομεν αὐτὴν ἀπολύειν καὶ μὴ φυλάττειν; μὴ γένοιτο. μὴ γὰρ ἐπειδὴ ἔσωθεν ἡμῶν ἐστι θηλεία ἡ καρδία κοινωνοῦσα καὶ περιλαμβάνουσα μυσαρὰς προλήψεις, παρὰ τοῦτο ὀφείλεις καὶ φανερῶς πορνεῦσαι; μὴ γὰρ ἐπειδὴ ἀποταξάμενος τῷ κόσμῳ εὑρίσκεις ἐν τῷ νῷ σου καὶ τῇ ψυχῇ ὅλον τὸν κόσμον καὶ τὴν οἰκουμένην, παρὰ τοῦτο οὐ δεῖ σε τοῖς φαινομένοις ἀποτάξασθαι; μὴ γὰρ ἐπειδὴ οὐκ εὔχῃ τὴν καθαρὰν εὐχὴν καὶ ἀληθινήν, παρὰ τοῦτο οὐδὲ πρὸς ὥραν κλῖναι γόνυ θέλεις; ἀγῶνος γὰρ χρεία, ἀδελφοί, οἱ δὲ Χριστιανοὶ εἰσὶν ὃ εἰσίν. 5.2.6 Ὡς ἄνθρωπος ἀπόδημος, πολὺν ἀπὸ τῆς ἰδίας πόλεως ἐξοικισθεὶς χρόνον καὶ βουλόμενος ἐπανελθεῖν, καὶ δι' ἀγρίων τόπων διοδεύων καὶ ἐν καταλύμασι καὶ πανδοχείοις γινομένης ῥυπαρᾶς δυσωδίας γέμουσιν, ἀποδύρεται παντοίως καὶ ἀλύει μνημονεύων τῆς ἐνεγκούσης † καὶ τῶν ἐκεῖσε τιμῶν καὶ τοῦ πλούτου καὶ τῶν συγγενῶν καὶ φίλων καὶ πάσης τῆς ἀποκειμένης αὐτῷ ἐκεῖσε τρυφῆς καὶ ὑπάρξεως, καὶ διὰ τὴν πρὸς ἐκεῖνα σχέσιν καὶ ἀγάπην ὑπερβῆναι ἤθελε πάντα καὶ ἠβούλετο μηδὲ ἡμιώριον ἀποστῆναι οἴκοθεν, οὕτως οἱ Χριστιανοὶ ὄντες ἐν τῷ αἰῶνι τούτῳ ὡς ἐν πανδοχείῳ συνέχονται καὶ ὡς ἐν τόποις ἐρημικοῖς καὶ λῃστρικοῖς, καὶ ὡς ἐν πατρίδι ἐχθρῶν καὶ βαρβάρων ὄντες ἀηδίζονται καὶ λυποῦνται καὶ μόλις φέρουσι τὴν ἐν τῷ αἰῶνι τούτῳ διαβίωσιν, καίτοι τῷ νῷ καὶ τῷ ἔσω ἀνθρώπῳ ἀπὸ τοῦ νῦν ὄντες ἐν τῇ ἰδίᾳ πόλει τῇ ἐπουρανίῳ καὶ τῷ κόσμῳ ἐκείνῳ, πρὸς τοὺς ὁμοδόξους ἀγγέλους, πρὸς τοὺς ἀδελφοὺς τοὺς ἀποστόλους, πρὸς τὰ ἅγια πνεύματα, πρὸς τὸν γλυκὺν πατέρα Ἰησοῦν Χριστόν· ὅπου οἱ στέφανοι καὶ ἡ δόξα καὶ ὁ πλοῦτος αὐτοῖς ηὐτρέπισται, συναναστρέφονται. 5.2.7 Μηδεὶς οὖν ἡμῶν τὸν θεὸν μόνῳ λόγῳ ἐπιγνῷ, ἀλλ' ἵνα ἔχῃ αὐτὸν ἐν τῇ καρδίᾳ ἐν πάσῃ αἰσθήσει καὶ ἐπιγνώσει. διότι μέγα ἐστὶ τὸ ἀξίωμά σου, ὦ ἄνθρωπε, ὑπερβαῖνον πᾶσαν κτίσεως ποικιλίαν. πρόσεχε πῶς πλατὺς ὁ οὐρανὸς καὶ στίλβων τοῖς ἄστροις, καὶ οὐκ εὐδόκησεν ἐν αὐτῷ ὁ κύριος· καὶ ὁποῖοι ἐν αὐτῷ φωστῆρες, ὁποῖα δὲ καὶ πόση ἡ γῆ, καὶ πάντα παριδὼν ὁ θεὸς εἰς ἀγαθοὺς λογισμοὺς καὶ καρδίαν ἀνθρώπου ἀναπαύεται. μόνος σὺ ναὸς ἐκλήθης θεοῦ καὶ οἰκητήριον θεότητος ἐγένου, εἰς τὸ καταλύειν καὶ κατασκηνοῦν τὸν κύριον. «ἐπὶ τίνα γὰρ ἐπιβλέψω ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους»; καὶ πάλιν· «ἐμφανίσω αὐτῷ ἐμαυτόν» καὶ ἐγὼ καὶ ὁ πατήρ μου «ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». σὺ εἶ κτῆμα θεοῦ, σὺ εἶ κληρονομία τοῦ βασιλέως. μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταφρονήσῃς αὐτοῦ, ὦ ἄνθρωπε, ἀλλ' ἐλθὲ ἐπὶ τὸν ἀγῶνα καὶ ἄθλησον, ἵνα καὶ τοῦ στεφάνου καταξιωθῇς ἔργῳ καὶ ἀληθείᾳ. πολλοὶ γάρ εἰσιν ἐξ ἡμῶν ἀκούοντες τὸν ἀπὸ τῶν γραφῶν λόγον καὶ μηδέν, ὧν λέγουσιν αἱ γραφαί, κεκτημένοι, ἀλλὰ ξένοι τῆς ἐργασίας καὶ τῆς αἰσθήσεως μόνον λαλεῖν εἰδότες. «ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται ἐὰν μὴ νομίμως ἀθλήσῃ». χρεία δρόμου καὶ κόπου καὶ ἀγῶνος, χρεία θλίψεως καὶ πόνου, ἵνα τις ἀναπαυθῇ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 5.2.8 Ὑποδείξω σοι ἀπὸ μέρους τὴν ὑπερβολὴν τοῦ ἀποκειμένου τοῖς ἀθλοῦσι πλούτου. ὥσπερ ἐάν τις προσελθὼν βασιλεῖ πορφύραν ἐνδεδυμένῳ εἴπῃ· "1ἄφες τὴν βασιλικὴν ἀξίαν, ἀπόστηθι τῆς τυραννικῆς δυναστείας, καὶ δεῦρο χοίρους νέμησον καὶ ἔνδυσαι χιτῶνας ῥυπαροὺς καὶ κατερρωγότας"2, οὕτω καὶ ὁ ἀνδρὶ πνευματικῷ κατηξιωμένῳ τῆς ἐπαγγελίας τοῦ θεοῦ καὶ ἀπογεγραμμένῳ ἐν τῇ ἐπουρανίῳ πόλει διδοὺς πλοῦτον ἢ ἀξίωμα ἢ κράτος γήϊνον δυσωδίαν καὶ ἀτιμίαν καὶ ὕβριν νομίζεται διδόναι, διότι ἐν ἐκείνοις τοῖς ἐπουρανίοις βυθίζονται, καὶ οἱ τοιοῦτοι πλουτοῦντες καὶ μεθυσκόμενοι μέθῃ πνευματικῇ καὶ ἄλλης γεγονότες πόλεως πάντα τὰ φαινόμενα φαντασίαν ἡγοῦνται, εἴτε δόξαν εἴτε λόγων δύναμιν καὶ κόμπον, πάντα σαλευόμενα καὶ μὴ ἐπιβεβηκότα βάσεως στερεᾶς. 5.2.9 Ἐάν τις ᾖ ἀπὸ ἀξιώματος, μὴ λογισάσθω καθ' ἑαυτὸν κατόρθωμά τι ἀξιόπιστον πεποιηκέναι, ἀφορῶν εἰς τὴν ταπεινοφροσύνην τοῦ Χριστοῦ καὶ τὰ ἐμπτύσματα, ἀλλὰ παιδευθήτω ὅτι ἄνθρωπός ἐστι, γῆ καὶ σποδὸς ὅλος, ἐπισκεψάσθω δὲ ἑαυτόν, εἰ υἱός ἐστι προφητῶν καὶ ἀποστόλων. ἐκτὸς γὰρ ἐκείνου τοῦ ἐπουρανίου κτήματος, ἐκτὸς ἐκείνης τῆς βασιλείας, ἐκτὸς τοῦ παρακλήτου ἐκείνου, τῆς ζωῆς καὶ τοῦ φωτός, ἐκτὸς τῆς τρυφῆς καὶ τῆς εἰρήνης καὶ τῆς ἀγαλλιάσεως κονιορτός ἐστι τὰ πάντα. 5.2.10 Μακάριαι αἱ ψυχαὶ τῶν Χριστιανῶν, ὅτι ἔχουσι τὸν ποιμένα Ἰησοῦν Χριστὸν φωτίζοντα, ὁδηγοῦντα. τί τούτου μεῖζον, ὅτι τὴν ὑπόστασιν αὐτοῦ καὶ τὴν φύσιν ἐμπιστεύει καὶ συγκιρνᾶται τῷ νῷ καὶ τοῖς λογισμοῖς, καὶ σκιρτῶσιν ὡς ἄρνες ἐν τῇ εὐλογημένῃ βασιλείᾳ; 5.2.11 Ἔστι γεωργὸς ἔμπειρος μετὰ πολλῆς τέχνης ἐργαζόμενος τὴν γῆν, καὶ διότι ἡ γῆ τραχεῖα καὶ ἄκαρπός ἐστιν, οὐδὲν ὤνησεν ἡ τέχνη τοῦ τεχνίτου. καὶ ἔστι στερρὰ γῆ καρποφόρος καὶ γονίμη, νικῶσα τῇ εὐκαρπίᾳ τὴν τῶν ἐμπονούντων ἀπειρίαν. 5.2.12 Οἱ περιγενόμενοι τῶν παθῶν τῆς ἁμαρτίας οὗτοι καὶ τῶν σωματικῶν ἠλευθέρωνται παθῶν, πόνων καὶ πυρετῶν καὶ πάντοτε ὑγιεῖς εἰσιν. ἀλλ' οὐδὲ τοιοῦτοι ὄντες ἀμεριμνοῦσι παντελῶς. εἰ γὰρ ἦσαν οἱ τοιοῦτοι πάντοτε ἀμέριμνοι, ἐλεύθεροι, ἀφειμένοι, ὡς ἀναγκαστικῇ δυνάμει ὄντες ἀγαθοί, ὑπὸ τῆς συνούσης χάριτος ἐγίνοντο τοιοῦτοι καὶ οὐκέτι ἐφαίνετο τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου. ἐπεὶ οὖν μέσον ἐστὶ τὸ θέλημα, παραχωρεῖ ἡ χάρις καὶ ἐπέρχονται αὐτοῖς θλίψεις καὶ πειρασμοί. οὔτε οὖν οἱ ἁμαρτωλοὶ πάντοτε ἐν θλίψει εἰσὶν οὔτε οἱ δίκαιοι πάντοτε ἀμέριμνοι. 5.3.1 Ἐρώτησις. Εἰ ὡς τῷ κυρίῳ ἐλάλησεν ὁ διάβολος, ὅτε αὐτὸν ἐν τῇ ἐρήμῳ ἐπείρασεν εἰπών· «εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται», οὕτω καὶ τοὺς δικαίους πολεμεῖ, λαλῶν λόγους ἔξωθεν πρὸς τὸ πειρᾶσαι; Ἀπόκρισις. Τοῖς μηδέπω τελειωθεῖσιν ὁ σατανᾶς ἐν μυστηρίῳ ἔσωθεν διὰ τῶν πονηρῶν διαλογισμῶν τῇ ψυχῇ προσδιαλέγεται, τοὺς δὲ νηπιωτέρους πολλάκις καὶ ἔξωθεν φαντάζει παραφαινόμενος ἐν εἴδεσί τισι πρὸς τὸ ἁρπάσαι τὸν νοῦν αὐτῶν. μεγάλοις δὲ ἀνδράσιν, οἵτινες ἔσωθεν αὐτὸν ἐξέβαλον διὰ τῆς θείας δυνάμεως, ταρασσόμενος καὶ συνεχόμενος ἐπιφαίνεται πρὸς τὸ μετεωρίσαι καὶ ἀσχολῆσαι τὸν νοῦν, τοῦ μὴ προσεγγίσαι τῷ θεῷ. 5.3.2 ὅταν γὰρ καθαρεύσῃ ὁ νοῦς, βλέπει αὐτὸν ἔσωθεν καὶ ἔξωθεν. καὶ τί θαυμαστόν, ὁπότε καὶ οἱ δίκαιοι ἔσωθεν καὶ ἔξωθεν βλέπουσι τὸν Χριστόν; τί γὰρ λέγει Στέφανος; «ὁρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ θεοῦ ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ». καὶ Παῦλον ἐν τῇ ἀρχῇ ἔξωθεν «περιήστραψε φῶς»



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἐλάλησε· «τί με διώκεις»; καὶ περὶ τῶν ἀποστόλων γέγραπται ὅτι εἶδον γλώσσας πυρὸς διαμεριζομένας αὐτοῖς καὶ ὁ παρεστὼς ὄχλος εἶδε καὶ ἤκουσε τὸ γεγονός. 5.3.3 ἐπεὶ οὖν ὁ νοῦς οἶκός ἐστι τοῦ θεοῦ καὶ ὁ πονηρὸς ἐκβέβληται αὐτόθεν, οἱ πνευματικοὶ διὰ τὴν ἄκραν καθαρότητα ὁρῶσιν ὡς ἔσωθεν καὶ τὴν ἁμαρτίαν καὶ τὴν χάριν. τοῦτο οὖν ζητεῖται, ἵνα ὁ νοῦς παρὰ τῷ θεῷ ζῇ καὶ ἐρρῶται. καὶ ἐὰν θλιβῇ τὸ σῶμα καὶ ὅλον ἐξαφανισθῇ, οὐδὲν ἀδικεῖται ἡ ψυχή. τί γὰρ ἔπαθεν ἡ σὰρξ τοῦ περικειμένου αὐτῇ χιτῶνος διαρραγέντος; καὶ Ἰὼβ «ἀπὸ κεφαλῆς ἕως ποδῶν ἕλκει πονηρῷ» ὑπὸ τοῦ διαβόλου πληγείς, κατὰ νοῦν τί ἐβλάβη, ὁπότε ἦν ἐρρωμένος εἰς τὴν ἀγάπην καὶ πίστιν τὴν πρὸς τὸν θεόν; 5.4.1 Ἐρώτησις. Εἰ ἐν τῷ ὕπνῳ ἐστὶ φαντασία ἀγαθή, ὃν τρόπον ἔστι καὶ τοῦ πονηροῦ; Ἀπόκρισις. Τοῖς ἔχουσι κατὰ βάθος τὴν χάριν πάντοτέ ἐστιν εὐχή. εἰ γὰρ ὁ σατανᾶς οὔτε ἡμέρας οὔτε νυκτὸς ἀργεῖ πολεμῶν, πολλῷ μᾶλλον ἡ χάρις καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ καὶ καθεύδοντός σου ἀντιλαμβάνεται. ἔσθ' ὅτε γὰρ τὸ σῶμα κεῖται εἰς ὕπνον καὶ ὁ νοῦς ἐγρήγορε καὶ ζῇ πρὸς τὸν θεὸν καὶ κλαίει καὶ ὁρᾷ πρόσωπα ἡδέα. Ἰακὼβ ἐν νυκτὶ εἶδε τὴν κλίμακα καὶ τοὺς ἀγγέλους ἀναβαίνοντας καὶ καταβαίνοντας, καὶ ἐν νυκτὶ ἐπάλαισε μετὰ τοῦ θεοῦ. γέγραπται γὰρ ὅτι «οἱ υἱοὶ ὑμῶν ὁράσεις ὄψονται καὶ ἐνύπνια ἐνυπνιασθήσονται». καὶ τῷ Ἰωσὴφ ἐν ὁράματι τῆς νυκτὸς ὤφθῃ ἄγγελος λέγων· "1μὴ φοβοῦ Ἰωσήφ, ἀλλ' ἀναστὰς «παράλαβε τὸ παιδίον καὶ φεῦγε εἰς Αἴγυπτον». ζητεῖ γὰρ Ἡρῴδης ἀπολέσαι αὐτό."2 5.4.2 Εἰ ὁ σατανᾶς μεταβάλλεται «εἰς ἄγγελον φωτός», εἰς ὕδατα, εἰς νεφέλας, δοῦλος ὢν καὶ κτίσμα, πολλῷ μᾶλλον ὁ θεὸς πλούσιος ὤν, ἐπειδὴ κατὰ τὴν ἰδίαν φύσιν ἐστὶν ἀκατάληπτος»φῶς, γάρ ἐστιν, ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται», μεταβάλλει ἑαυτὸν μεταμορφούμενος «ἀπὸ δόξης εἰς δόξαν», εἰς νεφέλας φωτεινάς, εἰς «ἥλιον δικαιοσύνης», εἰς ἀέρα καθαρόν. 5.4.3 ἀλλ' ἐνταῦθα πολλῆς διακρίσεως χρεία πρὸς τὸ συνιέναι ἕκαστον τῶν γινομένων. ἑκάστη γὰρ ὑπόστασις ἐνεργοῦσα εἰς τὴν ἰδίαν ἀγάπην καὶ φύσιν ἕλκει. ὁ σατανᾶς ὢν ὑλώδης καὶ γεώδης ἐλαύνει τὸν νοῦν εἰς τὴν ἀγάπην τοῦ κόσμου καὶ εἰς μυσαρὰ πράγματα. τὸ δὲ ἀπὸ τοῦ θεοῦ ἐνεργοῦν οὐράνιόν ἐστι καὶ ἀποσπᾷ τὸν νοῦν ἀπὸ τῆς γῆς καὶ τῶν σαρκικῶν πραγμάτων, πάντοτε δὲ τὸν νοῦν ἕλκει εἰς μνήμην θεοῦ, εἰς ἀγάπην, εἰς εὐχήν, εἰς δέησιν καὶ πένθος. καὶ ὥσπερ ζύμη ἀλεύρῳ συμμιγεῖσα ὅλον τὸ φύραμα εἰς ζύμην φέρει, οὕτω καὶ ἡ χάρις ζυμοῦται μετὰ τῆς ψυχῆς καὶ ποιεῖ ἓν φύραμα. λέγει γὰρ ὁ κύριος· «ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμη, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς 5.4.4 ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον». ἔσθ' ὅτε δὲ ὁ σατανᾶς διὰ «τὴν μεθοδείαν τῆς πλάνης» ὑποδεικνύει τινὰ λαμπρὰ καὶ τοιαῦτα ἄλλα. ἐπειδὴ ἀηδῆ ἐστι καὶ τεταραγμένα, μὴ ἔχοντα πόθον θεοῦ μήτε εἰρήνην μήτε ὑπομονὴν μήτε χαράν, ἀποπτύεται καὶ ἀηδίζεται ἡ ψυχὴ καὶ συμβαίνει πάλιν αὐτῇ τὰ ἐπιφερόμενα ἡδέα ἡγεῖσθαι, καὶ εἰ δοκεῖ ἀμαυρότερα εἶναι. καὶ ὁ νοῦς τούτοις μᾶλλον θαρρεῖ καὶ ἥδεται, ἐπειδὴ ἡδύτητα ἔχει καὶ νόστον τοῦ κυρίου καὶ γεῦσιν ἡδυτάτην κἀκεῖνο δὴ ἔκλαμπρον ὀφθέν, ἐπειδὴ οὐκ ἔχει ἀνάπαυσιν ἢ χαρὰν οὔτε κουφίζει τὸ σῶμα καὶ τὴν ψυχήν, ὃν τρόπον ποιεῖ ἡ χάρις, ἀλλὰ μᾶλλον βαρύνει, καὶ ἤδη φανεροῦται ὅτι τοῦ σατανᾶ ἐστιν. ὁρᾷς οὖν ὅτι τὸ πᾶν ἡ ἐνέργειά ἐστι καὶ ἐκ τῆς ἐνεργείας δύναται ὁ νοῦς διακρῖναι τὰς ὀπτασίας, ποία μὲν ἔστι τοῦ σατανᾶ, ποία δὲ τῆς χάριτος; 5.5.1 Πάντοτε ποίησον λόγον μετὰ τοῦ σώματός σου καὶ τῆς ψυχῆς. εἰπὲ τῷ σώματί σου· "1τί ποιοῦμεν ἐν τῷ κόσμῳ; ὀλίγος ἐστὶν ὁ καιρὸς ἡμῶν. μέλλεις γὰρ φθείρεσθαι καὶ ἀπέρχεσθαι εἰς μνημεῖον."2 εἰπὲ τῇ ψυχῇ σου· "1τί ποιεῖς ὧδε; ἄπελθε, πρόσφυγε τῷ θεῷ, μήπως κολασθῇς εἰς πῦρ αἰώνιον. ποίησον πάλην πρὸς τὸν πυκτεύοντα καὶ ἀφανίζοντα τὸν νοῦν σου."2



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ΛΟΓΟΣ ϛʹ.

6.1.1 Περὶ τῶν ῥυπαρῶν λογισμῶν πῶς ἐνεργοῦσιν εἰς τὴν καρδίαν. Ὅταν κλίνῃς γόνυ εἰς προσευχὴν καὶ θέλῃς πέμψαι τὸν νοῦν σου πρὸς τὸν θεόν, εὑρίσκῃ εἰς τὴν πατρίδα σου καὶ ἀντιπαλαίεις τῷ λογισμῷ καὶ ἐπανάγεις αὐτὸν ἐκεῖθεν. καὶ πάλιν θέλεις κατευθῦναι τὸν λογισμόν σου πρὸς τὸν θεόν, ἄλλος λογισμὸς εἵλκυσέ σε εἰς τὴν ἀγοράν. πάλιν βιάζῃ ἐπανάγειν τὸν νοῦν σου, ἰδοὺ ἄλλος λογισμὸς εἵλκυσέ σε εἰς πορνείαν. πάλιν ἐπανάγεις τὸν λογισμόν σου ἐκεῖθεν, εἵλκυσέ σε ἄλλος λογισμὸς εἰς φιλαργυρίαν. πάλιν ἄλλος λογισμὸς ὀργῆς ἐπλήρωσέ σου τὴν καρδίαν· ζητεῖς εἰρήνην, καὶ τέως ἔσωθεν θυμοῦ γέμεις. πάλιν ὅταν ἑλκύσῃς τὸν λογισμόν σου ἐκεῖθεν, κατασύρεται ὑπὸ τῶν πονηρῶν δαιμόνων, βαρύνων σε εἰς ὕπνον. ὅμως δὲ σὺ μὴ ἐνδῷς, ἀλλὰ πολέμησον πρὸς τὴν κακίαν καὶ ζήτησον τὸν θεόν, ἵνα αὐτὸς ἐλθὼν ποιήσῃ τὴν νίκην. σὺ γὰρ τῇ ἰδίᾳ δυνάμει οὐ δύνασαι ἑαυτὸν καθαρίσαι. εἰς ἓν γὰρ μέρος ὁ σατανᾶς ἰσχυρότερός σού ἐστιν, εἰς τὸ ὑποβάλλειν τοὺς διαλογισμούς. Τὸν θεὸν οὖν ὀφείλομεν ζητεῖν διὰ τοῦ προσκαρτερεῖν τῇ εὐχῇ. αὐτὸς γὰρ μόνος δύναται εἰρηνεῦσαι τὸν νοῦν τοῦ ἀνθρώπου. Καὶ οἱ ἀδελφοὶ εἰ θλίβονται ὑπό τινων, οὐκ ὀφείλουσι ξενίζεσθαι. καὶ γὰρ εἰς τὸ παλαιὸν εἶχον Μωϋσῆς καὶ Ἀαρὼν τὴν ἱερωσύνην, ὁμοίως καὶ Καϊάφας τὴν ἐκείνων καθέδραν ἔχων αὐτὸς ἐδίωξε καὶ κατέκρινε τὸν κύριον. ὅμως δὲ τὴν ἱερωσύνην ἐτίμησεν ὁ κύριος, καὶ ἦν ἱερεύς. ὁμοίως καὶ οἱ προφῆται ὑπ' αὐτοῦ τοῦ (τῶν ἱερέων) γένους ἐδιώχθησαν. λοιπὸν Πέτρος Μωϋσέα διεδέξατο, τὴν καινὴν ἐκκλησίαν τοῦ Χριστοῦ τὴν ἀληθινὴν ἱερωσύνην. 6.2.2 νῦν γάρ ἐστι βάπτισμα διὰ πυρὸς καὶ πνεύματος καὶ περιτομὴ ἐν καρδίᾳ γινομένη. τὸ θεῖον γὰρ καὶ ἐπουράνιον πνεῦμα ἐπιδημεῖ ἐν τῷ νῷ. πλὴν οὔτε οὗτοι, ἕως εἰσὶν ἐν σαρκί, ἀμέριμνοί εἰσι· διὰ τὸ αὐτεξούσιον γὰρ ἐν φόβῳ εἰσί. μόνον γὰρ ἐὰν φθάσῃ ἡ ψυχὴ ἀπελθεῖν εἰς ἐκείνην τὴν πόλιν τῶν ἁγίων, τότε δύναται ἄνευ θλίψεων καὶ πειρατηρίων εἶναι. ἐκεῖ οὐκέτι ἐστὶ μέριμνα ἢ θλῖψις ἢ πόνος ἢ γῆρας ἢ σατανᾶς ἢ πόλεμος, ἀλλὰ ἀνάπαυσις, χαρά, εἰρήνη. σωτηρία δὲ ἐπικαλεῖται ὁ κύριος διὰ τὸ σώζειν τοὺς αἰχμαλώτους. ἰατρὸς ἐπικαλεῖται ἐπειδὴ οὐράνιον καὶ θεϊκὸν φάρμακον δίδωσιν καὶ ἰᾶται τὰ πάθη τῆς ψυχῆς, ἐπειδὴ νῦν ἔν τινι μέρει κυριεύσουσιν αὐτοῦ τοῦ ἀνθρώπου. Ὡς ἂν εἴπωμεν· ἔστι βασιλεὺς καὶ θεὸς ὁ Ἰησοῦς, καὶ τύραννος καὶ ἄρχων 6.2.3 κακὸς ὁ σατανᾶς. ὁ θεὸς γὰρ καὶ οἱ ἄγγελοι αὐτοῦ τοῦτον βούλονται τὸν ἄνθρωπον οἰκειώσασθαι εἰς τὴν αὐτῶν βασιλείαν, ὁμοίως καὶ ὁ διάβολος καὶ αἱ δυνάμεις αὐτοῦ θέλουσιν οἰκειώσασθαι τοῦτον τὸν ἄνθρωπον ..... καὶ μέση ἐστὶν ἡ ψυχὴ τῶν δύο ὑποστάσεων. λοιπὸν εἰς οἷον ἂν μέρος ῥέψῃ τὸ θέλημα τῆς ψυχῆς, ἐκείνου γίνεται κτῆμα καὶ υἱός. 6.2.4 Ὡς ἵνα ἀποστείλῃ πατὴρ υἱὸν εἰς πατρίδα ξένην, ὅπου ἀπαντῶσιν αὐτῷ κατὰ τὴν ὁδὸν θηρία. δίδωσιν οὖν φάρμακα καὶ ἀντίδοτα, ἵνα ἐὰν αὐτῷ ἐπέλθωσι θηρία ἢ δράκοντες, ἐπιδῷ τὸ φάρμακον καὶ ἀποκτείνῃ τὰ θηρίαοὕτω καὶ ἡμεῖς σπουδάσωμεν λαβεῖν οὐράνιον φάρμακον ἰατικόν, τὸ ἀντίδοτον τῆς ζωῆς, ἵνα δι' αὐτοῦ ἀποκτείνωμεν τὰ ἰοβόλα θηρία τῶν ἀκαθάρτων πνευμάτων. οὐκ ἔστι γὰρ εὔκολον πρᾶγμα καθαρὰν καρδίαν κτήσασθαι, εἰ μὴ μετὰ ἀγῶνος πολλοῦ καὶ καμάτου καθαρὰν συνείδησιν καὶ καρδίαν κτᾶται ὁ ἄνθρωπος, ἵνα ὁλοτελῶς ἐκριζωθῇ τὸ κακόν. 6.2.5 Καὶ γὰρ συμβαίνει χάριν εἶναι εἴς τινα, καὶ ἡ καρδία οὐ κεκαθάρισται, καὶ διὰ τοῦτο ἔπεσον οἱ πεσόντες, ὅτι οὐκ ἐπίστευσαν μετὰ τὴν χάριν συνεῖναι τὸν καπνὸν καὶ τὴν ἁμαρτίαν. πάντες δὲ οἱ δίκαιοι διὰ τῆς στενῆς ὁδοῦ καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τεθλιμμένης εὐηρέστησαν τῷ κυρίῳ. ὁ Ἀβραάμ, πλούσιος κατὰ θεὸν καὶ κατὰ κόσμον, οὗτος ἑαυτὸν γῆν καὶ σποδὸν ὠνόμασε. καὶ ὁ Δαβὶδ «ὄνειδος ἀνθρώπου καὶ ἐξουθένημα λαοῦ, σκώληξ εἰμί, φησί, καὶ οὐκ ἄνθρωπος». ὁμοίως πάντες οἱ προφῆται καὶ οἱ ἀπόστολοι κακουχούμενοι ἦσαν, διωκόμενοι, ὀνειδιζόμενοι. 6.2.6 Ὁ κύριός ἐστιν ἡ ὁδός· ἦλθεν οὐ δι' ἑαυτόν, ἀλλὰ διὰ σέ, ἵνα σοι τύπος γένηται. βασιλεὺς υἱὸς βασιλέως, θεὸς υἱὸς θεοῦ, βλέπε, εἰς ὁποίαν ἦλθε ταπείνωσιν, «μορφὴν δούλου λαβών». θεὸς ἦν, καὶ αὐτὸς ἐδίδου φάρμακα ἰαματικὰ καὶ ἐθεράπευε τοὺς τετραυματισμένους καὶ ἔξωθεν ὡς εἷς τῶν πεπληγμένων ἐφαίνετο. ἀλλὰ μὴ καταφρονήσῃς τοῦ θεϊκοῦ ἀξιώματος, βλέπων αὐτὸν οὕτως ἔξωθεν τεταπεινωμένον, ὅμοιον ἡμῶν. δι' ἡμᾶς οὕτως ἐφάνη, οὐ δι' ἑαυτόν. νόησον ἐν ᾗ ὥρᾳ ἔκραζον· «σταύρωσον, σταύρωσον αὐτόν», καὶ ὁ ὄχλος συνήρχετο, πῶς ἦν τεταπεινωμένος καὶ ἐξουδενωμένος παρὰ πάντας. 6.2.7 Καὶ ὥσπερ ἐν τοῖς φαινομένοις τούτοις, ἐὰν ᾖ κακοποιός τις καὶ λάβῃ ἀπόφασιν παρὰ τοῦ ἄρχοντος, λοιπὸν ὑπὸ τοῦ ὅλου δήμου βδελυκτός ἐστι καὶ ἐξουδενωμένος, οὕτω καὶ ὁ κύριος ἐν τῇ ὥρᾳ τοῦ σταυροῦ ὡς ἄνθρωπος μέλλων ἀποθνήσκειν κατηυτελισμένος ἦν ὑπὸ τῶν Φαρισαίων. τότε πάλιν ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, ἐπέθηκαν ἀκάνθινον στέφανον, ἐρράπιζον αὐτόν. γέγραπται γὰρ ὅτι «τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ ἐμπτύσματος, καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα». εἰ δὲ ὁ θεὸς εἰς τοσαύτας ὕβρεις καὶ πάθη καὶ ταπείνωσιν κατῆλθε, σὺ ὁ ἐκ φύσεως βόρβορος, ὁ ἐκ φύσεως θνητός, ὅσα ἐὰν ταπεινωθῇς, οὐδὲν ὅμοιον τοῦ δεσπότου σου ἐποίησας. ὁ θεὸς ἑαυτὸν διὰ σὲ ἐταπείνωσε, καὶ σὺ διὰ σεαυτὸν οὐ ταπεινοῦσαι, ἀλλ' ἐπαίρῃ καὶ τυφοῦσαι; ἦλθε γὰρ τὰ βάρη καὶ τὰς θλίψεις λαβεῖν καὶ τὴν αὐτοῦ ἀνάπαυσιν σοὶ δοῦναι· καὶ σὺ οὐ θέλεις πόνους βαστάσαι καὶ πάθη, ἵνα δυνηθῇ τὸ τραῦμα σου ἰάσεως τυχεῖν; 6.3.1 Ὀλίγοι γάρ εἰσιν οἱ βουλόμενοι ἀνασταθμίσαι μαργαρίτας καὶ δοκιμάσαι λίθους τιμίους. πολλοῖς γὰρ σύνεστι μαργαρίτης καὶ ἐπειδὴ οὐκ ἔχουσι τὸ διακριτικόν, οὐκ οἴδασι ποῖον θησαυρὸν κέκτηνται· οἱ δὲ διάκρισιν ἔχοντες ἢ σύνεσιν, οἴδασι καὶ τὰ νομίσματα δοκιμάσαι τὰ παραχαράξιμα. 6.3.2 Εἰσὶ δὲ ἄλλοι οἷς σύνεστι χάρις λεληθότως καὶ νεύει εἰς αὐτοὺς τὸ ἀγαθόν, καὶ ποιοῦσι καλὰ καὶ οὐκ οἴδασι πόθεν κινοῦνται, ἐπειδὴ ἀσυμφώνως καὶ ἀνυφοράτως αὐτὸ ἔχουσιν. οἱ δὲ φρόνιμοι οὐ μόνον ἐν τῇ εὐχῇ ὀφείλουσι λέγειν ὅτι εὐχόμεθα, καὶ ὅτε ἀνίστανται ἀργοῦσι, ἀλλὰ πάντοτε ὀφείλουσιν ἔχειν τὴν μέριμναν καὶ πάντοτε εὔχεσθαι, ἐπειδὴ τὸ συνὸν κακὸν καὶ ὁ καπνὸς καὶ ἡ σύντροφος ἁμαρτία πάντοτε ὡς πηγῆς ὀφθαλμὸς βρύει καὶ οὐδέποτε ἀργοῦσιν οἱ διαλογισμοὶ κατὰ τῆς ψυχῆς· οὐ μόνον γὰρ ὅτε εὔχῃ, οἱ διαλογισμοί εἰσιν, ἀλλ' ὅτε χρείας τινὰς ποιεῖς καὶ ὅτε κοιμᾶσαι, πάντοτε βρύουσιν. οὕτω καὶ σὺ 6.3.3 ἔχεις τὸ θέλημα τοῦ πάντοτε ἀντιλέγειν. βλέπεις κατὰ κόσμον πλούσιον, εὐθέως ὑποβάλλει σοι, ὅτι ἔνδοξός ἐστιν, εὐθέως καὶ σὺ ἄντειπε· ταῦτα φθαρτά ἐστιν, περὶ ἐκείνου μοι μέλει τοῦ πλούτου τοῦ μὴ παρερχομένου. δεικνύει γυναῖκα ὡραῖαν, ὑποβάλλει σοι ἐπιθυμίαν, εὐθέως εἰπέ· ἀκαθαρσία ἐστίν, ἴδε τὰ μνημεῖα γέμει ὀστέων νεκρῶν. βλέπεις πράγματα ἔνδοξα ἐν βίῳ, οἰκοδομάς, πόλεις, σὺ πάντοτε τὴν ψυχήν σου πνευματικῶς οἰκοδόμησον καὶ πάντοτε ἄντειπε τῇ συνούσῃ ἁμαρτίᾳ, ἐπειδὴ ἔχεις θέλημα, καὶ πάντοτε εὔχου πρὸς τὸν θεόν. ὅτε γὰρ εὔχῃ, τί λέγεις; δέομαί σου, δέομαί σου, κύριε. τὸ αὐτὸ εἰπὲ καὶ ἐν τῷ περιπατεῖν καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν καὶ μηδέποτε ἀργήσῃς· καὶ γὰρ καὶ τὸ ἀγαθὸν ἐὰν φθάσῃ ἐλθεῖν εἰς τὸν ἄνθρωπον, οὐδέποτε ἀργεῖ ἡ εὐχή, ἀλλὰ πάντοτε αὐτὸ τὸ πνεῦμα εὔχεται ἐν αὐτῷ. τοῦτο δὲ τὸ μέτρον μεγάλων καὶ τελείων ἐστίν, καὶ ὅτε περιπατοῦσιν ἢ συντυγχάνουσιν, καὶ τότε εὔχονται 6.3.4 τῷ κυρίῳ. εἴ τις οὖν λέγει· ὅτι ὅτε μὲν κλίνω


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὰ γόνατα, εὔχομαι καὶ δύναμαι ἀντειπεῖν τῇ ἁμαρτίᾳ, ὅτε δὲ ἐργάζομαι ἢ ἄλλο τι ποιῶ, οὐ δύναμαι ἀντειπεῖν, οὗτος ἰδιώτης ἐστὶ καὶ οὐκ ἔχει διάκρισιν· ἡ γὰρ ἁμαρτία πάντοτε πολεμεῖ καὶ ὁ νοῦς ἔχει τοῦ ἀντιπράττειν καὶ ἀνταγωνίζεσθαι πάντοτε πρὸς τὴν συνοῦσαν κακίαν, εἴτε περιπατεῖ, εἴτε ὁδεύει, εἴτε ἕτερόν τι ποιεῖ. ὅπου δέδεται ὁ νοῦς αὐτοῦ ἐκεῖνο αὐτοῦ ἐστι θεός· εἰ δέδεσαι τῇ ἐπιθυμίᾳ ἢ τῇ γαστριμαργίᾳ ἢ τῇ φιλαργυρίᾳ, ὁ δήσας σε θεός σου ἐστίν»ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται», εἰ δὲ ἀποταξάμενος τῷ κόσμῳ διὰ παραθύρου πάλιν εἰσέρχῃ εἰς αὐτόν, καὶ ἀρνησάμενος σαρκικὴν κοινωνίαν οὐ σπουδάζεις κοινωνῆσαι τῷ ἐπουρανίῳ νυμφίῳ καὶ τῷ πνεύματι τῷ ἁγίῳ, τί ὠφέλησας ἐξελθὼν ἐκ τοῦ κόσμου; εἰ δὲ καταλιπὼν οὐσίας καὶ κτήσεις καὶ πράγματα, ἀντὶ τοῦ φαινομένου πλούτου οὐ λαμβάνεις ἄλλον πλοῦτον καὶ ἀντὶ τρυφῆς τρυφὴν ἐπουράνιον καὶ ἀντὶ τέκνου σὺ μὴ γίνῃ τέκνον θεοῦ, τί ὠφέλησας ἀποταξάμενος; ἐγένου ἅλας μωρὸν σὺ οὔτε τὰ τοῦ κόσμου ἔχεις καταλιπὼν αὐτά, οὔτε τὰ ἐπουράνια καὶ πνευματικὰ ἐκτήσω· λοιπὸν οὐδαμοῦ προχωρεῖς. 6.3.5 Ὃν τρόπον δὲ ἡ κόρη τοῦ ὀφθαλμοῦ μικρὰ οὖσα πολλὰ δύναται βλέπειν, οὐρανόν, γῆν, ἥλιον, ὅταν δὲ μικρόν τι κάλυμμα εἰς τὴν κόρην παρεμπέσῃ καὶ ἐπισκιάσῃ, τυφλοῦται ὁ ὀφθαλμὸς καὶ ἐν σκοτίᾳ ἐστίν, οὕτως ἐὰν μικρὸς καπνὸς ἢ ὁμιχλώδης δύναμις ἐπισκοτίσῃ τὸν νοῦν, τετύφλωται καὶ οὐδὲν ὁρᾷ, 6.3.6 ἐὰν δὲ πάλιν διαυγάσῃ, βλέπει πράγματα πνευματικὰ καὶ ἐπουράνια. ὃν τρόπον γὰρ ἡ γῆ ἐργασθεῖσα φαίνεται καρποφόρος, οὕτω καὶ ἡ γῆ τῆς 6.3.7 καρδίας ἐργαζομένη ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου οὐκέτι χερσεύει. ὥσπερ δὲ ἐὰν ᾖ πόλις ἐν ὑψηλῷ τόπῳ ἢ ἐν ὄρει κειμένη καὶ ἔχῃ ἐκεῖ ἀνάπαυσιν καὶ εἰρήνην πολλήν, πλοῦτον καὶ θησαυρούς, καὶ ὦσιν ἐκεῖ ἄνδρες εὐγενεῖς καὶ συγκλητικοί, λοιπὸν δὲ ἡ ὁδός, δι' ἧς διέρχεταί τις ἐπὶ τὴν πόλιν, ἐστὶ στενή, περίμετρον βήματος ἔχουσα, ἑνὸς ἴχνους ἀνθρώπου, καὶ ᾖ ἐκ δεξιῶν χάος μέγα πυρὸς καὶ ἐξ ἀριστερῶν βάθος θαλάσσης, λοιπὸν ἐὰν ὀλίγον ἐκτραπῇ ὁ ποὺς τῆς στενῆς ἀτραποῦ ὁδοῦ καταποντίζεται ἢ εἰς τὸ πῦρ ἢ εἰς τὸ ὕδωρ, εἰ δέ τις ἀσφαλῶς διοδεύων παρέλθῃ τὴν τραχεῖαν καὶ φθάσῃ εἰς τὴν πόλιν, ἐν ἀναπαύσει 6.3.8 ἐστὶ καὶ πλούτῳ μεγάλῳ καὶ ἀμεριμνίᾳ πολλῇ. οὕτω καὶ εἰς τὸ πνευματικόν. τραχεῖά ἐστιν ἡ ὁδὸς εἰς ἣν διοδεύουσιν οἱ Χριστιανοί· κύκλῳ γὰρ αὐτῶν ἐστι χάος πυρὸς τῶν ἀκαθάρτων πνευμάτων. ἐὰν δὲ δυνηθῶσιν ἐκείνων περιγενέσθαι καὶ παρελθεῖν τοὺς φραγμούς, τοὺς τριγχοὺς τῆς κακίας, εἰσέρχονται εἰς τὴν ἐπουράνιον πόλιν, εἰρηνευομένην, μέστην ἀγαθῶν πολλῶν καὶ εἰρήνης βαθείας, ὅπου τὰ πνεύματα τῶν δικαίων ἀναπέπαυται. 6.4.1 Ἐρώτησις. Εἰ μετὰ τὸ τὴν ἐπίσκεψιν τῆς χάριτος γενέσθαι πίπτουσί τινες, οὐχὶ ὁ σατανᾶς πολὺ ἰσχυρότερος ἀποδέδεικται; ὅπου γὰρ ἡμέρα, πῶς δύναται καὶ νὺξ εἶναι; Ἀπόκρισις. Οὐχ ὅτι ἡ χάρις σβέννυται ἢ ἀσθενεῖ, ἀλλ' ὧδε παραχωρεῖ ἡ χάρις τῇ κακίᾳ, ἵνα τὸ αὐτεξούσιόν σου καὶ ἡ ἐλευθερία δοκιμασθῇ, ποῦ ῥέπεις. λοιπὸν τῷ σῷ θελήματι δίδως δύναμιν τῇ κακίᾳ, καὶ τῷ θελήματί σου προσεγγίζων τῷ κυρίῳ προτρέπεις πάλιν ἐπισκέψασθαι σε τὴν χάριν. ἐπεὶ ἄρα πῶς γέγραπται· «τὸ πνεῦμα μὴ σβέννυτε». μὴ ἆρα τὸ πνεῦμα σβέννυται; ἐκεῖνο ἄσβεστόν ἐστι καὶ φωτεινόν. ἀλλὰ σὺ τῷ σῷ θελήματι ἀμελῶν καὶ μὴ συμφωνῶν κατασβέννυσαι ἐκ τοῦ πνεύματος. ὁμοίως ἡ γραφὴ λέγει· «μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε». ὁρᾷς ὅτι ἐν τῷ θελήματί σου κεῖται καὶ ἐν τῇ αὐτεξουσιότητί σου τὸ τιμῆσαι τὸ πνεῦμα τὸ ἅγιον καὶ μὴ λυπῆσαι. ἐγὼ δέ σοι λέγω ὅτι καὶ τοῖς τελείοις Χριστιανοῖς τοῖς ᾐχμαλωτισμένοις καὶ μεμεθυσμένοις εἰς τὸ ἀγαθὸν σύνεστι τὸ θέλημα, ὅθεν καὶ εἰς αὐτοὺς πολλάκις μικρά τινα ἐλαττώματα εὑρίσκεται. ὁμοίως δὲ καὶ εἰς τὸν μεμεθυσμένον εἰς τὴν κακίαν σύνεστι τὸ αὐτεξούσιον, ὅθεν πολλοὶ ἐν μυρίοις κακοῖς ἐξετασθέντες τρέπονται εἰς τὸ ἀγαθόν. 6.4.2 Ὥσπερ ἐὰν ὦσί



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τινες ἀξιωματικοὶ καὶ πλούσιοι καὶ εὐγενεῖς, καὶ οὗτοι ἰδίῳ θελήματι καὶ προαιρέσει καταλίπωσι τὸν πλοῦτον καὶ τὰ ἀξιώματα καὶ τὴν εὐγένειαν καὶ παρελθόντες ἐνδύσωνται ῥυπαρὰ καὶ πενιχρὰ ἐνδύματα καὶ ἀτιμίαν ἀντὶ δόξης καὶ ὦσι ταλαιπωροῦντες καὶ ἐξουδενωμένοι· τοῦτο κατα6.4.3 λέλειπται τῷ ἰδίῳ θελήματι. ἐγὼ δέ σοι λέγω ὅτι καὶ τοῖς ἀποστόλοις τοῖς τετελειωμένοις ἐν τῇ χάριτι συνῆν τὸ θέλημα τοσοῦτον, ὅτι εἰ ἤθελον αὐτοὶ ἐκεῖνοι μὴ τὸ ἀρέσκον τῇ χάριτι διαπράξασθαι, οὐκ ἐκώλυεν ἡ χάρις πρᾶξαι ὃ ἠβούλοντο. καὶ γὰρ ἡ φύσις ἡμῶν δεκτική ἐστι καλοῦ τε καὶ κακοῦ, προτρεπτικὴ δὲ ἡ ἐναντία δύναμις, οὐκ ἀναγκαστική. λοιπὸν σὺ ἔχεις τὸ αὐτεξούσιον, ῥέψαι ὅπου βούλει. οὐχ ὁρᾷς ὅτι Πέτρος «κατεγνωσμένος ἦν», ὁ τοιοῦτος, καὶ ἀπελθὼν Παῦλος ἤλεγξεν αὐτόν, καὶ ὁ τοιοῦτος ἀκμὴν κατεγνωσμένος ἦν; καὶ ὁ Παῦλος πνευματικῶς ἐκ τοῦ ἰδίου θελήματος διαλογὴν ἐποιήσατο μετὰ Βαρναβᾶ, καὶ ἀνεχώρησαν ἀπ' ἀλλήλων. καὶ πάλιν ὁ αὐτὸς λέγει· «ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς». οὐχὶ καὶ οἱ πνευματικοὶ πειράζονται διὰ τὸ παραμένειν τῷ θελήματι ἔτι, καὶ οἱ ἐχθροὶ ἐπίκεινται, ἕως οὗ ἐστιν ὁ ἄνθρωπος ἐν τῷ αἰῶνι τούτῳ, καὶ τὸ ὅλον οὐ δύναται ἀμεριμνεῖν. 6.5.1 Ἐρώτησις. Εἰ ἠδύναντο ἁμαρτάνειν καὶ οἱ ἀπόστολοι, εἰ ἤθελον, οὐκ ἦν ἰσχυροτέρα καὶ αὐτοῦ τοῦ θελήματος ἡ χάρις; Ἀπόκρισις. Ἁμαρτάνειν μὲν οὐκ ἠδύναντο οὔτε γὰρ ᾑροῦντο, ἐν φωτὶ ὄντες καὶ ἐν χάριτι τοιαύτῃ. πλὴν οὐ λέγομεν τὴν χάριν ἐν αὐτοῖς ὅτι ἠσθένει, ἀλλὰ λέγομεν ὅτι παραχωρεῖ ἡ χάρις καὶ τοῖς τελείως πνευματικοῖς ἔχειν τὸ θέλημα καὶ ἐξουσίαν, ποιεῖν ὃ θέλουσι καὶ τρέπεσθαι ὅπου βούλονται. αὐτὴ δὲ ἡ φύσις ἡ ἀνθρωπίνη ἀσθενεῖ καὶ ἐξουσίαν ἔχει καίτοι συνόντος τοῦ 6.5.2 ἀγαθοῦ τρέπεσθαι. ὥσπερ ἵνα ὦσί τινες ἐνδεδυμένοι πανοπλίαν, θώρακα καὶ ὅπλα, λοιπὸν ἔσωθέν εἰσι ἠσφαλισμένοιμὴ γὰρ ἐπειδή εἰσιν ἠσφαλισμένοι, οἱ ἐχθροὶ οὐκέτι ἐπέρχονται αὐτοῖς; τὸ μὲν ἐπελθεῖν ἐπέρχονται λοιπὸν δὲ ἐν τῷ θελήματι αὐτῶν ἐστι χρήσασθαι τοῖς ὅπλοις καὶ ἀνταγωνίσασθαι κατὰ τῶν ἐχθρῶν καὶ ἀντιπαλαῖσαι καὶ τὰ νικητήρια ἀπενέγκασθαι, ἢ δύναται πάλιν τὸ θέλημα καίτοι ἐνδεδυμένων τὰ ὅπλα, συνηδυνθῆναι καὶ εἰρηνεῦσαι μετὰ τοῦ ἐχθροῦ καὶ μὴ πολεμῆσαι ἔχοντας τὰ ὅπλα, οὕτω καὶ οἱ Χριστιανοὶ ἐνδεδυμένοι τὴν θείαν δύναμιν καὶ ἔχοντες ὅπλα τὰ ἐπουράνια, εἰ θέλουσι συνηδύνονται τῷ σατανᾷ καὶ εἰρηνεύουσι μετ' αὐτοῦ καὶ οὐ πολεμοῦσι· τρεπτικὴ γάρ ἐστιν ἡ φύσις, καὶ εἰ θέλει τις, γίνεται υἱὸς σατανᾶ, καὶ εἰ θέλει τις, γίνεται υἱὸς τοῦ θεοῦ, διὰ τὸ παραμένειν τὸ αὐτεξούσιον. 6.6.1 Ἄλλο δέ ἐστι τινὰ περὶ ἄρτου διηγήσασθαι καὶ τραπέζης, ἄλλο δέ ἐστι 6.6.1 φαγεῖν καὶ λαβεῖν τὸν νόστον τοῦ ἄρτου καὶ ἐνδυναμωθῆναι ὅλα τὰ μέλη. ἄλλο ἐστὶν εἰπεῖν περὶ ποτοῦ ἡδυτάτου, καὶ ἄλλο ἐστὶ ἀπελθεῖν καὶ δράξασθαι ἐξ αὐτῆς τῆς πηγῆς καὶ ἐμπλησθῆναι τῆς γεύσεως τοῦ ἡδυτάτου ποτοῦ. ἄλλο ἐστὶ διηγήσασθαι περὶ πολέμου καὶ γενναίων ἀθλητῶν καὶ πολεμιστῶν, καὶ ἄλλο ἐστὶ τὸ ἀπελθεῖν τινα εἰς παράταξιν πολέμου καὶ συμβαλεῖν τοῖς ἐχθροῖς καὶ εἰσελθεῖν καὶ ἐξελθεῖν καὶ λαβεῖν καὶ δοῦναι καὶ ἀπενέγκασθαι τὰ νικητήρια. οὕτω καὶ ὧδε. ἄλλο ἐστὶ τὸ γνώσει τινι καὶ νοῒ διηγήσασθαι λόγους, καὶ ἄλλο ἐστὶ τὸ ἐν ὑποστάσει καὶ ἔργῳ καὶ πληροφορίᾳ ἐν τῷ ἐνδοτάτῳ ἀνθρώπῳ καὶ ἐν τῷ νῷ ἔχειν τὸν θησαυρὸν καὶ τὴν χάριν καὶ τὴν γεῦσιν καὶ τὴν ἐνέργειαν τοῦ 6.6.2 ἁγίου πνεύματος. οἱ γὰρ ψιλοὺς λόγους λαλοῦντες φαντάζονται καὶ φυσιοῦνται ὑπὸ τοῦ νοὸς αὐτῶν. «ὁ γὰρ λόγος ἡμῶν, φησί, καὶ τὸ κήρυγμα οὐκ ἐν πειθοῖς σοφίας λόγων, ἀλλ' ἐν ἀποδείξει πνεύματος ἁγίου καὶ δυνάμεως». καὶ πάλιν ἀλλαχοῦ λέγει· «τὸ δὲ τέλος τῆς ἐντολῆς ἐστιν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ πίστεως ἀνυποκρίτου, ὧν τινες ἀστοχήσαντες» «ἐναυάγησαν περὶ τὴν πίστιν». ὁρᾷς ὅτι περὶ λόγους ἔχοντες ναυαγοῦσι περὶ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλήθειαν. 6.6.3 Τοῦτο οὖν μᾶλλον ζητεῖτε· τὸ ἔχειν ἀγάπην θεοῦ ἐν καθαρᾷ καρδίᾳ καὶ πίστει ἀνυποκρίτῳ. ὁ τοιοῦτος γὰρ οὐ πίπτει. πολλοῖς ἐκζητήσασι τὸν θεόν, ἠνοίγη αὐτοῖς θύρα καὶ εἶδον θησαυρὸν καὶ εἰσῆλθον πρὸς αὐτὸν καὶ ὡς ἦσαν ἐν χαρᾷ λέγοντες· "1εὕρομεν θησαυρόν"2, ἀπέκλεισαν αὐτοῖς τὰς θύρας καὶ ἤρξαντο βοᾶν καὶ πενθεῖν καὶ ἐπιζητεῖν· "1θησαυρὸν εὕρομεν καὶ ἀπωλέσαμεν"2. οἰκονομικῶς ὑποστέλλει ἡ χάρις, ἵνα μειζόνως ἐπιζητήσωσιν. ὁ γὰρ θησαυρὸς οὐ δείκνυται, ἀλλ' ἢ εἰς προτροπὴν ζητήσεως. 6.7.1 Ἐρώτησις. Ἀλλ' ἐπειδή τινες λέγουσιν ὅτι μετὰ τὴν χάριν μετέβησαν «ἀπὸ τοῦ θανάτου εἰς τὴν ζωήν», οὐ δύναταί τις ἐν φωτὶ ὢν ἔχειν ῥυπαροὺς λογισμοὺς ἢ σκοτεινὰ λογίζεσθαι; Ἀπόκρισις. Γέγραπται ὅτι «πνεύματι ἐναρξάμενοι νῦν σαρκὶ ἐπιτελεῖσθε». πρὸς λόγον, εἰσὶ δύο τύποι. λέγει ὁ ἀπόστολος· «ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς ἀντιστῆναι ταῖς μεθοδείαις τοῦ διαβόλου». ποῦ ὢν ἐνεδύσατο τὰ ὅπλα, καὶ ποῦ ὢν πολεμεῖ «πρὸς ἀρχάς, πρὸς ἐξουσίας», ἐν φωτὶ ὄντες; καὶ πάλιν πρὸς τὸ δύνασθαι ὑμᾶς «τὰ βέλη τὰ πεπυρωμένα» τοῦ διαβόλου «σβέσαι». ἐνδύεται οὖν τὰ ὅπλα πρῶτον, καὶ τότε κατασβέννυσι τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου. καὶ πάλιν· «μὴ λυπεῖτε τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε». καὶ πάλιν λέγει· «ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτιθέντας γευσαμένους τε τῆς δωρεᾶς τοῦ θεοῦ καὶ μετόχους γενηθέντες πνεύματος ἁγίου, καὶ παραπεσόντας»καὶ οἱ φωτισθέντες γὰρ καὶ οἱ γευσάμενοι παραπίπτουσιν. ὁρᾷς ὅτι ἔχει θέλημα τοῦ συμφωνῆσαι τῷ πνεύματι καὶ ἔχει θέλημα τοῦ λυπῆσαι. πάντως γὰρ λαμβάνει τὰ ὅπλα, ἵνα ἀπέλθῃ εἰς πόλεμον καὶ ἀγωνίσηται κατὰ τῶν ἐχθρῶν, πάντως ἐφωτίσθη, ἵνα ἀντιστρατεύσηται τῷ σκότει. Ὥσπερ ἵνα τις ἐξέλθῃ ἐκ τοῦ κόσμου καὶ τὸ σῶμα αὐτοῦ ταφῇ καὶ χωσθῇ εἰς τὴν γῆν· λοιπὸν οὗτος οὐκέτι περιπατεῖ ἢ πραγματεύεται εἰς τὸν κόσμον τοῦτον ἢ εἰσέρχεται εἰς πόλειςἅπαξ γὰρ ἐχώσθη τὸ σῶμα αὐτοῦ ὑπὸ τὴν γῆνκαὶ οὐκέτι ἔστιν εἰς τὸν αἰῶνα τοῦτον, οὕτω καὶ οἱ ἔχοντες τὸν θεμέλιον τοῦ κυρίου, ἐν σαρκὶ εἰς τὸν αἰῶνα τοῦτον φαινόμενοι, καὶ νῷ καὶ τῇ καρδίᾳ μετατίθενται εἰς ἄλλον αἰῶνα, καὶ ἐκεῖ εἰσι ᾐχμαλωτισμένοι καὶ ἐσταυρωμένοι. δεδεμένοι εἰσὶν ἑκόντες καὶ ἄκοντες δέδενται ὅπου δέδενται. λοιπὸν εὔχονται σωματικῶς ἢ οὐκ εὔχονται. ἐκεῖ ἐστιν ἑκὼν καὶ ἄκων ᾐχμαλώτισται. ὁ γὰρ αἰχμαλωτιζόμενος ὑπὸ ἑτέρας δυνάμεως ἰσχυροτέρας αὐτοῦ κρατεῖται καὶ αἰχμαλωτίζεται, ὁδοιπορεῖ, ἐσθίει, κοιμᾶται. ἅπαξ ἐκεῖ ἐστιν ὅπου μετετέθη, μεμεθυσμένος ἐστὶ καὶ πάντοτε ὡς τεθαμβωμένος ἐστὶ καὶ μετέωρος ἐπὶ τῇ 6.8.2 παραδόξῳ ἐργασίᾳ καὶ ταῖς θεωρίαις τοῦ πνεύματος. τοιοῦτον δὲ ζητῶ θεμέλιον καὶ ἀκμὴν οὐχ εὗρον εἰς Χριστιανόν, εἰ μὴ ἐκ πολλῶν ὀλίγους. τί λέγει ὁ κύριος ἐν τῷ εὐαγγελίῳ· «ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνδρὶ φρονίμῳ, ὅστις ἔσκαψε καὶ ἐβάθυνε καὶ ἔθηκε τὸν θεμέλιον ἐπὶ τὴν πέτραν». «ἐλθούσης δὲ πλημμύρας καὶ ἀνέμων οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν». σχεδὸν ἄπτωτός ἐστιν. ὁ γὰρ θεμέλιος ὃν λέγομεν καὶ ἡ πέτρα αὐτός ἐστιν ὁ κύριος.

## 7.τ.1 ΛΟΓΟΣ Ζ΄. Ὅτι χρὴ κάμνειν καὶ ἐμπονεῖν τῇ γῇ τῆς καρδίας.

7.1.1 Μὴ γὰρ οὐκ ἐδύνατο ὁ θεὸς ἄνευ τοῦ φυτευθῆναι ἐν τῇ γῇ δένδρα ἐλαιῶν ποιῆσαι ἔλαιον ἄνευ καμάτου; ἢ οὐκ ἐδύνατο ἄνευ κόπου τοῦ σκάπτειν καὶ φυτεύειν τὴν ἄμπελον δοῦναι οἶνον τοῖς ἀνθρώποις; ἢ ἄνευ τοῦ γηπονεῖν δοῦναι σῖτον; ἀλλὰ διὰ τοῦτο οὕτως ᾠκονόμηται, ἵνα μετὰ κόπου τις γεωργήσῃ καὶ λάβῃ προσόδους. οὕτω καὶ εἰς τὸ πνευματικόν· τῷ κάμνοντι καὶ ἐμπονοῦντι τῇ γῇ τῆς καρδίας αὐτοῦ ἡ ἄνωθεν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«δωρεὰ τοῦ ἁγίου πνεύματος» δίδοται. 7.1.2 συμβαίνει γὰρ ὅτι ἔστι χώρα ἐμπονουμένη καὶ κατὰ βάθους εἰργασμένη, καὶ ἄλλη οὐχ οὕτω φιλοκαλουμένη ἀλλὰ ἀμελῶς ἐργασθεῖσα, καὶ εἰς τὰς δύο χώρας σπόρος ἐστὶ καὶ ὑετὸς ἔρχεται, ἀλλ' ὅπου κατὰ βάθους ἐπονήθη καὶ ἐργασίαν ἔλαβε καλήν, ἐκεῖ πολυπλασιάζει ὁ καρπὸς καὶ εὐθηνεῖ ἡ χώρα ἐκείνη καὶ τότε ἐστὶν ἡδεῖα ἡ πρόσοδος τοῖς μετὰ καμάτου κτησαμένοις. καὶ γὰρ οἱ ἕτοιμον πλοῦτον παραλαμβάνοντες οὐχ ἡγοῦνται αὐτὸν ἔντιμον, ἀλλὰ 7.1.3 ἀφειδῶς σκορπίζουσι διὰ τὸ μὴ μετὰ καμάτου κτᾶσθαι. οἱ δὲ ἀπὸ πόνου καὶ σπουδῆς κτώμενοι οἴδασι συντηρεῖν καὶ φυλάττειν τὸν πλοῦτον, εἰδότες διὰ πόσων πόνων ἐκτήσαντο. καὶ νῦν εἰ μὴ ἦν διὰ καμάτου καὶ πόνου κτᾶσθαι τὸ ἀγαθόν, οὔτε αὐτὴν «τὴν δωρεὰν τῆς χάριτος» τὴν δεδομένην αὐτοῖς ἔμελλον τιμίαν ἔχειν, εἰ ἦν ἄνευ κόπου λαβεῖν. νῦν δὲ εὐφραινόμενοι ἐν τῇ χάριτι διὰ τοῦτο ἀναπαύονται, ἐπειδὴ οἴδασι διὰ ποίων καμάτων καὶ θλίψεων ἐκτήσαντο αὐτήν. διὰ τοῦτο ἡδὺς αὐτοῖς ἐστιν ὁ πλοῦτος· ἐκείνη γάρ ἐστι ἡ ἐνθήκη ἐν τοῖς πνευματικοῖς. καὶ παρακαλούμενος καὶ ἀνδρειότερος γίνεταί τις τῆς κακίας διὰ τῆς χάριτος τῆς συνούσης αὐτῷ. 7.2.1 Ἐρώτησις. Εἰ εἶχε καθαρὰν φύσιν ὁ Ἀδάμ; Ἀπόκρισις. Ὥσπερ ὁ προφορικὸς λόγος ἀπαθῶς ἐξέρχεται ἢ ὁ σιελὸς ἢ ἡ γλῶσσα ἀπαθῶς κινεῖται, οὕτω πρὸ τῆς παραβάσεως ἀπαθῶς ἐκοινώνει ὁ Ἀδὰμ τῇ Εὔᾳ. Ἐρώτησις. Οὐχὶ τοῦ πνεύματος τοῦ ἁγίου ἐρχομένου καὶ ἡ φυσικὴ ἐπιθυμία συνεκριζοῦται μετὰ τῆς ἁμαρτίας; Ἀπόκρισις. Προεῖπον ὅτι καὶ ἡ ἁμαρτία ἐκριζοῦται, καὶ ἀπολαμβάνει ὁ ἄνθρωπος τὴν πρώτην πλάσιν τοῦ καθαροῦ Ἀδάμ. οὕτω μέντοι διὰ τῆς δυνάμεως τοῦ ἁγίου πνεύματος καὶ διὰ τῆς ἀναγεννήσεως τῆς πνευματικῆς ἔρχεται εἰς τὰ μέτρα τοῦ πρώτου Ἀδὰμ καὶ μείζων αὐτοῦ γίνεται· ἀποθεοῦται γάρ. Ἐρώτησις. Εἰ ὁ σατανᾶς μέτρῳ ἐπαφίεται ἢ ὡς θέλει παλαίειν αὐτὸν ἡ ὁρμή; Ἀπόκρισις. Οὐ μόνον εἰς τοὺς Χριστιανούς, ἀλλὰ καὶ εἰς τοὺς εἰδωλολάτρας καὶ εἰς ὅλον τὸν κόσμον οὐκ ἔχει ἐξουσίαν. εἰ δὲ παρεχωρεῖτο αὐτῷ ὡς θέλει πολεμεῖν, πάντα ἂν ἠφάνισεν, ἕκαστος τὸν πλησίον ἐφόνευσεν. διὰ τί; ἐπειδὴ τοῦτό ἐστι τὸ θέλημα τοῦ σατανᾶ. 7.4.2 ὥσπερ δὲ ὁ κεραμεὺς βάλλει τὰ σκεύη καὶ μέτρῳ ὑποκαίει τὴν κάμινονοὐ 7.4.2 πλέον, ἵνα μὴ ὀπτηθὲν ὑπὲρ τὸ δέον ψοφήσῃ, οὐκ ἔλαττον πάλιν, ἵνα μὴ ὡς ὠμὰ ἀπόληταικαὶ ὁ ἀργυροχόος καὶ ὁ χρυσοχόος μέτρῳ βάλλει τὸ πῦρἐὰν γὰρ πλεονάσῃ τὸ πῦρ, λύεται ὁ χρυσὸς ἢ ὁ ἄργυρος καὶ ἐξυδαροῦται καὶ ἀπόλλυταικαὶ εἰ ὁ ἀνθρώπινος νοῦς οἶδεν ἐπιμετρεῖν τὰ βάρη τῶν ζῴωνἑκάστου ζῴου τὴν δύναμιν ἐπιστάμενος ὡς δύναται κατ' ἀναλογίαν βαστάσαι τὰ βάρη τῶν ζῴων, πόσῳ μᾶλλον ὁ θεός, ὡς οἶδε τὰ σκεύη τῶν ἀνθρώπων, οὕτως ἐπαφίησι καὶ τὴν ἐναντίαν δύναμιν πολεμεῖν τοῖς ἀνθρώποις διαφόρως. 7.4.3 Καὶ ὥσπερ μία οὖσα ἡ γῆ ἡ μέν ἐστι τραχεῖα, ἡ δὲ λεπτόγεως, καὶ ἡ μὲν ἐπιχρησιμεύει εἰς φυτείαν ἀμπελῶνος, ἄλλη εἰς σπόρον σίτου καὶ κριθῆς, οὕτως εἰσὶ διάφοροι αὐταὶ αἱ γαῖ τῶν καρδιῶν καὶ τῶν προαιρέσεων τῶν ἀνθρώπων, οὕτω καὶ τὰ χαρίσματα ἄνωθεν ἐπιδίδονται. ᾧ μὲν ἐπιτηδεύει διδασκαλία λόγου, ἄλλῳ διακρίσεις, ἄλλῳ «χαρίσματα ἰαμάτων». οἶδε γὰρ ὁ θεός, τίς πῶς δύναται οἰκονομῆσαι, καὶ οὕτως ἐπιδίδωσι τὰ χαρίσματα διαφόρως. ὁμοίως καὶ εἰς τοὺς πολέμους μέτρῳ τινί, ὡς δύνανται οἱ ἄνθρωποι ὑποδέξασθαι καὶ ὑπομεῖναι, οὕτως ἐπαφίεται αὐτοῖς ἡ ἐναντία δύναμις. 7.5.1 Ἐρώτησις. Εἰ δεξάμενός τις τὴν θείαν δύναμιν καὶ μερικῶς ἀλλοιωθεὶς μένει ἐν τῇ φύσει; Ἀπόκρισις. Ἵνα τὸ θέλημα καὶ μετὰ τὴν χάριν δοκιμασθῇ, ποῦ ῥέπει καὶ εἰ συμφωνεῖ ἡ φύσις ἢ ἐν τῇ ταυτότητι μένει ἢ ὁ σκληρὸς ἐν τῇ σκληρότητι ἢ ὁ κοῦφος ἐν τῇ κουφότητι. συμβαίνει δέ, ὅτι ὁ ἰδιώτης ἀναγεννᾶται πνευματικῶς καὶ μεταβάλλεται εἰς σοφίαν καὶ γνωρίζεται αὐτῷ μυστήρια ἀπόκρυφα, εἰ καὶ ἰδιώτης ἐστὶ τῇ φύσει. ἄλλος, ὡς ἀπὸ φύσεώς ἐστι σκληρός, καὶ δίδωσιν αὐτοῦ τὸ θέλημα εἰς τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοσέβειαν καὶ δέχεται αὐτὸν ὁ θεός, μένει δὲ ἡ φύσις τῆς σκληρότητος καὶ εὐδοκεῖ ὁ θεὸς εἰς αὐτόν. ἄλλος ἐστὶ χρηστῶν ἠθῶν, ἐπιεικής, ἀγαθός, δίδωσιν ἑαυτὸν τῷ θεῷ καὶ δέχεται αὐτὸν ὁ θεός. ἐπειδὴ ἡ φύσις ὅλου τοῦ Ἀδὰμ τρεπτή ἐστιν, ἐπὶ τὸ καλὸν καὶ ἐπὶ τὸ κακόν, δεκτικὴ μὲν τοῦ κακοῦ, ἀλλ' εἰ θέλει οὐκ ἀποτελεστική. 7.5.2 ὥσπερ σωμάτιόν ἐστι γραφόμενον διαφόρως· ἠθέλησας ἔγραψας, πάλιν ἀπήλειψαςδέχεται οὖν τὸ σωμάτιον παντοίαν γραφήν, οὕτω καὶ ὁ σκληρὸς ἔδωκε τὸ θέλημα πρὸς τὸν θεόν, ἐτράπη εἰς τὸ ἀγαθόν, ἐδέχθη ὑπὸ τοῦ θεοῦ, καὶ ὁ ἐπιεικὴς ἐτράπη εἰς τὸ ἀγαθόν, ἐδέχθη ὑπὸ τοῦ θεοῦ ὧδε, ἵνα ὁ θεὸς 7.5.3 δείξῃ τὰ ἑαυτοῦ σπλάγχνα, πάντας δέχεται, πᾶσαν προαίρεσιν. καὶ γὰρ οἱ ἀπόστολοι εἰς ἣν πόλιν εἰσήρχοντο, ἐποίουν τινὰ χρόνον καὶ τινὰς ἐκ τῶν κακουμένων ἰῶντο, τινὰς δὲ οὔ. ὁμοίως δὲ καὶ ἐκ τῶν νεκρῶν τινὰς ἐζωοποίουν, τινὰς δὲ οὔ. ἤθελον δὲ οἱ ἀπόστολοι πάντας τοὺς νεκροὺς ζωοποιεῖν καὶ τοὺς κακουμένους εἰς ὑγείαν φέρειν, καὶ ὁλοτελῶς οὐκ ἐγίνετο αὐτῶν τὸ θέλημα οὐκ ἐπετρέπετο γὰρ αὐτοῖς ὅσα ἤθελον ποιεῖν. ὁμοίως καὶ ὁ Παῦλος ὅτε ἐκρατήθη ὑπὸ τοῦ ἐθνάρχου, εἰ ἠθέλησεν ἡ συνοῦσα αὐτῷ χάρις, ἐποίει τὸν ἐθνάρχην ἀπολιθωθῆναι καὶ τὸ τεῖχος διαρραγῆναι, ἄνθρωπος ἔχων παράκλητον, ἀλλὰ διὰ σαργάνης χαλᾶται ὁ ἀπόστολος καὶ ποῦ ἡ χάρις ἡ συνοῦσα; ταῦτα οἰκονομικῶς ἐγίνετο, εἴς τινα μὲν πράγματα ποιεῖν αὐτοὺς σημεῖα καὶ θαύματα, εἴς τινα δὲ ἀσθενεῖν, ἵνα ἐν τούτοις διακριθῇ ἡ πίστις τῶν πιστῶν καὶ τῶν ἀπίστων, καὶ ἡ προαίρεσις καὶ τὸ αὐτεξούσιον δοκιμασθῇ, καὶ φανερωθῇ εἰς τὰ ἀσθενέστερα πράγματα, εἴ τινες οὐ σκανδαλίζονται. εἰ γὰρ πάντα ὅσα ἤθελον ἐποίουν οἱ ἀπόστολοι, ἀναγκαστικῇ τινι δυνάμει ἔφερον τοὺς ἀνθρώπους εἰς τὴν θεοσέβειαν διὰ τὰ σημεῖα, καὶ οὕτως ἀνῄρητο τὸ αὐτεξούσιον, καὶ οὐκέτι πίστις καὶ ἀπιστία. ὁ γὰρ Χριστιανισμὸς λίθος ἐστὶ «προσκόμματος» καὶ πέτρα «σκανδάλου». 7.5.4 Πλὴν τὸ τοῦ Ἰὼβ γεγράμμενον οὐκ ἔστιν ἁπλῶς, πῶς ἐξῃτήσατο αὐτὸν ὁ σατανᾶς. οὐ γὰρ ἐδύνατο ἄνευ ἐπιτροπῆς ἀφ' ἑαυτοῦ ποιῆσαί τι. ἀλλὰ τί λέγει τῷ κυρίῳ ὁ διάβολος· "1δός μοι αὐτὸν εἰς τὰς χεῖρας, «εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει»."2 οὕτω καὶ νῦν ὁ αὐτὸς Ἀδάμ ἐστι καὶ ὁ αὐτὸς θεὸς καὶ ὁ αὐτὸς σατανᾶς. ἐν ὅσῳ οὖν τυγχάνει τις ἀντιλήψεως θεοῦ καὶ ἔστι ζῶν τῇ χάριτι καὶ πρόθυμος, ἐπαιτεῖται αὐτὸν ὁ σατανᾶς καὶ λέγει τῷ κυρίῳ· "1ἐπειδὴ βοηθεῖς αὐτῷ καὶ ἀντιλαμβάνῃ δουλεύει σοι. ἄφες αὐτόν, παράδος μοι αὐτόν, «εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει»."2 λοιπὸν ὡς ἔτι παρακαλεῖ τὴν ψυχήν, 7.5.5 ἡ χάρις ὑποστέλλει καὶ παραδίδοται ἡ ψυχὴ πειρασμοῖς. ἔρχεται οὖν ὁ διάβολος ἐπιφέρων μυρία κακά, ἀπελπισμόν, ἀπόγνωσιν, διαλογισμοὺς πονηρούς, θλίβει ἵνα χαυνώσῃ τὴν ψυχὴν καὶ ἀλλοτριώσῃ ἐκ τῆς ἐλπίδος τοῦ θεοῦ. ἡ δὲ φρονίμη ψυχὴ ἐν τοῖς κακοῖς οὖσα καὶ ἐν τῇ θλίψει οὐκ ἀπελπίζει, ἀλλὰ λέγει πρὸς ἑαυτὴν κράτει ὃ κρατεῖς, ὅσα ἂν ἐπενέγκῃ σοι, μυρίους πειρασμούς, κράτει καὶ εἰπέ· "1ἐὰν καὶ ἀποθάνω, ἐγὼ αὐτὸν οὐκ ἀφίω."2 καὶ τότε, ἐὰν ὑπομείνῃ ὁ ἄνθρωπος εἰς τέλος, ἄρχεται ὁ κύριος διαλέγεσθαι τῷ σατανᾷ· "1ὁρᾷς, πόσα κακὰ καὶ θλίψεις ἐπήνεγκας αὐτῷ, καὶ οὐχ ὑπήκουσε σοί, ἀλλ' 7.5.6 ἐμοὶ δουλεύει"2, τότε καταισχύνεται ὁ διάβολος καὶ οὐκ ἔχει τι εἰπεῖν. καὶ γὰρ ἐπὶ τοῦ Ἰώβ, εἰ ᾔδει ὅτι εἰς τοὺς πειρασμοὺς ἐμπεσὼν μέλλει ὑπομένειν καὶ μὴ ἡττᾶσθαι, οὐκ ἂν ἐξῃτήσατο αὐτόν, ἵνα μὴ πλέον καταισχυνθῇ, οὕτω καὶ νῦν εἰς τοὺς ὑπομένοντας τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς καταισχύνεται ὁ σατανᾶς καὶ μετανοεῖ, ὅτι οὐδὲν ὠφέλησεν. ἄρχεται οὖν ὁ κύριος λόγον αὐτῷ ποιεῖν· "1ἴδε παρεχώρησα, ἴδε παρέδωκά σοι αὐτόν, ἴδε ἐπέτρεψά σοι πειράσαι. τί ἐδυνήθης; μὴ ὑπήκουσέ σοι;"2 7.6.1 Ἐρώτησις. Εἰ ἄρα ὅλους τοὺς λογισμοὺς καὶ τὰ νοήματα οἶδεν ὁ σατανᾶς; Ἀπόκρισις. Εἰ ἄνθρωπος ἀνθρώπῳ σύνεστι καὶ οἶδε τὰ αὐτοῦ, καὶ σὺ εἴκοσι ἐτῶν ὢν γνωρίζεις, ἆρα αὐτὸς ὁ σατανᾶς ἀπὸ γενετῆς συνών σοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκ οἶδε τοὺς διαλογισμούς σου, ὅτι ἑπτακισχιλίων ἐτῶν ἐστιν; ἀλλ' οὐ λέγομεν αὐτὸν πρὸ τοῦ πειράσαι τὸν ἄνθρωπον εἰδέναι αὐτὸν τί θέλει ποιῆσαι ὁ ἄνθρωπος. τὸ γὰρ πειράσαι πειράζει, οὐκ οἶδε δέ, εἰ ὑπακούσει ἢ μὴ ὑπακούσει, ἕως ἂν τὸ θέλημα δοῦλον δώῃ αὐτῷ ἡ ψυχή. οὔτε πάλιν λέγομεν τὸν διάβολον, ὅτι ὅλους τοὺς λογισμοὺς καὶ τὰς ἐνθυμήσεις οἶδεν. 7.6.2 Ὥσπερ ἵνα ᾖ δένδρον καὶ ἔχῃ κλάδους πολλούς, ὡς εἰπεῖν πρὸς λόγον δύο ἢ τρεῖς κλάδους δύναται κατασχεῖν τις, τοὺς δὲ ἄλλους οὐ δύναται, οὕτω καὶ ἡ ψυχὴ ἔχει πολλὰ μέλη καὶ πολλοὺς κλάδους, λοιπὸν εἰσί τινες κλάδοι λογισμῶν καὶ νοημάτων καὶ κατέχει αὐτοὺς ὁ σατανᾶς, καί εἰσιν ἄλλοι λογισμοὶ καὶ νοήματα, 7.6.3 ὅτι οὐ δύναται κατασχεῖν ὁ σατανᾶς. ἔν τινι μὲν γὰρ ἰσχυρότερός ἐστιν τὸ μέρος τῆς ἁμαρτίας ἐν τῷ βρύειν, ἔν τινι δὲ ὁ λογισμός ἐστι τοῦ ἀνθρώπου λαμβάνων βοήθειαν καὶ λύτρωσιν παρὰ τοῦ θεοῦ καὶ ἀντιλέγων τῇ κακίᾳ. ἔν τινι δὲ κεκράτηται, ἔν τινι ἔχει θέλημα, καὶ ζέων προσέρχεται τῷ θεῷ καὶ οἶδεν ὁ σατανᾶς καὶ βλέπει, ὅτι κατ' αὐτοῦ ποιεῖ καὶ οὐ δύναται ἐπισχεῖν τὸν ἄνθρωπον προσερχόμενον τῷ θεῷ, ἐπειδὴ ἔχει θέλημα τοῦ βοῆσαι πρὸς τὸν θεόν. ἔχει καρποὺς φυσικοὺς τοῦ ἀγαπῆσαι καὶ προσελθεῖν τῷ θεῷ, 7.6.4 τοῦ πιστεῦσαι, τοῦ ἐπιζητῆσαι προσελθεῖν. καὶ γὰρ ἐν τοῖς φαινομένοις ὁ γεωργὸς ἐργάζεται τὴν γῆν, ἀλλὰ χρῄζει ἄνωθεν ὑετοῦ καὶ ὄμβρου. ἐὰν γὰρ μὴ βρέξῃ ἄνωθεν, οὐδὲν ὠφέλησεν ὁ γεωργὸς ἐργασάμενος τὴν γῆν, οὕτω καὶ εἰς τὸ πνευματικὸν, εἰς δύο πρόσωπα νοεῖται τὰ πράγματα. χρὴ οὖν τὸν ἄνθρωπον ἀπὸ προαιρέσεως γεωργῆσαι τὴν γῆν αὐτοῦ καὶ ἐμπονῆσαι. ζητεῖ γὰρ ὁ θεὸς τὸν κόπον καὶ τὸν κάματον αὐτοῦ καὶ τὴν ἐργασίαν τοῦ ἀνθρώπου. ἀλλ' ἐὰν μὴ ἄνωθεν ἐπιφανῇ οὐράνιος νεφέλη καὶ ὑετὸς χάριτος, οὐδὲν ὠφέλησεν ὁ γεωργὸς κάμνων. 7.6.5 Τοῦτο δέ ἐστι τὸ σημεῖον τοῦ Χριστιανισμοῦ, ὅσα ἐὰν κάμῃ καὶ ὅσας ἐὰν ποιήσῃ δικαιοσύνας, ὡς μηδὲν ποιῶν ὀφείλει διακεῖσθαι. "1νηστεύων οὐκ ἐνήστευσα, εὐχόμενος οὐκ ηὐξάμην, παραμένων τῇ εὐχῇ οὐ παρέμεινα, ἀκμὴν ἀρχάριος εἰμὶ ἀσκῶν καὶ κάμνων"2. καὶ ὢν δίκαιος παρὰ θεῷ λέγε· "1ἐγὼ οὔκ εἰμι δίκαιος οὐδὲ κάμνω, καθ' ἡμέραν ἄρχομαι, ἀποδεδοκιμασμένος εἰμί."2 ὀφείλει δὲ ἔχειν καθ' ἡμέραν τὴν ἐλπίδα καὶ τὴν χαρὰν καὶ τὴν προσδοκίαν τῆς μελλούσης βασιλείας καὶ λυτρώσεως· ἐὰν σήμερον οὐκ ἐλυτρώθην, αὔριον 7.6.6 λυτροῦμαι. καὶ γὰρ ὁ φυτεύων ἄμπελον πρὶν ἐνάρξασθαι τοῦ κόπου, ἔχει τὴν χαρὰν ἐν ἑαυτῷ καὶ τὴν ἐλπίδα, καὶ προδιαγράφει ἐν ἑαυτῷ καὶ ψηφίζει τὰς προσόδους, μήπω γενομένου οἴνου, καὶ οὕτως ἀναδέχεται τὸν κάματον. ἡ γὰρ ἐλπὶς καὶ ἡ προσδοκία ποιεῖ αὐτὸν προθύμως κάμνειν καὶ τέως ἐκ τοῦ οἴκου πολλὰς δαπάνας σκορπίζει, οὕτω καὶ ὁ οἰκοδομῶν οἶκον καὶ ὁ γεωργῶν πρῶτον ἐκ τῶν ἰδίων πολλὰ ἀναλίσκει διὰ τὴν ἐλπίδα τῆς μελλούσης προσόδου. καὶ πάνυ, ἐὰν μή τις ἔχῃ πρὸ ὀφθαλμῶν τὴν χαρὰν καὶ τὴν ἐλπίδα ὅτι "1μέλλω λυτρώσεως καὶ ζωῆς τυγχάνειν"2, οὐ δύναται ὑπομεῖναι τὰς θλίψεις οὐδὲ τὸ φορτίον καὶ τὴν στενὴν ὁδὸν ἀναδέξασθαι. ἡ γὰρ συνοῦσα ἐλπὶς καὶ χαρὰ ποιεῖ αὐτὸν κάμνειν προθύμως καὶ ὑπομένειν τὰς θλίψεις. 7.6.7 Ὥσπερ δὲ οὐκ ἔστιν εὔκολον δαλὸν ἀπὸ πυρὸς φυγεῖν, οὕτως οὐδὲ ψυχὴν ἐκ τοῦ πυρὸς τοῦ θανάτου, εἰ μὴ διὰ καμάτου πολλοῦ. ὡς ἐπὶ τὸ πλεῖστον δὲ ὁ σατανᾶς ὡς ἐπὶ προφάσει ἀγαθῶν λογισμῶν, ὅτι "1ἐκ τούτου δύναται εὐαρεστῆσαι τῷ θεῷ"2 ὑποβάλλει τῇ ψυχῇ καὶ οὕτως ὑποκλέπτει αὐτὸν εἰς λεπτὰ καὶ εὐλογοφανῆ νοήματα, καὶ οὐκ οἶδεν ὑποκλεπτόμενος διακρῖναι, καὶ οὕτως 7.6.8 ἐμπίπτει εἰς παγίδα καὶ ἀπώλειαν τοῦ διαβόλου. τὸ δὲ καιριώτατον τοῦ ἀθλητοῦ καὶ ἀγωνιστοῦ τοῦτό ἐστιν, ἵνα τίς εἰσελθὼν εἰς τὴν καρδίαν ἑαυτοῦ ποιήσῃ πόλεμον πρὸς τὸν σατανᾶν καὶ μισήσῃ αὐτὸν καὶ ἀρνήσηται τὴν ψυχὴν αὐτοῦ καὶ ὀργισθῇ καὶ ἐπιπλήξῃ ταῖς συνούσαις ἐπιθυμίαις καὶ ἀντιτάξηται καὶ ἀντιπαλαίσας τοῖς διαλογισμοῖς αὐτοῦ μαχεσθῇ ἑαυτῷ. 7.6.9 Εἰ δὲ εἰς τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φαινόμενον φυλάσσεις τὸ σῶμα σου ἀπὸ φθορᾶς καὶ πορνείας, ἔσωθεν δὲ μοιχεύεις παρὰ τῷ θεῷ καὶ πορνεύεις τοῖς διαλογισμοῖς, οὐδὲν 7.6.10 ὠφελήθης ἔχων τὸ σῶμα παρθένον. ὥσπερ ἵνα ᾖ νεᾶνις καὶ νεανίσκος, καὶ λοιπὸν δόλῳ κολακεύει αὐτὴν καὶ φθείρει, λοιπὸν βδελυκτή ἐστι τῷ νυμφίῳ, ἐπειδὴ ἐμοιχεύθη, οὕτω καὶ ἡ ἀσώματος ψυχὴ τῷ ἐνδομυχοῦντι ὄφει κοινωνοῦσα, τῷ πονηρῷ πνεύματι, πορνεύει ἀπὸ τοῦ θεοῦ. γέγραπται γάρ· «πᾶς ὁ ἐμβλέπων γυναῖκα εἰς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν ἐν καρδίᾳ». ἔστι γὰρ πορνεία διὰ σώματος ἐπιτελουμένη καὶ ἔστι πορνεία ψυχῆς κοινωνούσης τῷ σατανᾷ. αὐτὴ γὰρ ἡ ψυχὴ κοινωνική ἐστι καὶ ἀδελφὴ δαιμόνων ἢ πάλιν θεοῦ καὶ ἀγγέλων καὶ λοιπὸν μοιχεύουσα μετὰ τοῦ σατανᾶ ἄχρηστός ἐστι τῷ ἐπουρανίῳ νυμφίῳ Χριστῷ. 7.7.1 Ἐρώτησις. Εἰ ἡσυχάζει ὁ σατανᾶς ποτε, καὶ ἐλευθεροῦται ὁ ἄνθρωπος ἐκ τοῦ πολέμου ἤ, ἕως ὅτε ζῇ, ἔχει πόλεμον; Ἀπόκρισις. Ὁ σατανᾶς οὐδέποτε ἡσυχάζει πολεμῶν, ἕως ὅτε ζῇ τις εἰς τὸν αἰῶνα τοῦτον καὶ φορεῖ τὴν σάρκα. ὅταν δὲ «τὰ βέλη τοῦ διαβόλου τὰ πεπυρωμένα» σβεσθῇ, λοιπὸν ἐκεῖ οὐδέν τι βλάπτει τὸν ἄνθρωπον, εἰ καὶ ἔρχεται ὁ σατανᾶς πολεμεῖν; πρὸς λόγον γὰρ ἔστι τις φίλος βασιλέως καὶ ἔχει δίκην πρὸς ἀντίδικον. ὁπόταν τὸν βασιλέα ἐπιρρεπῆ ἔχῃ καὶ φίλον ἑαυτοῦ, ὅστις βοηθεῖ αὐτῷκαὶ φθάσῃ ὅλας τὰς τάξεις παρελθεῖν καὶ τοὺς βαθμοὺς καὶ γενέσθαι φίλος βασιλέως, τὸ λοιπὸν τί βλάπτεται ὑπό τινος; εἰς γὰρ τὸ φαινόμενόν εἰσι πολλοί, ὅτι λαμβάνουσιν ἀννόνας καὶ δῶρα παρὰ τοῦ βασιλέως καὶ λειτουργοῦσιν. τί ζημιοῦνται, ὁπότε τοσαῦτα πορίζουσι καὶ δέχονται ἐκ τοῦ βασιλέως; οὕτω καὶ οἱ Χριστιανοί, εἰ καὶ πρὸς καιρὸν ἔρχονται οἱ πόλεμοι, ἀλλ' αὐτοὶ κατέλυσαν εἰς τὴν θεότητα καὶ ἐνεδύσαντο τὴν «ἐξ ὕψους δύναμιν» καὶ ἀνάπαυσιν καὶ οὐ φροντίζουσι τοῦ πολέμου. 7.7.2 Ὥσπερ γὰρ ὁ κύριος ἀνέλαβε τὸ σῶμα καταλιπὼν πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, οὕτω καὶ οἱ Χριστιανοὶ ἐνδύονται τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐν ἀναπαύσει εἰσίν. εἰ δὲ καὶ ἔρχεται καὶ ἔξωθεν κρούει ὁ σατανᾶς, ἀλλ' οὗτοι ἔσωθεν τεθωρακισμένοι εἰσὶ τῇ τοῦ κυρίου δυνάμει καὶ οὐδὲν φροντίζουσι τοῦ σατανᾶ. καθὼς ἐκεῖ εἰς τὴν ἔρημον ἐπείραζε τὸν κύριον τεσσαράκοντα ἡμέρας, τί αὐτὸν ἔβλαψεν, ὅτι ἔξωθεν προσῆλθε τῷ σώματι; θεὸς γὰρ ἦν σαρκωθείς. οὕτως εἰσὶν οἱ Χριστιανοί, εἰ καὶ ἔξωθεν πειράζονται, πλὴν ἔσωθεν πεπληρωμένοι εἰσὶ τῆς θεότητος καὶ οὐδὲν ἀδικοῦνται. ταῦτα δὲ τὰ μέτρα ἐκείνου εἰσίν· εἴ τις ἔφθασεν εἰς τὴν τελείαν ἀγάπην τοῦ κυρίου καὶ εἰς τὸ πλήρωμα τῆς θεότητος κατήντησεν. εἰ δέ τις χάριτος μερικῶς ἔτυχεν, οὗτος ἔσωθεν ἀκμὴν ἔχει πόλεμον· ὥραν ἀναπαύεται εἰς τὴν εὐχήν, ἄλλῃ ὥρᾳ ἐν θλίψει καὶ πολέμῳ ἵσταται. οὕτω γὰρ θέλει ὁ κύριος· καὶ ἐπειδὴ ἀκμὴν νήπιός ἐστι, γυμνάζει αὐτὸν εἰς τοὺς πολέμους τὰ δύο πρόσωπα ἔσωθεν βρύει, καὶ τὸ φῶς καὶ τὸ σκότος, καὶ ἡ ἀνάπαυσις καὶ ἡ θλῖψις. εὔχονται ἐν ἀναπαύσει καὶ πάλιν ἄλλῃ ὥρᾳ ἐν θορύβῳ εἰσίν. 7.7.3 Οὐκ ἀκούεις τί λέγει ὁ ἀπόστολος· «ἐὰν ἔχω πάντα, ἐὰν παραδῶ τὸ σῶμα μου, ἵνα καυθήσομαι, καὶ ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλήσω, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι». ἐπειδὴ ταῦτα προτρεπτικά εἰσι χαρίσματα, καὶ οἱ ἐν τούτοις ἑστηκότες νήπιοί εἰσιν, εἰ καὶ ἐν φωτί εἰσιν. ἄλλοι γὰρ τῶν ἀδελφῶν ἦλθον εἰς μέτρα τοιαῦτα καὶ ἔσχον «χαρίσματα ἰαμάτων» καὶ ἀποκάλυψιν προφητείας, καὶ ἐπειδὴ οὐκ ἔφθασαν εἰς τελείαν ἀγάπην, ὅπου ὁ «σύνδεσμος τῆς τελειότητος», ἐπῆλθεν αὐτοῖς πόλεμος καὶ ἀμελήσαντες ἔπεσον. εἰ δέ τις φθάνει εἰς τὴν ἀγάπην, οὗτος λοιπὸν δέδεται καὶ ἔστιν ᾐχμαλωτισμένος εἰς τὴν χάριν. εἰ δέ τις παρὰ μικρὸν ἐγγίσει τῷ μέτρῳ τῆς ἀγάπης, μὴ φθάσει δὲ εἰς αὐτὴν τὴν ἀγάπην δεθῆναι, ὁ τοιοῦτος ὑπὸ φόβον ἐστὶ καὶ ὑπὸ πόλεμον 7.7.4 καὶ ὑπὸ πτῶσιν, καὶ ἐὰν μὴ ἀσφαλίσηται, ῥίπτει αὐτὸν ὁ σατανᾶς. οὕτω γάρ τινες ἐπλανήθησαν. χάριτος γὰρ εἰς αὐτοὺς γενομένης ἐνόμισαν ὅτι κατέλαβον τὴν τελειότητα καὶ ἔλεγον· "1ἀρκεῖ ἡμῖν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐκέτι χρῄζομεν."2 ὁ κύριος οὔτε τέλος ἔχει οὔτε κατάληψιν, καὶ οἱ Χριστιανοὶ οὐ τολμῶσιν εἰπεῖν ὅτι κατελάβομεν, ἀλλὰ τεταπεινωμένοι εἰσὶ νυκτὸς καὶ ἡμέρας ζητοῦντες. 7.7.5 Τὰ γράμματα ἐν τοῖς φαινομένοις ἀτέλεστά εἰσι, καὶ οὐδεὶς οἶδε τοῦτο, εἰ μὴ ὁ σχολαστικὸς ὁ μερικῶς μαθὼν τὰ γράμματαοὕτω καὶ ὧδε οὐδεὶς οἶδεν ὅτι ἀκατάληπτός ἐστι καὶ ἀμέτρητος, εἰ μὴ ὁ μερικῶς γευσάμενος· ἐξ αὐτοῦ δὲ οὗ ἐγεύσαντο γνωρίζουσι τὴν ἑαυτῶν ἀσθένειαν. εἰς χωρίον ἐάν τις ἀπέλθῃ ὀλίγα γράμματα εἰδώς, ὅπου εἰσὶν ἰδιῶται, δοξάζεται ὑπ' αὐτῶν ὡς σχολαστικός, ἐπειδὴ χωρικοί εἰσιν ὁλοτελῶς μὴ εἰδότες δοκιμάσαι. αὐτὸς δὲ οὗτος ὁ τὰ ὀλίγα εἰδώς, ἐὰν ἀπέλθῃ εἰς πόλιν, ὅπου εἰσὶ ῥήτορες καὶ σχολαστικοί, οὐ τολμᾷ παραφανῆναι αὐτοῖς ἢ λαλῆσαι· ὡς χωρικὸς γὰρ κρίνεται ὑπὸ τῶν σχολαστικῶν. 7.8.1 Ἐρώτησις. Εἰ ὢν ἐν πολέμῳ ὁ ἄνθρωπος καὶ ἔχων τὰ δύο πρόσωπα ἐν τῇ ψυχῇ αὐτοῦ, τῆς τε ἁμαρτίας καὶ τῆς χάριτος, συμβῇ δὲ αὐτὸν ἐξελθεῖν ἐκ τοῦ κόσμου, ποῦ χωρεῖ εἰς τὰ δύο μέρη κατεχόμενος; Ἀπόκρισις. Ὅπου ἔχει τὸν σκοπὸν ὁ νοῦς καὶ ὅπου ἀγαπᾷ, ἐκεῖ καὶ ὑπάγει. μόνον εἰ ἐπέρχεταί σοι θλῖψις καὶ πόλεμος, ἀντειπεῖν ὀφείλεις καὶ μισεῖν. τὸ μὲν γὰρ ἐπελθεῖν τὸν πόλεμον οὐκ ἔστι σόν, τὸ δὲ μισῆσαι σόν ἐστι. καὶ τότε βλέπει ὁ κύριος τὸν νοῦν σου, ὅτι ἀγωνίζῃ καὶ ἀγαπᾷς τὸν κύριον ἐξ ὅλης τῆς ψυχῆς σου καὶ οὐκ ἔστι δυσχερὲς τῷ κυρίῳ διαχωρίσαι ἐν μίᾳ ὥρᾳ τὸν θάνατον ἐκ τῆς ψυχῆς σου καὶ σὲ προσλαβέσθαι εἰς τοὺς κόλπους αὐτοῦ καὶ εἰς τὸ φῶς ἁρπάσαι. ἁρπάζει γάρ σε ἐν ῥοπῇ ὥρας ἐκ τοῦ στόματος τοῦ σκότους καὶ εὐθέως μετατίθησι τὴν ψυχήν σου εἰς τὴν βασιλείαν αὐτοῦ. τῷ γὰρ θεῷ ἐν ῥοπῇ ὥρας πάντα εὐχερῆ ἐστι ποιῆσαι, μόνον ἵνα ἔχῃς τὴν ἀγάπην πρὸς αὐτόν. χρῄζει γὰρ ὁ θεὸς τῆς ἐργασίας τοῦ ἀνθρώπου καὶ χρῄζει ὁ ἄνθρωπος τῆς ἐργασίας τοῦ θεοῦ, ἐπειδὴ κοινωνική ἐστιν ἡ ψυχὴ τῆς θεότητος. 7.8.2 Καὶ καθὼς πολλάκις εἴπομεν τὴν παραβολὴν τοῦ γεωργοῦ, ὅτι κάμνων καὶ βάλλων τὸν σπόρον ἐν τῇ γῇ ὀφείλει ἐκδέχεσθαι καὶ τὸν ἄνωθεν ὑετόνἐὰν γὰρ μὴ ἐπιφανῇ νέφη καὶ ἄνεμοι πνεύσωσιν, οὐδὲν ὠφέλησεν ὁ κάματος τοῦ γεωργοῦ· ὁ γὰρ σπόρος γυμνὸς ὑπόκειταιοὕτως ἀνάλαβε καὶ εἰς τὸ πνευματικόν. ἐὰν μόνον εἰς τὴν ἰδίαν ἐργασίαν ἀπομείνῃ ὁ ἄνθρωπος καὶ μὴ δέξηται ξένον τι τῆς φύσεως αὐτοῦ, οὐ δύνανται καρποὺς ἀξίους τῷ κυρίῳ ἀποδοῦναι. 7.8.3 τί δέ ἐστιν ἡ ἐργασία τοῦ ἀνθρώπου; τὸ ἀποτάξασθαι, τὸ ἐξελθεῖν ἐκ τοῦ κόσμου, τὸ ὑπομεῖναι ἐν τῇ εὐχῇ, τὸ ἀγρυπνεῖν, τὸ ἀγαπᾶν τὸν θεὸν καὶ τοὺς ἀδελφούς. ταῦτα ἴδια αὐτοῦ ἐστιν. ἀλλ' ἐὰν ἀπομείνῃ ἐν τῇ ἰδίᾳ ἐργασίᾳ καὶ μὴ ἐλπίσῃ ἄλλο τι δέξασθαι καὶ μὴ προσπνεύσωσιν οἱ ἄνεμοι τοῦ ἁγίου πνεύματος ἐν τῇ ψυχῇ, καὶ ἐὰν μὴ ἐπιφανῇ οὐράνια νέφη καὶ ἔλθῃ ἐξ οὐρανοῦ ὑετὸς καὶ ἐπιβρέξῃ τῇ ψυχῇ, οὐ δύναται ὁ ἄνθρωπος καρποὺς ἀξίους ἀποδοῦναι 7.8.4 τῷ κυρίῳ. γέγραπται γάρ, ὅτι ὁ γεωργός, ὅταν ἴδῃ τὸ κλῆμα φέρον καρπούς, καθαρίζει αὐτό, ἵνα πλεῖον ἐξενέγκῃ, τὸ δὲ μὴ φέρον καρπὸν ἐκριζοῖ καὶ εἰς πυρὸς καῦσιν δίδωσι. πλὴν τοῦ ἀνθρώπου τοῦτό ἐστιν, ἵνα εἴτε νηστεύει εἴτε εὔχεται εἴτε καλόν τι ποιεῖ, ἐπιγράφῃ τὰ ἴδια τῷ θεῷ, τοῦτο λέγων· "1εἰ μή με ὁ θεὸς ἐνεδυνάμωσεν, οὐκ ἐδυνάμην νηστεύειν ἢ εὔχεσθαι ἢ ἐξελθεῖν ἐκ τοῦ κόσμου."2 καὶ οὕτω βλέπων ὁ θεὸς τὴν ἀγαθήν σου προαίρεσιν, ὅτι τὰ σὰ ἃ ἀπὸ φύσεως ποιεῖς αὐτῷ ἐπιγράφεις, πάλιν τὰ ἴδια αὐτοῦ τὰ πνευματικά, τὰ θεῖα καὶ ἐπουράνιακαὶ τὰ σά σοι χαρίζεται. τί δέ εἰσιν οἱ τοῦ πνεύματος καρποί; ἀγαλλίασις, εὐφροσύνη. 7.9.1 Ἐρώτησις. Ἀλλ' ἐπειδή εἰσι φυσικοὶ καρποὶ ὅμοιοι τούτων, ἀγάπη, πίστις, εὐχή, διάκρινον ἡμῖν, πῶς ἐστι τὰ φυσικά, καὶ πῶς ἐστι τὰ τοῦ ἁγίου πνεύματος; Ἀπόκρισις. Τὰ σὰ ἃ ποιεῖς, καλὰ μέν ἐστι καὶ τῷ θεῷ εὐπρόσδεκτα ἀλλ' οὐκ ἔστι καθαρά. οἷον ἀγαπᾷς σὺ τὸν θεόν, ἀλλ' ἡ σὴ ἀγάπη τρεπτή ἐστιν· ἔρχεται ὁ θεός, δίδωσί σοι ἀγάπην ἄτρεπτον, ἐπουράνιον. εὔχῃ σὺ τὸ φυσικὸν μετὰ τοῦ ῥέμβεσθαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ διαλογίζεσθαι· δίδωσί σοι ὁ θεὸς τὴν 7.9.2 καθαρὰν εὐχὴν «ἐν πνεύματι καὶ ἀληθείᾳ». πλὴν ὡς ἐπὶ τὸ πλεῖστον ἡ γῆ ἀφ' ἑαυτῆς ἐκφέρει ἀκάνθας, καὶ ὁ γεωργὸς σκάπτει, ἐργάζεται ἐπιμελῶς, βάλλει σπόρον, καὶ αἱ ἀκάνθαι μὴ σπειρόμεναι ἀναφύονται καὶ πληθύνουσι. μετὰ γὰρ τὴν παράβασιν ἐρρέθη· «ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι» ἡ γῆ. πάλιν ὁ γεωργὸς ἐμπονεῖ τῇ γῇ, ἀνασκάπτει τὰς ἀκάνθας, καὶ αὐταὶ ἔτι πληθύνουσιν. ἀνάλαβε τοῦτο πνευματικῶς. μετὰ γὰρ τὴν παράβασιν ἐκφέρει ἡ γῆ τῆς καρδίας ἀκάνθας καὶ τριβόλους, ἐργάζεται ὁ γεωργός, ἐμπονεῖ, καὶ ἔτι αἱ ἀκάνθαι τῶν ἀκαθάρτων πνευμάτων ἐγείρονται. εἶτα αὐτὸ «τὸ πνεῦμα συναντιλαμβάνεται τῇ ἀσθενείᾳ» τῶν ἀνθρώπων, καὶ βάλλει ὁ κύριος ἐν αὐτῇ τῇ γῇ σπόρον ἐπουράνιον, ἐργάζεται αὐτήν, καὶ πέσοντος 7.9.3 τοῦ σπόρου αἱ τρίβολοι καὶ αἱ ἀκάνθαι ἀναφύονται. πάλιν αὐτὸς ὁ ἄνθρωπος καὶ ὁ κύριος ἐργάζεται τὴν ψυχήν, καὶ ἔτι τὰ πονηρὰ καὶ ἀκάθαρτα πνεύματα ἐκεῖ βρύουσι καὶ ἀναφύονται, ἕως ἂν γένηται θέρος καὶ πλεονάσῃ ἡ 7.9.4 χάρις καὶ καταξηρανθῶσιν ὑπὸ τῆς θέρμης τοῦ ἡλίου αἱ ἀκάνθαι. εἰ γὰρ καὶ σύνεστιν ἡ κακία, ἀλλ' οὐχ οὕτως κατακυριεύει ἢ ἔχει νομήν. τὰς γὰρ τρυφερὰς χλόας δύνανται τὰ ζιζάνια καὶ αἱ ἀκάνθαι συμπνίγειν, φθάσαντος δὲ θέρους μετὰ τὸ ξηρανθῆναι τοὺς καρποὺς καὶ ὡρίμους γενέσθαι 7.9.5 οὐδὲν βλάπτουσι τὰ ζιζάνια τὸν σῖτον. καὶ γὰρ ἐὰν συμβῇ τριάκοντα μοδίους εἶναι τοῦ καθαροῦ καὶ ἐκεῖ μίξῃς ὡς χοίνικα ζιζανίου, τί παραφαίνεται; κέχωσται γὰρ διὰ τὸν πλεονασμὸν τοῦ σίτου. οὕτω καὶ ἐν τῇ χάριτι. εἰ πλεονάζει ἡ δωρεὰ τοῦ θεοῦ καὶ ἡ χάρις εἰς τὸν ἄνθρωπον καὶ πλουτεῖ εἰς τὸν κύριον, σύνεστι δὲ ἡ κακία μερικῶς πως, οὐδὲν βλάψαι τὸν ἄνθρωπον οὐδὲ 7.9.6 ἰσχύν τινα ἢ νομὴν ἔχει κατὰ τοῦ ἀνθρώπου. ὅλη γὰρ ἡ ἔλευσις καὶ ἡ πρόνοια τοῦ κυρίου διὰ τοῦτο ἦλθεν, ἵνα τὸ ἀπολωλὸς ἀνακαλέσηται καὶ τὸ νεκρὸν ἀναζωοποιήσῃ διὰ τοῦ σταυροῦ· κατέκρινε γὰρ ἐν τῇ σαρκὶ τὸν θάνατον. «τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν», «ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διαπαντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας». ὁρᾷς, διὰ τοὺς δεδουλωμένους καὶ ἐνόχους ὄντας θανάτου καὶ ὑποτεταγμένους ἡ ἔλευσις τοῦ κυρίου γέγονεν, ἵνα αὐτοὺς ποιήσῃ νικητὰς τοῦ θανάτου. 7.10.1 Ὅτι μέγα τι καὶ τίμιον σκεῦος παρὰ θεῷ ὁ ἄνθρωπος. Γνῶθι οὖν σου τὸ ἀξίωμα καὶ τὴν εὐγένειαν, πῶς εἶ τίμιος, ὦ ἄνθρωπε, ἀδελφὸς Χριστοῦ, φίλος βασιλέως, νύμφη τοῦ ἐπουρανίου νυμφίου. ὁ οὖν δυνηθεὶς ἐπιγνῶναι τὸ ἀξίωμα τῆς ψυχῆς αὐτοῦ, οὗτος δύναται ἐπιγνῶναι τὴν δύναμιν καὶ τὰ μυστήρια τῆς θεότητος· ἐπειδὴ διὰ δυνάμεως θεοῦ βλέπει τὴν πτῶσιν αὐτοῦ. ἀλλ' ὃν τρόπον αὐτὸς διὰ παθημάτων καὶ σταυροῦ παρῆλθε καὶ οὕτως ἐδοξάσθη καὶ ἐκάθισεν ἐν δεξιᾷ, οὕτως χρὴ καὶ σὲ συμπαθεῖν καὶ συσταυρωθῆναι καὶ οὕτως ἐξελθεῖν καὶ συγκαθίσαι καὶ συναφθῆναι τῷ σώματι τοῦ Χριστοῦ καὶ πάντοτε, συμβασιλεύειν ἐν ἐκείνῳ τῷ αἰῶνι εἴπερ γὰρ συμπάσχετε, ἵνα καὶ συνδοξασθῆτε. οὐ γάρ ἐστι δίκαιον τὸν νυμφίον διὰ σὲ ἐλθόντα παθεῖν καὶ σταυρωθῆναι καὶ τὴν νύμφην, δι' ἣν ὁ νυμφίος παρεγένετο, ῥέμβεσθαι καὶ κεχαυνωμένην εἶναι. Ὥσπερ γὰρ ἐν τοῖς φαινομένοις, ἵνα ᾖ τις πόρνη, καὶ παντὶ ἐπιδίδωσιν ἑαυτὴν ἀτάκτως, οὕτω καὶ ἡ ψυχὴ παντὶ δαίμονι ἐπιδέδωκεν ἑαυτὴν εἰς κοινωνίαν καὶ φθείρεται ὑπὸ τῶν πνευμάτων. εἰσὶ γὰρ οἱ ἔχοντες τὴν ἁμαρτίαν καὶ τὸ κακὸν κατὰ προαίρεσιν, καὶ εἰσὶν οἱ παρὰ προαίρεσιν. τί δέ ἐστι τὸ κατὰ προαίρεσιν καὶ τί τὸ παρὰ προαίρεσιν ἔχειν τὸ κακόν; οἱ κατὰ προαίρεσιν ἔχοντες τὸ κακόν, οὗτοί εἰσιν οἱ τὸ ἑαυτῶν θέλημα ἐπιδιδόντες τῇ κακίᾳ καὶ συνηδόμενοι καὶ φιλιάζοντες. οὗτοι εἰρήνην ἔχουσι μετὰ τοῦ σατανᾶ καὶ οὐ ποιοῦσι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πόλεμον μετ' αὐτοῦ ἐν τοῖς λογισμοῖς. οἱ δὲ παρὰ προαίρεσιν ἔχοντες τὸ κακόν, οὗτοί εἰσιν οἱ τὴν ἐναντίαν δύναμιν ἔχοντες ἀντιστρατευομένην ἐν τοῖς μέλεσιν αὐτῶν κατὰ τὸν ἀπόστολον, καὶ ἔστιν ἡ ὁμιχλώδης δύναμις καὶ τὸ κάλυμμα, ἀλλ' ἐν τοῖς λογισμοῖς οὐ συμφωνοῦσιν οὔτε συνήδονται οὔτε ὑπακούουσιν, ἀλλ' ἀντιλέγουσιν, ἀντιπράττουσιν, ἀντιπίπτουσιν, ὀργίζονται ἑαυτοῖς· οὗτοι πολύ εἰσι καλλίονες καὶ τιμιώτεροι παρὰ θεῷ παρ' ἐκείνους τοὺς ἰδίᾳ προαιρέσει τὸ θέλημα αὐτῶν ἐπιδιδόντας τῇ κακίᾳ καὶ συνηδομένους. 7.11.2 Ὥσπερ ἵνα ᾖ τις βασιλεὺς καὶ εὕρῃ πενιχράν τινα ἐνδεδυμένην ῥάκη καὶ μὴ ἐπαισχυνθῇ, ἀλλὰ ἄρῃ αὐτῆς τὰ ῥυπαρὰ ἱμάτια καὶ ἀποπλύνῃ τὴν ῥυπαρίαν καὶ κοσμήσῃ αὐτὴν ἐνδύμασι λαμπροῖς καὶ ποιήσῃ αὐτὴν κοινωνὸν βασιλείας καὶ τῆς τραπέζης αὐτοῦ, καὶ τῆς εὐωχίας μεταδῷ αὐτῇ, οὕτω καὶ ὁ κύριος εὗρε τὴν ψυχὴν τετραυματισμένην καὶ πεπληγμένην καὶ ἔδωκεν αὐτῇ φάρμακον ἰατικόν, καὶ ἐξέδυσεν αὐτὴν τὰ ῥυπαρὰ ἐνδύματα καὶ τὴν αἰσχρότητα τῆς κακίας καὶ ἐνέδυσεν αὐτὴν ἐνδύματα βασιλικά, ἐπουράνια τῆς θεότητος, φωτεινὰ καὶ ἔνδοξα καὶ ἐπέθηκεν αὐτῇ στέφανον καὶ ἐποίησεν αὐτὴν κοινωνὸν τραπέζης βασιλικῆς τῆς ἐπουρανίου εἰς χαρὰν καὶ ἀγαλλίασιν. 7.11.3 Ὥσπερ ἵνα ᾖ παράδεισος καὶ ἵνα ᾖ ἐκεῖ δένδρα καρποφόρα, ὅλα εὐώδη, καὶ εἰσὶν ἐκεῖ τόποι πολλοὶ ἐπιτερπεῖς, ὅλοι ὡραῖοικαὶ πεπλήρωνται ἐκεῖ εὐωδίας καὶ ἀναπαύσεως, καὶ ὃς ἂν ἀπέλθῃ ἐκεῖ, εὐφραίνεται, ἀγαλλιᾶται καὶ ἀναπαύεται, οὕτω γίνονται καὶ αἱ ψυχαὶ ἐν τῇ βασιλείᾳ. ὅλοι εἰσὶν ἐν χαρᾷ καὶ εἰρήνῃ καὶ εὐφροσύνῃ, βασιλεῖς καὶ κύριοι καὶ θεοί. γέγραπται γάρ· «βασιλεὺς βασιλευόντων καὶ κύριος κυριευόντων». 7.11.4 Οὐκ ἔστιν οὖν τὸ τυχὸν Χριστιανισμός. «τὸ γὰρ μυστήριον τοῦτο μέγα ἐστίν». ἐπίγνωθι οὖν σου τὴν εὐγένειαν, ὅτι εἰς βασιλικὸν ἀξίωμα ἐκλήθης, γένος ἔκλεκτον, ἅγιον ἱεράτευμα. τὸ οὖν μυστήριον τοῦ Χριστιανισμοῦ ξένον ἐστὶ τοῦ κόσμου τούτου. ἡ γὰρ φαινομένη δόξα τοῦ βασιλέως καὶ ὁ πλοῦτος ἐπίγειός ἐστι, φθαρτὸς καὶ παρερχόμενος, ἐκείνη δὲ ἡ βασιλεία καὶ ὁ πλοῦτος πράγματά ἐστι θεῖα, πράγματα ἐπουράνια καὶ ἔνδοξα, μηδέποτε λυόμενα. συμβασιλεύουσι γὰρ τῷ ἐπουρανίῳ βασιλεῖ ἐν τῇ ἐπουρανίῳ ἐκκλησίᾳ· πρωτότοκος γὰρ αὐτὸς ἐκ νεκρῶν, καὶ αὐτοὶ πρωτότοκοι. βλέπετε οὖν ὑμῶν τὸ ἀξίωμα. Γαβριὴλ καὶ Μιχαὴλ πνεύματά εἰσιν ἐν περιγραφῇ ὄντα καὶ διακονοῦσι τοῖς ἁγίοις. «οὐχὶ πάντες, γάρ φησιν, εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν». οἱ δὲ Χριστιανοί, ὄντες ἔκλεκτοι καὶ δόκιμοι παρὰ θεῷ, παρ' ἑαυτοῖς εἰσιν ἀποδεδοκιμασμένοι, καὶ τοῦτο αὐτοῖς φυσικὸν καὶ πηκτόν ἐστι τὸ μηδὲν ἑαυτοὺς ἡγεῖσθαι. 7.12.1 Ἐρώτησις. Οὐκ οἴδασιν ὅτι ὃ οὐκ εἶχον ἐκτήσαντο καὶ ἔλαβόν τι ξένον τῆς φύσεως αὐτῶν καὶ ἐν προκοπῇ εἰσίν; Ἀπόκρισις. Ἐγώ σοι λέγω, ὅτι εἰσὶ δόκιμοι καὶ εἰσὶν ἐν προκοπῇ καὶ ὃ οὐκ εἶχον ἐκτήσαντο. ἀλλὰ τοὺς τοιούτους ἐν διακρίσει ὄντας αὐτὴ ἡ χάρις διδάσκει εἶναι τοιούτους φυσικῶς, τοῦ μὴ ἔχειν τιμίαν τὴν ψυχὴν αὐτῶν. ὄντες οὖν ἐν προκοπῇ εἰσι τίμιοι παρὰ θεῷ, καὶ παρ' ἑαυτοῖς οὔκ εἰσιν. εἰσὶν ἐν προκοπῇ καὶ γνώσει θεοῦ καὶ ὡς μηδὲν εἰδότες εἰσί, καὶ παρὰ θεῷ πλούσιοί εἰσι, καὶ παρ' ἑαυτοῖς πένητες. ὥσπερ γὰρ ὁ κύριος διὰ τῆς ταπεινοφροσύνης «μορφὴν δούλου λαβὼν» ἐνίκησε τὸν διάβολον, οὕτως ἐξ ἀρχῆς ὁ ὄφις διὰ τῆς ὑψηλοφροσύνης καὶ τυφώσεως κατέστρεψε τὸν Ἀδάμ. καὶ νῦν ὁ αὐτὸς ἐνδομυχῶν ὄφις ἐν ταῖς καρδίαις διὰ τῆς τυφώσεως καταβάλλει καὶ ἀπόλλει τὸ γένος τῶν Χριστιανῶν. 7.12.2 Ὥσπερ ἵνα ᾖ τις ἐλεύθερος καὶ εὐγενὴς κατὰ κόσμον καὶ ἔχῃ πλοῦτον καὶ προσοδευθῇ καὶ εἰσενέγκῃ καρπούς, αὐτὸς λοιπὸν ἀπονοεῖται καὶ θαρσεῖ ἑαυτῷ, καὶ ἀβάστακτός ἐστι, πάντας κολαφίζει, πάντας λακτίζει, οὕτως εἰσί τινες μὴ ἔχοντες διάκρισιν, μικράν τινα γὰρ ἀνάπαυσιν εὑρόντες καὶ εὐχὴν ἤρξαντο ἀπονοεῖσθαι καὶ τυφοῦσθαι καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατακρίνειν, καὶ οὕτω καταπίπτουσιν «εἰς τὰ κατώτερα μέρη τῆς γῆς». ὁ γὰρ αὐτὸς ὄφις ὁ ἐκβαλὼν τὸν Ἀδὰμ διὰ τῆς ὑψηλοφροσύνης, ὁ εἰπὼν ὅτι ὡς θεοί, φησίν, ἔσεσθε, οὗτος αὐτὸς ὑποβάλλει ἐν ταῖς καρδίαις ὑψηλοφροσύνην· "1τέλειος εἶ, ἀρκεῖ σοι 7.12.3 ἐπλούτησας, οὐ χρείαν ἔχεις μαθεῖν, μακάριος εἶ."2 εἰσὶ δὲ ἄλλοι κατὰ κόσμον, οἵτινες ἔρχονται εἰς πλοῦτον καὶ προσοδεύονται καρποὺς πολλούς, καὶ οὗτοι διάκρισιν ἔχοντες κατέχουσιν ἑαυτοὺς καὶ οὐ καυχῶνται οὐδὲ ἐπαίρονται, ἀλλ' ἴσοι εἰσίν· οἴδασι γὰρ ὅτι μετὰ τὴν πρόσοδον ταύτην ἔρχεται αὐτοῖς ἀφορία. καὶ πάλιν ὅταν ἐμπέσωσιν εἰς ζημίαν καὶ ἀφορίαν οὐ λυποῦνται, ἀλλ' ἴσοι εἰσίν· οἴδασι γὰρ ὅτι διαδέχεται πάλιν ἡ εὐφορία. καὶ ἐν τούτοις ἐπὶ πολὺ γυμνασθέντες οὐ ξενίζονται οὔτε ἐν τῇ προσόδῳ καὶ εὐφορίᾳ τυφοῦνται, οὔτε ἐὰν ἐπέλθῃ αὐτοῖς ζημία, ξενίζονται. 7.12.4 Τὸ γὰρ πρᾶγμα τοῦ Χριστιανισμοῦ τοιοῦτον ἐστί· γεῦσις ἐστὶν ἀληθινή, βρῶσις καὶ πόσις, ἐξ ἀληθείας φαγεῖν ἐστι καὶ πιεῖν διὰ δυνάμεως καὶ ἐνεργείας. ὥσπερ ἵνα ᾖ πηγή, καὶ εἴ τις ἐκεῖ διψῶν ἄρχεται πίνειν, εἶτα ἐν τῷ μεταξὺ ἀποσπάσῃ τις καὶ μὴ δῷ ἐμπλησθῆναι ὅσον θέλει, λοιπὸν μᾶλλον ἐκκαίεται γευσάμενος τοῦ ἡδυτάτου πόματος, ὅτι οὐδεὶς αὐτῷ συνεχώρησεν ἐμπλησθῆναι καὶ ἐπιζητεῖ σπουδαιότερον, οὕτω καὶ εἰς τὸ πνευματικὸν γεύεταί τις καὶ μεταλαμβάνει τροφῆς ἐπουρανίου, εἶτα ἐν τῷ μεταξὺ ὑποστέλλει καὶ οὐ δίδωσιν αὐτῷ ἐμπλησθῆναι. 7.13.1 Ἐρώτησις. Διὰ τί οὐ δίδοται ἐμπλησθῆναι; Ἀπόκρισις. Ἐπίσταται ὁ κύριος τὴν ἀσθένειαν τοῦ ἀνθρώπου, ὅτι ταχέως ἐπαίρεται· διὰ τοῦτο ὑποστέλλει καὶ παραχωρεῖ γυμνασθῆναι καὶ θλιβῆναι τὸν ἄνθρωπον. εἰ γὰρ μικρὸν λαμβάνεις καὶ οὐδείς σε βαστάζει, ἀλλὰ τυφοῦσαι, πόσῳ μᾶλλον εἴ τις ἐδίδου σοι ἐμπλησθῆναι, οὐκ ἔφερέ σε οὐδείς. ἀλλὰ εἰδὼς ὁ θεὸς τὴν ἀσθένειάν σου οἰκονομεῖ σε εἰς θλίψεις, ἵνα ταπεινὸς γενήσῃ καὶ σπουδαιότερος τοῦ ἐπιζητεῖν τὸν θεόν. 7.13.2 Καὶ γὰρ κατὰ κόσμον λωτὸς εὑρὼν βαλάντιον χρυσοῦ, ἀπ' ἐλαφρίας ἤρξατο κηρύττειν· "1εὗρον βαλάντιον, πλούσιός εἰμι."2 τότε ἐκ τῆς φήμης ἤκουσεν ὁ ἀπολέσας καὶ ἀπέλαβε. καὶ πάλιν ἀπελθὼν ἄλλος πλούσιος ἀπενοήθη καὶ ἀπελάκτισεν, ἤρξατο πάντας ὑβρίζειν, ὑπεραίρεσθαί τινων, ὅθεν ἀκούσας ὁ βασιλεὺς ἐδήμευσεν αὐτοῦ τὰ ὑπάρχοντα. οὕτω καὶ εἰς τὸ πνευματικόν. μικρᾶς ἀναπαύσεως ἐὰν γεύσωνταί τινες, οὐκ οἴδασι διοικῆσαι, ἀλλὰ ἀπολλύουσι καὶ αὐτὸ ὃ ἔλαβον· πειράζει γὰρ αὐτοὺς ἡ ἁμαρτία καὶ σκοτοῖ αὐτῶν τὸν νοῦν. 7.14.1 Ἐρώτησις. Πῶς λέγει ὁ ἀπόστολος· «ἐὰν ἔχω πᾶσαν τὴν γνῶσιν καὶ πᾶσαν προφητείαν, καὶ ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι»; Ἀπόκρισις. Οὐχ οὕτως ὀφείλομεν νοεῖν, ὅτι οὐδέν ἐστιν, ἀλλὰ πρὸς ἐκείνην τὴν ἀγάπην, ἥτις ἐστὶ τελεία, ταῦτα μερικά ἐστι, καὶ ὁ ἐν τούτοις ὢν τοῖς μέτροις ἐὰν καταφρονήσῃ, συμβαίνει καὶ πίπτει, ὁ δὲ ἔχων τὴν ἀγάπην ἄπτωτός ἐστιν. ἐγὼ δέ σοι λέγω ἀνθρώπους, οὓς εἶδον, ὅτι εἰς ὅλα τὰ χαρίσματα γενόμενοι καὶ μέτοχοι πνεύματος, μὴ φθάσαντες δὲ εἰς τὴν τελείαν ἀγάπην, ἔπεσον. 7.14.2 Εἷς γάρ τις τῶν εὐγενῶν ἀποταξάμενος ἐπώλησεν αὐτοῦ τὰ ὑπάρχοντα, ἠλευθέρωσε δούλους, ὢν φρόνιμος καὶ συνετός. λοιπὸν ἦν περιβόητος ἐν πᾶσιν ἐπὶ σεμνῷ βίῳ. οὗτος ἐν τῷ μεταξὺ οἰηθεὶς περὶ ἑαυτοῦ καὶ τυφωθεὶς τέλος κατέπεσεν εἰς ἀσελγείας καὶ ῥυπαρίας καὶ μυρία κακά. 7.14.3 Ἄλλος ἐπὶ διωγμῷ ἔδωκεν ἑαυτοῦ τὸ σῶμα, καὶ ὢν ὁμολογητής, μετὰ ταῦτα εἰρήνης γενομένης ἀπελύθη καὶ ἦν ὀνομαστός, καὶ τὰ βλέφαρα αὐτοῦ βεβλαμμένα, ἐπειδὴ ἐκαπνίσθη. οὗτος λοιπὸν δοξαζόμενος καὶ καλούμενος εἰς τὰς εὐχάς, λαμβάνων ἐκ τῶν παρακειμένων σιτίων ἐδίδου τῷ παιδὶ αὐτοῦ, καὶ οὕτως ἦν ὁ νοῦς αὐτοῦ ὡς μηδέποτε ἀκούσας λόγον θεοῦ. 7.14.4 Ἄλλος ἔδωκε τὸ σῶμα αὐτοῦ ἐπὶ διωγμοὺς καὶ ἐκρεμάσθη, ἐξητάσθη, εἶτα ἐβλήθη εἰς φυλακήν. ὑπηρέτει δὲ αὐτῷ κατὰ πίστιν κανονική, ἥτις καὶ ποιήσασα συνήθειαν ἐν τῇ φυλακῇ, † ἐξέπεσεν εἰς πορνείαν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

7.14.5 Ἰδέ, ὁ πλούσιος πωλήσας αὐτοῦ τὰ ὑπάρχοντα, πῶς ἔπεσε, καὶ ὁ δοὺς τὸ σῶμα αὐτοῦ εἰς μαρτυρίαν. 7.14.6 Ἄλλος δέ τις φρόνιμος ἀσκητής, συνών μοι ἐν τῇ οἰκίᾳ καὶ μετ' ἐμοῦ εὐχόμενος, οὕτως ἦν πλούσιος ἐν τῇ χάριτι, ὅτι εὐχόμενος ἐγγύς μου κατενύγη, ὥστε με ἐκπλαγῆναι. ἔβρασε γὰρ εἰς αὐτὸν ἡ χάρις, ἐδόθη τε αὐτῷ τὸ χάρισμα τῶν ἰαμάτων καὶ οὐ μόνον τοὺς δαίμονας ἀπήλαυνεν, ἀλλὰ καὶ τοὺς δεδεμένους χεῖρας καὶ πόδας καὶ ἔχοντας πάθη δεινὰ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν ἐθεράπευεν. εἶτα ἀμελήσας καὶ δοξαζόμενος ὑπὸ τοῦ κόσμου καὶ συνηδόμενος 7.14.7 αὐτοῖς, ἐτυφώθη καὶ ἐξέπεσεν εἰς τὰ ἄδυτα καὶ βαθύτατα τῆς ἁμαρτίας. ἰδέ, καὶ ὁ ἔχων «χαρίσματα ἰαμάτων» ἔπεσεν. ὁρᾷς πῶς πρὸ τοῦ ἔρχεσθαι εἰς τὰ μέτρα τῆς ἀγάπης πίπτουσιν. ὁ γὰρ φθάσας εἰς τὴν ἀγάπην δέδεται καὶ μεμέθυσται, οὗτος καταπεπόντισται καὶ αἰχμάλωτός ἐστιν εἰς ἄλλον αἰῶνα τῆς θείας καὶ ἐπουρανίου φύσεως. 7.15.1 Ἐρώτησις. Τί ἐστιν «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν»; Ἀπόκρισις. Κατ' ἐκεῖνον τὸν καιρὸν οἱ μεγάλοι καὶ δίκαιοι βασιλεῖς καὶ οἱ προφῆται, ὅτι μὲν ἔρχεται ὁ λυτρωτής, ᾔδεισαν ἐπὶ τῶν καιρῶν αὐτῶν, ὅτι δὲ πάσχει καὶ σταυροῦται καὶ αἷμα ἐκχεῖται ἐπὶ τοῦ σταυροῦ, οὔτε ᾔδεισαν οὔτε ἤκουσαν, οὔτε ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτῶν ὅτι ἔστι βάπτισμα πυρὸς καὶ ἁγίου πνεύματος, καὶ ὅτι ἐν τῇ ἐκκλησίᾳ μέλλει προσφέρεσθαι ἄρτος καὶ οἶνος ἀντίτυπον τῆς σαρκὸς αὐτοῦ καὶ τοῦ αἵματος, καὶ οἱ μεταλαμβάνοντες ἐκ τοῦ φαινομένου ἄρτου τοῦ πνευματικοῦ τὴν σάρκα ἐσθίουσι, καὶ ὅτι οἱ ἀπόστολοι καὶ οἱ Χριστιανοὶ δέχονται τὸν παράκλητον καὶ ἐνδύονται δύναμιν ἐξ ὕψους καὶ πληροῦνται θεότητος, καὶ ὅτι συγκιρνῶνται αἱ ψυχαὶ τῶν ἁγίων τῷ ἁγίῳ πνεύματι. τοῦτο οὐκ ᾔδεισαν οἱ βασιλεῖς καὶ οἱ προφῆται οὔτε ἀνέβη αὐτῶν ἐπὶ τὴν καρδίαν. νῦν δὲ οἱ Χριστιανοὶ ἄλλως πλουτοῦσι καὶ καταποθοῦνται εἰς τὴν θεότητα, οἱ δὲ τοῦ θεοῦ δοῦλοι ὑπὸ φόβον εἰσὶ καὶ τρόμον, ἔχοντες τὴν παράκλησιν καὶ τὴν χαράν. Ἐρώτησις. Ὑπὸ ποῖον φόβον εἰσὶ καὶ τρόμον; Ἀπόκρισις. Τοῦ μὴ σφαλῆναι ἔν τινι, τοῦ συμφωνῆσαι, ὥσπερ ἵνα ᾖ τις ἔχων θησαυροὺς καὶ διοδεύῃ εἰς τόπους ληστρικούς, λοιπὸν χαίρει μὲν διὰ τὸν πλοῦτον καὶ τὸν θησαυρόν, ὑπὸ φόβον δέ ἐστι, μήπως ἐλθόντες οἱ λῃσταὶ συλήσωσιν αὐτὸν ὡς βαστάζοντα πλοῦτον ἄφατον καὶ ὡς βαστάζοντα εἰς τὰς χεῖρας τὸ αἷμα αὐτοῦ. οὕτως εἰσὶν οἱ Χριστιανοί. 7.16.2 Ἰδοὺ γὰρ ἐν τοῖς φαινομένοις πάντες ἀπεταξάμεθα καί ἐσμεν ξένοι καὶ ἀκτήμονες καὶ κοινωνίας σαρκικῆς ἐστερημένοι, λοιπὸν ἰδὲ τὸ σῶμα κεῖται εἰς εὐχὴν ὀφείλουσιν εἰπεῖν οἱ ἀδελφοί· ἆρα τῷ σώματι καὶ ὁ νοῦς συμφωνεῖ; ὥσπερ γὰρ ἐπὶ τὸ πλεῖστον οἱ τεχνῖται καὶ οἱ ἐργαστηριάρχαι ἔχουσι τὸ σῶμα ἀποδεδεμένον εἰς τὴν τέχνην, ὁμοίως καὶ τὸν νοῦν νυκτὸς καὶ ἡμέρας, οὕτω καὶ σὺ ἐπίσκεψαι σεαυτόν, ἔχων τὸ σῶμα ξένον, ἆρα ἔχεις καὶ τὸν νοῦν ἠλλοτριωμένον ἐκ τοῦ αἰῶνος τούτου, καὶ οὐ ῥέμβῃ εἰς τὸν κόσμον. καὶ γὰρ ἕκαστος κοσμικός, ἢ ὁ στρατιώτης ἢ ἔμπορος, ὅπου ἔχει τὸ σῶμα, ἐκεῖ ἔχει καὶ τὸν νοῦν ἀποδεδεμένον, καὶ ἐκεῖ ὁ αὐτοῦ ἐστι θησαυρός. «ὅπου γὰρ ὁ θησαυρός, ἐκεῖ ἔσται καὶ ἡ καρδία». 7.16.3 Λοιπὸν ὁ σὸς νοῦς εἰς ποῖον ἐστὶ θησαυρόν, ἆρα ὅλος δι' ὅλου πρὸς τὸν θεόν ἐστιν; εἰ δὲ οὐκ ἔστιν, ὀφείλετέ μοι εἰπεῖν, τί ἐστι τὸ ἐμποδίζον. ἢ ἀγνοεῖτε ὅτι πνεύματά εἰσι πονηρά; ὁ σατανᾶς γὰρ καὶ οἱ δαίμονες κατέχουσι τὸν νοῦν καὶ περισκελίζουσι τὴν ψυχήν. ὁ πολύμορφος διάβολος, ἔχων μάγγανα καὶ τρίθυρα καὶ ποικιλίαν πολλὴν κατέχει τὰς νομὰς τῆς ψυχῆς καὶ τοὺς λογισμοὺς καὶ οὐ ποιεῖ ὀρθῶς προσεύξασθαι καὶ προσεγγίσαι τῷ θεῷ. ἐπειδὴ αὐτὴ ἡ φύσις κοινωνική ἐστι πνευμάτων πονηρίας, ὁμοίως ἀγγέλων καὶ πνεύματος ἁγίου· 7.16.4 ναός ἐστι τοῦ σατανᾶ καὶ ἐὰν θέλῃ ναὸς γίνεται τοῦ ἁγίου πνεύματος. λοιπὸν ἐπισκέψασθε τὸν νοῦν ὑμῶν, ἀδελφοί, τίνος ἐστὲ κοινωνοί, ἀγγέλων ἢ δαιμόνων, τίνος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστὲ ναὸς ἢ οἰκητήριον, θεοῦ ἢ διαβόλου; ἡ καρδία ποίου θησαυροῦ μεμέστωται, τῆς χάριτος ἢ τοῦ σατανᾶ; ὥσπερ ἐὰν ᾖ οἰκία μεμεστωμένη δυσωδίας καὶ κοπριῶν, χρὴ αὐτὴν καθαρθῆναι καὶ κοσμηθῆναι καὶ πληρωθῆναι ἐκεῖ πάσης εὐωδίας καὶ θησαυρῶν· οὕτω χρὴ ἀντὶ τοῦ σατανᾶ ἅγιον πνεῦμα οἰκῆσαι καὶ ἐπαναπαυθῆναι εἰς τὰς ψυχὰς τῶν Χριστιανῶν. 7.16.5 Πλὴν οὐχ ἅπαξ ἀκούσας τις ἤδη γέγονε τοῦ ἀγαθοῦ μέρους. εἰ γὰρ ἅμα τῷ ἀκοῦσαι εὐθὺς ἐγίνετο τοῦ ἀγαθοῦ μέρους, οὐκέτι εἶχεν ἀγῶνας οὔτε καιροὺς πολέμων, ἀλλὰ ἀκαμάτως μόνον ἤκουσε καὶ ἦλθεν εἰς κατάπαυσιν καὶ τέλεια μέτρα. οὐχ οὕτως ἐστὶ τὰ πράγματα. περιαιρεῖς γὰρ τὸ θέλημα τοῦ ἀνθρώπου, τοῦτο λέγων, καὶ τὸν πόλεμον καὶ τὴν ἀντίπαλον δύναμιν οὐ λέγεις παλαίουσαν τῷ νῷ. ἡμεῖς δὲ τοῦτό φαμεν, ὅτι ὁ ἀκούων λόγον θεοῦ ἔρχεται εἰς κατάνυξιν, καὶ μετὰ τοῦτο ὑποστελλούσης τῆς χάριτος κατ' οἰκονομίαν πρὸς τὸ συμφέρον τῷ ἀνθρώπῳ ἔρχεται εἰς γυμνασίαν καὶ παιδείαν πολέμου καὶ ποιεῖ πάλην καὶ ἀγῶνα πρὸς τὸν σατανᾶν, καὶ μετὰ πολλοῦ δρόμου 7.16.6 καὶ ἀγῶνος τότε ἀποφέρεται τὰ νικητήρια καὶ γίνεται Χριστιανός. εἰ γάρ τις ἀκούσας ἀκαμάτως ἐγίνετο τοῦ ἀγαθοῦ, καὶ οἱ θεατρικοὶ καὶ οἱ πόρνοι πάντες ἂν ἐπόθουν ἀπελθεῖν εἰς τὴν βασιλείαν καὶ ζωήν. ἀλλ' οὐδεὶς αὐτοῖς δίδωσιν ἄνευ καμάτου καὶ ἀγῶνος τούτου τυχεῖν, ἐπειδὴ «στενή ἐστι καὶ τεθλιμμένη ἡ ὁδός» καὶ διὰ ταύτης τῆς τραχείας ὁδοῦ χρὴ διοδεῦσαι καὶ 7.16.7 ὑπομεῖναι καὶ θλιβῆναι, καὶ οὕτως εἰσελθεῖν εἰς τὴν ζωήν. εἰ γὰρ ἄνευ καμάτου ἦν κατορθῶσαι, οὐκέτι λίθος προσκόμματος καὶ πέτρα σκανδάλου ἦν ὁ Χριστιανισμός, οὐκέτι πίστις καὶ ἀπιστία. ποιεῖς δὲ λοιπὸν καὶ τὸν ἄνθρωπον τόνδε ἄτρεπτον εἰς τὸ ἀγαθόν, καὶ οὐ λέγεις λυτῆς αὐτὸν καὶ τρεπτῆς φύσεως· τρεπτὸν μὲν εἰς τὸ κακὸν καὶ εἰς τὸ ἀγαθόν. τῷ γὰρ δυναμένῳ τραπῆναι εἰς ἀμφότερα μέρη νόμος δίδοται, ἤγουν τῷ ἔχοντι ἐξουσίαν ποιῆσαι πόλεμον πρὸς τὴν ἐναντίαν δύναμιν. δετῇ γὰρ φύσει νόμος οὐκ ἔσται. οὔτε γὰρ ὁ ἥλιος ἢ ὁ οὐρανὸς ἢ ἡ γῆ νενομοθέτηνται, ἐπειδὴ τὰ κτίσματα δετῆς ἐστι φύσεως· ὅθεν οὔτε τιμῇ οὔτε κολάσει ὑπόκεινται. ἡ γὰρ τιμὴ καὶ ἡ δόξα ἡτοίμασται τῷ τρεπομένῳ εἰς τὸ ἀγαθόν. καὶ πάλιν ἡ γέεννα καὶ ἡ κόλασις ταύτῃ τῇ τρεπτῇ φύσει ἡτοίμασται, τῇ δυναμένῃ ἀποφυγεῖν τὸ κακὸν καὶ ῥέψαι εἰς τὸ ἀγαθὸν καὶ δεξιὸν μέρος. εἰ δὲ οὐ λέγεις αὐτὸν λυτῆς φύσεως, λοιπὸν τὸν ἀγαθὸν ἄνθρωπον οὐ ποιεῖς ἄξιον ἐπαίνου. ὁ γὰρ ἀπὸ φύσεως χρηστὸς οὐκ ἔστιν ἐπαίνου ἄξιος, εἰ καὶ ἐπιθυμητός. ἐκεῖνος γάρ ἐστιν ἐπαίνου ἄξιος ὁ ἰδίᾳ σπουδῇ μετὰ ἀγῶνος καὶ πάλης ἐπανελόμενος τὸ ἀγαθὸν ἐξ αὐτεξουσίου προαιρέσεως. 7.16.8 Ὥσπερ ἵνα ᾖ ἀκκία Περσῶν καὶ ἀκκία Ῥωμαίων, καὶ ἐξελθόντες ἐξ αὐτῶν πρῶτοι δύο νεανίσκοι ἰσοδύναμοι ποιήσωσι πάλην, οὕτως ἡ ἀντίπαλος δύναμις καὶ ὁ νοῦς ἔχουσι τὸ ἰσόρροπον κατ' ἀλλήλων καὶ τὴν ἰσοδυναμίαν. 7.16.9 Ἔχει ὁ σατανᾶς τὸ προτρέπεσθαι καὶ κολακεύειν τὴν ψυχὴν εἰς τὸ ἴδιον θέλημα, καὶ ἔχει ἡ ψυχὴ τὸ ἀντιλέγειν καὶ ἐν μηδενὶ αὐτοῦ ὑπακούειν. προτρεπτικαὶ γάρ εἰσιν ἀμφότεραι αἱ δυνάμεις, τοῦ τε κακοῦ καὶ τοῦ ἀγαθοῦ καὶ οὐκ ἀναγκαστικαί. καὶ τῇ τοιαύτῃ προαιρέσει δίδοται θεία δύναμις καὶ δύναται παλαίων λαβεῖν ὅπλα ἐξ οὐρανοῦ καὶ διὰ τοῦ ὅπλου ἐκριζῶσαι καὶ νικῆσαι τὴν ἁμαρτίαν. τὸ μὲν γὰρ ἀντιλέγειν τῇ ἁμαρτίᾳ δύναται ἡ ψυχή, τὸ δὲ ἐκριζῶσαι καὶ νικῆσαι ἄνευ θεοῦ οὐ δύναται. οἱ δὲ λέγοντες τὴν ἁμαρτίαν ὅτι ὥσπερ γίγας ἐστὶ γενναῖος, τὴν δὲ ψυχὴν ὡς παιδίον, κακῶς λέγουσιν. εἰ δὲ οὕτως ἐστὶ τὰ πράγματα ὅμοια, ὡς γίγας ἡ ἁμαρτία καὶ ὡς παιδίον ἡ ψυχή, ἀδίκως ὁ νομοθέτης νομοθετεῖ τῷ ἀνθρώπῳ ποιεῖν πόλεμον πρὸς τὸν σατανᾶν. 7.16.10 Ὁ θεμέλιος τῆς ὁδοῦ καὶ ἡ ὁδὸς ἄλλως ηὐτρέπισται, καὶ οἱ ἄνθρωποι ἀνοδίαις θέλουσιν ὁδεύειν καὶ οὐκ οἴδασιν ἐκτρεπόμενοι τῆς εὐθείας ὁδοῦ. οὗτος δέ ἐστιν ὁ θεμέλιος τὸ ἐν ὑπομονῇ πολλῇ, ἐν ἐλπίδι, ἐν ταπεινοφροσύνῃ, ἐν πτωχείᾳ πνεύματος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἐν πραότητι διοδεύειν τὴν ὁδὸν τῆς ζωῆς καὶ διὰ τούτων δύναταί τις κτήσασθαι τὴν δικαιοσύνην ἐν ἑαυτῷ· λέγομεν δὲ τὴν 7.16.11 δικαιοσύνην αὐτὸν τὸν κύριον. αἱ ἐντολαὶ τοῦ κυρίου ὥσπερ μίλιά ἐστι στήκοντα καὶ σημεῖα τῆς βασιλικῆς ὁδοῦ, ἀπαγούσης εἰς τὴν οὐράνιον πόλιν τοὺς διοδεύοντας. λέγει γάρ· «μακάριοι οἱ πραεῖς, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ ἐλεήμονες, μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται». τοῦτον εἶπε Χριστιανὸν εἶναι. εἰ δέ τις ἐν ταύτῃ τῇ ὁδῷ οὐ διοδεύει, ἀνοδίᾳ περιπατεῖ καὶ κακῷ θεμελίῳ κέχρηται. 7.17.1 Ἐρώτησις. Πῶς δύναται εἶναι πτωχὸς τῷ πνεύματι, μάλιστα ὅταν αἴσθηται ἐν ἑαυτῷ ὅτι μετεβλήθη καὶ προέκοψεν καὶ ἦλθεν εἰς γνῶσιν καὶ αὔξησιν, ἣν τὸ πρὶν οὐκ εἶχεν; Ἀπόκρισις. Ἕως ἔτι πάντα τις κτᾶται καὶ προκόπτει, οὐκ ἔστι «πτωχὸς τῷ πνεύματι», ἀλλὰ οἴεται περὶ ἑαυτοῦ. ὅταν δὲ ἔλθῃ εἰς τοιαύτην σύνεσιν καὶ προκοπήν, αὐτὴ ἡ χάρις διδάσκει αὐτὸν πτωχὸν εἶναι τῷ πνεύματι. 7.17.2 Ἐρώτησις. Τί δέ ἐστιν ἑρμηνεία τοῦ εἶναι «πτωχὸν τῷ πνεύματι»; Ἀπόκρισις. Τὸ ὄντα τινὰ δίκαιον καὶ ἐκλεκτὸν θεοῦ μὴ ἡγεῖσθαι ἑαυτὸν τίμιον, ἀλλ' ἔχειν τὴν ψυχὴν αὐτοῦ ἀναξίαν καὶ ἐξουδενωμένην καὶ μηδὲν εἰδότα μηδὲ ἔχοντα. τοῦτο δὲ ὡς φυσικὸν καὶ πηκτὸν γίνεται ἐν τῷ νῷ τοῦ ἀνθρώπου. οὐχ ὁρᾷς ὅτι ὁ προπάτωρ ἡμῶν Ἀβραὰμ ἐκλεκτὸς ὢν γῆν ἑαυτὸν ἐποίησε καὶ σποδόν, καὶ ὁ Δαβὶδ χρισθεὶς εἰς βασιλέα καὶ τὸν θεὸν μετ' αὐτοῦ ἔχων λέγει· «σκώληξ εἰμὶ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ». 7.17.3 Οἱ οὖν θέλοντες τούτων εἶναι συγκληρόνομοι καὶ συμπολῖται τῆς πόλεως τῆς ἐπουρανίου καὶ συνδοξασθῆναι αὐτοῖς ταύτην ὀφείλουσιν ἔχειν τὴν ταπεινοφροσύνην καὶ μὴ οἴεσθαι ἐν ἑαυτοῖς εἶναί τι, ἀλλ' ἔχειν συντετριμμένην τὴν καρδίαν. εἰ γὰρ καὶ διαφόρως εἰς ἕκαστον τῶν Χριστιανῶν ἐνεργεῖ ἡ χάρις καὶ διαφορά ἐστι μεγάλη, ὅμως δὲ μιᾶς πόλεως εἰσὶν οἱ πάντες· ὁμόψυχοι, ὁμόγλωττοι ἐπιγινώσκουσιν ἀλλήλους. ὥσπερ μέλη πολλὰ ἐν ἑνὶ σώματι, μία δὲ ψυχὴ ἐν πᾶσιν ἡ κινοῦσα, οὕτως ἓν πνεῦμα ἐνεργεῖ εἰς πάντας διαφόρως, μιᾶς δέ εἰσι 7.17.4 πόλεως, μιᾶς γλώττης. πάντες γὰρ οἱ δίκαιοι τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν διώδευσαν διωκόμενοι, «κακουχούμενοι», «ἐν αἰγείοις δέρμασιν», «ἐν σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς». ὁμοίως δὲ οἱ ἀπόστολοι· «ἕως τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ ὀνειδιζόμεθα καὶ ἀστατοῦμεν». ὧν οἱ μὲν ἀπεκεφαλίσθησαν, οἱ δὲ ἐσταυρώθησαν, ἄλλοι διαφόρως ἐλιθοβολήθησαν. αὐτὸς δὲ ὁ δεσπότης προφητῶν καὶ ἀποστόλων ὥσπερ ἐπιλαθόμενος τῆς θεϊκῆς δόξης πῶς διώδευσε, τύπος ἡμῶν γενόμενος δι' ὕβρεων καὶ ἀκάνθινον στέφανον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐπέθηκαν, ἐμπτύσματα ἐπήγαγον, ῥαπίσματα, σταυρόν. 7.17.5 Εἰ ὁ θεὸς οὕτως διώδευσε τύπον σοι δεικνύς, ὀφείλεις καὶ σὺ μιμητὴς αὐτοῦ γενέσθαι. καὶ γὰρ οἱ ἀπόστολοι καὶ προφῆται οὕτως διώδευσαν, καὶ ἡμεῖς, εἰ θέλομεν τῷ θεμελίῳ τοῦ κυρίου καὶ τῶν ἀποστόλων ἐποικοδομηθῆναι, ὀφείλομεν μιμηταὶ αὐτῶν γενέσθαι. λέγει γὰρ ὁ ἀπόστολος Παῦλος ἐν πνεύματι ἁγίῳ. «μιμηταί μου γίνεσθε, ἀδελφοί, καθὼς κἀγὼ Χριστοῦ». εἰ δὲ ἀγαπᾷς δόξαν ἀνθρώπων καὶ προσκυνεῖσθαι θέλεις καὶ ἀνάπαυσιν ζητεῖς, ἐξετράπης τῆς ὁδοῦ τοῦ κυρίου. χρὴ γάρ σε συσταυρωθῆναι τῷ σταυρωθέντι, συνταφῆναι τῷ παθόντι, ἵν' οὕτω συνδοξασθῇς τῷ δοξασθέντι. ἀνάγκη γὰρ τὴν νύμφην συμπαθεῖν τῷ νυμφίῳ καὶ οὕτως γενέσθαι κοινωνὸν καὶ συγκληρονόμον τῷ νυμφίῳ. οὐκ ἐγχωρεῖ γὰρ ἄνευ παθημάτων καὶ τῆς τραχείας ὁδοῦ καὶ τῆς στενῆς καὶ τεθλιμμένης εἰσελθεῖν τινα εἰς τὴν πόλιν τῶν ἁγίων καὶ ἀναπαυθῆναι καὶ συμβασιλεῦσαι τῷ βασιλεῖ Χριστῷ εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν. 7.18.1 Οὐκ ὀφείλουσιν οἱ Χριστιανοὶ ἀσχολῆσαι τὸν νοῦν αὐτῶν μόνον εἰς τὴν εὐχήν, ἀλλὰ καὶ εἰς ἕκαστα κατορθώματα· οἷον κολάσαι ὀφείλουσι πλεονεξίαν, φιλαργυρίαν,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γαστριμαργίαν, θυμόν, ὑπερηφανίαν, δόλον καὶ ἄλλα πολλὰ ἀκόλουθα τούτοις. οἱ πρὸς τούτων τῶν ὀλίγων σπουδάζοντες πρὸς ἕκαστα πάθη ἀντιστῆναι, ἀποστραφῆναι, μισῆσαι, γενναίως ὀργισθῆναι τῷ θελήματι κερδαίνουσι χιλιάδασδιὰ ταῦτα οὖν προκόπτουσιν οἱ προκόπτοντες. ἐὰν τῷ νοῒ κρίνῃ τις πολεμεῖν τοῖς πάθεσι τοῖς προειρημένοις, εὐθέως ἀντιλαμβάνεται αὐτοῦ ὁ κύριος. 7.18.2 Ὁ καταβαίνων εἰς πόλεμον ὀφείλει θαρσηρὰν ἔχειν ψυχήν, καὶ εὐθέως τομῶς ἢ ταχέως ἐπιτυγχάνει. δεῖ δέ φησι τὸ ὅπλον, ὃ ὀφείλει δοθῆναι ἀνδρὶ πολεμιστῇ, ἐν παντὶ γενναῖον εἶναι, ὥστε πάσας τὰς ἡδονὰς καταπατῆσαι καὶ τὰ πάθη τοιούτῳ ἀνδρὶ ἐπιτηδεύει τὸ ὅπλον ταύτῃ τῇ ὁδῷ διοδεῦσαι ὀφείλεις, ἀποστραφεὶς φιλαργυρίαν, δόξαν, γαστριμαργίαν, ἀργίαν, μῖσος, τῦφον τοιούτου ἀνδρὸς χρῄζει τὸ ὅπλον. τότε εἰσβαίνει εἰς τὴν πόλιν τῶν ἁγίων. εἰ ᾔδειμεν ὅτι ἐν τοσαύτῃ ἀναλογίᾳ κατὰ τὸν κανόνα ἑκάστου ἡ τιμὴ ἀποδίδοται, ἡμεῖς οὐκ ἂν ἐκάμνομεν εἰ ᾔδειμεν ὅτι οὕτως ἐστὶ παραδοῦναι ἑαυτοὺς εἰς θάνατον, οὐκ ἂν ἐφεισάμεθα οὐδὲ ἀσχολῆσαι ἠνεσχόμεθα τὸν νοῦν εἰς τὸν αἰῶνα τοῦτον καὶ χαυνοῦν εἰς τὰ πάθη. 7.18.3 Βλέπε, ψυχή, ποῦ εἶ, μετὰ τοῦ ἐπουρανίου νυμφίου Χριστοῦ ἢ μετὰ τοῦ σατανᾶ τοῦ βουλομένου ἀφανίζειν τὸ γένος τῶν ἀνθρώπων. τὸ σῶμα τοῦ ἀνθρώπου ναός ἐστι τοῦ θεοῦ, καὶ εἴ τις αὐτὸ φθείρει, ὁ κύριος τὸν φθείραντα αὐτὸ φθερεῖ. καὶ ἡ καρδία τοῦ ἀνθρώπου θυσιαστήριον ἐστὶ τοῦ ἁγίου πνεύματος, καὶ εἰ μή ἐστι καθαρὸν καὶ ἅγιον τὸ θυσιαστήριον, ἐκτὸς ἐπιθυμίας καὶ μίσους καὶ ὀργῆς καὶ θυμοῦ, ἀφίησιν ὁ κύριος τὸ θυσιαστήριον καὶ ἐξέρχεται. μετὰ τοῦ ναοῦ τοῦ κυρίου καὶ τὸ θυσιαστήριον ἁγιάσωμεν, ἵνα λάμψῃ ἡ λαμπὰς ἡμῶν καὶ εἰσέλθωμεν εἰς τὸν αὐτοῦ νυμφῶνα. καλόν ἐστιν ἁγιάσαι ἡμᾶς τὸν ἔξω ἄνθρωπον, ἵνα μὴ φθείρῃ ἡμᾶς ὁ κύριος ἐν τῇ ἡμέρα τῆς κρίσεως. καλὸν δὲ ἔστι καὶ τὸ ἁγιάσαι τὸ θυσιαστήριον μετὰ τοῦ ναοῦ, ἵνα εἰσέλθωμεν εἰς τὸν νυμφῶνα αὐτοῦ καὶ ἴδωμεν αὐτόν. ὁ γὰρ ἁγιάζων τὸν ἔξω ἄνθρωπον μόνον ἀπελεύθερός ἐστι καὶ οὐ δύναται κληρονομῆσαι τὴν βασιλείαν· τὰ τέκνα τοῦ θεοῦ κληρονομεῖ τὴν βασιλείαν. ἀρθήτω ἀφ' ἡμῶν ἡ ἐπιθυμία καὶ ἡ πονηρία, ἵνα εἰσέλθωμεν εἰς τὸν νυμφῶνα. εἰ ἔστιν ἡμῖν ἐπιθυμία ἢ μῖσος ἢ ὑψηλοφροσύνη, ἐκ τοῦ πονηροῦ ἐστι, ταῦτα ὅπλα ἐστὶ τοῦ σκότους, καὶ ἐν ἐκείνῳ τῷ σκότει οὐ φαίνεται ὁ νυμφών, καὶ οὐδεὶς δύναται ἐν τῷ σκότει εἰσελθεῖν εἰς αὐτόν. 7.18.4 Ἀποστρέψωμεν ἐκ τῆς καρδίας ἡμῶν τὸ ὂν ἐν αὐτῇ σκότος, ἵνα λάμψῃ ἡ λαμπὰς ἡμῶν καὶ εἰσέλθωμεν εἰς τὸν νυμφῶνα. ζητήσωμεν διαπαντὸς τὸν νυμφίον καὶ τὸ πρόσωπον αὐτοῦ, ἵνα φανῇ ἡ λαμπὰς ἡμῶν καὶ εἰσέλθωμεν εἰς τὸν νυμφῶνα. εἰσὶν ἐν ἡμῖν καρποὶ ἀγάπης ἐκ καθαρᾶς καρδίας, οὗτοί εἰσιν ὅπλα τοῦ κυρίου, ὅ ἐστιν ἡ λαμπάς. ταύτῃ τῇ λαμπάδι ὁρῶμεν τὸν νυμφῶνα ἐκείνου τοῦ νυμφίου καὶ εἰ μὴ αὐτὸς λάμψῃ ἐν ταῖς καρδίαις ἡμῶν, ὅς ἐστι λαμπὰς καὶ φῶς, καὶ φωτίσῃ ἐν τῷ φωτί, εἰσελθεῖν εἰς τὸν νυμφῶνα καὶ ἰδεῖν αὐτὸν οὐ δυνάμεθα. τοὺς καρποὺς τοῦ σατανᾶ ἀπωσώμεθα ἐκ τῆς καρδίας ἡμῶν, ἵνα λάμψῃ ἡ λαμπὰς ἡμῶν καὶ ἐν αὐτῇ ἴδωμεν τὸν νυμφίον ἐν τοῖς τῆς καρδίας ἡμῶν ὀφθαλμοῖς. ὁ πονηρὸς δεικνύει ἡμῖν κοινὸν καὶ ἀκάθαρτον φῶς, 7.18.5 καὶ οὕτως ὁρῶμεν, ὅτι ὁ πονηρὸς κοινὸς καὶ ἀκάθαρτός ἐστι. καθαρίσωμεν οὖν ἑαυτοὺς ἐκ τῆς ἀκαθαρσίας τοῦ πονηροῦ, ἵνα ἐν τῇ λαμπάδι γενόμενοι πάντας ἀνθρώπους ὁρῶμεν καθαρούς. φωτιζέσθω τοίνυν τὸ σκότος ἡμῶν τῷ φωτὶ τοῦ σωτῆρος, ἵνα πάντα ἄνθρωπον καθαρὸν ἴδωμεν καὶ τὸν μὴ ὄντα καθαρόν. ἀποπλύνωμεν τοῖς δάκρυσι τὸ σκότος ἡμῶν καὶ ταῖς εὐχαῖς ἐκμάξωμεν καὶ τῇ πρὸς πάντας ἀγάπῃ, ἵνα ἴδωμεν ἅπαντας καθαρούς. πάντα καθαρά ἐστι τῷ καθαρῷ καὶ ἅγια καὶ τὰ μὴ ὄντα ἅγια. ἡ γὰρ καρδία αὐτοῦ πέπλυται καὶ ἔλαμψεν ἡ λαμπὰς αὐτοῦ ἐν τῷ λάμψαντι ἐν αὐτῷ φωτί. 7.18.6 Μετάστησον ἡμᾶς, κύριε, ἐκ τοῦ σκότους εἰς τὸ φῶς, πρὶν ἀπέλθωμεν καὶ οὐκέτι οὐ μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὦμεν. εἰ ἐσπιλωμένοι εἰσὶν οἱ τῆς καρδίας ἡμῶν πόδες φθόνῳ ἢ μίσει ἢ ὀργῇ ἢ θυμῷ, τούτοις οὐ δυνάμεθα εἰσελθεῖν εἰς τὸν νυμφῶνα καὶ ἔξω μενοῦμεν. πέμψει ἐν ἡμῖν ὁ κύριος τὸ φῶς αὐτοῦ καὶ παραμυθήσεται ἡμᾶς τῇ ἀγάπῃ αὐτοῦ καὶ ταπεινώσει τῇ ἐπὶ πάντων. εἰ τοὺς τῆς καρδίας πόδας καταμάξωμεν τῇ ταπεινώσει καὶ μετὰ πάντων εἰρηνευθείημεν καὶ πάντας ἀγαθοποιήσωμεν, φεύξεται τὸ σκότος ἡμῶν τῷ φωτὶ τῆς λαμπάδος ἡμῶν, καὶ ἐν αὐτῇ ὀφθήσεται ὁ νυμφὼν τοῦ νυμφίου καὶ ἡμῶν μὴ κρουόντων ἀφ' ἑαυτοῦ ἀνοιγήσεται, καὶ εἰς ἀπάντησιν ἡμῖν ἐλεύσεται καὶ εἰσάξει εἰς μέσον αὐτοῦ. τῇ ἀγάπῃ καὶ τῇ ταπεινώσει εἰσέλθωμεν εἰς τὸν νυμφῶνα καὶ τῇ καθαρᾷ καρδίᾳ ἴδωμεν τὸν νυμφίον. εἰ τὰ χείλη τῆς καρδίας ἡμῶν λαλεῖ ὑψηλοφροσύνην καὶ λέγει τούτῳ· "1μὴ προσεγγίσῃ τὰ ἱμάτιά μου"2, ἄνθρωπος γάρ ἐστι κοινὸς καὶ ἀκάθαρτος καὶ ἄνομος, ἐν τούτοις οὐκ ἀφίησιν ὁ νυμφίος ἐκεῖνον εἰσελθεῖν τὸν ὑψηλόφρονα οὐδὲ δοξάσει αὐτόν, καὶ οὐ δύναται εἰς τὸν νυμφῶνα εἰσελθεῖν μετ' ἐκείνου 7.18.7 τοῦ ταπεινοῦ. ἐπὶ πάντων ἑαυτοὺς ταπεινώσωμεν καὶ μετὰ πάντων εἰρηνεύσωμεν, ἵνα ἴδωμεν ἐκεῖνον τὸν νυμφίον, οὐ τὸ εἶδος τίμιον καὶ ταπεινόν. εἰ τὰ χείλη τῆς καρδίας ἡμῶν λαλεῖ τὰ καλὰ περὶ πάντων, ἐν τούτοις δοξάσωμεν τὸν κύριον τῆς δόξης τῷ φωτί. εἰ πεπλήρωται τὸ στόμα καὶ τὰ χείλη τῆς καρδίας ἡμῶν καὶ ἐν αὐτῇ καθορᾶται ὁ νυμφὼν τοῦ νυμφίου καὶ τὴν θύραν ἡμῖν ἀνοίγει καὶ εἰς ἀπάντησιν ἡμῶν ἔρχεται. μὴ γνῶμεν τὴν πονηρίαν, ἵνα ἀναφθῇ ἡ λαμπὰς ἡμῶν καὶ εἰσέλθωμεν εἰς τὸν νυμφῶνα καὶ ἴδωμεν τὸν 7.18.8 νυμφίον. εἰ ἐσπίλωται ἡ χεὶρ τῆς καρδίας ἡμῶν τοῖς κακοῖς, οἷς ὁ πολέμιος παλαίει ἐν τῷ σκότει, τὴν θύραν τοῦ νυμφῶνος ἀνοῖξαι οὐ δύναται, καὶ εἰ μὴ ἀποπλύνηται τοῖς δάκρυσι καὶ τῇ πρὸς πάντας ἀγάπῃ, ἀνοῖξαι τὴν θύραν τοῦ νυμφῶνος καὶ εἰσελθεῖν εἰς τὸν νυμφῶνα πρὸς τὸν νυμφίον οὐ δύνασθε. τοῖς δάκρυσι τῆς εὐχῆς τὴν καρδίαν καθάρωμεν, ἵνα τὴν θύραν τοῦ νυμφῶνος ἀνοίξωμεν καὶ εἰσέλθωμεν εἰς αὐτόν. εἰ τῇ ἐπιθυμίᾳ σέσηπται ἡ καρδία τινός, ὁ πονηρὸς ἀλλοιοποιεῖ τὴν καρδίαν καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτὸς ἀμαυροῖ τῇ ἀκαθαρσίᾳ καὶ σβεννύει τὴν λαμπάδα αὐτοῦ τοῦ φωτός. καὶ ἐὰν μὴ ἀποπλύνῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτοῦ ἐκ τῆς ἐπιθυμίας, ἐν τῷ σκότει 7.18.9 μένει καὶ ἐστέρηται τοῦ φωτός. ἡ καρδία ἡμῶν ἤτω παρθένος καὶ καθαρὰ καὶ ἁγία, ἵνα ἴδωμεν ἐκεῖνον, οὗ ἡ καρδία ἐστι παρθένος καὶ ἁγία. εἰ δέ τις ταπεινοῦται ἐπὶ πάντων καὶ πάντας ἀγαπᾷ καὶ ἀγαθοποιεῖ, λάμψει ἐν τῇ καρδίᾳ αὐτοῦ ὁ κύριος καὶ φωτίσει αὐτὸν καὶ ἐν ἐκείνῃ τῇ λαμπάδι τοῦ φωτὸς ἀπελεύσεται εἰς τὸν νυμφῶνα καὶ εἰσελεύσεται καὶ ὄψεται τὸν νυμφίον καὶ συναριστήσει, καὶ ὁ νυμφίος συναριστήσει αὐτῷ. τὰ καλὰ ἐργαζέσθω ἡμῶν 7.18.10 ἡ καρδία πρὸς πάντας, ἵνα τῇ καθαρᾷ καρδίᾳ ἡμῶν ἴδωμεν τὸν νυμφίον. εἰ δέ τις ἐπαίρεται κατά τινος ὄντος ἐπὶ τῆς γῆς καί τινα τὸν ἐν αὐτῇ ὄντα μισεῖ, ὁ πονηρὸς ἀμαυροῖ τὴν καρδίαν αὐτοῦ ἐν τῷ σκότει καὶ ἐν ἐκείνῃ τῇ λαμπάδι τῆς σκοτίας ἀτενίσαι ἐκείνῳ τῷ φωτὶ τοῦ νυμφίου οὐ δύναται οὐδὲ τῇ δόξῃ πάντων τῶν ἁγίων αὐτοῦ ἡ καρδία ἡμῶν παρθένος ἤτω καὶ ἁγία, ἵνα ἴδωμεν τὸν νυμφίον, οὗ ἡ καρδία ἐστὶ παρθένος καὶ ἁγία.

## 8.τ.1 ΛΟΓΟΣ Η΄.

8.1.1 Καλόν ἐστιν ἡ νηστεία καὶ ἡ ἀγρυπνία καὶ ἡ ξενιτεία, ἀλλὰ ταῦτα πολιτείας μὲν ἀκμήν ἐστιν ἀγαθῆς, πλὴν ἡ τάξις τῶν Χριστιανῶν ἐσωτέρα ἐστὶ τούτων καὶ οὐκ ὀφείλει τις ἐν τούτοις τὴν πεποίθησιν ἔχειν. συμβαίνει δὲ ὅτι εἰσί τινες καὶ χάριτος μέτοχοι καὶ ἡ κακία ἔτι ἔσω οὖσα τεχνάζεται καὶ παραχωρεῖ ἑκοῦσα καὶ οὐκ ἐνεργεῖ,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλὰ ποιεῖ νομίσαι τὸν ἄνθρωπον, ὅτι ἐκαθαρίσθη ὁ νοῦς αὐτοῦ, καὶ λοιπὸν φέρει τὸν ἄνθρωπον εἰς οἴησιν ὅτι· τέλειος εἶ Χριστιανός. καὶ μετὰ ταῦτα ἐπὰν νομίσῃ ὁ ἄνθρωπος, ὅτι ἐλεύθερός ἐστι καὶ ἀμεριμνήσῃ, τότε ληστρικῷ τρόπῳ ἐπέρχεται αὐτῷ ἡ κακία ἔγκρυμμα ποιοῦσα καὶ πειράζει 8.1.2 αὐτὸν καὶ καταφέρει εἰς τὰ κατώτατα τῆς γῆς. εἰ γὰρ οἱ ἄνθρωποι εἴκοσι ἐτῶν ὄντες λῃσταὶ ἢ στρατιῶται κατὰ πολεμίων οἴδασι τεχνάζεσθαι καὶ ὑποκαθέζονται καὶ ποιοῦσιν ἔγκρυμμα καὶ λαμβάνουσι τὰ νῶτα τῶν ἐχθρῶν καὶ περικυκλοῦντες αὐτοὺς ἀθρόως ἀποκτένουσι, πόσῳ μᾶλλον ἡ κακία οὖσα τοσούτων χιλιάδων ἐτῶν καὶ τοῦτο ἔργον ἔχουσα τὸ πῶς ἀπολέσει τὰς ψυχάς, οἶδεν ἔγκρυμμα ποιεῖν ἐν τῇ καρδίᾳ καὶ κατὰ καιρούς τινας μὴ ἐνεργεῖν, ἵνα ἐνέγκῃ τὴν ψυχὴν εἰς οἴησιν τελειότητος; 8.1.3 Ὁ δὲ θεμέλιος τοῦ Χριστιανισμοῦ οὗτός ἐστιν, ἵνα ὅσας ἐὰν ποιήσῃ τις δικαιοσύνας, μὴ ἐπαναπαυθῇ αὐταῖς μηδὲ ἔχῃ αὐτὰς μεγάλας, ἀλλ' ἵνα ᾖ πτωχὸς «τῷ πνεύματι», καὶ ἐὰν γένηται μέτοχος χάριτος, μὴ νομίσῃ ἑαυτὸν «κατειληφέναι» καὶ οἰηθῇ εἶναί τι καὶ ἄρξηται διδάσκειν, ἀλλ' ἵνα ὢν ἐν καλαῖς πολιτείαις, νηστεύων, ξενιτεύων, ἀγρυπνῶν, εὐχόμενος, μέτοχος ὢν χάριτος μὴ ἡγήσηται ἑαυτὸν τί εἶναι, ἀλλ' ἵνα ἔχῃ ἐξουδενωμένον ἑαυτὸν καὶ μὴ ἡγήσηται τὴν ψυχὴν αὐτοῦ τιμίαν, ἀλλὰ τότε μάλιστα, ὅταν ἀρχὴ χάριτος γένηται αὐτῷ, ἵνα ἔχῃ τὸν πόνον, τὴν δίψαν καὶ τὴν πεῖναν, ἵνα μὴ ᾖ κεκορεσμένος καὶ μὴ ἔχῃ ἑαυτὸν δίκαιον ἢ πλούσιον ἐν χάριτι, ἀλλ' ἵνα ᾖ πενθῶν καὶ δακρύων. 8.1.4 Ὃν τρόπον ἵνα ᾖ μήτηρ καὶ ἔχῃ υἱὸν μονογενῆ καὶ παιδεύσῃ αὐτόν, καὶ ὅταν γένηται ἀνὴρ καὶ συμβῇ αὐτὸν ἀποθανεῖν, λοιπὸν ὅσοι ἂν ὦσιν παραμυθούμενοι τὴν μητέρα, μᾶλλον ἐπεγείρουσιν αὐτῇ τὸ πένθος καὶ ἀπαραμύθητός ἐστιν· οὕτως χρὴ κλαίειν καὶ τὸν Χριστιανὸν τὴν πτῶσιν αὐτοῦ, ἵνα ἔχῃ τὸ πένθος ἄπαυστον καὶ ἀδιάλειπτον δάκρυον· πρὸ πάντων, ἵνα ἔχῃ συντετριμμένην καρδίαν. 8.1.5 Ὥσπερ δὲ ἵνα ᾖ οἶκος βασιλικὸς καὶ παλάτιον βασιλέως καὶ ἔχῃ διαίτας πολλὰς καὶ αὐλὰς διαφόρους καὶ πρόθυρα πολλά, οἴκους καὶ κουβούκλια πολλὰ καὶ ἐσωτέρους οἴκους, ὅπου μένει ὁ βασιλεὺς καὶ ἡ πορφύρα καὶ οἱ θησαυροὶ αὐτοῦ ἀπόκεινται· λοιπὸν ὁ εἰσερχόμενος εἰς τὰς ἐξωτέρας αὐλὰς ἢ διαίτας μὴ νομίσῃ, ὅτι ἤδη εἰς τοὺς ἐσωτέρους οἴκους εἰσῆλθεν, ὅπου ἡ δόξα τοῦ βασιλέως καὶ ἡ πορφύρα καὶ οἱ θησαυροί. οὕτω καὶ εἰς τὸ πνευματικόν· οἱ νηστεύοντες καὶ οἱ ἀγρυπνοῦντες ἢ ψάλλοντες ἢ εὐχόμενοι μὴ νομίσωσιν, ὅτι ἤδη εἰσῆλθον εἰς τὴν κατάπαυσιν, ὧδε ἀκμὴν εἰς τὰ πρόθυρα καὶ εἰς τὰς αὐλὰς εἰσέρχονται, 8.1.6 οὐχὶ ὅπου ἡ πορφύρα καὶ οἱ θησαυροί· ἐκεῖ γὰρ ἀκμὴν οὐκ εἰσῆλθον. οὐκ ὀφείλουσιν οὖν οἱ ἀδελφοὶ τῇ ἔξωθεν πολιτείᾳ θαρσεῖν καὶ λέγειν, ὅτι ἐσμέν τινες. εἰ δὲ καὶ μέτοχος χάριτος γένηταί τις, οὐκ ὀφείλει οἰηθῆναι ὡς καταλαβὼν ἢ γενόμενος ἐγγύτατος βασιλέως· ἀκμὴν γὰρ εἰς τοὺς ἐξωτέρους οἴκους διακινεῖ. 8.2.1 Ἐρευνᾶν οὖν ὀφείλει ἕκαστος, εἰ εὗρεν ἐν τῷ ὀστρακίνῳ σκεύει τὸν θησαυρόν, εἰ ἐνεδύσατο τὴν πορφύραν τοῦ πνεύματος, εἰ εἶδε τὸν βασιλέα Χριστὸν καὶ ἀναπαύθη. ἡ γὰρ ψυχὴ οὕτως ἐστίν· ἔχει βάθος τι καὶ μέλη πολλά, καὶ λοιπὸν ἡ ἁμαρτία ἐπεισελθοῦσα κατέσχεν αὐτῆς ὅλα τὰ μέλη καὶ τὰς νομὰς τῆς καρδίας. εἶτα ἐπιζητοῦντος τοῦ ἀνθρώπου ἔρχεται ἡ χάρις πρὸς αὐτὸν καὶ 8.2.2 κατέχει εἰ τύχοι δύο μέλη τῆς ψυχῆς. ὁ οὖν ἄπειρος παρακαλούμενος ὑπὸ τῆς χάριτος νομίζει, ὅτι ἤδη ἐλθοῦσα ἡ χάρις ὅλα τὰ μέλη τῆς ψυχῆς κατέσχε καὶ ἐξεριζώθη ἡ ἁμαρτία· τὸ δὲ πλεῖστον μέρος ὑπὸ τῆς ἁμαρτίας κρατεῖται καὶ ἓν μέρος ὑπὸ τῆς χάριτος, καὶ ὑποκλέπτεται καὶ οὐκ οἶδεν. 8.2.3 ἔστι γὰρ ἡ χάρις πολλάκις ἐνεργοῦσα ἀδιαλείπτως, ὃν τρόπον ὀφθαλμὸς πάντοτε πέπηκται ἐν τῷ σώματι καὶ ἡ ἁμαρτία σύνεστιν ὑποκλέπτουσα τὸν νοῦν, καὶ ὁ ἀδιάκριτος ὡς ἤδη καταλαβὼν οἴεταί τι περὶ ἑαυτοῦ καὶ τυφοῦται ὡς ἐλευθερωθείς. οὐχ οὕτω δέ ἐστι τὰ πράγματα. καθὼς γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προεῖπον, ἔγκρυμμα ποιεῖ ὁ σατανᾶς καιρούς τινας μὴ ἐνεργῶν, ἵνα ποιήσῃ νομίσαι τὸν 8.2.4 ἄνθρωπον, ὅτι λοιπὸν καθαρός ἐστι καὶ τέλειος. μὴ ὁ φυτεύων ἀμπελῶνα εὐθέως λαμβάνει σταφυλὴν ἢ γεωργεῖ οἶνον; καὶ ὁ σπείρων τὰ σπέρματα ἐν τῇ γῇ ἤδη ἐθέρισε καὶ ἔλαβε καρποὺς ἄνευ πόνων; καὶ τὸ γεννώμενον παιδίον εὐθέως δύναται εἰς ἄνδρα τέλειον ἐλθεῖν; ἢ ὁ στρατευόμενος τήρων ἤδη ἐγένετο ἀξιωματικός; δεῖ γὰρ αὐτὸν πρῶτον κοπιάσαι καὶ εἰσελθεῖν εἰς τὸν πόλεμον καὶ λαβεῖν τὰ νικητήρια καὶ στεφανωθῆναι, καὶ ὁ μνηστευόμενος λαβεῖν γυναῖκα ἤδη πρὸ τοῦ ἀρραβῶνος ἐκοινώνησεν αὐτῇ; οὐχ οὕτως ἐστίν. 8.3.1 Καλὸν οὖν ἐστιν ἡ ἀκτημοσύνη καὶ ἡ ψαλμωδία καὶ ἡ νηστεία καὶ ἡ ἀγρυπνία καὶ τὸ λαβεῖν χάριν θεοῦ. ἀκμὴν οὔπω ἤρξατο, ὡς χρή, σκάπτειν καὶ τιθέναι θεμέλιον, καὶ ἐν τούτοις ὤν τις ὡς ἤδη ἀνεπίληπτος εἰς τὰ ἔξω καὶ μέτοχος χάριτος λοιπὸν οἴεται περὶ αὐτοῦ καὶ ἔχει τιμίαν τὴν ψυχὴν αὐτοῦ ὁ τοιοῦτος; ἀπόβλεψον εἰς τὸν Ἰησοῦν ἀπὸ οἵας δόξηςυἱὸς ὢν θεοῦ καὶ θεόςεἰς ὁποῖα πάθη καὶ ἀτιμίαν καὶ σταυρὸν κατῆλθε. διὰ ταύτην οὖν τὴν ταπεινοφροσύνην ὑπερυψώθη ἐν δεξιᾷ τοῦ πατρὸς καθεσθείς. καὶ ὁ ὄφις ὑπέσπειρε τῷ Ἀδὰμ ἐξ ἀρχῆς ὕψωμα, ὅτι ὡς θεὸς γίνῃ, καὶ διὰ ταύτης τῆς ὑψηλοφροσύνης, 8.3.2 ἴδε εἰς ποίαν ἀτιμίαν κατῆλθε τὸ γένος τοῦ Ἀδάμ. ζητῶ δὲ ἄνθρωπον πτωχὸν τῷ πνεύματι καὶ οὐχ εὑρίσκω. ὥσπερ ἵνα ᾖ τις πλούσιος ἔχων ἐν τῷ οἴκῳ αὐτοῦ θησαυροὺς καὶ ὡς ἐπιδεόμενος καὶ πτωχὸς παρὰ πάντων ζητεῖ· οὕτως εἰσὶν οἱ Χριστιανοί, ἔχοντες χάριν πλουσίως εἰς τὸν θεόν, πτωχοὶ δέ εἰσι 8.3.3 τῷ πνεύματι καὶ ὡς μηδὲν ἔχοντες εἰσί. πρὸς λόγον εἰσὶν ἑκατὸν λίτραι χρυσίου, ἃς ὀφείλει κτήσασθαί τις· λαβὼν οὖν πέντε λίτρας ἐκορέσθη. εἰσὶ δέ τινες πρὸς λόγον δέκα οὐγκίας ἔχοντες τῆς χάριτος καὶ ποιοῦσιν αὐτὰς ἑκατὸν καυχώμενοι, καὶ εἰσὶ πολλάκις πέντε οὐγκίας ἔχοντες τῆς ἁμαρτίας καὶ ποιοῦσιν αὐτὰς ἡμιούγκιον· τοῦτο δὲ αὐτοῖς συμβαίνει κατὰ ἄγνοιαν, ὅτι ἐν αὐτῇ τῇ χάριτι ὑποκλεπτόμενοι οὐκ οἴδασιν, ἢ κατὰ κενοδοξίαν ποιοῦσιν αἰσχυνόμενοι εἰπεῖν, ὅτι ἐνεργεῖ τὸ κακόν. ἤδη γὰρ κηρύττουσιν ἑαυτοὺς τελείους, τὸ δίκαιον δὲ δεῖ ποιεῖν τὸν ἄνθρωπον, λέγειν μὲν καὶ τὰ τῆς χάριτος, ὁμολογεῖν δὲ καὶ τὴν ἐνέργειαν τῆς ἁμαρτίας. ψεύδεται γὰρ ὁ τοιοῦτος λέγων, ὅτι καθαρὰν ἔχω τὴν συνείδησιν. οὐχ οὕτω γάρ ἐστι τὰ πράγματα, ὡς ἅμα τῷ τὴν χάριν ἐπιδημῆσαι 8.3.4 ἤδη καθαρὸν γενέσθαι τὸν ἄνθρωπον. παραδίδοται γὰρ τοῖς πολεμίοις καὶ τοῖς πειρατηρίοις εἰς γυμνασίαν καὶ παιδείαν, ὃν τρόπον καὶ ὁ Ἰὼβ ἐν τῷ πειρασμῷ. «συνεργεῖ γὰρ τῷ ἀγαθῷ τὸ κακὸν προαιρέσει οὐ καλῇ». τὸν δὲ Χριστιανὸν δεῖ ἔχοντα πέντε οὐγκίας τῆς ἁμαρτίας λέγειν, ὅτι "1εἴκοσι ἔχω καὶ ὅλος εἰμὶ πεπληρωμένος τοῦ πονηροῦ"2, καὶ ἔχοντα πρὸς λόγον εἴκοσι οὐγκίας τοῦ ἀγαθοῦ, λέγειν ὅτι "1ἡμιούγκιον ἔχω."2 εἰ δὲ τοῦτο κατὰ κενοδοξίαν αἰσχύνεται εἰπεῖν κἂν τὸ δίκαιον εἴπῃ, ὁμολογησάτω καὶ τὴν ἐνέργειαν τῆς ἁμαρτίας καὶ τὴν ἐνέργειαν τῆς χάριτος, ἀμφότερα τὰ μέρη συνεῖναι ἑαυτῷ. 8.4.1 Καθὼς οὖν προεῖπον περὶ τῆς ψυχῆς ὅτι ἔχει βάθος, ὑποδείγματι χρησώμεθα διαγράφοντες αὐτῆς τὰ μέλη. ὥσπερ ἵνα ᾖ ἥλιος καὶ ὦσιν ἐξ αὐτοῦ ἀκτῖνες πολλαί, ἢ ἵνα ᾖ δένδρον ὑψηλὸν καὶ ἔχῃ κλάδους καὶ κλῶνας, ἢ ἵνα ᾖ πόλις μεγάλη ἔχῃ γειτονίας πολλάς, ἢ ἵνα ᾖ ἐπαρχία ἔχουσα πατρίδας ὑφ' ἑαυτήν· οὕτως ἐστὶν ἡ νοερὰ οὐσία ἡ ἀθάνατος ψυχή, κάλλος τίμιον ὑπὲρ πάντα τὰ δημιουργήματα, εἰκὼν καὶ ὁμοίωμα θεοῦ. λοιπὸν ἔρχεται ἡ χάρις καὶ εἰς δύο ἀκτῖνας τῆς ψυχῆς ἐπιλάμπει ἢ ἀπὸ ὅλου τοῦ δένδρου εἰς δύο κλάδους ἢ ἀπὸ ὅλης τῆς πόλεως εἰς δύο γειτονίας ἢ ἀπὸ ὅλης τῆς ἐπαρχίας εἰς δύο πατρίδας. ἔτι δὲ τὰ πλείονα μέρη τῆς ψυχῆς κατέχεται ὑπὸ τῆς κακίας καὶ ὑποκλέπτεται ἡ ψυχὴ καὶ νομίζει, ὅτι ὅλη δι' ὅλου τοῦ ἀγαθοῦ μέρους καὶ τῆς χάριτος γέγο8.4.2 νεν. πρὸς λόγον πέντε λίτρας χρυσοῦ κτησάμενός τις ἐνόμισεν, ὅτι ἑκατὸν λίτρας χρυσίου ἐκτήσατο; μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸ ἔμβρυον τὸ ἐν τῇ μήτρᾳ ἤδη ἐγένετο ἄνθρωπος; ἢ ὁ τιθεὶς ἕνα λίθον τοῦ θεμελίου ἤδη ἐτελείωσε τὸ οἰκοδόμημα; ἢ ὁ σπόρος ὁ χωσθεὶς ἤτοι τὸ ἀνελθὸν ἐξ αὐτοῦ φῦμα ἤδη ἐγένετο στάχυς; μὴ ὁ πλέων ἔμπορος ἅμα τῷ ἄρξασθαι πραγματεύεσθαι ἤδη ἐπλήρωσε τὴν ἐνθήκην; καὶ ὁ μετέχων χάριτος παρὰ τοῦτο ἐγένετο τέλειος Χριστιανός; ἀκμὴν οἱ πρῶτοι καὶ μεγάλοι οὕτως εἰσὶ πρὸς τὴν τελειότητα ὡς ὀφφικιάλιος πρὸς ἡγεμόνα ἢ ὡς προτίκτωρ πρὸς κόμητα ἢ στρατηλάτην ἢ ὡς ῥυάκιον πρὸς Εὐφράτην ποταμόν. ὁ ἔχων πρόθεσιν ἀπελθεῖν εἰς πόλιν μακρὰν ἀπὸ διαστήματος τριάκοντα μονῶν, δύο ἢ τρεῖς μονὰς ἐὰν ἀπέλθῃ, μὴ νομίσῃ, ὅτι εἰσῆλθεν εἰς τὴν πόλιν. 8.4.3 Ἐπειδὴ οὖν ἡ ἐναντία δύναμις προτρεπτική ἐστιν, οὐκ ἀναγκαστική; καὶ ἡ θεία χάρις προτρεπτικὴ διὰ τὸ αὐτεξούσιον καὶ λυτὸν τῆς φύσεως. λοιπὸν ἐὰν ποιήσῃ τὸ κακὸν ὁ ἄνθρωπος προτρεπόμενος ὑπὸ τοῦ σατανᾶ, οὐ κρίνεται ἀντ' αὐτοῦ ὁ σατανᾶς, ἀλλ' αὐτὸς ὁ ἄνθρωπος τιμωρεῖται καὶ κολάζεται ἰδίῳ 8.4.4 θελήματι ὑπήκοος γενόμενος τῆς κακίας. ὁμοίως καὶ ἐὰν ῥέψῃ ὁ ἄνθρωπος εἰς τὸ ἀγαθὸν καὶ γένηται μετ' αὐτοῦ χάρις θεοῦ οὐκ ἐπιγράφει τὸ ἀγαθὸν ἑαυτῇ ἡ χάρις, ἀλλὰ ἀποδίδωσι τῷ ἀνθρώπῳ καὶ δοξάζει αὐτόν, ἐπειδὴ ἑαυτῷ αἴτιος ἐγένετο ὁ ἄνθρωπος τοῦ ἀγαθοῦ. λυτῆς γάρ ἐστι φύσεως οὗτος καὶ οὐχ οἷον ἐρχομένη ἡ χάρις πρὸς αὐτὸν ἀναγκαστικῇ δυνάμει δεσμεῖ αὐτοῦ τὸ θέλημα. καὶ λοιπὸν ἑκόντα καὶ ἄκοντα ποιεῖ αὐτὸν ἄτρεπτον ἀγαθόν, ἀλλὰ παραχωρεῖ τῷ αὐτεξουσίῳ καίτοι συνοῦσα ἡ θεία δύναμις, ἵνα ἀποδειχθῇ τὸ θέλημα τοῦ ἀνθρώπου, εἰ τιμᾷ τὴν χάριν εἰ οὐ τιμᾷ, εἰ συμφωνεῖ εἰ οὐ συμφωνεῖ. 8.4.5 πολλοὶ γὰρ ἐτίμησαν καὶ συνεφώνησαν, καὶ ἄλλοι ἐξετράπησαν. τί λέγει ὁ ἀπόστολος· «ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπιτελεῖσθε;» τῇ γὰρ φύσει τῶν ἀνθρώπων «νόμος οὐ κεῖται» αὐτεξουσίῳ προαιρέσει δυναμένῃ τραπῆναι ἐπὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν. τί λέγει ὁ κύριος· «πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη». θέλει ὁ κύριος ἀναφθῆναι αὐτοῦ τὸ οὐράνιον πῦρ εἰς τὰς καρδίας τῶν ἀνθρώπων, καὶ οἱ μὲν θέλουσιν, οἱ δὲ οὐ θέλουσιν, καθὼς λέγει· «ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὡς ὄρνις τὰ ἑαυτῆς νοσσία, καὶ οὐκ ἠθελήσατε». θεωρεῖς ὅτι ὁ κύριος θέλει, καὶ αὐτοὶ οἱ ἄνθρωποι οὐ θέλουσι προσεγγίζειν τῷ κυρίῳ· τῷ δὲ θεῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 9.τ.1 ΛΟΓΟΣ Θ΄.

9.1.1 Ἰεζεκιὴλ ὁ μακάριος προφήτης ὀπτασίαν καὶ ὅρασιν ἔνθεον καὶ ἔνδοξον θεωρήσας διηγήσατο καὶ ἔγραψεν ὀπτασίαν μυστηρίων ἀλαλήτων γέμουσαν. εἶδε γὰρ ἐν τῷ πεδίῳ ἅρμα Χερουβείμ, τέσσαρα ζῷα, καὶ ἓν ἕκαστον ζῷον τέσσαρα πρόσωπα ἔχον, τὸ ἓν πρόσωπον λέοντος καὶ τὸ ἓν πρόσωπον ἀετοῦ καὶ τὸ ἓν πρόσωπον μόσχου καὶ τὸ ἓν πρόσωπον ἀνθρώπου, εἰς τὰ τέσσαρα κλίματα προσέχοντα, καὶ πτέρυγες καθ' ἕκαστον πρόσωπον, ὡς μὴ εἶναι ὕστερά τινα ἢ ὀπίσθια. καὶ οἱ νῶτοι αὐτῶν ὀφθαλμῶν ἔγεμον καὶ αἱ κοιλίαι ὁμοίως ἐπεπλήρωντο ὀμμάτων, καὶ οὐκ ἦν τόπος τις, ὃς οὐκ ἔγεμεν ὀφθαλμῶν. καὶ τροχὸς καθ' ἓν πρόσωπον, τροχὸς ἐν τροχῷ, καὶ ἐν τοῖς τροχοῖς ἦν πνεῦμα. καὶ εἶδεν ὡς ὁμοίωμα θρόνου καὶ ἐπ' αὐτὸν καθεζόμενον ὡς ὁμοίωμα ἀνθρώπου καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ ἔργον σαπφείρου. καὶ ἔφερε τὸ ἅρμα τοῦ Χερουβεὶμ καὶ τὰ ζῷα τὸν ἐποχούμενον δεσπότην· οὗ ἐὰν ἐβούλετο πορεύεσθαι πάντῃ κατὰ πρόσωπον ὑφ' ἓν τῶν προσώπων ἀπῄεσαν καὶ τὰ λοιπὰ καὶ οἱ τροχοί. καὶ εἶδεν ὑποκάτω τοῦ Χερουβεὶμ ὡσεὶ χεῖρα ἀνθρώπου ὑποβαστάζουσαν καὶ φέρουσαν. 9.1.2 Καὶ τοῦτο ὅπερ εἶδεν ὁ προφήτης ἐν ὑποστάσει, ἀληθὲς ἦν καὶ βέβαιον. ὑπεδείκνυε δὲ ἕτερόν τι καὶ προετύπου τὸ μυστικὸν καὶ θεϊκὸν πρᾶγμα, «μυστήριον ἀποκεκρυμμένον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀληθῶς πρὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν», ἐπ' ἐσχάτων δὲ τῶν χρόνων φανερωθὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ Χριστοῦ. μυστήριον γὰρ ἐθεώρει ψυχῆς τῆς μελλούσης δέχεσθαι τὸν αὐτῆς κύριον καὶ θρόνον δόξης αὐτῷ γενέσθαι καὶ φῶς. ψυχὴ γὰρ ἡ καταξιωθεῖσα κοινωνῆσαι τῷ πνεύματι τοῦ φωτὸς αὐτοῦ καὶ καταλαμφθεῖσα ὑπὸ τοῦ κάλλους τῆς ἀρρήτου δόξης αὐτοῦ, ἑτοιμάσαντος αὐτὴν ἑαυτῷ εἰς καθέδραν καὶ οἰκητήριον αὐτοῦ, ὅλη φῶς γίνεται καὶ ὅλη πρόσωπον καὶ ὅλη ὀφθαλμός· οὐδὲν αὐτῆς μέρος μὴ γέμον τῶν πνευματικῶν ὀφθαλμῶν τοῦ φωτός (τουτέστιν οὐδὲν ἐσκοτισμένον), ἀλλὰ πᾶσα ὅλη δι' ὅλου φῶς καὶ πνεῦμα ἀπειργασμένη καὶ ὅλη ὀφθαλμῶν γέμουσα καὶ ὅλη πρόσωπον οὖσα, μὴ ἔχουσα ὕστερόν τι ἢ ὀπίσθιον μέρος, ἀλλὰ πάντῃ κατὰ πρόσωπον τυγχάνουσα ἐπιβεβηκότος ἐπ' αὐτὴν καὶ ἐπικαθεσθέντος τοῦ ἀρρήτου κάλλους τῆς δόξης τοῦ φωτὸς κυρίου. 9.1.3 καὶ ὥσπερ ὁ ἥλιος πάντῃ ὅμοιός ἐστι, μὴ ἔχων μέρος ὑστεροῦν ἢ ἔλαττον ἢ ὀπίσθιον ἢ ἔσχατον, ἀλλὰ ὅλος ἐξ ὅλου δεδόξασται τῷ φωτὶ καὶ ὅλος φῶς ἐστι καὶ ὅλος ὁμοιομερὴς τυγχάνει· ἢ ὥσπερ πῦραὐτὸ γὰρ τὸ φῶς τοῦ πυρὸς ὅλον ὅμοιον ἑαυτῷ ἐστι καὶ οὐκ ἔχει ἐν ἑαυτῷ πρῶτον καὶ ἔσχατον ἢ μεῖζον καὶ ἔλαττον, οὕτως ἡ ψυχὴ ἁγία ἡ καταλαμφθεῖσα καὶ φωτισθεῖσα τελείως ὑπὸ τοῦ ἀρρήτου κάλλους τῆς δόξης τοῦ φωτὸς τοῦ προσώπου κυρίου καὶ κοινωνήσασα πνεύματος ἁγίου τελείως καὶ κατοικητήριον καὶ θρόνος Χριστοῦ καταξιωθεῖσα γενέσθαι, ὅλη ὀφθαλμὸς καὶ ὅλη φῶς καὶ ὅλη πρόσωπον καὶ ὅλη δόξα καὶ ὅλη πνεῦμα ἅγιον γίνεται, ὃν φέρει καὶ βαστάζει καὶ φορεῖ, οὕτως αὐτὴν κατασκευάζοντος. μᾶλλον δὲ ὁ φέρων καὶ ἄγων καὶ βαστάζων αὐτὴν οὕτως εὐτρεπίζων καὶ κατακοσμῶν αὐτήν ἐστι πνευματικῷ κάλλει. καὶ γὰρ «χεὶρ φησὶν ἀνθρώπου ἦν ὑποκάτω τοῦ Χερουβείμ», ὅτι οὗτος ὁ ἐν αὐτῇ βασταζόμενος καὶ ὁδηγῶν αὐτὴν αὐτός ἐστιν ὁ φέρων καὶ κουφίζων καὶ ὑποβαστάζων αὐτήν. 9.1.4 Τύπον δὲ ἔφερον τὰ τέσσαρα ζῷα τὰ φέροντα τὸ ἅρμα αὐτῶν τῶν ἡγεμονικῶν λογισμῶν τῆς ψυχῆς. ὥσπερ γὰρ ὁ ἀετὸς βασιλεύει τῶν λοιπῶν ὀρνέων καὶ ὁ λέων τῶν ἀγρίων θηρίων καὶ ὁ ταῦρος τῶν ἡμέρων ζῴων καὶ ὁ ἄνθρωπος τῶν κτισμάτων, οὕτως εἰσὶ καὶ βασιλικώτεροι λογισμοὶ τῆς ψυχῆςλέγω δὴ τὸ θέλημα, ἡ συνείδησις, ὁ νοῦς καὶ ἡ ἀγαπητικὴ δύναμις αὐτῆς· δι' αὐτῶν γὰρ τὸ ἅρμα τὸ τῆς ψυχῆς κυβερνᾶται καὶ εἰς τούτους ἐπαναπαύεται ὁ θεός. καὶ εἰς ἄλλο δὲ πρόσωπονεἰς τὴν ἐκκλησίαν λέγω τῶν ἁγίων τὴν ἐπουράνιονλαμβάνεται τὸ μυστήριον τοῦ Χερουβείμ, ὅτι αὐτός ἐστιν αὐτῆς ἡνίοχος καὶ αὐτὴ θρόνος πνευματικὸς καὶ καθέδρα καὶ ἀνάπαυσις αὐτοῦ. 9.1.5 ὥσπερ γὰρ ἐκεῖ λέγει ὅτι τὰ ζῷα ἦν λίαν ὑψηλὰ τὰ γέμοντα ὀφθαλμῶν καὶ οὐκ ἦν τινι δυνατὸν καταλαβεῖν τὸν ἀριθμὸν ἢ τὸ ὕφος γνῶναι, ὅτι οὐκ ἐδόθη τοῦτο ἄλλῳ τινὶ εἰδέναι, οὕτω τῆς ἐπουρανίου ἐκκλησίας τῶν ἁγίων τὸν ἀριθμὸν ἀδύνατον καταλαβεῖν. οὐ γὰρ ἐδόθη ἡ γνῶσις τινί· αὐτῷ γὰρ μόνῳ πρέπον γινώσκειν. καὶ ὥσπερ τὰ ἐν οὐρανῷ ἄστρα τοῦ φωτός, τὸ μὲν θεωρεῖν καὶ τέρπεσθαι τοῖς ὁρῶσι καὶ ἔχουσιν ὀφθαλμοὺς ἐδόθη, τὸ δὲ γινώσκειν ἢ καταλαβεῖν τὸν ἀριθμὸν οὐκ ἔστιν, ἢ τῆς γῆς τῶν φυτῶν τὸ μὲν ἀπολαύειν ἐδόθη πᾶσιν. τὸ δὲ εἰδέναι τὸν ἀριθμὸν αὐτῶν οὐδενὶ δυνατόν, τὸν αὐτὸν τρόπον ἐπὶ τῆς ἐπουρανίου ἐκκλησίας τῶν ἁγίων τὸ μὲν εἰσελθεῖν εἰς αὐτὴν καὶ ἀπολαύειν πᾶσι τοῖς βουλομένοις ἀγωνίσασθαι ἐδόθη, τὸ δὲ εἰδέναι ἢ 9.1.6 καταλαβεῖν τὸν ἀριθμὸν ἑαυτῷ μόνῳ γινώσκειν ἀπένειμεν ὁ θεός. ἄγεται τοίνυν καὶ φέρεται ὁ ἐποχούμενος ὑπὸ τοῦ ἅρματος καὶ τοῦ θρόνου τῶν ὁλοφθάλμων ζῴωνἤτοι ἐφ' ἑκάστης ψυχῆς γινομένης αὐτοῦ θρόνος καὶ καθέδρα, καὶ οὔσης ὀφθαλμοὶ καὶ φῶς, ἤτοι ὑπὸ ὅλου τοῦ σώματος τῆς ἐκκλησίας τῶν ἁγίων οὔσης φῶς καὶ ὀφθαλμός, ἐπιβεβηκότος αὐτοῦ τοῦ κυρίου καὶ ἡνιοχοῦντος ταῖς ἡνίαις τοῦ πνεύματος αὐτοῦ, καθὼς ἐπίσταται αὐτὸς ὁ ὁδηγῶν αὐτήν. ὥσπερ τὰ ζῷα τὰ πνευματικὰ οὐχ ὅπου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐβούλοντο πορεύεσθαι ἐπορεύοντο, ἀλλ' ὅπου ᾔδει καὶ ἤθελεν ὁ ἐπικαθεζόμενος καὶ εὐθύνων, οὕτω καὶ ἐνταῦθα ὁ αὐτὸς ἡνιοχεῖ καὶ ἄγει ὁδηγῶν τῷ πνεύματι αὐτοῦ, οὕτω καὶ πορεύονται οὐ κατὰ τὸ αὐτῶν βούλημα. ὅτε βούλεται, ἐρριμμένου τοῦ σώματος ἐνταῦθα, ἡνιοχεῖ καὶ ἐλαύνει εἰς οὐρανὸν τὸ φρόνημα τῆς ψυχῆς. πάλιν ὅτε βούλεται, ἔρχεται εἰς τὸ σῶμα καὶ ὅτε βούλεται, ἐν τοῖς πέρασι ἀποκαλύψεις μυστηρίων δείκνυσιν αὐτῇ. ὢ τοῦ καλοῦ καὶ χρηστοῦ καὶ μόνου ἀληθινοῦ ἡνιόχου. 9.2.1 Οὕτω δὲ καταξιωθήσονται λαμπρότητος καὶ τὰ σώματα ἐν τῇ ἀναστάσει, τῆς ψυχῆς νῦν οὕτω προδοξαζομένης καὶ τῷ πνεύματι ἀνακιρνωμένης. ὅτι δὲ οὐράνιον φῶς γίνονται αἱ ψυχαὶ τῶν ἁγίων, αὐτὸς ὁ κύριος τοῖς ἀποστόλοις ἔλεγεν· «ὑμεῖς ἔστε τὸ φῶς τοῦ κόσμου»· αὐτοὺς γὰρ φῶς ἀπεργασάμενος δι' αὐτῶν φωτίζειν τὸν κόσμον προσέτασσε. καὶ «οὐ καίουσι λύχνον, φησί, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων» ἀντὶ τοῦ· "1μὴ κρύψητε τὸ δόμα, ὃ ἐλάβετο παρ' ἐμοῦ, ἀλλὰ δότε πᾶσι τοῖς βουλομένοις καὶ ποθοῦσι."2 καὶ πάλιν φησίν· «ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ᾖ ὁ ὀφθαλμός σου φωτεινός, ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν». «εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος, τὸ σκότος πόσον»; ὥσπερ γὰρ τοῦ σώματος οἱ ὀφθαλμοὶ φῶς εἰσι, καὶ ἐπὰν οἱ ὀφθαλμοὶ τοῦ σώματος ὑγιεῖς τυγχάνωσιν, ὅλον τὸ σῶμα πεφώτισται· ἐπὰν δέ τι παρεμπέσῃ καὶ σκοτισθῶσιν, «ὅλον τὸ σῶμά σου σκοτεινόν ἐστιν», οὕτω καὶ οἱ ἀπόστολοι ὀφθαλμοὶ καὶ φῶς τοῦ σώματος ὅλου, τουτέστι τοῦ κόσμου, ἐτέθησαν. ἔλεγεν οὖν αὐτοῖς παραγγέλλων ὁ κύριος· "1ἐὰν ὑμεῖς στῆτε καὶ μὴ παρατραπῆτε, φῶς ὄντες τοῦ σώματος, ἰδοὺ ὅλον τὸ σῶμα τοῦ κόσμου πεφώτισται. εἰ δὲ ὑμεῖς ὄντες φῶς σκοτισθῆτε ἐκκλίνοντες ἀπὸ τοῦ ἀγαθοῦ, τὸ σκότος πόσον, ὅπερ ἐστὶν ὁ κόσμος."2 9.2.2 Φῶς οὖν γεγονότες οἱ ἀπόστολοι φῶς διηκόνησαν τοῖς πιστεύσασι, τὰς καρδίας αὐτῶν φωτισθέντες τῷ ἐπουρανίῳ φωτί, ᾧπερ καὶ αὐτοὶ πεφωτισμένοι ἐτύγχανον. καὶ ἅλας ὑπάρχοντες αὐτοὶ ἤρτυον καὶ ἥλιζον πᾶσαν ψυχὴν πιστεύουσαν τῷ ἅλατι τοῦ ἁγίου πνεύματος. ἔλεγε γὰρ αὐτοῖς ὁ κύριος· «ὑμεῖς ἔστε τὸ ἅλας τῆς γῆς», γῆν τὰς ψυχὰς τῶν ἀνθρώπων καλῶν. διηκόνησαν γὰρ ταῖς ψυχαῖς τῶν ἀνθρώπων τὸ ἐπουράνιον ἅλας τοῦ πνεύματος, ἀρτύσαντες αὐτὰς καὶ ἀσήπτους καὶ ἀσινεῖς ἀπεργασάμενοι ἐκ πολλῆς δυσωδίας. 9.2.3 ὥσπερ γὰρ κρέας ἐὰν μὴ ἔχῃ ἅλας, σήπεται καὶ πολλῆς δυσωδίας μεμέστωται, ὥστε πάντας ἀποστρέφειν τὰς ἑαυτῶν ὄψεις ἐκ τῆς κακίας τῆς ὀσμῆς καὶ σκώληκες ἕρπουσιν εἰς τὸ σεσηπὸς κρέας καὶ ἐκεῖ ἐννέμονται καὶ ἐσθίουσι καὶ ἐκεῖ ἐμφωλεύουσιν· ἐπὰν δὲ ἔλθῃ τὸ ἅλας, φανεροῦνται καὶ ἀπόλλυνται οἱ ἐκεῖ νεμόμενοι σκώληκες καὶ ἡ ὀσμὴ τῆς δυσωδίας παύεταιἡ γὰρ φύσις τοῦ ἅλατος ἀναιρετικὴ τῶν σκωλήκων ὑπάρχει καὶ τῆς δυσωδίας ἀφανιστική, τὸν αὐτὸν τρόπον καὶ πᾶσα ψυχὴ ἡ μὴ ἡλισμένη τῷ ἁγίῳ πνεύματι καὶ μὴ μετέχουσα τοῦ ἅλατος τοῦ πνευματικοῦ (τουτέστι τῆς δυνάμεως τοῦ θεοῦ) σέσηπε καὶ δυσωδίας πολλῆς λογισμῶν πονηρῶν ἐμπέπλησται, ὥστε ἀποστρέφεσθαι τὸ πρόσωπον τοῦ θεοῦ ἀπὸ τῆς δεινῆς τῶν ματαίων λογισμῶν δυσωδίας τοῦ σκότους τῶν παθῶν τῶν ἐν τῇ τοιαύτῃ ψυχῇ ἐνοικούντων. καὶ οἱ κακοὶ καὶ δεινοὶ καὶ ἀόρατοι σκώληκες, οἵ εἰσι τὰ πνεύματα τῆς πονηρίας καὶ αἱ δυνάμεις τοῦ σκότους, ἐν αὐτῇ ἐμπεριπατοῦσι κἀκεῖ ἐννέμονται ἐν τοῖς βάθεσι τῶν λογισμῶν καὶ ἕρπουσιν ἐν αὐτῇ φωλεύοντες καὶ αὐτὴν ἐσθίουσι καὶ ἀφανίζουσι καὶ φθείρουσι. «προσώζησαν, γάρ φησι, καὶ ἐσάπησαν οἱ μώλωπές 9.2.4 μου». ἐπὰν δὲ προσφύγῃ τῷ θεῷ καὶ πιστεύσῃ καὶ αἰτήσῃ τὸ ἅλας τῆς ζωῆς, τὸ ἀγαθὸν καὶ φιλάνθρωπον πνεῦμα, τότε ἐλθὸν τὸ ἅλας τοῦτο τὸ οὐράνιον, τὸ ἀναιρετικὸν τῶν πονηρῶν σκωλήκων καὶ ἀφανιστικὸν τῆς δεινῆς τῶν πονηρῶν λογισμῶν δυσωδίας,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθαίρει αὐτὴν τῇ ἐνεργείᾳ τῆς δυνάμεως αὐτοῦ, ἀναιροῦν καὶ ἀπόλλυον τὰ ἐν αὐτῇ κακὰ πάθη καὶ ἀπαλλάττον σκότους διαλογισμῶν πονηρῶν, καὶ οὕτως ὑγιὴς καὶ ἀσινὴς ἀπεργασθεῖσα ὑπὸ τοῦ ἅλατος τοῦ ἀληθινοῦ εἰς χρῆσιν καὶ ὑπηρεσίαν τῷ ἐπουρανίῳ δεσπότῃ γίνεται. διὰ τοῦτο γὰρ καὶ ἐν τῷ νόμῳ «ὑποδείγματι καὶ σκιᾷ» χρώμενος ὁ θεὸς ἐκέλευσε πᾶσαν θυσίαν ἅλατι ἁλίζεσθαι. 9.2.5 Ἔδει οὖν πρῶτον τὸ πρόβατον ἐλθεῖν καὶ τυθῆναι ὑπὸ τοῦ ἱερέως καὶ ἀποθανεῖν καὶ τότε ἁλισθῆναι μελισθέν, εἰθ' οὕτως εἰς τὸ πῦρ ἐπιτίθεσθαι. ἐὰν μὴ πρῶτον θύσῃ καὶ θανατώσῃ τὸ πρόβατον ὁ ἱερεύς, οὐχ ἁλίζεται οὐδὲ εἰς ὁλοκαύτωσιν τῷ δεσπότῃ γίνεται. οὕτω καὶ τὴν ἡμετέραν ψυχὴν προσερχομένην τῷ ἐπουρανίῳ ἱερεῖ δεῖ τυθῆναι ὑπ' αὐτοῦ καὶ τῷ φρονήματι ἀποθανεῖν τῆς κακίστης ζωῆς, ἧς ἔζη (τουτέστι τῇ ἁμαρτίᾳ) καὶ ὥσπερ ψυχὴν αὐτῆς ἐξελθεῖν ἐξ αὐτῆς τὴν τῶν παθῶν πονηρίαν. 9.2.6 Ὥσπερ γὰρ τὸ σῶμα, ἐπὰν ἐξέλθῃ ἡ ψυχή, ἀπέθανε καὶ οὐκέτι ζῇ τῇ προτέρᾳ ζωῇ, ᾗ ἔζη, οὔτε ἀκούει οὔτε περιπατεῖ, οὕτως ἐπὰν θύσῃ καὶ θανατώσῃ τῷ κόσμῳ τὴν ψυχὴν ἡμῶν ὁ ἀληθινὸς ἀρχιερεὺς Χριστὸς τῇ χάριτι τῆς δυνάμεως αὐτοῦ, ἀποθνῄσκει τῇ ζωῇ τῆς πονηρίας, ᾗ ἔζη, καὶ οὐκέτι ἀκούει καὶ οὐ λαλεῖ καὶ οὐ πολιτεύεται ἐν τῷ σκότει τῆς ἁμαρτίας· ὅτι διὰ τῆς χάριτος ἐξέρχεται ὥσπερ ψυχὴ καὶ ζωὴ αὐτῆς ἡ πονηρία τῶν παθῶν. ὡς καὶ ὁ ἀπόστολος βοᾷ λέγων· «ὁ κόσμος ἐμοὶ ἐσταύρωται κἀγὼ τῷ κόσμῳ». ψυχὴ γὰρ ἡ ἀκμὴν ζῶσα ἐν τῷ κόσμῳ καὶ τῷ σκότει τῆς ἁμαρτίας καὶ μὴ θανατωθεῖσα ὑπ' αὐτοῦ, ἀλλ' ἔτι τὴν ψυχὴν τῆς κακίας (τουτέστι τὴν ἐνέργειαν τοῦ σκότους τῶν παθῶν τῆς πονηρίας) ἐν ἑαυτῇ ἔχουσα καὶ ὑπ' αὐτῆς ποιμαινομένη καὶ ὑπακούουσα, οὐκ ἔστι τοῦ σώματος τοῦ Χριστοῦ, οὐκ ἔστι τοῦ σώματος τοῦ φωτός, ἀλλ' ἔστι σῶμα τοῦ σκότους καὶ ἐκ τῆς μερίδος τοῦ σκότους ἀκμήν ἐστι. ὥσπερ καὶ πάλιν οἱ ἔχοντες τὴν ψυχὴν τοῦ φωτὸς (τουτέστι τὴν δύναμιν τοῦ ἁγίου πνεύματος) ἐκ τῆς μερίδος τοῦ φωτός εἰσιν. 9.2.7 Ἀλλ' ἐρεῖ τις· "1πῶς σῶμα τοῦ σκότους λέγεις τὴν ψυχὴν μὴ οὖσαν αὐτοῦ κτίσμα;"2 Ὧδε προσεχόντως καὶ καλῶς καὶ ὀρθῶς ἐν διακρίσει ἄκουσον. ὥσπερ ἔνδυμα ἢ ἱμάτιον ὃ φορεῖς ἕτερος κατεσκεύασε καὶ ἐποίησε καὶ σὺ τοῦτο ἐνδέδυσαι· ὁμοίως καὶ οἶκον ἕτερος ἔκτισε καὶ ᾠκοδόμησε καὶ σὺ οἰκεῖς ἐν αὐτῷ, τὸν αὐτὸν τρόπον καὶ ὁ Ἀδὰμ παραβὰς τὴν ἐντολὴν καὶ ἀκούσας τοῦ πονηροῦ καὶ παρακούσας τοῦ θεοῦ ἐπράθη καὶ ἐπώλησεν ἑαυτὸν τῷ διαβόλῳ, καὶ ἐνεδύσατο τὴν ψυχὴν ὁ πονηρός, τὸ καλὸν κτίσμα, ὃ κατεσκεύασεν ὁ θεὸς πρὸς τὴν ἑαυτοῦ εἰκόνα, ὡς καὶ ὁ ἀπόστολος λέγει· «ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐθριάμβευσεν ἐν τῷ σταυρῷ». διὰ τοῦτο γὰρ καὶ ἡ ἔλευσις τοῦ κυρίου γεγένηται, ἵνα γυμνώσῃ αὐτοὺς καὶ ἀπολάβῃ τὸν ἴδιον οἶκον καὶ 9.2.8 ναόν, τὸν ἄνθρωπον. τούτου τοίνυν ἕνεκεν σῶμα λέγεται ἡ ψυχὴ τοῦ σκότους τῆς πονηρίας, ἕως οὗ ἐστιν ἐν αὐτῇ τὸ σκότος τῆς ἁμαρτίας, ὅτι ἐκεῖ ζῇ εἰς τὸν αἰῶνα τὸν πονηρὸν τοῦ σκότους καὶ ἐκεῖ κρατεῖται, ὡς καὶ Παῦλος σῶμα ἁμαρτίας καὶ σῶμα θανάτου καλῶν λέγει· «ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας», καὶ πάλιν· «τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου»; ὁμοίως πάλιν ἡ πιστεύσασα τῷ θεῷ ψυχὴ καὶ ἐκ τῆς ἁμαρτίας ῥυσθεῖσα καὶ θανατωθεῖσα ἐκ τῆς ζωῆς τοῦ σκότους καὶ φῶς τοῦ ἁγίου πνεύματος ὥσπερ ψυχὴν λαβοῦσα καὶ ζήσασα ἐκεῖ τὸ λοιπὸν ζῇ κἀκεῖ διατρίβει, ὅτι ἐκεῖ κεκράτηται τῷ φωτὶ τῆς θεότητος. οὔτε γὰρ φύσεως τῆς θεότητός ἐστιν ἡ ψυχὴ οὔτε φύσεως τοῦ σκότους τῆς πονηρίας, ἀλλὰ ἔστι κτίσμα τι νοερὸν καὶ ὡραῖον καὶ θαυμαστὸν καὶ μέγα καὶ καλόν, ὁμοίωμα καὶ εἰκὼν θεοῦ, καὶ διὰ τὴν παράβασιν εἰσῆλθεν εἰς αὐτὴν ἡ πονηρία τῶν παθῶν τοῦ σκότους. 9.2.9 Τὸ λοιπὸν εἰ συγκεκράτηται καὶ συνήνωται ἡ ψυχὴ τοῖς θελήμασιν· ἤτοι τὸ φῶς τοῦ θεοῦ ἐν αὐτῇ ἔχει, ἐν αὐτῷ ζῶσα ἐν πάσαις ἀρεταῖς τοῦ φωτὸς τῆς ἀναπαύσεώς ἐστι, πάλιν δὲ τὸ σκότος τῆς ἁμαρτίας ἐὰν ἔχῃ ἐν αὐτῇ, ζῶσα ἐν τοῖς ἁμαρτήμασι τοῦ σκότους τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατακρίσεως τυγχάνει. ψυχὴν γὰρ τὴν θέλουσαν ζῆσαι παρὰ θεῷ καὶ ἐν ἀπολαύσει καὶ ἀναπαύσει καὶ φωτὶ αἰωνίῳ προσελθεῖν δεῖ, ὡς προείρηται, τῷ ἀληθινῷ ἀρχιερεῖ Χριστῷ καὶ τυθῆναι καὶ ἀποθανεῖν τῷ κόσμῳ καὶ τῇ προτέρᾳ ζωῇ τοῦ σκότους τῆς πονη9.2.10 ρίας καὶ μετατεθῆναι ἐν ἑτέρᾳ ζωῇ καὶ ἀναστροφῇ θείᾳ. καὶ ὥσπερ ἐάν τις ἀποθάνῃ ἐν πόλει, οὔτε τῆς φωνῆς τῶν ἐκεῖ ἀκούει οὔτε λαλιᾶς οὔτε ἤχου, ἀλλὰ καθάπαξ ἀπέθανε καὶ μετατίθεται ἐν ἑτέρῳ τόπῳ, ἔνθα οὐκ εἰσὶ φωναὶ καὶ κραυγαὶ τῆς πόλεως ἐκείνης, οὕτω καὶ ἡ ψυχή, ἐπὰν τυθῇ καὶ ἀποθάνῃ, ἐν ᾗ διατρίβει καὶ ζῇ πόλει τῆς κακίας τῶν παθῶν (τῆς ἁμαρτίας, τῶν πονηρῶν δυνάμεων), οὐκέτι ἀκούει ἐν αὐτῇ τῆς φωνῆς καὶ τῆς λαλιᾶς καὶ κραυγῆς τῶν πονηρῶν διαλογισμῶν τοῦ σκότους· οὐκέτι φωνὴ ἀκούεται ἐν αὐτῇ ματαίου καὶ πονηροῦ διαλογισμοῦ καὶ ταραχὴ πνευμάτων σκότους, ἀλλὰ μετατίθεται εἰς πόλιν ἀγαθότητος καὶ εἰρήνης μεστήν, εἰς πόλιν φωτὸς θεότητος, κἀκεῖ ζῇ καὶ πολιτεύεται, κἀκεῖ ἀκούει καὶ λαλεῖ καὶ διαλογίζεται καὶ ἐργάζεται ἔργα ἀρετῆς πνευματικὰ καὶ θεοῦ ἄξια. 9.3.1 Παρακαλέσωμεν τοίνυν καὶ ἡμεῖς τυθῆναι διὰ τῆς δυνάμεως αὐτοῦ καὶ ἀποθανεῖν τῷ αἰῶνι τῆς πονηρίας τοῦ σκότους καὶ ἀναιρεθῆναι ἐν ἡμῖν τὸ πνεῦμα τῆς ἁμαρτίας καὶ ἐνδύσασθαι καὶ λαβεῖν ψυχὴν πνεύματος οὐρανίου καὶ μετατεθῆναι ἐκ τῆς κακίας τοῦ σκότους εἰς τὸ φῶς τοῦ Χριστοῦ καὶ ἀναπαυθῆναι ἐν ζωῇ ὅλου αἰῶνος. ὥσπερ γὰρ ἐν σταδίῳ τὰ ἅρματα τρέχουσι καὶ τὸ προλαβὸν ἐμποδίζει καὶ ἐπέχει καὶ κωλύει τὸ ἕτερον τοῦ μὴ προκόψαι καὶ προλαβεῖν, οὕτως οἱ διαλογισμοὶ τῆς ψυχῆς καὶ τῆς ἁμαρτίας τρέχουσιν ἐν τῷ ἀνθρώπῳ. ἐὰν οὖν τύχῃ προλαβεῖν τὸν διαλογισμὸν τῆς ἁμαρτίας, ἐμποδίζει καὶ ἐπέχει καὶ ἀνακόπτει καὶ κωλύει τὴν ψυχὴν προσεγγίσαι τῷ 9.3.2 θεῷ καὶ τὸ κατ' αὐτῆς νῖκος ἄρασθαι. ὅπου δὲ αὐτὸς ὁ κύριος ἐπιβαίνει καὶ ἡνιοχεῖ τὴν ψυχήν, πάντοτε αὐτὸς νικᾷ ἡνιοχῶν καὶ ὁδηγῶν ἐπιστημόνως τὸ ἅρμα τῆς ψυχῆς εἰς τὸ οὐράνιον καὶ ἔνθεον φρόνημα διαπαντός. οὔτε γὰρ πολεμεῖ πρὸς τὴν κακίαν, ἀλλ' αὐθέντης καὶ ἐξουσιαστὴς τυγχάνων ἀεὶ τὸ νῖκος αὐτοῦ ἐστιν. ἄγεται τοίνυν τὰ Χερουβὶμ οὐχ ὅπου θέλουσιν πορεύεσθαι, ἀλλ' ὅπου ὁ ἐπιβεβηκὼς καὶ ἡνιοχῶν ὁδηγεῖ καὶ ὅπου θέλει αὐτός, ἐκεῖ πορεύονται, ὁ καὶ αὐτὰ βαστάζων· «χείρ, γάρ φησιν, ἀνθρώπου 9.3.3 ὑποκάτωθεν αὐτῶν». ἄγονται οὖν αἱ ἅγιαι ψυχαὶ καὶ ὁδηγοῦνται ὑπὸ τοῦ ἡνιοχοῦντος πνεύματος τοῦ Χριστοῦ, ὅπου βούλεται· καὶ ὅτε μὲν βούλεται, εἰς τὸν οὐρανόν, ὅτε δὲ βούλεται ἐν τοῖς πέρασιν, ὅτε βούλεται ἐν τῷ σώματι, καὶ ἔνθα βούλεται, ἐκεῖ αὐτῷ διακονοῦσιν. ὥσπερ γὰρ τοῦ πετεινοῦ πόδες τὰ πτερά εἰσιν, οὕτω τὸ οὐράνιον τοῦ φωτὸς πνεῦμα ἀναλαμβάνον τὰ πτερὰ τῶν λογισμῶν τῶν ἀξίων ψυχῶν ὁδηγεῖ καὶ ἡνιοχεῖ ὡς βούλεται καὶ ὡς οἶδεν αὐτός. 9.3.4 Σὺ τοίνυν ὁ ἀκούων ἐπὰν ἀκούσῃς ταῦτα, ἔνιδε ἐν ἑαυτῷ, εἰ κέκτησαι αὐτὰ ἔργῳ καὶ ἀληθείᾳ ἐν τῇ ψυχῇ σου. οὐκ εἰσὶ γὰρ ἁπλῶς οὗτοι οἱ λόγοι ἀργοί, λαλούμενοι μόνον, ἀλλὰ καὶ ἐνεργείᾳ καὶ πληροφορίᾳ καὶ ἀληθείᾳ εἰς Χριστιανὴν ψυχὴν ἐπιτελούμενοι. καὶ εἰ μὴ κέκτησαι, ἀλλὰ πτωχεύεις ἐκ τῶν τοιούτων πνευματικῶν ἀγαθῶν, λύπην καὶ πόνον καὶ θλῖψιν καὶ πένθος ἀδιάλειπτον ὀφείλεις ἔχειν καὶ ἀκμὴν νεκρὸς ὢν ἀπὸ τῆς τῶν ζώντων χώρας, καὶ ὡς τραυματίας ἀεὶ βόα πρὸς τὸν κύριον καὶ αἰτοῦ πιστῶς, ἵνα καὶ αὐτὸς 9.3.5 ταύτης τῆς ἀληθινῆς ζωῆς καταξιωθῇς. ὥσπερ γὰρ τὸ σῶμα τοῦτο ποιήσας ὁ θεὸς οὐκ ἐκ τῆς ἑαυτοῦ φύσεως οὐδὲ ἐκ τῆς ἰδίου οὐσίας ἔδωκεν αὐτῷ ἔχειν τὴν ζωήν, τὴν βρῶσιν καὶ τὴν πόσιν καὶ τὰ ἐνδύματα καὶ τὰ ὑποδήματα, ἀλλὰ πᾶσαν τὴν οἰκονομίαν τῆς ζωῆς ἔξωθεν ἔδωκεν αὐτῷ ἔχειν, αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γυμνὸν ποιήσας, καὶ χωρὶς τῶν ἔξωθεν τοῦ σώματος ὄντων ζῆσαι τὸ σῶμα ἀδύνατον (τουτέστι χωρὶς βρώσεως καὶ πόσεως καὶ ἀμφιασμοῦ), καὶ ἀνάγκῃ πάσῃ τῶν ἔξωθεν αὐτοῦ ὄντων χρῄζει καὶ ἐπιδέεται, ἵνα δύνηται ζῆν καὶ συνεῖναι· ἐὰν δὲ εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ἑαυτοῦ φύσιν μόνον στῇ μηδὲν τῶν ἔξωθεν αὐτοῦ προσλαβόν, διαφθείρεται καὶ ἀπόλλυται, τὸν αὐτὸν τρόπον καὶ τὴν ψυχὴν μὴ οὖσαν φύσεως φωτὸς θείου, κτισθεῖσαν δὲ κατ' εἰκόνα ἰδίαν ὑπὸ θεοῦ· οὕτως ᾠκονόμησε καὶ ηὐδόκησεν ἔχειν αἰώνιον ζωὴν οὐκ ἐκ τῆς ἰδίας φύσεως, ἀλλ' ἐκ τῆς ἑαυτοῦ θεότητος, ἐκ τοῦ ἰδίου πνεύματος, ἐκ τοῦ ἰδίου φωτὸς τροφὴν καὶ βρῶσιν καὶ πόσιν πνευματικὴν καὶ ἐνδύματα οὐράνια 9.3.6 τῆς γὰρ ψυχῆς ἡ ὄντως ζωὴ αὕτη ἐστίν. ὥσπερ τῷ σώματι, ὡς προείρηται, ἡ ζωὴ οὐκ ἐξ αὐτοῦ ἐστιν, ἀλλ' ἔξωθεν αὐτοῦ (τουτέστιν ἀπὸ γῆς) καὶ χωρὶς τῶν ἔξωθεν αὐτοῦ ὄντων ἀδύνατον αὐτὸ ζῆσαι, οὕτω καὶ τὴν ψυχήν ἐὰν μὴ γεννηθῇ ἀπὸ τῆς νῦν εἰς ἐκείνην τὴν γῆν τῶν ζώντων κἀκεῖθεν τραφῇ πνευματικῶς καὶ αὐξήσῃ ἐν κυρίῳ προκόπτουσα καὶ ἀμφιασθῇ ἐκ τῆς θεότητος ἀμφία ἀρρήτου καὶ οὐρανίου κάλλους μὴ οὖσα φύσεως ἐκείνηςκαὶ χωρὶς ἐκείνης τῆς τροφῆς ζῆσαι αὐτὴν ἐν ἀναπαύσει καὶ ἀπολαύσει ἀφθάρτῳ ἀδύνατον. ἔχει γὰρ ἡ θεία φύσις ἄρτον ζωῆς, τὸν εἰπόντα· «ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς», καὶ «ὕδωρ ζῶν» καὶ οἶνον εὐφραίνοντα ὄντως καρδίαν ἀνθρώπου καὶ «ἀγαλλιάσεως ἔλαιον» καὶ παμπόλλην καὶ πολυποίκιλον τροφὴν οὐράνιον καὶ πνευματικὴν καὶ ἐνδύματα φωτὸς οὐράνια ἐκ τοῦ πνεύματος τοῦ θεοῦ 9.3.7 τυγχάνοντα· ἐν τούτοις ἐστὶν ἡ αἰώνιος ζωὴ τῆς ψυχῆς. οὐαὶ τῷ σώματι ὁπόταν εἰς τὴν ἑαυτοῦ φύσιν ἕστηκεν, ὅτι διαφθείρεται καὶ ἀποθνῄσκει· καὶ οὐαὶ δὲ καὶ τῇ ψυχῇ, ὁπόταν εἰς τὴν ἑαυτῆς φύσιν μόνον ἕστηκε καὶ εἰς τὰ ἑαυτῆς ἔργα μόνον πέποιθε, μὴ ἔχουσα θείου πνεύματος κοινωνίαν, ὅτι ἀποθνῄσκει ζωῆς αἰωνίου θεότητος μὴ καταξιουμένη. ὥσπερ γὰρ ἐπὶ τῶν ἀσθενούντων, ἐπὰν μὴ δύνηται τὸ σῶμα λαβεῖν τροφὴν ἢ πόσιν, ἀπελπιστέος ἐστὶ ὁ ἄνθρωπος, καὶ κλαίουσιν ἐπ' αὐτῷ πάντες οἱ γνήσιοι φίλοι, συγγενεῖς καὶ ἀγαπητοί, οὕτω κλαίει ὁ θεὸς καὶ οἱ ἅγιοι ἄγγελοι ψυχὰς τὰς μὴ τρεφομένας τροφὴν οὐράνιον τοῦ πνεύματος αὐτοῦ καὶ ἐν ἀφθαρσίᾳ ζώσας. ταῦτα δὲ οὐκ εἰσὶν ἁπλῶς λόγοι λαλούμενοι, ἀλλ' ἔργον πνευματικὸν ζωῆς, ἔργον ἀληθείας, εἰς τὴν ἀξίαν καὶ πιστὴν ψυχὴν γινόμενον. 9.3.8 Εἰ τοίνυν ἐγένου θρόνος τοῦ θεοῦ καὶ ἐπιβέβηκεν ἐπὶ σὲ ὁ οὐράνιος ἡνίοχος καὶ ἐγένετο ἡ ψυχή σου ὅλη ὀφθαλμὸς πνευματικὸς καὶ ὅλη φῶς, καὶ εἰ ἐτράφης ἐξ ἐκείνης τῆς τοῦ πνεύματος τροφῆς καὶ εἰ ἐποτίσθης ἐκ τοῦ ὕδατος τοῦ ζῶντος καὶ τοῦ ἐνθέου καὶ πνευματικοῦ οἴνου εὐφραίνοντος καρδίαν καὶ εἰ ἐνδέδυσαι τῇ ψυχῇ τὰ τοῦ ἀρρήτου φωτὸς ἐνδύματα, εἰ πάντων τούτων ὁ ἔσω σου ἄνθρωπος ἐν πείρᾳ καὶ πληροφορίᾳ καθέστηκεν, ἰδοὺ ζῇς τὴν ὄντως αἰώνιον ζωὴν ἀπὸ τοῦ νῦν μετὰ τοῦ κυρίου ἀναπαυομένης τῆς ψυχῆς σου. εἰ δὲ οὐκ ἐκτήσω καὶ ἔλαβες ταῦτα παρὰ τοῦ θεοῦ ἐν ἀληθείᾳ, ἵνα ζῇς ζωὴν ἀληθινήν, κλαῖε καὶ λυποῦ καὶ ὀδύρου, ὅτι τοῦ αἰωνίου καὶ πνευματικοῦ 9.3.9 πλούτου ἀκμὴν οὐδέπω τετύχηκας καὶ οἵαν ζωὴν ἀκμὴν οὐδέπω ἐδέξω. πόνον δὲ ἀεὶ ἔχε περὶ τῆς πτωχείας σου δεόμενος τοῦ κυρίου, ὅτι εἰς τὴν δεινὴν πενίαν τῆς ἁμαρτίας ἔτι ἕστηκας. εἴθε δὲ κἂν πόνον τις κέκτηται διὰ τὴν ἑαυτοῦ πτωχείαν, καὶ μὴ ὥσπερ κεκορεσμένος ἐν ἀμεριμνίᾳ διάγῃ. ὅτι ὁ πόνον ἔχων καὶ ζητῶν καὶ αἰτῶν τὸν κύριον ἀδιαλείπτως ταχέως τεύξηται τῆς λυτρώσεως καὶ τοῦ πλούτου τοῦ οὐρανίου, καθὼς καὶ ὁ κύριος ἔλεγε περὶ τοῦ ἀδίκου κριτοῦ καὶ τῆς χήρας διεξερχόμενος τὸν λόγον· «πόσῳ μᾶλλον ὁ θεὸς ποιήσει τὴν ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας· ναὶ λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει».

## 10.τ.1 ΛΟΓΟΣ Ι΄.

10.1.1 Περὶ τοῦ πνευματικοῦ μαργαρίτου. Ὁ κύριος περὶ τῆς βασιλείας τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανῶν λέγων καὶ περὶ τοῦ τιμίου καὶ ἐνδόξου καὶ θείου καὶ μόνου πολυτίμου μαργαρίτου διηγούμενος καὶ πῶς τις λήψεται ἐκδιδάσκων τῇ τῶν φαινομένων παραβολῇ χρησάμενος ἀπεκρίνατο οὕτως· «ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας, ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν πωλεῖ πάντα ὅσα ἔχει καὶ ἀγοράζει τὸν μαργαρίτην ἐκεῖνον», ἵνα βασιλεῖ πάντως ἀρέσῃ ἀπενέγκας καὶ τῆς παρ' αὐτοῦ καταξιωθῇ 10.1.2 τιμῆς· διὰ γὰρ λίθων τιμίων καθυφαίνεται στέφανος τυραννικός. οὕτως τοίνυν καὶ ἡ ψυχὴ ὀφείλει κτήσασθαι καὶ εὑρεῖν τὸν ἐπουράνιον καὶ «πολύτιμον μαργαρίτην», τὸ τοῦ Χριστοῦ πνεῦμα, τὴν μεγάλην καὶ καλὴν ἐμπορίαν, ἵνα ἐν στεφάνῳ δόξης τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ πλακῇ. ἄνευ δὲ τοῦ θείου μαργαρίτου τούτου, ὅπερ ἐστὶ τὸ ἅγιον πνεῦμα, ἀρέσαι ψυχὴ τῷ βασιλεῖ Χριστῷ οὐ δύναται οὐδὲ στέφανος γενέσθαι βασιλικός. 10.1.3 Πῶς τοίνυν τις κτήσεται καὶ εὑρήσει τὸν μαργαρίτην τοῦτον, ἐκ τῶν φαινομένων ἐμπόρων μανθάνειν ἔξεστι τῶν τὴν ἐμπορίαν τῶν πολυτίμων μαργαρίτων ποιουμένων. οὗτοι γὰρ πᾶσαν τὴν οὐσίαν ἑαυτῶν ἀποδόμενοι καὶ πόρρω τῆς ἐνεγκούσης ἐξοικισθέντες καὶ δι' ἐρήμων καὶ λῃστρικῶν τόπων διελθόντες καταλαμβάνουσι τόπους, ἐν οἷς γεννῶνται οἱ μαργαρῖται. πρόκεινται γὰρ ἐκεῖ οἱ τιμιώτεροι καὶ ἐνδοξότεροι τῶν λίθων ὑποκεχαραγμένων καὶ ὑπογεγραμμένων τῶν τιμῶν. καὶ ἕκαστος τῶν ἐμπορευομένων ὁρᾷ τοὺς προκειμένους λίθους, ὁρᾷ δὲ καὶ πῶς μέλλει βασιλεῖ ἐμφανίζεσθαι. εἰ δὲ ὑπερβαίνει τὸν πλοῦτον αὐτοῦ, οὐ μόνον ἐπὶ τῷ κενῷ μόχθῳ ἄχθεται καὶ πενθεῖ, 10.1.4 ἀλλ' ἔτι οὐδὲ βασιλέα δύναται ὄψεσθαι. τὸν αὐτὸν τρόπον καὶ ὁ Χριστὸς ὁ κύριος ἡμῶν προετύπωσε καὶ προέγραψε τὴν τοῦ καλοῦ καὶ μεγάλου μαργαρίτου τιμήν, οὗ χωρὶς οὐδεὶς δύναται ἀρέσαι τῷ ἐπουρανίῳ βασιλεῖ. ἡ δὲ τιμὴ ἄρνησις κόσμου καὶ θάνατος καὶ σταυρός· αὐτὸς γὰρ τύπος γέγονε καὶ ἀρχηγὸς τῆς εἰς ζωὴν ἀπαγούσης ὁδοῦ, δοὺς εἰς θάνατον τὸ ἴδιον σῶμα ὑπὲρ ἡμῶν καὶ νικήσας τὴν τοῦ διαβόλου τυραννίδα καὶ ἐξαγοράσας ἡμᾶς τῷ ἰδίῳ 10.1.5 αἵματι. καὶ οὕτως πάντας τοὺς ἀκολουθήσαντας καὶ μαθητευομένους αὐτῷ καὶ θέλοντας κτήσασθαι τὸν ἐπουράνιον μαργαρίτην (ὅς ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν) ἐκδιδάσκει ἀρνήσασθαι ἑαυτοὺς καὶ μηκέτι ἑαυτοῖς ζῆν κατὰ τὸν ἀπόστολον· «ἵνα οἱ ζῶντες», φησί, «μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι» Χριστῷ. αὐτὸς δὲ ὁ κύριος λέγει· «ἀρνησάσθω ἑαυτὸν καὶ ἀκολουθείτω μοι». καὶ πάλιν· «ἐὰν μή τις, φησί, μισήσῃ πατέρα, μητέρα, ἀδελφοὺς» καὶ τὰ ἑξῆς «ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ 10.1.6 δύναταί μου εἶναι μαθητής». διὰ θανάτου τοίνυν ἀγοράζεται οὗτος ὁ τῆς ζωῆς μαργαρίτης Χριστός, καὶ οὕτως ἐὰν μή τις ἑαυτὸν παρασκευάσῃ καὶ ἑαυτὸν ἀρνήσηται διδοὺς εἰς θάνατον τὴν ψυχὴν αὐτοῦ, τοῦτον οὐ δύναται κτήσασθαι τὸν μαργαρίτην, καὶ χωρὶς αὐτοῦ οὐ δύναται ἰδεῖν τὸν ἐπουράνιον πατέρα. αὐτὸς γάρ ἐστιν ὁ στέφανος ὁ πλακεὶς τῆς δόξης, αὐτός ἐστιν ὁ Χριστὸς ὁ συνδεδεμένος λίθοις πολυτελέσι καὶ στέφανος ἔνδοξος τῆς ἐκκλησίας 10.1.7 τῶν ἁγίων γενόμενος. καὶ πᾶσα δὲ ψυχὴ ἡ ἐπιθυμοῦσα εἰς ζωὴν ἀπελθεῖν τοῦτον τὸν μαργαρίτην ζητησάτω καὶ κτησάσθω τὸν κύριον τὸν πάντα ἐν πᾶσι γενόμενον τροφήν, πόμα, ἔνδυμα, θησαυρόν, ἀνάπαυσιν, χαρὰν ἀνεκδιήγητον, ζωὴν ἀληθινήν, διδοῦσα ἑαυτὴν μέχρι θανάτου. ὁ τοίνυν εὑρὼν τοῦτον, εὗρεν εἰς ὅλους αἰῶνας πλοῦτον, ἀπόλαυσιν ἀένναον, φῶς ἀκοίμητον, δόξαν ἀσκότιστον· πάντα γὰρ ταῦτα διαφόρως ἐνεργεῖ ἐν αὐτῷ συμμεταβαλλομένῳ ταῖς χρείαις. 10.1.8 Ἀκούσασα τοίνυν τὸν λόγον τοῦ θεοῦ ψυχὴ καὶ συνηδομένη τῷ θεῷ διεγειράτω ἑαυτὴν καὶ ἐξυπνιζέτω εἰς τὴν ἀγάπην τοῦ ποθουμένου κυρίου καὶ ἐξαπτέτω τὴν ἀγάπην τοῦ νυμφίου. ὡς πῦρ ἐν ἀφθόνῳ ὕλῃ ἐκκαιόμενον αὔξει τὴν φλόγα, ἐπιθυμησάτω ποτὲ καταξιωθῆναι τῆς ἀρρήτου ἐπιφανείας καὶ ἕως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θανάτου ἀγωνισάσθω, ἵνα νικήσασα τύχῃ τῆς αἰωνίου ζωῆς κατὰ τὸν πρόδρομον ἡμῶν Χριστόν, τὸν ἕως θανάτου δεδωκότα ἑαυτὸν ὑπὲρ ἡμῶν. ὑπόδειγμα γὰρ ὁ κύριος πᾶσι γεγένηται, ἵνα ὥσπερ αὐτὸς διὰ τῆς ἀδοξίας καὶ τῆς ἀτιμίας καὶ τοῦ ἐσχάτου θανάτου ἐνίκησε τὸν ἐχθρόν, οὕτω καὶ ἡμεῖς ἐν πάθεσι καὶ ταπεινώσει καὶ ἀδοξίᾳ ἀναστρεφόμενοι καὶ ἕως θανάτου αἰσχύνης καταφρονήσαντες δυνηθῶμεν νικῆσαι τὸν διάβολον καὶ λαβεῖν ζωὴν καὶ κτήσασθαι τὸν «πολύτιμον μαργαρίτην», ὅς ἐστι Χριστὸς κατὰ τὸ εἰρημένον· «οὔπω 10.1.9 μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι». διὰ θανάτου τὸν θάνατον νικήσωμεν μὴ συνδυάζοντες τῇ κακίᾳ μηδὲ καταπίπτοντες λογισμοῖς. αἰσχρὸν δὲ τοὺς μὲν ἐμπόρους τοιαῦτα πελάγη διαπερᾶν καὶ κινδύνων θανατηφόρων καταφρονεῖν διὰ τὴν τοῦ πλούτου αὔξησιν καὶ προσθήκην, ἡμᾶς δὲ μὴ καταφρονεῖν τοῦ προσκαίρου θανάτου (τουτέστι τῶν ἡδονῶν τοῦ κόσμου) τοὺς τῆς αἰωνίου ζωῆς ἐπιλαβέσθαι ποθοῦντας καὶ τὸ ἄφθαρτον φῶς τοῦ καλλίστου μαργαρίτου κτήσασθαι βουλομένους καὶ τὴν ἐμπορίαν τοῦ ἀληθινοῦ θησαυροῦ ἐμπορεύσασθαι ἐπιθυμοῦντας. 10.1.10 Παρακαλῶ τοίνυν ὑμᾶς, ἀδελφοί, τοῦ θανάτου καταφρονεῖν καὶ ἐξουδενωμένην ἔχειν τὴν ἑαυτῶν ψυχὴν καὶ ἕως θανάτου μιμητὰς γενέσθαι τοῦ κυρίου, τοῦ ἐν πᾶσι τύπου καὶ ὑποδείγματος ἡμῖν γενομένου καὶ ἐν θανάτῳ νικήσαντος τὸν θάνατον. 10.2.1 Ἐν γὰρ τῷ νόμῳ μυστικῶς «ὑποδείγματι καὶ σκιᾷ» περὶ τοῦ θανάτου κυρίου Μωϋσῆς, ὁ καλὸς τοῦ θεοῦ θεράπων, καὶ αἰνιγματωδῶς ἐπιτελεῖ τὴν δάμαλιν «ἔξω τῆς παρεμβολῆς» ἐν ἐρήμῳ τόπῳ εἰς ἄφεσιν ἁμαρτιῶν θύεσθαι προστάξας, ἧς ἡ σποδιὰ καὶ τὸ αἷμα ῥαντιζόμενον ἡγίαζε πάντα τὸν λαὸν καὶ τοὺς ἱερεῖς καὶ τὰ λειτουργικὰ σκεύη καὶ αὐτὸ τὸ βιβλίον καὶ τὴν σκηνήν. καθὼς καὶ ὁ ἀπόστολος Ἑβραίοις διαλεγόμενος τὴν ἀληθινὴν τοῦ μυστηρίου εἰκόνα ἐξηγήσατο· «εἰ γὰρ τὸ αἷμα, φησίν, ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου προσήνεγκεν ἑαυτὸν ἄμωμον τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν 10.2.2 ἔργων εἰς τὸ λατρεύειν θεῷ ζῶντι». τὸ δὲ «ἔξω τῆς παρεμβολῆς» δάμαλιν εἰς τὴν ἔρημον θύεσθαι δισσῶς νοεῖται· ἢ ὅτι ἐρήμων οὐσῶν τῶν ψυχῶν καὶ μὴ ἐχουσῶν φωνὴν θεοῦ ἢ ὁδὸν ἐν αὐταῖς, ἀλλὰ μεμεστωμένων ἀκανθῶν δεινῶν, ἔπαθεν ὁ κύριος, ἵνα καθαρίσῃ αὐτὰς καὶ κατειρηνεύσῃ, ἢ ὅτι δεῖ τὰς ἐξερχομένας ψυχὰς ἀπὸ τῶν πατρίδων καὶ ἀπὸ τῆς συγγενείας καὶ ἀπὸ τῆς συντροφίας τῆς δεινῆς τῶν πονηρῶν πνευμάτων τοῦ σκότους, ἐν αἷς διῆγον καὶ ἔζων, ἐξελθεῖν διὰ τῆς δυνάμεως τοῦ κυρίου καὶ ἀναχωρῆσαι εἰς τὴν καθαρὰν γῆν τῆς ζωῆς, ἔνθα οὐκ εἰσὶ φωναὶ τῆς κακίας καὶ θροῦς τῶν πονηρῶν πνευμάτων καὶ ὄχλος ἀκαθάρτων δαιμόνων. ἀπειρόζυγος δὲ ἦν ἡ δάμαλις, διότι ζυγὸν ἁμαρτίας καὶ δουλείας ὁ κύριος οὐκ ἐβάστασεν, ἀλλὰ ἀπέθανεν ὑπὲρ ἡμῶν· δυνάμεθα δὲ καὶ ἡμεῖς περιγενέσθαι ἐξακολουθοῦντες τῇ ὁδῷ τοῦ κυρίου. 10.2.3 Τυπικῶς δὲ ὁ νόμος ἐκέλευσε τοὺς ἀπὸ τῶν ἐθνῶν προσιόντας περιτέμνεσθαι καὶ συναριθμεῖσθαι τῷ λαῷ τοῦ θεοῦ, τὴν εἴσοδον τῶν ἐθνῶν διαγράφων τῶν μελλόντων πιστεύειν καὶ ἐγκαταριθμεῖσθαι τῇ ἐπουρανίῳ ἐκκλησίᾳ. ἔλεγε δὲ καὶ περὶ τῆς ἑορτῆς ὁ νόμος· «ἐξολοθρευθήσεται, φησίν, ἐκ τοῦ ἔθνους πᾶς ὁ μὴ ἑορτάζων τὴν ἑορτὴν τοῦ πάσχα», περὶ τῆς κατὰ ψυχὴν μελλούσης γίνεσθαι ἑορτῆς λέγων· «ἐξολοθρευθήσεται, φησί, πᾶς ἀπερίτμητος ἐκ φυλῆς Ἰσραὴλ καὶ κληρονομίαν οὐχ ἕξει ἐν τοῖς ἀδελφοῖς αὐτοῦ πᾶς ἀκρόβυστος». οὕτως ἐνταῦθα ὁ ἀπερίτμητος τὴν καρδίαν ὁ μὴ τῇ μαχαίρᾳ τοῦ πνεύματος περιτμηθείς, υἱὸς θεοῦ ἢ Ἰσραὴλ ὁρῶν θεὸν οὐκ ὀνομάζεται οὐδὲ τῇ κληρονομίᾳ τῆς ζωῆς συγκαταριθμεῖται. καὶ ὥσπερ ἐκεῖ οὐκ ἦν ἐξὸν προσελθεῖν ἢ κοινωνῆσαι τοῖς ἔθνεσιν, οὕτως ὁ θεὸς χωρίζει



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ψυχὴν ἀπὸ τῶν πνευ10.2.4 μάτων τῆς πονηρίας, τὸν νόμον τοῦ πνεύματος δοὺς ἐν τῇ καρδίᾳ. καὶ πάλιν περὶ τῆς ἑορτῆς τοῦ πάσχα καὶ τῶν ἀζύμων γράφει λέγων· "1ἐξολοθρευθήσεται πᾶσα ζύμη ἐν τῇ ἑορτῇ τοῦ πάσχα καὶ εἰς ἣν ἂν οἰκίαν εὑρεθῇ ζύμη παλαιὰ ἐξολοθρευθήσεται."2 οἰκίαν τὸ σῶμα αἰνίττεται· εἰς ἣν ἂν οἰκίαν εὑρεθῇ ζύμη ἁμαρτίας ἐξολοθρευθήσεται. ἔστι ζύμη παλαιὰ καὶ ἄζυμα καὶ ζύμη καινή, ὅτι τὸ θέλημα καὶ τὴν προαίρεσιν ἀπαιτεῖ ἀσυνδύαστον καὶ ἀσύμφωνον καθόλου τῇ κακίᾳ εἶναι, ἢ ὅτι ἄζυμον τὸν πρῶτον Ἀδὰμ λέγει καὶ ζύμην καινὴν τὴν θεότητα καὶ τὴν τοῦ πνεύματος δύναμιν, ἐν ᾧ ζυμοῦται καὶ συγκιρνᾶται 10.2.5 τῇ ψυχῇ. καὶ «ἄζυμα δὲ μετὰ πικρίδων» ἐσθίειν κελεύει, τὰς πικρὰς θλίψεις ὑπομένειν διδάσκων, ἤτοι τὰς φαινομένας ἤτοι τὰς ἀφανεῖς ἐν τῇ καρδίᾳ ὑπὸ τῆς τοῦ πονηροῦ γινομένας στενοχωρίας. ἡ δὲ χρηστότης καὶ γλυκύτης τοῦ καλοῦ καὶ ἀμώμου ἀρνίου Χριστοῦ ἐπιλανθάνεσθαι ποιεῖ τῆς τραχύτητος καὶ τῆς πικρίας τῶν θλίψεων τοὺς ἀπογευομένους αὐτοῦ. καὶ συνελόντι «πάντα τὰ κατὰ τὸν νόμον τύποι συνέβαινον ἐκείνων, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμετέραν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε». 10.2.6 Παρακαλέσωμεν τοίνυν καὶ ἡμεῖς τὸν θεὸν καὶ πιστεύσωμεν χρισθῆναι τῷ αἵματι τοῦ Χριστοῦ (τουτέστι τῷ πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ) καὶ ἐλευθερωθῆναι καὶ λυτρωθῆναι ἐκ τῆς δουλείας τῆς ἁμαρτίας καὶ ἐλευθερωθῆναι ἐκ τῶν δεσμῶν τοῦ σκότους, καὶ οὕτως «συζήσωμεν αὐτῷ» εἰς τοὺς ἀπεράντους αἰῶνας. Δόξα τῇ εὐσπλαγχνίᾳ αὐτοῦ. 10.3.1 Φησὶν ὁ μακάριος Παῦλος γράφων Κορινθίοις· «ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ θεοῦ (τουτέστι τὸ νοερὸν φῶς) κατοπτριζόμεθα τὴν αὐτὴν εἰκόνα ἀναμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν». ὥσπερ γάρ τις βασιλικὰ ἐνδύματα, πορφυρίδα καὶ διάδημα καὶ τὰ λοιπὰ ὁμοίως διάφορα καὶ ποικίλα ἐνδύματα, κατανοῶν θαυμάζει τὴν ποικιλότητα, τὴν ὡραιότητα, τὴν τερπνότητα, τὸ κάλλος τῶν τιμίων λίθων, καὶ ἀκόρεστος αὐτῷ γίνεται ἡ θέα τῆς τερπνότητος καὶ ὡραιότητος, ἢ ὥσπερ ἥλιον κατανοήσας τις ὁρᾷ τὰς μαρμαρυγὰς τῶν ἀκτίνων αὐτοῦ, ὅτι οἷον ζῶσι ποικίλην θέαν δεικνύουσιν ἑτέρα τῆς ἑτέρας κρείττονα, ἢ ὥσπερ ἐν ὕδατι κατανοήσας τις ὁρᾷ τὸν ἥλιον στίλβοντα ἐν τῷ ὕδατι καὶ μεθαλλόμενον καὶ μετακινούμενον ποικίλως· 10.3.2 οὕτω καὶ οἱ φοροῦντες τὴν ἐπουράνιον εἰκόνα τοῦ Χριστοῦ καὶ τὸ φῶς τὸ ἄρρητον ἔχοντες ἐν ἑαυτοῖς καὶ ἐνδεδυμένοι τὴν πορφύραν τοῦ ἐπουρανίου βασιλέως (τουτέστιν ἐπουράνιον χαρὰν τοῦ πνεύματος) κατανοοῦντες τὸ κάλλος τοῦ ἐν αὐτοῖς ἀρρήτου φωτὸς «ἀνακεκαλυμμένῳ» τῆς ψυχῆς «προσώπῳ» ὁρῶσι τῆς ἀφθάρτου δόξης τὴν ἄρρητον ποικιλίαν, πῶς μεταμορφοῦται «ἀπὸ δόξης εἰς δόξαν» καὶ εἰς πολυποίκιλα κάλλη θεότητος, ἅπερ γλώσσῃ σαρκίνῃ φρασθῆναι ἀδύνατον· ἀνεννόητα γάρ ἐστι καὶ ἄρρητα, ἅπερ ποιεῖ μετὰ τῶν 10.3.3 ἁγίων τῇ ἰδίᾳ ἀμέτρῳ χρηστότητι ὁ θεὸς ἔτι ἐν τῷ κόσμῳ τούτων ὄντων. αὗται γὰρ παραβολαὶ καὶ εἰκόνες εἰσὶ μερικῶς ἔμφασιν τοῖς συνιοῦσι παρέχουσαι. τὰ γὰρ τοῦ θεοῦ τῇ πείρᾳ μόνῃ γινώσκεται ἐξ ἀληθείας οἷς αὐτὰ τὰ μυστήρια τῶν πραγμάτων ἐνεργεῖται ἀξίως. ἔστι τοῦ θεοῦ ἀκοῦσαι λόγον καὶ νοεῖν ὑπὲρ τὴν γνῶσίν σου, ὑπὲρ τὸν νοῦν σου, ὑπὲρ τὴν συνείδησίν σου, ἕως οὗ 10.3.4 αὐτὰ τὰ πράγματα τῶν μυστηρίων τῆς χάριτος γένηται ἐν σοί. αὐτὴ γὰρ ἡ ὁρωμένη πορφύρα καὶ τὰ ἐνδύματα τὰ βασιλικὰ οὐδὲν κέρδος ἢ ζωὴν τοῖς ὁρῶσιν αὐτὰ παρέχουσιν ἢ μόνον τῷ φαίνεσθαι τέρπουσιν. ἡ δὲ θεϊκὴ δόξα καὶ τὸ κάλλος τῆς ἐπουρανίου εἰκόνος ταῖς κατοπτριζομέναις ψυχαῖς καὶ ἐχούσαις αὐτὴν ἐν ἑαυταῖς ἀνάπαυσιν καὶ ζωὴν αἰώνιον παρέχει, ἀγάπην ἀληθινὴν ἐν καθαρότητι καρδίας, τροφὴν οὐράνιον, σύνεσιν, σοφίαν, χαρὰν πνεύματος ἀδιάλειπτον, τῇ δυνάμει τῆς ἐνεργείας καὶ αὐτοὶ συνεξομοιούμενοι. ὅσοι τοίνυν τοῖς ἔσωθεν ὀφθαλμοῖς τὸ νοερὸν τοῦτο φῶς κατοπτριζόμενοι εἰσὶ λάμπον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν ταῖς καρδίαις, εἰς οὐδὲν τῶν γηΐνων ἢ ὑλικῶν ἀπησχολημένοι εἰσίν, 10.3.5 ἀλλὰ τὸ ὅλον δέδενται εἰς ἐκεῖνο τὸ ἄρρητον κάλλος ἐξ ὅλου. ὥσπερ γὰρ ἐὰν ᾖ μαῖα καὶ ἄρῃ τὸ βρέφος ἐν ταῖς ἀγκάλαις αὐτῆς, τὸ δὲ παιδίον θεωροῦν τὴν μητέρα χαίρει καὶ ἀγαλλιᾷ, ἐξ αὐτῆς λαμβάνον τὴν τροφὴν τοῦ γάλακτος, οὕτω καὶ οἱ τὸ ἀληθινὸν φῶς τοῦ πνεύματος ἔχοντες ἐν ἑαυτοῖς καὶ τὸν Χριστὸν ἐνδεδυμένοι ἐνορῶντες αὐτὸν ἀναπαύονται καὶ χαίρουσι «χαρᾷ ἀνεκλαλήτῳ». ἐξ αὐτοῦ γὰρ τρέφονται τροφὴν ἄφθαρτον καὶ ἐν αὐτῷ ζῶσι ζωὴν ἀληθινήν. 10.4.1 Πάντες οἱ ἄρχοντες τῆς πονηρίας οἱ ἐνδομυχοῦντες ταῖς ψυχαῖς τῶν ἀνθρώπων οὐ ἔγνωσαν τὸν κύριον σαρκωθέντα, ἕως οὗ ἐσάλευσε τοὺς θρόνους αὐτῶν ἀπὸ τῶν καρδιῶν τῶν ἀνθρώπων τῶν πιστῶν καὶ τὰς καθέδρας αὐτῶν ἀνέτρεψε καὶ τὰ σκεύη διεσκόρπισεν, ἵνα ναὸς καὶ οἰκητήριον γένηται ἴδιον ὁ ἄνθρωπος καὶ τότε τὰ ἑαυτοῦ σκεύη, τὰ μυστήρια τοῦ πνεύματος καὶ τὸν θρόνον τὸν 10.4.2 ἴδιον, θῇ εἰς ἴδιον οἰκητήριον. καὶ πάλιν ὅτε κατελθὼν ὁ κύριος εἰς τὰ μνημεῖα καὶ εἰς τὸν ᾅδην ἥρπασε καὶ ἔλαβεν ἀπ' αὐτοῦ τὰς ἰδίας ψυχὰς τὰς ὑπὸ τοῦ διαβόλου κατεχομένας, προσέφερεν ὁ πονηρὸς τὰ χειρόγραφα λέγων· "1ἐμοὶ δοῦλοι τυγχάνουσιν, ἐγὼ ἠγόρασα αὐτούς, σύ μοι αὐτοὺς πέπρακας· τί ἀδικεῖς με; διὰ τί τοὺς ἐμοὶ δουλεύοντας ἁρπάζεις;"2 τότε φησὶν ὁ κύριος πρὸς αὐτόν· "1καλῶς λέγεις· ἐγώ σοι αὐτοὺς πέπρακα παραδούς σοι, καὶ ἴδε προφέρεις κατ' αὐτῶν τὰ χειρόγραφα· μή τι κατὰ τοῦ ἐμοῦ σώματος ἔχῃς; ἢ τί σοι ὑπήκουσε 10.4.3 τὸ ἐμὸν σῶμα, ὅτι ἀδίκως ἐθανάτωσας αὐτό; ἀναμάρτητον γάρ ἐστι."2 τότε οὖν συγκαλεσάμενος πάντας τοὺς ἀγγέλους αὐτοῦ τοὺς πονηροὺς ὁ σατανᾶς φησι· "1ζητήσατε τὸ χειρόγραφον τούτου τοῦ σώματος."2 οἱ δὲ ἐξηρεύνων πάντῃ καὶ πανταχοῦ, καὶ οὐδαμοῦ εὑρεῖν ἠδυνήθησαν. ἐν τῷ οὖν μὴ εὑρεῖν † τὸ καθόλου κατὰ τοῦ σώματος τοῦ κυρίου φησὶν ὁ κύριος· "1χειρόγραφον τούτου οὐκ ἔχεις."2 ὁ δὲ ἔκθαμβος γενόμενος κατῃσχύνθη μηδὲν ἔχων εἰπεῖν κατὰ τοῦ σώματος τοῦ κυρίου, εἰς ὅπερ ἥμαρτεν· † ἀναιτίως οὖν σταυρώσας κατεκρίθη †. καί φησιν ὁ κύριος. "1ἰδὲ ὅπερ ἐβουλήθης ἐποίησας εἰς τὴν ἐμὴν ἀναμάρτητον σάρκα, ἀδίκως σταυρώσας καὶ θανατώσας μὴ οὖσαν ὑπόχρεων θανάτῳ. διὰ τοῦτο τοίνυν αὐτὴ ἡ σάρξ, ἧς οὐχ εὗρες χειρόγραφον καὶ ἐτόλμησας εἰς αὐτὴν ἐγχειρῆσαι, πᾶσαν σάρκα πιστεύουσαν εἰς αὐτὴν ἐξαγοράσει καὶ ἐλευθερώσει καὶ 10.4.4 εἰς οὐρανοὺς ἀποκαταστήσει εἰς ζωὴν αἰώνιον."2 διὰ γὰρ τοῦ αἵματος αὐτοῦ καὶ τοῦ σταυροῦ ἐξηγόρασεν ὁ κύριος πάντας ἐκ τοῦ θανάτου τοὺς βουληθέντας ἢ βουλομένους πιστεῦσαι αὐτῷ καὶ εἰς αὐτὸν ἔχειν τὴν ἐλπίδα καὶ ἀναστήσας εἰς τὴν βασιλείαν ἀποκαταστήσει. φησὶ γὰρ ὁ ἀπόστολος· «οὐκ ἐστὲ ἑαυτῶν; τιμῆς ἠγοράσθητε», καὶ πάλιν Πέτρος λέγει· «εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε», «ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ 10.4.5 ἀμώμου καὶ ἀσπίλου Χριστοῦ». τὴν οὖν σάρκα ὥσπερ βασιλεὺς πορφύραν ὁ θεὸς περιθέμενος «ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς». οἱ δὲ Ἰουδαῖοι ἔσχισαν τὴν πορφύραν τοῦ βασιλέως τὴν σάρκα τοῦ κυρίου σταυρώσαντες. πνεῦμα γὰρ θεότητος τίς δύναται κατασχεῖν, ὁπότε οὐδὲ ψυχὴν κατασχεῖν τις δύναται ἀναφῆ οὖσαν; αἴτιοι οὖν εἰσιν Ἰουδαῖοι τὸν θεὸν σταυρώσαντες ὡς τὴν πορφύραν τοῦ βασιλέως σχίσαντες. ὥσπερ γὰρ συνδεδόξασται ἡ πορφύρα τοῦ βασιλέως καὶ οὐ προσκυνεῖται βασιλεὺς χωρὶς τῆς πορφυρίδος, οὕτως συνδεδόξασται ἡ σὰρξ τοῦ κυρίου τῇ θεότητι αὐτοῦ καὶ προσκυνεῖται Χριστὸς μετὰ τῆς σαρκὸς αὐτοῦ. ἡ γὰρ σὰρξ σὺν τῇ ψυχῇ καὶ ἡ θεότης ἕν τι γεγόνασι 10.4.6 κἂν δύο εἰσίν. ὥσπερ γὰρ ἔριον βαφὲν ἐν πορφύρᾳ, εἰ καὶ ἐκ δύο ἐστὶ φύσεων καὶ ὑποστάσεων, ἓν εἶδος ἀπετελέσθη εὐπρεπές (οὔτε γὰρ ἐγχωρεῖ τὸ ἔριον μετὰ τὴν βαφὴν χωρισθῆναι ἢ τὸ βάμμα τοῦ ἐρίου), οὕτω καὶ ἡ σὰρξ μετὰ τῆς ψυχῆς ἑνωθεῖσα τῇ θεότητι ἕν τι ἀπετελέσθη ἤτοι μία ὑπόστασις, θεὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

10.4.7 οὐράνιος μετὰ τῆς σαρκὸς προσκυνούμενος. ἐξηγόρασε τοίνυν ὁ κύριος πᾶσαν σάρκα διὰ τῆς ἰδίας σαρκός, καὶ πᾶσα σὰρξ ἡ πιστεύσασα καὶ ἀκολουθήσασα αὐτῷ καὶ δεχομένη αὐτὸν νῦν συνδοξάζεται τῇ σαρκὶ τοῦ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καθώς φησιν ὁ ἀπόστολος· «ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης 10.4.8 αὐτοῦ». κατὰ τοῦτον οὖν τὸν τρόπον καὶ οἱ ἄρχοντες τῆς πονηρίας οἱ ἔνδον ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων ὄντες οὐκ ἔγνωσαν αὐτὸν ἐλθόντα, ἕως οὗ ἀπεκίνησεν αὐτοὺς καὶ ἐξέβαλλεν ἀπὸ τῶν ψυχῶν τῶν πεισθεισῶν αὐτῷ καὶ θρόνον καὶ ναὸν καὶ οἰκητήριον καθαρὸν καὶ ἅγιον ἑαυτῷ κατεσκεύασε τὰς ἐν ἀληθείᾳ ἀγαπώσας αὐτὸν ψυχάς, καὶ οὕτως ἄμωμοι διὰ τοῦ πνεύματος αὐτοῦ καταρτισθεῖσαι σὺν αὐτῷ ἐν τῇ βασιλείᾳ ἀναπαύσονται εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 11.τ.1 ΛΟΓΟΣ ΙΑ΄. Περὶ τοῦ σκιὰν ἔχειν τὸν νόμον τῶν μελλόντων ἀγαθῶν καὶ οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων.

11.1.1 Ἡ δόξα Μωϋσέως, ἣν εἶχεν ἐπὶ τοῦ προσώπου, τύπος ἦν τῆς ἀληθινῆς δόξης. ὃν τρόπον γὰρ ἐκεῖ «ἀτενίσαι εἰς τὸ πρόσωπον Μωϋσέως» οὐκ ἴσχυον, οὕτω νῦν ἐκείνην μὲν τὴν δόξαν τοῦ φωτὸς ἐν τῇ ψυχῇ δέχονται οἱ Χριστιανοί, τὸ σκότος δὲ μὴ φέρον τὴν αὐγὴν τοῦ φωτὸς ἐκτυφλούμενον φυγαδεύεται. ἐκεῖνοι ὅτι λαὸς θεοῦ ἦσαν, ἐκ τῆς περιτομῆς ἐφαίνοντο. ἐνταῦθα δὲ ὁ λαὸς τοῦ θεοῦ ὁ περιούσιος τὸ σημεῖον τῆς περιτομῆς ἔνδον ἐν τῇ καρδίᾳ ὑποδέχονται· μάχαιρα γὰρ ἐπουράνιος ἐκτέμνει τὸ περισσὸν τοῦ νοῦ, τουτέστι τὴν ἀκάθαρτον ἀκροβυστίαν τῆς ἁμαρτίας. παρ' ἐκείνοις βαπτίσματα τὴν σάρκα ἁγιάζοντα, παρ' ἡμῖν δέ ἐστι βάπτισμα ἁγίου πνεύματος καὶ πυρός· τοῦτο γὰρ ἐκήρυσσεν Ἰωάννης λέγων· «αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί». 11.1.2 Ἐκεῖ σκηνὴ ἐξωτέρα καὶ ἐσωτέρα· καὶ «εἰς μὲν τὴν πρώτην διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς», «τοῦτο δηλοῦντος τοῦ πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδόν». ἐνταῦθα δὲ οἱ καταξιούμενοι εἰσέρχονται εἰς τὴν σκηνὴν τὴν ἀχειροποίητον, «ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν» ὁ Χριστός. γέγραπται γὰρ ἐν τῷ νόμῳ τὸν ἱερέα λαβεῖν δύο περιστερὰς καὶ θῦσαι τὴν μίαν καὶ ἐκ τοῦ αἵματος ῥαντίσαι τὴν ζῶσαν καὶ ἀπολῦσαι ἵπτασθαι ἐλευθέραν. τὸ γινόμενον δὲ τύπος ἦν καὶ σκιὰ τῆς ἀληθείας. καὶ γὰρ ὁ Χριστὸς ἐτύθη, καὶ τὸ αἷμα ῥαντίσαν ἡμᾶς πτεροφυῆσαι ἐποίησεν· ἔδωκε γὰρ ἡμῖν πνεύματος ἁγίου πτέρυγας πρὸς τὸ ἵπτασθαι ἀκωλύτως εἰς τὸν ἀέρα τῆς θεότητος. 11.1.3 Ἐκείνοις νόμος ἐδόθη ἐν «πλαξὶ λιθίναις» γεγραμμένος, ἡμῖν δὲ νόμοι πνευματικοὶ καὶ ἐγγραφόμενοι ἐν «καρδίαις σαρκίναις». λέγει γάρ· «διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν καὶ ἐπὶ τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς». ἐκεῖ μὲν πάντα καταργούμενα καὶ πρόσκαιρα, νῦν δὲ πάντα ἐξ ἀληθείας εἰς τὸν 11.1.4 ἔσωθεν ἄνθρωπον ἐπιτελούμενα. διαθήκη τε ἔσωθεν γὰρ καὶ ἱερατεία ἔσωθεν καὶ ἐπαγγελίαι τῆς ἀληθινῆς γῆς, καὶ ἁπαξαπλῶς ὅσα ἐκεῖ συνέβαινε, «τυπικῶς» ἐγίνετο· «ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε». τῷ γὰρ Ἀβραὰμ ἐπηγγείλατο ὁ θεὸς καὶ προεῖπε τὸ ἐσόμενον ἐν δυσὶ τρόποις, τυπικῶς καὶ ἀληθινῶς. εἶπε γὰρ αὐτῷ «ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ, καὶ κακώσουσιν αὐτὸ καὶ δουλώσουσιν ἔτη 11.1.5 τετρακόσιν. καὶ τὸ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ». λέγει κύριος καὶ γέγονε τοῦτο. πάροικος γὰρ ἐγένετο ὁ λαὸς καὶ κατεδουλώθη ὑπὸ τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Αἰγυπτίων καὶ ἐκακώθη ἐν πηλῷ καὶ ἐν πλίνθῳ· ἐπέστησε γὰρ αὐτοῖς Φαραὼ ἐργοεπιστάτας καὶ ἐργοδιώκτας, ἵνα ποιήσωσι τὰ ἔργα αὐτοῦ μετὰ ἀνάγκης. καὶ ὡς «ἐστέναξαν ἀπὸ τῶν ἔργων οἱ υἱοὶ Ἰσραὴλ» πρὸς τὸν θεόν, τότε ἐπεσκέψατο αὐτοὺς διὰ Μωϋσέως καὶ πολλαῖς πληγαῖς πατάξας τοὺς Αἰγυπτίους ἐν τῷ μηνὶ τῷ τῶν ἀνθῶν, ὅτε πρῶτον ἐπιφαίνεται τὸ ἡδὺ ἔαρ, τῆς στυγνότητος τοῦ χειμῶνος ἀπερχομένης, ἐξάγει τὸν λαὸν ἐξ Αἰγύπτου. 11.1.6 Εἶπε δὲ ὁ θεὸς τῷ Μωϋσῇ ἄρνα λαβεῖν ἄμωμον καὶ σφάξαι καὶ τὸ αἷμα αὐτοῦ χρῖσαι ἐπὶ τῶν θυρῶν, ἐπὶ τῶν φλιῶν, «ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα τῶν Αἰγυπτίων θίγῃ αὐτῶν». ἑώρα δὲ ὁ ἀποσταλεὶς ἄγγελος τὸ σημεῖον τοῦ αἵματος πόρρωθεν καὶ ἀφίστατο, ἐπεισῄει δὲ ἐπὶ τὰς μὴ σεσημειωμένας τῷ αἵματι οἰκίας καὶ πᾶν πρωτότοκον ἀνῄρει. ἔτι δὲ καὶ ζύμην παλαιὰν ἐκ παντὸς οἴκου ἐκέλευσεν ἀφανισθῆναι καὶ τὸ σφαζόμενον ἀρνίον μετὰ τῶν ἀζύμων καὶ πικρίδων ἐσθίειν προσέταξεν, ἐσθίειν δὲ αὐτοὺς περιεζωσμένους τὰς ὀσφύας καὶ ὑποδεδεμένους ἐν τοῖς ποσὶ τὰ ὑποδήματα καὶ τὰς βακτηρίας ἔχοντας ἐν ταῖς χερσί. καὶ οὕτω μετὰ σπουδῆς ἐσθίειν πρὸς ἑσπέραν κελεύει τὸ πάσχα τοῦ 11.1.7 κυρίου μηδὲ ὀστοῦν συντρῖψαι τοῦ ἀρνίου. ἐξήγαγε δὲ αὐτοὺς ἐν χρυσίῳ καὶ ἀργυρίῳ, κελεύσας χρήσασθαι ἕκαστον παρὰ γείτονος αὐτοῦ Αἰγυπτίου σκεύη χρυσᾶ καὶ ἀργυρᾶ. ἐξήρχοντο δὲ ἐξ Αἰγύπτου, τῶν Αἰγυπτίων θαπτόντων τὰ πρωτότοκα. καὶ τοῖς μὲν χαρὰ ἐπὶ τῇ ἀπαλλαγῇ τῆς αὐχμηρᾶς δουλείας, τοῖς δὲ πένθος καὶ κωκυτὸς ἐπὶ τῇ τῶν τέκνων ἀπωλείᾳ. διό φησι Μωϋσῆς· "1αὕτη ἡ νύξ, ἐν ᾗ ἐπηγγείλατο ὁ θεὸς τῷ Ἀβραάμ, ἐπλήρωσε τοῖς τέκνοις αὐτοῦ ἡμῖν νῦν."2 11.1.8 Ταῦτα δὲ πάντα τύποι καὶ σκιαὶ τῶν ἀληθινῶν πραγμάτων ἐγένοντο· μυστήρια γάρ ἐστι ταῦτα ψυχῆς τῆς ἐν τῇ παρουσίᾳ τοῦ κυρίου λυτρωθείσης. Ἰσραὴλ γὰρ ἑρμηνεύεται νοῦς ὁρῶν θεόν. ἐλευθεροῦται τοίνυν ἀπὸ τῆς δουλείας τοῦ σκότους ὁ ἄνθρωπος καὶ ἀπὸ τῶν πνευματικῶν Αἰγυπτίων. 11.2.1 Ἐπειδὴ γὰρ ἐν τῇ παρακοῇ καὶ παραβάσει ἀπέθανεν ὁ πρῶτος ἄνθρωπος θάνατον δεινὸν τὸν τῆς ψυχῆς κατὰ τὴν ἀπόφασιν καὶ ἀπειλὴν τοῦ θεοῦεἶπε γὰρ αὐτῷ· «ἐν ᾗ ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, θανάτῳ τελευτήσεις», καὶ γέγονεν οὕτως, καὶ αὖθις· «γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ» προστίθησι δὲ καὶ κατάραν ἐπὶ κατάρᾳ λέγων· «ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου», «ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι» ἡ γῆ, «ἐργάσῃ τὴν γῆν, καὶ οὐ προσθήσει δοῦναί σοι τοὺς καρποὺς αὐτῆς»ἀνεφύησαν γὰρ καὶ ἀνέτειλαν ἐν τῇ γῇ τῆς καρδίας αὐτοῦ ἄκανθαι καὶ τρίβολοι καὶ ἦραν αὐτοῦ τὴν δόξαν οἱ ἐχθροὶ διὰ τῆς ἀπάτης καὶ ἐνέδυσαν αὐτὸν αἰσχύνην, ἤρθη τὸ φῶς αὐτοῦ καὶ ἐνέδυσαν αὐτὸν σκότος, ἐφόνευσαν τὴν ψυχὴν καὶ διεσκέδασαν καὶ διεῖλον τοὺς λογισμοὺς αὐτοῦ καὶ κατέσπασαν ἀπὸ τοῦ ὕψους τὸν νοῦν αὐτοῦ, καὶ ἐγένετο 11.2.2 Ἰσραὴλ ἄνθρωπος δοῦλος τοῦ ἀληθινοῦ Φαραώ. καὶ ἐπέστησαν αὐτῷ τοὺς ἐπιστάτας καὶ ἐργοδιώκτας, τὰ πνεύματα τῆς πονηρίας, ἀναγκάζοντα αὐτὸν ἑκόντα καὶ ἄκοντα ποιεῖν τὰ πονηρὰ αὐτοῦ ἔργα, τῶν ἐφεστηκότων τοῖς λογισμοῖς αὐτοῦ δαιμόνων ἐκπληροῦν ἀναγκαζόντων τὴν ἔκστασιν τῆς πλινθουργίας καὶ τοῦ πηλοῦ, τουτέστι χωρίσαντες αὐτὸν ἀπὸ τοῦ οὐρανίου φρονήματος κατήγαγον ἐπὶ τὰ ὑλικὰ καὶ γήϊνα καὶ πηλώδητὰ πονηρὰ ἔργα καὶ λόγους καὶ ἐνθυμήματα καὶ διαλογισμοὺς πονηρούς. ἐκπεσοῦσα γὰρ τοῦ ἰδίου ὕψους ἡ ψυχὴ εὗρε βασιλέα μισάνθρωπον καὶ ἄρχοντας πικροὺς τοὺς καταναγκάζοντας ποιεῖν τὰ πονηρὰ ἔργα καὶ οἰκοδομεῖν αὐτοῖς τὰς τῆς κακίας πόλεις τὰς τῶν 11.2.3 ἁμαρτιῶν. ἐὰν δὲ στενάξῃ ἡ ψυχὴ καὶ βοήσῃ πρὸς τὸν θεόν, ἐξαποστελεῖ αὐτῇ τὸν πνευματικὸν Μωϋσέα, τὸν λυτρούμενον αὐτὴν ἐκ τῆς δουλείας τῶν Αἰγυπτίων. ἀλλὰ πρῶτον βοᾷ καὶ στενάζει, καὶ τότε τῆς ἀπολυτρώσεως τὴν ἀρχὴν λαμβάνει, καὶ αὐτὴ «ἐν τῷ μηνὶ τῶν νέων» λυτρουμένη κατὰ τὸν καιρὸν τοῦ ἔαρος, ἡνίκα ἡ γῆ τῆς ψυχῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξανθεῖν δύναται τοὺς καλοὺς καὶ ἀνθηροὺς κλάδους, τῶν πικρῶν χειμώνων διελθόντων τῆς ἀγνοίας τοῦ σκότους καὶ τῆς πολλῆς πηρώσεως τῆς ἐκ τῶν αἰσχρῶν πράξεων καὶ ἁμαρτιῶν. κελεύει γὰρ τότε ἀφανισθῆναι ἀπὸ τῆς οἰκίας ταύτης πᾶσαν ζύμην παλαιάν, δηλαδὴ τὰς πράξεις καὶ τὰ φρονήματα τοῦ παλαιοῦ ἀνθρώπου τοῦ φθειρομένου ἐν διαλογισμοῖς πονηροῖς καὶ ἐνθυμήσεσι ῥυπαραῖς, ὅσον δυνατόν, ἀπορρίψασθαι. 11.2.4 Σφαγῆναι δὲ δεῖ τὸ ἀρνίον καὶ τὸ αἷμα αὐτοῦ χρισθῆναι ἐπὶ τῶν θυρῶν. καὶ Χριστὸς οὖν τὸ ἀληθινὸν ἀρνίον ἐσφάγη, καὶ τὸ αἷμα αὐτοῦ ἐχρίσθη ἐπὶ τῶν φλιῶν τῆς καρδίας, ὅπως γένηται τὸ ἐκχυθὲν ἐπὶ τοῦ σταυροῦ αἷμα τοῦ Χριστοῦ τῇ μὲν ψυχῇ εἰς ζωὴν καὶ ἀπολύτρωσιν, τοῖς δὲ Αἰγυπτίοις εἰς πένθος καὶ θάνατον. ἀληθῶς γὰρ πένθος αὐτοῖς ἐστι, χαρὰ δὲ καὶ ἀγαλλίασις τὸ τοῦ ἀμώμου ἀρνίου αἷμα τοῖς πιστοῖς. εἶτα μετὰ τὸ χαρῖσμα κελεύει πρὸς ἑσπέραν φαγεῖν τὸ ἀρνίον καὶ τὰ ἄζυμα μετὰ πικρίδων περιεζωσμένους τὰς ζώνας καὶ 11.2.5 ὑποδεδεμένους τὰ ὑποδήματα καὶ ἔχοντας βακτηρίας ἐν ταῖς χερσίν. ἐὰν οὖν μὴ γένηται ἡ ψυχὴ πρῶτον παρεσκευασμένη πανταχόθεν δι' ἔργων ἀγαθῶν, οὐ δίδοται αὐτῇ φαγεῖν ἀπὸ τοῦ ἀρνίου. τὸ δὲ ἀρνίον ἡδὺ καὶ τὰ ἄζυμα καλὰ λίαν, ἀλλὰ αἱ πικρίδες πικραὶ καὶ τραχεῖαι· μετὰ θλίψεως γὰρ καὶ πολλῆς πικρίας ἐσθίει ἡ ψυχὴ ἀπὸ τοῦ ἀρνίου καὶ τῶν ἀζύμων, θλιβούσης αὐτὴν τῆς ἐνούσης αὐτῇ ἁμαρτίας. 11.2.6 Καὶ «πρὸς ἑσπέραν», φησί, «ἔδεσθε αὐτό.» ἡ δὲ πρὸς ἑσπέραν ὥρα μέση φωτὸς καὶ σκότους ἐστίν. οὕτω καὶ ἡ ψυχὴ πρὸς αὐτῇ τῇ ἀπολυτρώσει, μέση γίνεται φωτὸς καὶ σκότους, ἑστώσης τῆς δυνάμεως τοῦ θεοῦ καὶ μὴ ἐώσης τὸ σκότος ἐλθεῖν τῇ ψυχῇ καὶ καταπιεῖν αὐτήν. ὃν τρόπον Μωϋσῆς εἶπεν· "1αὕτη ἡ νύξ ἐστι τῆς ἐπαγγελίας τοῦ θεοῦ, ἐν ᾗ ἐλυτρώσατο ἡμᾶς"2, οὕτω καὶ ἐνταῦθα ὁ κύριος ἐλάλησε, δοθέντος αὐτῷ βιβλίου ἐν τῷ ἱερῷ· «καλέσαι, φησίν, ἐνιαυτὸν 11.2.7 κυρίου δεκτὸν καὶ ἡμέραν ἀπολυτρώσεως» εἰκότως. τύπος γὰρ ἦν ἐκεῖνο καὶ σκιὰ τῆς ἀληθείας· πάντα γὰρ τὰ γεγραμμένα μυστικῶς προετυποῦτο σημαίνοντα τὴν ἀληθινὴν τῆς ψυχῆς σωτηρίαν τῆς ἐγκεκλεισμένης ἐν τῷ σκότει καὶ πεπεδημένης «ἐν πτωχείᾳ καὶ σιδήρῳ» καὶ βεβλημένης κρυπτῶς «ἐν λάκκῳ κατωτάτῳ» καὶ ἐναποκεκλεισμένης πύλαις χαλκαῖς καὶ μοχλοῖς σιδηροῖς καὶ μὴ δυναμένης ἄνευ τῆς παρὰ τοῦ θεοῦ βοηθείας καὶ ἀπολυτρώσεως ἐλευθερωθῆναι. 11.2.8 Ἐξάγει οὖν τὴν ψυχὴν ἐξ Αἰγύπτου καὶ τῆς ἐν αὐτῇ δουλείας, τῶν πρωτοτόκων ἐν Αἰγύπτῳ ἀναιρουμένων ἐν τῇ ἐξόδῳ· ἤδη μέρος τι τῆς δυνάμεως τοῦ ἀληθινοῦ Φαραὼ καταπίπτει. πένθος ἔχει τοὺς Αἰγυπτίους· στένουσι γὰρ λυπούμενοι ἐπὶ τῇ σωτηρίᾳ τοῦ αἰχμαλώτου. κελεύει χρήσασθαι παρὰ τῶν γειτόνων «σκεύη χρυσᾶ καὶ ἀργυρᾶ» καὶ προλαβόντας ἐξελθεῖν· ἀπολαμβάνει γὰρ ἐξιοῦσα ἐκ σκότους ἡ ψυχὴ τὰ «ἀργυρᾶ καὶ χρυσᾶ σκεύη» τοὺς ὑγιεῖς καὶ καθαροὺς λογισμοὺς πεπυρωμένους ἑπταπλασίον, ἐν οἷς διακονεῖται ὁ θεὸς καὶ ἐπαναπαύεται παρὰ τῶν γειτονευσάντων αὐτῇ ἀκαθάρτων πνευμάτων· ἐσκόρπι11.2.9 σαν γὰρ καὶ διεσκέδασαν τοὺς διαλογισμοὺς καὶ κατέσχον τὴν ψυχήν. μακαρία ἡ ψυχὴ ἡ λυτρωθεῖσα ἐκ τῆς δουλείας τοῦ σκότους καὶ οὐαὶ τῇ ψυχῇ τῇ μὴ βοώσῃ καὶ στεναζούσῃ πρὸς τὸν δυνάμενον ῥύσασθαι αὐτὴν ἀπὸ τῶν χαλεπῶν ἐκείνων καὶ πονηρῶν ἐργοδιωκτῶν. 11.2.10 Ἀπαίρουσι λυτρωθέντες οἱ υἱοὶ Ἰσραὴλ ποιήσαντες τὸ πάσχα· προκόπτει ἡ ψυχὴ λαβοῦσα ζωὴν πνεύματος ἁγίου καὶ ἀπογευσαμένη τοῦ ἀρνίου καὶ χρισθεῖσα τῷ αἵματι αὐτοῦ καὶ φαγοῦσα τὸν ἀληθινὸν ἄρτον τὸν ζῶντα λόγον. στῦλος πυρὸς καὶ στῦλος νεφέλης ἐκείνων προηγεῖτο· φυλάσσων τὸ πνεῦμα τὸ ἅγιον ὑποστηρίζει τούτους, θάλπον καὶ ὁδηγοῦν ἐν αἰσθήσει τῆς ψυχῆς. γνοὺς δὲ Φαραὼ καὶ οἱ λοιποὶ Αἰγύπτιοι τὴν τοῦ λαοῦ φυγὴν καὶ τὴν ἐκ τῆς δουλείας αὐτῶν στέρησιν μετὰ τὴν τῶν πρωτοτόκων ἀναίρεσιν διώκειν ἐθάρρησεν ἐν σπουδῇ συζεύξας τὰ ἅρματα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῦ μετὰ παντὸς τοῦ λαοῦ αὐτοῦ καὶ ἐξελθὼν ἐπ' αὐτοὺς ἀνελεῖν ἠπείγετο. ἤδη δὲ μελλόντων αὐτῶν ἀναμίγνυσθαι καὶ ἐγγὺς γενομένων, ἵστατο ἡ νεφέλη ἐν μέσῳ, τοῖς μὲν ἐμποδίζουσα καὶ ἐπισκο11.2.11 τοῦσα, τοὺς δὲ φωταγωγοῦσα καὶ φυλάσσουσα. θεασάμενος δὲ ὁ λαὸς πᾶσαν τὴν δύναμιν Φαραὼ παρεστῶσαν ἐκ τῶν ὀπίσω, ἔμπροσθεν δὲ τὴν θάλασσαν κωλύουσαν αὐτοῖς τὴν φυγήν, καίπερ ὄντες ἐν μέσῳ τῆς νεφέλης καὶ τοῦ στύλου ἀπηυδόκουν ἑαυτῶν καὶ τεθνάναι ἤδη ἐνόμιζον, ἐμπεσόντες εἰς θλῖψιν μεγάλην καὶ θάνατον, ἣν ἐγεύσαντο. παρῆν δὲ ὁ κύριος προνοούμενος καὶ κελεύων τῷ Μωϋσῇ τῇ ῥάβδῳ πατάσσειν τὴν θάλασσαν καὶ ὁδοποιεῖν τῷ λαῷ. διαιρεθεῖσα γὰρ ἡ θάλασσα τεῖχος ὕδατος ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων ἐγένετο, ἕως παρῆλθε πᾶς ὁ λαὸς ὡς διὰ ξηρᾶς γῆς. ἐπῆλθον δὲ καὶ οἱ Αἰγύπτιοι, πορίμην καὶ ἥμερον καὶ αὐτοὶ τὴν θάλασσαν εἶναι νομίσαντες. ἐξῆλθε δὲ ὁ λαὸς ἅπας ἀπὸ τῆς θαλάσσης καὶ πᾶσα τῶν Αἰγυπτίων ἐπέβη ψυχὴ τῆς θαλάσ11.2.12 σης. ἴση μὲν ἑκατέροις ἡ εἴσοδος, οὐκ ἴση δὲ ἡ ἔξοδος. τί λέγει ὁ κύριος τῷ Μωϋσῇ; στρέψον τὴν ῥάβδον σου καὶ πάταξον τὴν θάλασσαν, καὶ ἐπάταξε τὸν Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἡ ἐρυθρὰ θάλασσα. ἰδὼν δὲ ὁ λαὸς τὴν μεγάλην ταύτην σωτηρίαν, τοὺς ἐχθροὺς αὐτῶν ἀπολλυμένους ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, ἐχάρη καὶ μεγάλως ἠγαλλιάσατο ἐπὶ τῇ σωτηρίᾳ ἑαυτοῦ. λαβοῦσα δὲ ἡ Μαρία τὸ τύμπανον σὺν ταῖς κιθάραις ᾖδε μετὰ παντὸς τοῦ λαοῦ τοὺς ἐπινικίους ὕμνους τῷ θεῷ. ἐλυτρώθησαν δὲ τελείαν λύτρωσιν ἀπὸ τοῦ ἐν χερσὶ θανάτου. Λάβε μοι ἐνταῦθα τὴν παραβολήν. 11.3.1 Ὅτε γὰρ πρῶτον ἡ ψυχὴ ἀπέφευγε τοὺς Αἰγυπτίους, προσελθοῦσα ἡ τοῦ θεοῦ δύναμις ἐβοήθει ὁδηγοῦσα αὐτὴν πρὸς τὴν ἀλήθειαν. γνοὺς οὖν ὁ πνευματικὸς Φαραώ, ὁ βασιλεὺς τοῦ σκότους τῆς ἁμαρτίας, ὅτι ἀφίσταται αὐτοῦ ἡ ψυχὴ καὶ ἀποφεύγει τῆς βασιλείας αὐτοῦ σὺν τοῖς λογισμοῖς, φημὶ τοῖς πάλαι κατεχομένοις ὑπ' αὐτοῦταῦτα γὰρ αὐτῆς τὰ ὑπάρχοντα. ἐνόμιζε γὰρ οὗτος ὁ δεινὸς Φαραὼ πάλιν αὐτὴν ἐπανιέναι καὶ ἐπαναστρέψαι πρὸς αὐτόν. 11.3.2 γνοὺς δὲ νῦν ὅτι ἐκφεύγει παντάπασι τὴν καταδυναστείαν αὐτοῦ ἡ ψυχή, καὶ ὅτι ἤδη μέρος τι τῆς δυνάμεως αὐτοῦ ἀνῄρηται διὰ τῆς σφαγῆς τῶν πρωτοτόκων, ἀναιδέστερον προσέδραμε, φοβηθεὶς μήποτε τῆς ψυχῆς ἐκφυγούσης παντελῶς οὐχ ἕξει τὸ θέλημα αὐτοῦ ἐκπληροῦν. καταδιώκει οὖν αὐτὴν διὰ θλίψεων καὶ πειρασμῶν καὶ πολέμων ἀοράτων. ἐνταῦθα δοκιμάζεται, ἐνταῦθα πειράζεται, ἐνταῦθα φαίνεται ἡ πρὸς τὸν θεὸν τὸν ἐξάγοντα αὐτὴν ἐξ Αἰγύπτου ἀγάπη· 11.3.3 παραδίδοται γὰρ δοκιμασθῆναι καὶ θλιβῆναι παντοδαπῶς. θεωρεῖ δὲ καὶ τὴν δύναμιν τοῦ πονηροῦ βουλομένην ἐπελθεῖν καὶ θανατῶσαι καὶ μὴ ἰσχύουσαν· μέσος γὰρ Αἰγυπτίων καὶ Ἰσραηλιτῶν ἕστηκεν ὁ κύριος. θεωρεῖ δὲ καὶ ἔμπροσθεν θάλασσαν πικρίας καὶ δυνάμεως πονηρᾶς καὶ οὔτε εἰς τὰ ὀπίσω ἀναλύειν ἰσχύει, ὁρῶσα ἑτοίμους τοὺς ἐχθρούς, οὔτε εἰς τὰ ἔμπροσθεν χωρῆσαι· δυνάμεις γὰρ πονηραὶ καὶ θλίψεις δειναὶ καὶ ποικίλαι περιέχουσαι θάνατον ὁρᾶν ποιοῦσιν. 11.3.4 Ἀπευδοκεῖ γὰρ ἑαυτῆς «τὸ ἀπόκριμα τοῦ θανάτου» ἐν ἑαυτῇ ἔχουσα διὰ τὸν περικυκλώσαντα αὐτῇ τῶν πονηρῶν ἐσμὸν καὶ ἐπειδὰν ἴδῃ ὁ θεὸς δειλίᾳ θανάτου περιπεσοῦσαν τὴν ψυχὴν καὶ τὸν ἐχθρὸν καταπιεῖν ἑτοίμως ἔχοντα, τότε δὴ τότε δίδωσι βοήθειαν μικράν. οὕτω γὰρ μακροθυμεῖ ὁ θεὸς ἐπὶ τῇ ψυχῇ τῇ οὕτως ἐχούσῃ. τοιαύτην γὰρ ὁ θεὸς τὴν ὁδὸν ἔθετο τὴν ἀπάγουσαν εἰς ζωὴν μετὰ θλίψεως καὶ δοκιμασίας καὶ στενοχωρίας πολλῆς καὶ πειρασμῶν πικροτάτων, ἵνα ἐντεῦθεν κατατνήσῃ ἡ ψυχὴ εἰς τὴν γῆν τὴν ἀληθινὴν «τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ». ὅταν οὖν ἀπευδοκήσῃ καὶ ἀπαγορεύσῃ ἑαυτῆς διὰ τὴν ὑπερβάλλουσαν θλῖψιν καὶ τὸν πρὸ ὀφθαλμῶν θάνατον, τὸ τηνικαῦτα «χειρὶ κραταιᾷ» καὶ «βραχίονι ὑψηλῷ» διὰ τοῦ ἁγίου πνεύματος ῥήσσει τὴν θάλασσαν τοῦ σκότους καὶ διέρχεται ἡ ψυχή, τοὺς πονηροὺς τόπους ἐκφυγοῦσα καὶ διαπεράσασα τὴν θάλασσαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ σκότους καὶ τοῦ παμφάγου πυρός. 11.3.5 Ταῦτα μυστήριά ἐστι ψυχῆς ἀληθῶς γινόμενα ἐν ἀνθρώπῳ σπουδάζοντι ἐλθεῖν πρὸς τὴν ἐπαγγελίαν τῆς ζωῆς καὶ λυτρουμένῳ ἐκ τῆς βασιλείας τοῦ θανάτου καὶ λαμβάνοντι ἀρραβῶνα παρὰ θεοῦ καὶ πνεύματος ἁγίου μετέχοντι. εἶτα ῥυσθεῖσα ἡ ψυχὴ ἐκ τῶν ἐχθρῶν αὐτῆς καὶ τὴν πικρὰν θάλασσαν τῇ δυνάμει τοῦ θεοῦ διεξελθοῦσα καὶ ὁρῶσα ἀπολλυμένους πρὸ ὀφθαλμῶν τοὺς πολεμίους, οὓς τὸ πρὶν ἐδούλευσεν, ἀγαλλιᾶται χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασ11.3.6 μένη, παρακαλουμένη ὑπὸ τοῦ θεοῦ καὶ ἀναπαυομένη ἐν κυρίῳ. τότε τὸ πνεῦμα, ὅπερ ἔλαβε καινὸν διὰ τοῦ τυμπάνουτουτέστι τῆς σαρκόςκαὶ τῆς κιθάρας τῆς ψυχῆς καὶ τῶν λογικῶν χορδῶν, τῶν λεπτοτάτων λογισμῶν αὐτῆς καὶ τοῦ πλήκτρου τῆς θείας χάριτος, ἀναπέμπει αἴνους τῷ ζωοποιῷ Χριστῷ. ὡς γὰρ διὰ τοῦ αὐλοῦ τὸ πνεῦμα διερχόμενον λαλεῖ, οὕτω διὰ τῶν ἁγίων καὶ πνευματοφόρων ἀνδρῶν τὸ πνεῦμα τὸ ἅγιόν ἐστι τὸ ὑμνοῦν καὶ ψάλλον καὶ προσευχόμενον τῷ θεῷ ἐν καθαρᾷ καρδίᾳ. 11.3.7 Δόξα τῷ ῥυσαμένῳ τὴν ψυχὴν ἐκ τῆς δουλείας Φαραὼ καὶ θρόνον ἴδιον καταστήσαντι καὶ οἶκον καὶ ναὸν καὶ νύμφην καθαράν, καὶ εἰσαγαγόντι αὐτὴν εἰς βασιλείαν ζωῆς αἰωνίου ἀπὸ νῦν, ἔτι οὔσης αὐτῆς ἐν τῷ κόσμῳ. 11.4.1 Ἐν τῷ νόμῳ ζῷα ἄλογα προσεφέροντο εἰς θυσίαν καὶ εἰ μὴ ἐσφάζετο οὐκ ἦσαν δεκταὶ αἱ προσφοραί. καὶ νῦν ἐὰν μὴ σφαγῇ ἡ ἁμαρτία, οὐκ ἔστιν ἡ θυσία 11.4.2 δεκτὴ παρὰ θεῷ καὶ ἀληθινή. ἦλθεν ὁ λαὸς εἰς Μερράν, ὅπου ἦν πηγὴ πικρὸν βρύουσα ὕδωρ καὶ ἄχρηστον πρὸς πόσιν. κελεύει οὖν ὁ θεὸς ἀποκνίσαντα τὸ ξύλον ῥῖψαι εἰς τὸ ὕδωρ καὶ οὕτως ἐμβληθέντος τοῦ ξύλου ἐγλυκαίνετο τὸ ὕδωρ καὶ μεταβαλλόμενον ἐκ τῆς πρώτης πικρότητος χρήσιμον καὶ πόσιμον ἐγίνετο τῷ λαῷ τοῦ θεοῦ. τὸν αὐτὸν τρόπον ἡ ψυχὴ πεπίκραται ἐκπιοῦσα τὸν ἰὸν τοῦ ὄφεως καὶ ὁμοιωθεῖσα τῇ πικρᾷ αὐτοῦ φύσει καὶ ἁμαρτωλὸς γενομένη. διὸ ἐμβάλλει ὁ θεὸς τὸ «ξύλον τῆς ζωῆς» εἰς τὴν πικρὰν πηγὴν τῆς καρδίας, καὶ γλυκαίνεται ἐκ τῆς πικρότητος μεταβαλλομένη καὶ συγκιρνωμένη τῷ ἁγίῳ πνεύματι τοῦ Χριστοῦ, καὶ οὕτως εὔχρηστος γενομένη εἰς διακονίαν τοῦ δεσπότου αὐτῆς προχωρεῖ· γίνεται γὰρ πνεῦμα σαρκοφόρον. 11.4.3 Δόξα τῷ μεταβάλλοντι τὴν πικρότητα ἡμῶν εἰς τὴν ἡδύτητα καὶ χρηστότητα τοῦ ἁγίου πνεύματος. οὐαὶ ἐκείνῳ, ἐν ᾧ οὐκ ἐβλήθη τὸ «ξύλον τῆς ζωῆς» εἰς τὴν αὐτοῦ καρδίαν, ὅτι ἄχρι τέλους μένει ἐν τῇ πικρίᾳ· μὴ λαβὼν γὰρ «τὸ ξύλον τῆς ζωῆς» οὐ δύναται μεταβολήν τινα ἀγαθὴν κτήσασθαι. 11.4.4 Ἡ ῥάβδος Μωϋσέως δύο ἔφερεν εἰκόνας, τοῖς μὲν ἐχθροῖς ἀπήντα ὄφις δάκνων καὶ ἀναιρῶν, τοῖς δὲ Ἰσραηλίταις βακτηρία, ἐφ' ἣν ἐπεστηρίζοντο. οὕτω καὶ τὸ ξύλον τοῦ ἀληθινοῦ Μωϋσέως, ὅς ἐστι Χριστός, τῶν μὲν ἐχθρῶν ἐστι θάνατος, τῶν πνευμάτων τῆς πονηρίας, καὶ ἐχθρός, τῆς δὲ ψυχῆς ἡμῶν βακτηρία καὶ ἔρεισμα ἀσφαλὲς καὶ ζωή, ἐφ' ᾗ ἐπαναπαύεται. τύποι γὰρ καὶ σκιαὶ τὸ πρὶν ἐγίνοντο τούτων τῶν ἀληθινῶν πραγμάτων. σκιὰ γάρ ἐστι καὶ εἰκὼν ἡ παλαιὰ λατρεία τῆς νῦν λατρείας. καὶ ἡ σκηνὴ καὶ ἡ περιτομὴ καὶ ἡ κίβωτος καὶ ἡ στάμνος καὶ τὸ μάννα καὶ ἡ ἱερατεία καὶ τὸ θυμίαμα καὶ τὰ βαπτίσματα, καὶ ἁπαξαπλῶς πάντα ὅσα γέγονεν ἐν τῷ Ἰσραὴλ ἢ ἐν τῷ νόμῳ Μωϋσέως ἢ ἐν τοῖς προφήταις, διὰ τὴν ψυχὴν ταύτην ἐγίνοντο τὴν κατ' εἰκόνα θεοῦ γεγενημένην καὶ πεσοῦσαν ὑπὸ ζυγὸν δουλείας καὶ ὑπὸ βασιλέα ἁμαρτίας πικρᾶς. 11.4.5 ταύτῃ γὰρ ἠθέλησεν ὁ θεὸς κοινωνῆσαι καὶ ταύτην ἡρμόσατο ἑαυτῷ εἰς νύμφην βασιλέως καὶ ταύτην καθαρίζει ἐκ τοῦ ῥύπου, καὶ ἐκπλύνων λαμπρύνει ἀπὸ τῆς μελανίας καὶ τῆς αἰσχρότητος αὐτῆς καὶ ζωοποιεῖ ἐκ τῆς νεκρότητος καὶ ἰᾶται ἐκ τῆς συντρίψεως, καὶ εἰρηνεύει αὐτήν, τὴν ἔχθραν καταλλάσσων. κτίσμα γὰρ οὖσα εἰς νύμφην τῷ υἱῷ τοῦ βασιλέως ἡρμόσθη καὶ τῇ ἰδίᾳ αὐτοῦ δυνάμει ὁ θεὸς παραδέχεται αὐτὴν πρῶτον συμμεταβάλλων αὐτήν, ἕως αὐξήσῃ αὐτὴν τῇ ἰδίᾳ αὐξήσει. τείνει γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτὴν καὶ μηκύνει εἰς ἀπέραντον καὶ ἀμέτρητον αὔξησιν, ἕως ἀξία νύμφη αὐτοῦ καὶ ἄμωμος γένηται. πρῶτον γὰρ γεννᾷ αὐτὴν δι' ἑαυτοῦ καὶ αὔξει αὐτὴν ἐν ἑαυτῷ, ἕως ἀπολάβῃ τὸ τέλειον μέτρον τῆς ἀγάπης αὐτοῦ. αὐτὸς γὰρ τέλειος ὢν νυμφίος λαμβάνει αὐτὴν τελείαν νύμφην εἰς τὴν ἁγίαν καὶ μυστικὴν καὶ ἄχραντον κοινωνίαν τοῦ γάμου, καὶ τότε συμβασιλεύει αὐτῷ εἰς τοὺς ἀπεράντους αἰῶνας. 11.5.1 Ταῦτα τὰ δωρήματα καὶ ταῦτα τὰ χαρίσματα ἐδωρήσατο ὁ θεὸς τῇ ψυχῇ τῇ ἀνθρωπείᾳ καὶ οὕτω τείνει αὐτὴν εἰς πλάτος ἄπειρον, ἕως τελειώσει αὐτήν, καὶ τότε πάντων κυριεύει ἀπολαβοῦσα τὸν ἐπουράνιον νυμφίον. οὐδὲν γὰρ τῶν ἔργων αὐτοῦ ἠγάπησεν ὁ θεὸς οὕτως ὡς τὸν ἄνθρωπον, καὶ οὐδὲν τῶν κτισμάτων οὕτως ἠγάπησε τὸν θεὸν ὡς ὁ ἄνθρωπος. 11.5.2 Κατὰ τὸν Μωϋσέως νόμον λαβὼν Ἀαρὼν τὴν στολὴν τὴν ἁγίαν καὶ τὸν ποδήρη τὸν δωδεκακώδωνον καὶ τὰ ὀνόματα τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῶν δώδεκα λίθων γεγραμμένα καὶ ἄλλους δύο τιμίους λίθους ἐπὶ τῶν ὤμων εἰσῄει εἰς τὰ ἅγια τῶν ἁγίων ἐπιτελῶν πᾶσαν τὴν ἐν νόμῳ ἱερατείαν καὶ λατρείαν, προδιατυπούμενος διὰ τῆς εἰκόνος τὴν ἀληθινὴν τοῦ Χριστοῦ ἱερωσύνην. οὕτω γὰρ καὶ ὁ κύριος παραλαβὼν τὰ τέκνα αὐτοῦ τοὺς ἀποστόλους, οὓς μὲν ἐντεῦθεν οὓς δὲ ἐντεῦθεν, βαστάζων αὐτῶν τὰ ὀνόματα εἰσῆλθεν εἰς τὸ ἐπουράνιον θυσιαστήριον, εἰς τὰ ἅγια τῶν ἁγίων «εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος» «πρόδρομος ὑπὲρ ἡμῶν» γενόμενος. ὁ δὲ ποδήρης ὁ ποικίλος καὶ δωδεκακώδωνος τὸ πνεῦμα τὸ παράκλητον ὃ ἐνέδυσε τὰς ψυχὰς τῶν ἀποστόλων, οἱ καὶ ἤχησαν ἐν ὅλῳ τῷ κόσμῳ τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ Χριστοῦ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

### 12.τ.1 ΛΟΓΟΣ ΙΒ΄.

12.1.1 Εἴ τις γυμνός ἐστιν ἀπὸ τοῦ ἐνδύματος τοῦ θεϊκοῦ καὶ ἐπουρανίου, ὅπερ ἐστὶν ἡ τοῦ πνεύματος χάρις καθὼς εἴρηται· «εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ» κλαιέτω καὶ παρακαλείτω τὸν κύριον, ἵνα λάβῃ τὸ ἀπ' οὐρανοῦ πνευματικὸν ἔνδυμα, ἵνα ἀμφιασθῇ τὴν ἀπὸ θείας ἐνεργείας γεγυμνωμένην ψυχήν, ὅτι πολλὴν αἰσχύνην ἀτιμίας παθῶν περιβέβληται ὁ μὴ 12.1.2 ἐνδεδυμένος τὸ τοῦ πνεύματος ἔνδυμα. ὥσπερ γὰρ ἐν τοῖς φαινομένοις ἐὰν γυμνὸς ᾖ τις, ἐν πολλῇ αἰσχύνῃ καὶ ἀτιμίᾳ ἐστί, καὶ φίλοι γὰρ φίλους ἀποστρέφονται γυμνοὺς καὶ γνήσιοι ἰδίους, τέκνα ἰδόντες γεγυμνωμένον πατέρα ἔστρεψαν τὰς ἑαυτῶν ὄψεις τοῦ μὴ ἀτενίσαι γυμνῷ τῷ σώματι τοῦ πατρὸς καὶ «ὀπισθοφανῶς» ἀπελθόντες ἐπεκάλυψαν αὐτόν, καὶ οὕτως ἔστρεψαν τὰς ὄψεις, οὕτω καὶ ὁ θεὸς ἀπέστρεπται τοὺς μὴ ἐνδεδυμένους τὸ ἔνδυμα τοῦ πνεύματος αὐτοῦ ἐν πληροφορίᾳ, τοὺς μὴ ἐνδεδυμένους «τὸν κύριον Ἰησοῦν 12.1.3 Χριστὸν» ἐν ἀληθείᾳ. αὐτὸς ὁ πρῶτος ἄνθρωπος θεασάμενος γυμνὸν ἑαυτὸν ᾐσχύνθη· τοσαύτη ἀτιμία πρόσεστι τῇ γυμνότητι. εἰ οὖν ἐπὶ τῶν σωματικῶν τοσαύτην αἰσχύνην δείκνυσιν ἡ γυμνότης, πόσῳ μᾶλλον ἡ γυμνὴ ἀπὸ θείας δυνάμεως ψυχή, ἡ μὴ φοροῦσα καὶ ἠμφιεσμένη τὸ ἄρρητον ἔνδυμα τοῦ πνεύματος καὶ αὐτὸν τὸν κύριον Ἰησοῦν Χριστὸν ἐν ἀληθείᾳ, πόσην αἰσχύνην καὶ ἀτιμίαν παθῶν περιβέβληται, καὶ πᾶς τις ὁ ὢν γυμνὸς ἀπὸ τῆς θείας δόξης ἐκείνης οὕτως ὀφείλει ἑαυτὸν ἐπαισχύνεσθαι καὶ γινώσκειν τὴν ἀτιμίαν αὐτοῦ, ὥσπερ σωματικῶς Ἀδὰμ ᾐσχύνετο γυμνὸς ὢν καὶ ἐποίησεν ἑαυτῷ ἐκ συκῆς φύλλων ἓν περίβλημα καὶ ὅμως τὴν αἰσχύνην ἐφόρει. 12.1.4 Ἐπαισχυνόμενος δέ τις καὶ γινώσκων τὴν πτωχείαν καὶ γυμνιτείαν αὐτοῦ αἰτείτω παρὰ τοῦ διδόντος καὶ ἀμφιέννυντος τὴν ψυχὴν δόξῃ Χριστοῦ καὶ φωτὶ ἀρρήτῳ, μὴ ποιοῦσα ἑαυτῇ ἱμάτιον λογισμῶν ματαίων μηδὲ δοκήσει ἰδίας δικαιοσύνης ἀπατωμένην καὶ νομίζουσαν ἔχειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμφίον σωτηρίου. εἴ τις γὰρ ἐν τῇ ἑαυτοῦ μόνον ἵσταται δικαιοσύνῃ, μὴ ἐκδεχόμενος τὴν τοῦ θεοῦ δικαιοσύνηνἥτις ἐστὶν ὁ κύριος, «ὃς ἐγενήθη, φησί, δικαιοσύνη καὶ ἁγιασμὸς ἡμῖν καὶ ἀπολύτρωσις», ματαίως καὶ κενῶς κοπιᾷ. πᾶσα γὰρ οἴησις τῆς δικαιοσύνης αὐτοῦ «ὡς ῥάκος ἀποκαθημένης» φανεροῦται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, 12.1.5 ὥς φησιν Ἠσαίας ὁ προφήτης. αἰτησώμεθα οὖν καὶ δεηθῶμεν τοῦ θεοῦ ἐνδύσασθαι τὸ ἱμάτιον τοῦ σωτηρίου, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸ ἄρρητον φῶς· ὃν φορέσασαι αἱ ψυχαὶ οὐκέτι ἀπεκδυθήσονται εἰς τοὺς αἰῶνας, ἀλλὰ τῇ ἀναστάσει καὶ τὰ σώματα αὐτῶν δοξασθήσονται ὑπὸ τῆς δόξης τοῦ φωτός, ὃ περιβέβληνται ἀπὸ τοῦ νῦν αἱ πισταὶ καὶ εὐγενεῖς καὶ ἅγιαι ψυχαί, καθώς φησιν ὁ ἀπόστολος· «ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν». Δόξα τῇ ἀρρήτῳ αὐτοῦ εὐσπλαγχνίᾳ καὶ τῷ ἀπείρῳ αὐτοῦ ἐλέει. 12.2.1 Καὶ πάλιν ὥσπερ ἡ «γυνὴ» ἡ «αἱμορροοῦσα» πιστεύσασα ἐν ἀληθείᾳ καὶ ἁψαμένη τοῦ «κρασπέδου τοῦ ἱματίου» τοῦ κυρίου εὐθέως ἰάσεως ἔτυχε καὶ «ἐξηράνθη» «ἡ ῥύσις τοῦ αἵματος» τῆς ἀκαθάρτου πηγῆς, οὕτω πᾶσα ψυχὴ ἔχουσα τὸ ἀνίατον τραῦμα τῆς ἁμαρτίας, τὴν πηγὴν τῶν ἀκαθάρτων καὶ πονηρῶν λογισμῶν, ἐὰν προσέλθῃ τῷ κυρίῳ καὶ δεηθῇ πιστεύσασα ἐν ἀληθείᾳ, ἰάσεως σωτηρίου τυγχάνει ἐκ τῆς ἀνιάτου πηγῆς τῶν παθῶν, καὶ ξηραίνεται ἐκλείπουσα ἡ πηγὴ ἐκείνη ἡ τοὺς ἀκαθάρτους λογισμοὺς βρύουσα διὰ τῆς δυνάμεως Ἰησοῦ Χριστοῦ μόνου. ἄλλως δέ τινι ἰάσαθαι τὸ τραῦμα τοῦτο τῆς ψυχῆς ἀδύνατον. 12.2.2 Τοιοῦτον γὰρ ἐπετήδευσεν ὁ ἐχθρὸς ἐν τῇ τοῦ Ἀδὰμ παραβάσει, ὥστε τραυματίσαι καὶ σκοτίσαι τὸν ἔσω ἄνθρωπον, τὸν ἡγεμόνα νοῦν τὸν ὁρῶντα θεόν. διέβλεψαν γὰρ τότε οἱ ὀφθαλμοὶ εἰς τὰ κακὰ καὶ τὰ πάθη, ἀποκλεισθέντες τῶν ἐπουρανίων ἀγαθῶν. οὕτω γὰρ ἐτραυματίσθη, ὥστε μηδενὶ δυνατὸν ἰάσασθαι εἰ μὴ μόνῳ τῷ κυρίῳ τοῦτο δυνατόν ἐστιν. αὐτὸς γὰρ ἐλθὼν ἦρε τὴν ἁμαρτίαν τοῦ κόσμου, τουτέστι τὴν ἀκάθαρτον πηγὴν τῶν πονηρῶν διαλογισμῶν 12.2.3 τῆς ψυχῆς ἐξήρανεν. ὥσπερ γὰρ ἐκεῖ ἡ αἱμορροοῦσα πάντα τὰ ἑαυτῆς δαπανήσασα τοῖς ἰατρεύειν ἐπαγγελλομένοις, οὐδὲν ἴσχυσεν αὐτὴν θεραπεῦσαι, ὡς δὲ προσήγγισε τῷ κυρίῳ, πιστεύσασα ἐν ἀληθείᾳ, ἁψαμένη τοῦ κρασπέδου αὐτοῦ, ταχέως ᾔσθετο τῆς ἰάσεως καὶ ἐστάλη ἡ ῥύσις τοῦ αἵματος, οὕτω καὶ τὴν ψυχὴν τραυματισθεῖσαν ἐξ ἀρχῆς τραῦμα ἀνίατον παθῶν κακίας οὐδεὶς 12.2.4 οὔτε δικαίων οὔτε πατέρων οὔτε προφητῶν ἴσχυσε θεραπεῦσαι. Μωϋσῆς γὰρ ἦλθεν, ἀλλ' οὐκ ἠδυνήθη παντελῆ ἴασιν δοῦναι τῇ ψυχῇ. ἱερεῖς, δῶρα, ἀποδεκατώσεις, σαββατισμοί, νουμηνίαι, βαπτίσματα, θυσίαι, ὁλοκαυτώσεις καὶ πᾶσα ἡ λοιπὴ δικαιοσύνη ἐπετελεῖτο ἐν τῷ νόμῳ, καὶ ἡ ψυχὴ ἰαθῆναι ἐκ τῆς ἀκαθάρτου ῥύσεως τῶν κακῶν λογισμῶν οὐκ ἠδυνήθη, καὶ πᾶσα ἡ δικαιοσύνη αὐτῶν θεραπεῦσαι αὐτὴν οὐκ ἴσχυσεν, ἕως οὗ ἦλθεν ὁ σωτήρ, ὁ ἀληθινὸς ἰατρὸς ὁ δωρεὰν ἰώμενος, ὁ ἑαυτὸν ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων λύτρον δούς. αὐτὸς μόνος τὴν μεγάλην καὶ σωτήριον ἴασιν τῇ ψυχῇ ἐποίησε, καὶ αὐτὸς ἠλευθέρωσεν αὐτὴν ἐκ τῆς δουλείας καὶ ἐξήγαγεν αὐτὴν ἐκ τῆς σκοτίας, ἰδίῳ φωτὶ δοξάσας αὐτήν, αὐτὸς ἐξήρανε τὴν ἐν αὐτῇ πηγὴν τῶν ἀκαθάρτων 12.2.5 λογισμῶν. «ἴδε, γάρ φησιν, ὁ ἀμνὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». οὔτε γὰρ ἐδύνατο τὰ ἐκ γῆς φάρμακα, τουτέστι τὰ ἴδια δικαιώματα μόνον, θεραπεῦσαι αὐτὴν καὶ ἰάσασθαι ἐκ τῆς τηλικαύτης ἀοράτου πληγῆς, ἀλλὰ διὰ τῆς οὐρανίου καὶ θείας φύσεως τῆς δωρεᾶς τοῦ ἁγίου πνεύματος, διὰ τούτου μόνου τοῦ φαρμάκου ἠδυνήθη ἰάσεως τυχεῖν ὁ ἄνθρωπος καὶ ζωῆς αἰωνίου ἐφίκεσθαι, 12.2.6 καθαρίσας διὰ τοῦ πνεύματος τοῦ ἁγίου τὴν καρδίαν. ἀλλ' ὥσπερ ἐκεῖ ἡ γυνὴ κἂν ἰαθῆναι οὐκ ἠδύνατο καὶ τετραυμάτιστο, ἀλλ' ὅμως πόδας εἶχεν ἐλθεῖν πρὸς τὸν κύριον, καὶ ἐλθοῦσα ἰάσεως ἔτυχεν· ὁμοίως καὶ ὁ τυφλὸς ἐκεῖνος κἂν προβῆναι οὐκ ἠδύνατο



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὰ τὸ μὴ βλέπειν ἐλθεῖν πρὸς τὸν κύριον, ἀλλ' ὀξύτερον ἄγγελον ἀπέστειλε τὴν φωνήνἔλεγε γάρ· «υἱὲ Δαβίδ, ἐλέησόν με»καὶ οὕτω πιστεύσας ἰάσεως ἔτυχεν, ἐλθόντος πρὸς αὐτὸν τοῦ κυρίου καὶ διαβλέψαι ποιήσαντος; οὕτω καὶ ἡ ψυχὴ κἂν τετραυμάτισται τραύμασι παθῶν ἀτιμίας καὶ τετύφλωται ὑπὸ τοῦ σκότους τῆς ἁμαρτίας, ἀλλ' ὅμως ἔχει θέλημα τοῦ βοῆσαι καὶ καλέσαι Ἰησοῦν, ἵνα αὐτὸς ἐλθὼν λύτρωσιν αἰώνιον ποιήσῃ τῇ ψυχῇ. ὥσπερ γὰρ εἰ μὴ ἐκεῖνος ὁ τυφλὸς ἐβόα καὶ ἡ αἱμορροοῦσα προσῆλθε τῷ κυρίῳ, οὐκ ἂν ἔτυχον ἰάσεως, οὕτως ἐὰν μή τις ἐκ τοῦ ἰδίου θελήματος καὶ ὅλης προαιρέσεως ἔλθῃ πρὸς τὸν κύριον καὶ μετὰ πληροφορίας 12.2.7 καὶ πίστεως δεηθῇ, ἰάσεως οὐ τυγχάνει. καὶ γὰρ ἐκεῖνοι πιστεύσαντες εὐθέως ἰῶντο, ἡμεῖς δὲ οὔπω διεβλέψαμεν ἐξ ἀληθείας καὶ οὐκ ἰάθημεν τῶν κρυφίων παθῶν, καίτοι μᾶλλον ὁ κύριος φροντίδα ποιεῖται ὑπὲρ τῆς ἀθανάτου ψυχῆς ἤπερ τοῦ σώματος; ἥτις ἐὰν διαβλέψῃ κατὰ τὸν λέγοντα· «ἀποκάλυψον τοὺς ὀφθαλμούς μου», οὐκέτι εἰς τὸν αἰῶνα τυφλωθήσεται καὶ ἰαθεῖσα οὐκέτι τραυματισθήσεται. εἰ γὰρ ἐπιμέλειαν τῶν φθαρτῶν σωμάτων ὁ κύριος ἐλθὼν ἐποιήσατο ἐπὶ γῆς, πόσῳ μᾶλλον τῆς θείας καὶ ἀθανάτου καὶ κατ' εἰκόνα πεποιημένης ψυχῆς. ἀλλὰ διὰ τὴν ἀπιστίαν ἡμῶν καὶ διχοστασίαν καὶ διὰ τὸ μὴ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης καρδίας μηδὲ ἐξ ἀληθείας αὐτῷ πιστεῦσαι, οὐδέπω τῆς πνευματικῆς ἰάσεως καὶ σωτηρίας ἐτύχομεν. 12.2.8 Πιστεύσωμεν οὖν αὐτῷ καὶ προσέλθωμεν ἐξ ἀληθείας, ἵνα ἐν τάχει τὴν ἀληθινὴν ἴασιν ὁ κύριος ἡμῶν ποιήσηται. ἐπηγγείλατο γὰρ «τοῖς αἰτοῦσιν αὐτὸν διδόναι πνεῦμα ἅγιον» καὶ «ζητοῦσιν εὑρίσκειν καὶ κρούουσιν ἀνοίγειν» καὶ ἀψευδής ἐστιν ὁ ἐπηγγειλάμενος. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 13.τ.1 ΛΟΓΟΣ ΙΓ΄.

13.1.1 Εἴ τις ἐν τῷ κόσμῳ πλούσιος σφόδρα τυγχάνει καὶ θησαυρὸν ἀπόκρυφον κέκτηται, ἐκ τοῦ θησαυροῦ καὶ τοῦ πλούτου οὗπερ ἔχει πάντα ὅσα βούλεται κέκτηται, καὶ οἷα θέλει ἐν τῷ κόσμῳ κτήματα ἐξαίρετα εὐχερῶς ἐπισυνάγει τῷ θησαυρῷ, πεποιθὼς ὅτι δι' αὐτοῦ πᾶσαν κτῆσιν ἣν ἂν βούληται εὐχερῶς καὶ εὐκόλως κτᾶται. οὕτω καὶ οἱ ζητήσαντες παρὰ θεοῦ καὶ εὑρόντες καὶ ἐν αὐτοῖς ἔχοντες τὸν ἐπουράνιον τοῦ πνεύματος θησαυρόν, αὐτὸν τὸν Χριστὸν ἐν ταῖς καρδίαις αὐτῶν ἐλλάμποντα, πᾶσαν δικαιοσύνην ἀρετῶν καὶ πᾶσαν κτῆσιν ἀγαθότητος τῶν ἐντολῶν τοῦ κυρίου ἐκ τοῦ θησαυροῦ τοῦ ὄντος ἐν αὐτοῖς Χριστοῦ ἐπιτελοῦσι καὶ δι' αὐτῶν πάλιν πλοῦτον ἐπουράνιον πλείονα 13.1.2 συνάγουσι. διὰ γὰρ τοῦ ἐπουρανίου θησαυροῦ πᾶσαν ἀρετὴν δικαιοσύνης κατεργάζονται, πεποιθότες ἐπὶ τῷ πλήθει τοῦ ἐν αὐτοῖς πνευματικοῦ θησαυροῦ, καὶ εὐκόλως πᾶσαν δικαιοσύνην καὶ τὰς ἐντολὰς τοῦ κυρίου διὰ τοῦ ἀοράτου τῆς χάριτος ἐν αὐτοῖς πλούτου κατεργάζονται. οὕτω γάρ φησι καὶ ὁ ἀπόστολος· ἔχοντες «τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσι», τουτέστιν ὃν ἐν σαρκὶ ὄντες κτήσασθαι κατηξιώθητε, τὴν ἁγιαστικὴν δύναμιν τοῦ πνεύματος, καὶ πάλιν· «ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις». ὁ οὖν εὑρὼν καὶ ἔχων ἐν ἑαυτῷ τὸν ἐπουράνιον θησαυρὸν τοῦτον τοῦ πνεύματος, πᾶσαν δικαιοσύνην ἐπιτελῶν πᾶσαν ἐργασίαν ἀρετῶν ἀμώμως καὶ καθαρῶς ἐν τούτῳ κατεργάζεται, ἀβιάστως τὸ λοιπὸν καὶ εὐκόλως. 13.1.3 Παρακαλέσωμεν τοίνυν καὶ ἡμεῖς τὸν κύριον καὶ ἐκζητήσωμεν καὶ δεηθῶμεν αὐτοῦ, ἵνα τὸν θησαυρὸν τοῦ πνεύματος αὐτοῦ ἐν ἡμῖν χαρίσηται, καὶ οὕτως ἐν ταῖς ἐντολαῖς αὐτοῦ πάσαις ἀμώμως καὶ καθαρῶς ἀναστραφῆναι δυνηθῶμεν καὶ τὴν δικαιοσύνην πᾶσαν τοῦ πνεύματος καθαρῶς καὶ τελείως 13.1.4 ἀποπληρῶσαι διὰ τοῦ ἐπουρανίου θησαυροῦ, ὅς ἐστι Χριστός. ὁ γὰρ πένης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πτωχὸς καὶ γυμνὸς ὢν ἐν κόσμῳ καὶ λιμώσσων, μηδὲν ἔχων, οὐδὲν δύναται κτήσασθαι, τῆς πενίας αὐτὸν συνεχούσης· τῷ δὲ ἔχοντι θησαυρόν, ὡς προείρηται, εὔκολά ἐστι πάντα καὶ εὐχερῶς καὶ ἀνωδύνως κτᾶται, οἷα βούλεται κτήσασθαι κτήματα. οὕτω καὶ ἡ ψυχὴ γυμνὴ καὶ ἔρημος ἀπὸ κοινωνίας πνεύματος ἁγίου καὶ ὑπὸ τὴν πτωχείαν τὴν δεινὴν τῆς ἁμαρτίας οὖσα οὐδὲν δύναται, κἂν θέλῃ τὸν καρπὸν τοῦ πνεύματος τῆς δικαιοσύνης ἐξ ἀληθείας ποιῆσαι πρὸ τῆς μεταλήψεως τοῦ ἁγίου πνεύματος. 13.1.5 Ὅμως βιάζεσθαι χρὴ ἑαυτὸν ἕκαστον εἰς τὴν αἴτησιν τοῦ κυρίου, ἵνα καταξιωθῇ λαβεῖν καὶ εὑρεῖν τὸν θησαυρὸν τοῦ πνεύματος τὸν οὐράνιον, εὐχερῶς καὶ εὐκόλως καὶ ἀκοπιάστως, καὶ πάσας τὰς ἐντολὰς τοῦ κυρίου ἀμώμως καὶ καθαρῶς δυνηθῇ ποῆσαι, ἃς πρὶν μετὰ βίας κατορθῶσαι οὐκ ἠδύνατο. πένης γὰρ καὶ πτωχὸς ὑπάρχων ἀπὸ κοινωνίας πνεύματος ἁγίου, πῶς ἐδύνατο τοιαῦτα πνευματικὰ κτήσασθαι ἄνευ θησαυροῦ καὶ πλούτου 13.1.6 πνευματικοῦ; ἡ δὲ εὑροῦσα ψυχὴ τὸν κύριον διὰ ζητήσεως καὶ πίστεως καὶ ὑπομονῆς πολλῆς, τὸν ἀληθινὸν θησαυρόν, τοὺς καρποὺς τοῦ πνεύματος κατεργάζεται, ὡς προείρηται, εὐχερῶς καὶ πᾶσαν δικαιοσύνην καὶ τὰς ἐντολὰς τοῦ κυρίου, ἃς ἐνετείλατο, αὐτὸ τὸ πνεῦμα ἐν ἑαυτῇ καὶ δι' αὐτῆς ποιεῖ καθαρῶς καὶ τελείως καὶ ἀμώμως. 13.1.7 Ἢ πάλιν ἑτέρῳ ὑποδείγματι χρησώμεθα. ὥσπερ ἐὰν ᾖ τις πλούσιος καὶ ποιῇ δεῖπνα πολυτελῆ ἐκ τοῦ πλούτου αὐτοῦ καὶ τοῦ θησαυροῦ οὗπερ ἔχει ἀναλίσκει καὶ οὐ δέδοικε, μή τι αὐτῷ ἐνδεήσῃ, ἔχων πλοῦτον μέγαν καὶ οὕτως εὐφραίνει πολυτελῶς καὶ λαμπρῶς τοὺς κληθέντας ὑπ' αὐτοῦ, διάφορα καὶ πολυτελῆ καὶ καινότερά τινα ἐδέσματα παρέχων αὐτοῖς. ὁ δὲ πένης καὶ ἐνδεὴς πλούτου ἐὰν βουληθῇ δεῖπνον παρασκευάσαι τισί, πάντα κιχρᾶται, καὶ αὐτὰ τὰ σκεύη καὶ ἱμάτια καὶ ἄλλα εἴδη, καὶ οὕτω μετὰ τὸ δειπνῆσαι τοὺς κληθέντας ὡς ἐν δείπνῳ πένητος, ὕστερον ἑνὶ ἑκάστῳ ἀποδίδωσιν, ὅσα ἐχρήσατο σκεύη ἀργύρου ἢ ἱμάτια ἢ ἕτερα εἴδη· καὶ οὕτω πάντων ἑκάστῳ ἀποδοθέντων αὐτὸς πένης καὶ 13.1.8 γυμνὸς ἀπομένει, μὴ ἔχων ἴδιον πλοῦτον ἐξ οὗ εὐφραίνεσθαι δύναται. οὕτω καὶ οἱ πλούσιοι τῷ πνεύματι τῷ ἁγίῳ, ἔχοντες τὸν πλοῦτον τὸν οὐράνιον ἐν ἀληθείᾳ καὶ κοινωνίαν πνεύματος ἐν ἑαυτοῖς, ἐπάν τισι λαλῶσι τὸν λόγον τῆς ἀληθείας καὶ ἐπάν τισι κοινωνῶσι λόγῳ πνευματικῷ καὶ εὐφρᾶναι ψυχὰς θέλωσιν, ἐκ τοῦ ἰδίου θησαυροῦ, οὗ κέκτηνται ἐν ἑαυτοῖς, ἐξ αὐτοῦ λαλοῦσι καὶ ἐξ αὐτοῦ εὐφραίνουσι τὰς ψυχὰς τῶν ἀκουόντων τὸν πνευματικὸν λόγον, καὶ οὐ δεδοίκασι, μή τι ἐλλείψῃ αὐτοῖς, ὅτι κέκτηνται ἐν ἑαυτοῖς θησαυρὸν οὐράνιον ἀγαθωσύνης, ἐξ οὗ προφέρουσι καὶ εὐφραίνουσι τοὺς πνευματικῶς 13.1.9 ἑστιωμένους. ὁ δὲ πένης μηδὲν κεκτημένος ἐκ τοῦ πλούτου τοῦ Χριστοῦ μηδὲν ἔχων πλοῦτον πνευματικὸν ἔνδον ἐν τῇ ψυχῇ, τὸν βρύοντα πᾶσαν ἀγαθωσύνην λόγων τε καὶ ἔργων καὶ ἐνθυμημάτων θείων καὶ μυστηρίων ἀλαλήτων, εἰ βούλεται καὶ αὐτὸς ὡς δεῖ λαλεῖν λόγον ἀληθείας καὶ εὐφραίνειν τινὰς τῷ τῆς ἀκοῆς λόγῳ καὶ τοῖς νοήμασι τῶν γραφῶν ἐν ἔργῳ καὶ δυνάμει καὶ ἀληθείᾳ ἐν ἑαυτῷ τὸν λόγον τοῦ θεοῦ μὴ κεκτημένος, ἀλλὰ μόνον ἀπομνημονεύων καὶ χρώμενος ἐξ ἑκάστης γραφῆς λόγοις ἢ παρὰ πνευματικῶν ἀνδρῶν ἀκούσας καὶ διηγούμενος καὶ διδάσκων, δοκεῖ μὲν εὐφραίνειν καὶ ἄλλοι ἀπολαύουσι τῶν λόγων, μετὰ δὲ τὸ διηγήσασθαι αὐτόν, ἕκαστος λόγος εἰς τὰ ἴδια, ὅθεν ἤρθη ἀπέρχεται, μὴ ἔχων ἔνδον ἴδιον θησαυρὸν ἁγίου πνεύματος, ἀφ' οὗ τις προφέρει καὶ ὠφελεῖ καὶ εὐφραίνει ἑτέρους· αὐτὸς οὖν πρῶτος μὴ εὐφραινόμενός ἐστι καὶ μὴ ἀγαλλιῶν τῷ πνεύματι. 13.1.10 Διὰ τοῦτο χρὴ πρῶτον ζητῆσαι παρὰ θεοῦ ἐν πόνῳ καρδίας καὶ πίστει, ἵνα δώῃ ἡμῖν εὑρεῖν τὸν πλοῦτον αὐτοῦ, τὸν ἀληθινὸν θησαυρὸν Χριστοῦ ἐν ταῖς καρδίαις ἡμῶν, ἐν δυνάμει καὶ ἐνεργείᾳ πνεύματος ἁγίου, ἵνα οὕτω καὶ ἡμεῖς πρότερον ὠφέλειαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ σωτηρίαν καὶ ζωὴν αἰώνιον ἐν αὐτῷ εὑρόντες, τότε καὶ ἄλλους δυνηθῶμεν ὡς ἐφικτόν ἐστιν ὠφελεῖν, ἀπὸ τοῦ ἔνδοθεν θησαυροῦ τοῦ Χριστοῦ προφέροντες πᾶσαν ἀγαθωσύνην λόγων πνευματικῶν καὶ μυστηρίων οὐρανίων 13.1.11 καὶ πνευματικῶν ποιούμενοι διήγησιν. οὕτω γὰρ ἠθέλησεν ἡ ἀγαθότης τοῦ θελήματος τοῦ πνεύματος τοῦ κατοικῆσαι ἐν παντὶ τῷ πιστεύοντι καὶ αἰτουμένῳ καὶ ἀγαπῶντι αὐτόν. «ὁ γὰρ ἀγαπῶν με, φησίν, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν», καὶ πάλιν· «ἐλευσόμεθα ἐγὼ καὶ ὁ πατήρ μου καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». οὕτως ἡ ἄπειρος χρηστότης τοῦ πατρὸς ἠθέλησεν, οὕτως ἡ ἀνεννόητος ἀγάπη τοῦ Χριστοῦ ηὐδόκησεν, οὕτως ἡ ἄρρητος ἀγαθότης τοῦ ἁγίου πνεύματος ἐπηγγείλατο. Δόξα τῇ ἀρρήτῳ εὐσπλαγχνίᾳ τῆς ἁγίας τριάδος. 13.2.1 Οἱ γὰρ καταξιωθέντες τέκνα θεοῦ γενέσθαι καὶ ἐκ πνεύματος ἁγίου ἄνωθεν γεννηθέντες καὶ τὸν Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς ἐλλάμποντα καὶ ἀναπαύοντα αὐτοὺς ἐν ποικίλοις καὶ διαφόροις τρόποις τοῦ πνεύματος εἰσὶν ὁδηγούμενοι καὶ ἀοράτως ἐν τῇ καρδίᾳ ἐν ἀναπαύσει πνευματικῇ ὑπὸ τῆς χάριτος κυβερνώμενοι. πρόσωπα δὲ ἐκ τῶν φαινομένων ἐν κόσμῳ ἀπολαύσεων ἐνέγκωμεν τὰς ἐν ψυχῇ ἀναστροφὰς τῆς χάριτος ἐκ παραδειγμάτων μερικῶς ὑποδεικνύν13.2.2 τες. ἔστιν ὅτε γίνονται ὥσπερ ἐν βασιλικῷ δείπνῳ εὐφραινόμενοι καὶ ἀγαλλιῶντες ἀγαλλιάσει καὶ εὐφροσύνῃ ἀνεκλαλήτῳ· ἄλλῃ ὥρᾳ εἰσὶν ὥσπερ νύμφη συναναπαυομένη ἐν κοινωνίᾳ τοῦ νυμφίου αὐτῆς ἀναπαύσει θεϊκῇ. ἄλλοτε γίνονται ὥσπερ ἄγγελοι ἀσώματοι ἐν τοσαύτῃ κουφότητι καὶ ἐλαφρότητι ὄντες μετὰ τοῦ σώματος, ὡς μηδὲ νομίζειν ἔχειν αὐτοὺς σῶμα. ἄλλοτέ εἰσιν ὥσπερ ἐν μέθῃ πότου εὐφραινόμενοι καὶ μεθύοντες τῷ πνεύματι μέθην θείαν καὶ πνευματικὴν μυστηρίων πνευματικῶν· ἄλλοτε εἰσὶν ἐν κλαυθμῷ καὶ ὀδυρμῷ ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων δεόμενοι καὶ ὅλου τοῦ Ἀδὰμ τὸ πένθος καὶ τὸν κλαυθμὸν ἀναλαμβάνουσιν ὑπὸ τῆς ἀγάπης τοῦ πνεύματος ἐκκαιόμενοι εἰς τὴν ἀνθρωπότητα. ἄλλοτε ἐν τοσαύτῃ ἀγάπῃ καὶ ἀγαλλιάσει ὑπὸ τοῦ πνεύματος ἐκπυροῦνται, ὡς εἰ δυνατὸν πάντα ἄνθρωπον ἐν τοῖς ἰδίοις σπλάγχνοις ἐμβαλεῖν, μὴ διακρίνοντες κακὸν ἀπὸ ἀγαθοῦ. ἄλλοτε τοσοῦτον ταπεινοῦνται ὑποκάτωθεν παντὸς ἀνθρώπου ἐν ταπεινοφροσύνῃ πνεύματος, 13.2.3 ὡς ἑαυτοὺς ἐσχατωτέρους πάντων καὶ ἐλάττονας νομίζειν. ἄλλοτε ἐν χαρᾷ ἀνεκλαλήτῳ ὑπὸ τοῦ πνεύματος καταποθοῦνται, ἄλλοτέ εἰσιν ὥσπερ τις δυνατὸς λαβὼν πανοπλίαν βασιλικήν, ὃς καὶ κατελθὼν ἐν πολέμῳ ἐπὶ τοὺς ἐχθροὺς δυνατῶς καὶ ἰσχυρῶς ἀγωνίσηται νικήσας, οὕτως ὁ πνευματικὸς λαμβάνει ὅπλα τοῦ πνεύματος ἐπουράνια καὶ ἐπὶ τοὺς ἀοράτους ἐχθροὺς κατέρχεται καὶ πολεμεῖ καὶ ὑποτάσσει αὐτοὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. ἄλλοτε ἐν πολλῇ τινι ἡσυχίᾳ καὶ γαλήνῃ καὶ εἰρήνῃ καὶ ἀναπαύσει καὶ εὐθηνίᾳ τινι ἀρρήτῳ εἰς μόνην πνευματικὴν ἡδονὴν ἐν πολλῇ ἡσυχίᾳ καὶ ἠρεμίᾳ ἡ ψυχὴ ἀναπαύεται. ἄλλοτε ἐν συνέσει τινὶ καὶ σοφίᾳ ἀρρήτῳ καὶ γνώσει πνεύματος ἀνεξερευνήτῳ ὑπὸ τῆς χάριτος σοφίζεται, ὅπερ οὔτε διὰ γλώσσης στόματος λαληθῆναι δυνατόν. ἄλλοτε εἰς πάντων ἀνθρώπων γίνεται σωτηρίαν. οὕτω ποικίλως ἡ χάρις ἐν αὐτοῖς ἀναστρέφεται καὶ ὁδηγεῖ τὴν ψυχὴν πολυτρόπως καὶ ποικίλως ἀναπαύσασα κατὰ τὸ αὐτῆς θέλημα, καὶ γυμνάζει αὐτὴν διαφόρως, ἵνα τελείαν αὐτὴν καὶ ἄμωμον καὶ καθαρὰν τῷ ἐπουρανίῳ πατρὶ ἀποκαταστήσῃ. 13.2.4 Ταῦτα δὲ τὰ προειρημένα τοῦ πνεύματος ἐνεργήματα μεγάλων μέτρων ἐστὶ τῶν ἐγγὺς τῆς τελειότητος ὄντων· αἱ γὰρ προειρημέναι τῆς χάριτος ποικιλίαι ἀναπαύσεις διαφόρως μέν, ἀλλ' οὔ γε ἀδιαλείπτως εἰς αὐτοὺς ἐνεργεῖται ἐνέργεια ἐνέργειαν πνεύματος διαδεχομένη. ὅτε γὰρ εἰς τελειότητα τοῦ πνεύματος καταντήσῃ ἡ ψυχὴ τελείως πάντων τῶν παθῶν ἀποκαθαρισθεῖσα καὶ τελείως τῷ πνεύματι τῷ παρακλήτῳ διὰ τῆς ἀρρήτου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κοινωνίας ἑνωθεῖσα καὶ ἀνακραθεῖσα, τότε καὶ αὐτὴ ἡ ψυχὴ καταξιωθήσεται πνεῦμα γενέσθαι, συγκεκραμένη τῷ πνεύματι, τότε ὅλον φῶς, ὅλον πνεῦμα, ὅλον χαρά, ὅλον ἀνάπαυσις, ὅλον ἀγαλλίασις, ὅλον ἀγάπη, ὅλον σπλάγχνα, ὅλον ἀγαθότης καὶ χρηστότης γίνεται. καὶ καταπίνονται εἰς τὰς ἀρετὰς τοῦ ἁγίου πνεύματος καὶ ὥσπερ ἐν ἀβύσσῳ θαλάσσης λίθος πανταχόθεν ὕδατι περιέχεται, οὕτως οὗτοι παντὶ τρόπῳ περιέχονται πνεύματι ἀνακεκραμένοι καὶ τῇ χάριτι τοῦ Χριστοῦ ἡνωμένοι ἀφομοιοῦνται τῷ Χριστῷ, τὰς ἀρετὰς τοῦ πνεύματος ἀτρέπτως ἐν ἑαυτοῖς ἔχοντες καὶ πᾶσι τοιούτους καρποὺς ἐπιδεικνύντες, ἔσωθεν ἄμωμοι καὶ ἄσπιλοι καὶ καθαροὶ διὰ τοῦ πνεύματος καταρτισθέντες. πῶς οὖν δυνατὸν ἔξωθεν καρποὺς κακίας προσελθεῖν; ἀλλὰ πάντοτε καὶ διαπαντὸς οἱ καρποὶ τοῦ πνεύματος ἐν αὐτοῖς διαλάμπουσι. 13.2.5 Παρακαλέσωμεν τοίνυν καὶ ἡμεῖς τὸν κύριον καὶ πιστεύσωμεν ἐν ἀγάπῃ καὶ ἐλπίδι πολλῇ, ἵνα δώῃ ἡμῖν τὴν ἐπουράνιον χάριν αὐτοῦ τῆς δωρεᾶς τοῦ πνεύματος, ἵνα καὶ ἡμᾶς αὐτὸ τὸ πνεῦμα κυβερνήσῃ καὶ ὁδηγήσῃ εἰς πᾶν τὸ θέλημα τοῦ θεοῦ καὶ ἀναπαύσῃ ἡμᾶς ἐν τῇ ποικιλότητι τῆς ἀναπαύσεως αὐτοῦ, ἵνα διὰ τῆς τοιαύτης κυβερνήσεως καὶ διὰ γυμνασμοῦ τῆς χάριτος καὶ προκοπῆς πνευματικῆς καταξιωθῶμεν εἰς τὴν τελειότητα τοῦ πληρώματος τοῦ Χριστοῦ φθάσαι. φησὶν ὁ ἀπόστολος· «ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ θεοῦ», καὶ πάλιν· «μέχρι καταντήσομεν οἱ πάντες» «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ». ἐπηγγείλατο γὰρ ὁ κύριος πᾶσι τοῖς πιστεύουσι καὶ αἰτουμένοις καὶ δεομένοις ἐν ἀληθείᾳ δωρήσασθαι 13.2.6 τὰ μυστήρια τῆς ἀρρήτου κοινωνίας τοῦ ἁγίου πνεύματος. καὶ ἡμεῖς οὖν ὁλοτελῶς ἑαυτοὺς τῷ κυρίῳ ἀναθέντες καὶ ψυχῇ καὶ σώματι ἀφιερώσαντες καὶ τῷ σταυρῷ τοῦ Χριστοῦ προσκολληθέντες τῶν προειρημένων ἀγαθῶν τυχεῖν καταξιωθῶμεν καὶ οὕτως ἄξιοι τοῦ κυρίου εὑρεθέντες τῆς αἰωνίου βασιλείας κληρονόμοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 14.τ.1 ΛΟΓΟΣ ΙΔ΄.

14.1.1 Ὥσπερ ἀπὸ πυρὸς ἀνάπτονται λύχνοι πολλοὶ καὶ εἰσὶν αἱ λαμπάδες καιόμεναι, πᾶσαι δὲ αἱ λαμπάδες καὶ οἱ λύχνοι ὅλοι ἀπὸ μιᾶς φύσεως ἀνάπτονται καὶ φαίνουσιν, οὕτω καὶ οἱ Χριστιανοὶ ἀπὸ μιᾶς φύσεως τοῦ πυρὸς τοῦ θείου τοῦ υἱοῦ τοῦ θεοῦ ἀνάπτονται καὶ ἔχουσι τὰς λαμπάδας καιομένας εἰς τὰς καρδίας αὐτῶν καὶ φαίνουσι κατενώπιον αὐτοῦ ἕν τι ὄντες αὐτὸς καὶ αὐτοί· λέγει γάρ· «διὰ τοῦτο ἔχρισέ σε ὁ θεός, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου». Χριστὸς γὰρ ἐπεκλήθη, ἵνα τῷ αὐτῷ ἐλαίῳ, ᾧ αὐτὸς ἐχρίσθη καὶ ἡμεῖς χρισθέντες γενώμεθα Χριστοί, τῆς μιᾶς ὡς εἰπεῖν οὐσίας καὶ ἑνὸς σώματος. λέγει γὰρ πάλιν οὕτως· «ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες». ἐοίκασι γὰρ οἱ Χριστιανοὶ ἐν ἑνὶ μέρει λυχνίαις ἐχούσαις τὸ ἔλαιον ἐν ἑαυταῖς (τουτέστι τοὺς καρποὺς τῆς δικαιοσύνης), ἐὰν δὲ μὴ ἁφθῇ ἐκ τοῦ λύχνου τῆς θεότητος ἐν αὐτοῖς, οὐδέν εἰσι. καὶ γὰρ περὶ Ἰωάννου λέγει ὁ κύριος· «ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος», διὰ τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐπιμένον ἐν αὐτῷ καὶ ἐκκαῖον αὐτοῦ τὴν καρδίαν. Ὥσπερ ἐὰν ᾖ βαλάντιον σάκκινον μὲν καὶ εὐτελές, πεπληρωμένον δὲ μαργαριτῶν, οὕτω καὶ οἱ Χριστιανοὶ εἰς τὸν ἔξω ἄνθρωπον ταπεινοὶ ὀφείλουσιν εἶναι καὶ εὐκαταφρόνητοι, ἔνδοθεν εἰς τὸν ἔσω ἄνθρωπον ἔχοντες τὸν πολύτιμον μαργαρίτην, ἵνα μὴ τῷ κόσμῳ φανῶσιν ὄντες τί, καίτοι ὄντες μεγάλοι παρὰ τῷ θεῷ. ἢ ὥσπερ ἵνα ᾖ ὀστράκινον σκεῦος πεπληρωμέμον χρυσίου ἢ μεστὸν ἀπὸ βαλσάμου, οὕτω καὶ οἱ Χριστιανοὶ εἰς τὸν ἔξω ἄνθρωπον ὀφείλουσιν εἶναι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εὐκαταφρόνητοι, ἔνδοθεν ἔχοντες τὸν πολύτιμον μαργαρίτην. ἐπειδή εἰσιν ἄλλοι τάφοις κεκονιαμένοις ἐοικότες, οἵτινες ἔξωθεν μέν εἰσιν ἐζωγραφημένοι καὶ περικαλλεῖς, «ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν» καὶ δυσωδίας πολλῆς καὶ ἀκαθάρτων πνευμάτων. Καθὼς ὁ ἀπόστολος λέγει ὅτι ὁ κληρονόμος ἕως ὅτε νήπιός ἐστιν, «ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους» τῶν πονηρῶν πνευμάτων, ἅτινα πνεύματα οὐ θέλουσι τὸ νήπιον αὐξῆσαι, ἵνα μὴ γενόμενος ἀνὴρ τέλειος ἄρξηται ἐπιζητεῖν τὰ κατὰ τὸν νόμον οἶκον καὶ ἐκδικεῖν τὴν κυριότητα. Ὁ Χριστιανὸς οὖν ὀφείλει πάντοτε τὴν μνήμην τοῦ κυρίου ἔχειν. γέγραπται γάρ· «ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου», ἵνα μὴ μόνον ὅτε εἰσέρχεται εἰς τὸ εὐκτήριον, ἀγαπᾷ τὸν κύριον, ἀλλὰ καὶ περιπατῶν καὶ ὁμιλῶν καὶ ἐσθίων, ἵνα ἔχῃ πάντοτε τὴν μνήμην τοῦ κυρίου καὶ τὴν ἀγάπην καὶ τὴν στοργήν. λέγει γάρ· «ὅπου ὁ νοῦς σου ἐκεῖ καὶ ὁ θησαυρός». εἰς ὃ γὰρ πρᾶγμα ἡ καρδία τινὸς δέδεται καὶ ὅπου ἡ ἐπιθυμία ἕλκει αὐτόν, ἐκεῖνο αὐτοῦ ἐστιν ὁ θεός. ἐὰν ἐπιθυμῇ ἡ καρδία αὐτοῦ πάντοτε τοῦ θεοῦ, ἐκεῖνος αὐτοῦ ἐστι κύριος τῆς καρδίας. εἰ δὲ ἀποταξάμενός τις καὶ γενόμενος ἀκτήμων καὶ ἄπολις καὶ νηστεύων, ἀκμὴν δέδεται ἢ εἰς οἰκίαν ἢ εἰς φίλτρον γονέων. ὅπου ἡ καρδία αὐτοῦ δεθῇ καὶ ὁ νοῦς αὐτοῦ αἰχμαλωτισθῇ, ἐκεῖνο αὐτοῦ ἐστι θεὸς καὶ εὑρίσκεται διὰ μὲν τῆς πλατείας θύρας ἐξέλθων τοῦ κόσμου, διὰ δὲ τῆς παραθύρου εἰσέλθων καὶ ἐμπεσὼν πάλιν εἰς τὸν κόσμον. Ὥσπερ τὰ φρύγανα ἐπιρριπτόμενα εἰς τὸ πῦρ ἀντιστῆναι οὐ δύναται τῇ δυνάμει τοῦ πυρός, ἀλλ' εὐθέως καίεται, οὕτω καὶ οἱ πύρινοι δαίμονες θέλοντες πολεμεῖν τῷ ἀνθρώπῳ καίονται καὶ καταναλίσκονται ὑπὸ τῆς θείας δυνάμεως καὶ τοῦ ταύτης πυρός. μόνον ἵνα ᾖ ὁ ἄνθρωπος πάντοτε προσκολλώμενος τῷ κυρίῳ καὶ ἔχων τὴν ἐλπίδα καὶ πεποίθησιν εἰς Χριστὸν Ἰησοῦν. καὶ ἐὰν ὦσιν ἰσχυροὶ οἱ δαίμονες ὥσπερ ὄρη σιδηρᾶ, ὑπὸ τῆς εὐχῆς καίονται καθάπερ κηρὸς ἀπὸ προσώπου πυρός. γέγραπται γὰρ «ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ». μέγας δὲ ἐν τῷ μεταξὺ ἀγὼν καὶ πόλεμος ἀνὰ μέσον τῆς ψυχῆς κεῖται. ποταμοί εἰσιν δρακόντων καὶ στόματα λεόντων πυρίνων εἰσὶ φλέγοντες ἀεὶ καὶ ἐμπυρίζοντες τὴν ψυχήν. Ὥσπερ ὁ τέλειος κακοποιὸς μεθύει εἰς τὸ πνεῦμα τῆς πλάνης, ἢ ὁ φονεύων ἄκρος ἐστὶν εἰς τὸ κακόν, οὕτω καὶ ὁ Χριστιανὸς ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ἄπειρος τοῦ κακοῦ γίνεται. οἱ δὲ ἔχοντες χάριν καὶ ἔτι μεμιγμένοι ὄντες τῇ ἁμαρτίᾳ, οὗτοι ἔτι ὑπὸ φόβον εἰσὶ πολὺν καὶ διὰ φοβερῶν τόπων διοδεύουσιν. Καθάπερ γὰρ οἱ ἔμποροι πλέοντες, ἐπὰν εὕρωσιν αἴσιον ἄνεμον καὶ γαληνιῶσαν τὴν θάλασσαν, μήπω δὲ φθάσωσιν εἰς τὸν λιμένα, ἔτι ὑπὸ φόβον εἰσίν, μήπως ἐναντίου ἀνέμου κινηθέντος κλυδωνισθῇ ἡ θάλασσα καὶ κινδυνεύσῃ τὸ πλοῖον, οὕτω καὶ οἱ Χριστιανοί, εἰ καὶ ἔχουσι χάριν καὶ αἴσιον ἄνεμον τοῦ ἁγίου πνεύματος πνέοντος αὐτοῖς, ὑπὸ φόβον εἰσίν, μήπως ὁ ἄνεμος τῆς ἐναντίας δυνάμεως ἐπελθὼν ταραχήν τινα καὶ κλύδωνα κινήσῃ ταῖς ψυχαῖς αὐτῶν. σπουδῆς οὖν πολλῆς χρεία, ἵνα φθάσωσιν εἰς τὸν λιμένα τῆς ἀναπαύσεως, εἰς τὸν τέλειον κόσμον, εἰς τὴν αἰώνιον τρυφήν, εἰς τὴν πόλιν τὴν ἁγίαν, εἰς τὴν ἐπουράνιον Ἱερουσαλήμ, εἰς τὴν ἐκκλησίαν τῶν πρωτοτόκων. ἐὰν δὲ μή τις διέλθῃ τὰ μέτρα ἐκεῖνα, ὑπὸ φόβον ἐστὶ πολύν, μήπως ἐν τῷ μεταξὺ πτῶσίν τινα ἡ ἐναντία δύναμις ἐργάσηται. Ὥσπερ γὰρ ἵνα ᾖ γυνὴ συλλαβοῦσα σπόρον λοιπόν ἐστι τὸ ἔμβρυον τρυφερὸν ἐν τῇ μήτρᾳ καὶ ὡς εἰπεῖν ἐν ὑλώδει καὶ σκοτεινῷ τόπῳ ἐστὶ τὸ παιδίον. ἐὰν μὲν οὖν αὐτὸ συμβῇ ἐξελθεῖν ἐν τῷ δέοντι καιρῷ, βλέπει κτίσιν, ἣν οὐδέποτε εἶδεν οὐρανοῦ καὶ γῆς καὶ ἡλίου, καὶ εὐθέως οἱ φίλοι καὶ οἱ συγγενεῖς ἱλαροῖς προσώποις ὑποδέχονται αὐτὸ εἰς τὰς ἀγκάλας αὐτῶν. ἐὰν δὲ συμβῇ ὑπὸ ἀταξίας πολλῆς ἐνδιασπασθῆναι τὸ παιδίον, λοιπὸν ἀνάγκη τοὺς εἰς τοῦτο ἀποτεταγμένους ἰατροὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ξίφει χρήσασθαι καὶ ἐμβρυοτομῆσαι τὸ παιδίον, καὶ λοιπὸν εὑρίσκεται ἀπὸ θανάτου εἰς θάνατον καὶ ἀπὸ σκότους εἰς σκότος χωροῦν, οὕτως ἀνάλαβε καὶ εἰς τὸ πνευματικόν. ὅσοι ὑπεδέξαντο τὸν σπόρον τῆς θεότητος, οὗτοι ἀοράτως ἔχουσιν αὐτόν, καὶ διὰ τὴν σύνοικον αὐτοῖς ἁμαρτίαν ἐν σκοτεινοῖς καὶ φοβεροῖς τόποις εἰσίν. ἐὰν οὖν οὗτοι ἀσφαλίσωνται τὸ σπέρμα, ὅπερ ἔλαβον, ἀναγεννῶνται εἰς τὸ φανερόν, καὶ λοιπὸν ἐν τῇ διαλύσει τοῦ σώματος οἱ ἄγγελοι καὶ ὁ χορὸς ὁ ἄνω ἱλαροῖς προσώποις ὑποδέχονται αὐτοὺς εἰς τὰς ἀγκάλας αὐτῶν. ἐὰν δὲ ὑποδεξάμενός τις τὰ ὅπλα τοῦ κυρίου εἰς τὸ πολεμῆσαι μὴ ἀνδρίσηται γενναίως, ἀλλὰ χαυνωθῇ καὶ ἐκλυθῇ, εὐθέως παραδίδοται τοῖς ἐχθροῖς καὶ ἐν τῇ διαλύσει τοῦ σώματος ὁ τοιοῦτος εὑρίσκεται ἀπὸ σκότους τοῦ νῦν περιέχοντος αὐτὸν εἰς ἄλλο χαλεπώτερον σκότος καὶ ἀπώλειαν χωρῶν. Ὥσπερ ἵνα ᾖ παράδεισος ἔχων δένδρα καρποφόρα καὶ ἄλλα φυτὰ εὐώδη, καὶ ὅλος καλῶς εἰργασμένος καὶ πεφιλοκαλημένος, καὶ ἔχει μικρὸν τεῖχος ἀντὶ θριγγίου τὸ φυλάσσον αὐτόν. συμβῇ δὲ ἐκεῖ ποταμὸν ὁρμητιαῖον διέρχεσθαι. λοιπὸν ἐὰν μικρὸν τὸ ὕδωρ προσκλύσῃ τὸ τεῖχος καὶ ὑποφθείρῃ τὸν θεμέλιον, λαμβάνει ἀγωγὴν καὶ κατὰ μικρὸν μικρὸν λύει τὸν τριγχὸν καὶ διαρρήσσει καὶ ἐκριζοῖ τὰ φυτὰ καὶ πᾶσαν τὴν ἐργασίαν ἀφανίζει καὶ ἄκαρπον ποιεῖ, οὕτως ἐστὶ καὶ ἡ καρδία τοῦ ἀνθρώπου. ἔχει τοὺς λογισμοὺς τοὺς καλοὺς καὶ τοὺς κακούς, καὶ πλησιάζουσι πάντοτε οἱ ποταμοὶ τῆς κακίας τῇ καρδίᾳ, θέλοντες αὐτὴν καταβαλεῖν καὶ ῥίψαι εἰς τὸ ἴδιον μέρος. λοιπὸν οὖν ἐὰν ᾖ μικρὸν ὁ νοῦς κοῦφος καὶ εἴξῃ τοῖς ἀκαθάρτοις λογισμοῖς, οὐ καλῶς, τοῖς κακοῖς, οἱ πλησιάζουσι πάντοτε, διὰ τῆς πλάνης εἰσῆλθον καὶ κατέστρεψαν τὰ ἐκεῖ κάλλη καὶ ἠφάνισαν τοὺς ἀγαθοὺς λογισμοὺς καὶ ἠρήμωσαν τὴν ψυχήν. Ὥσπερ ἐστὶν ὁ ὀφθαλμὸς μικρὸς παρὰ ὅλα τὰ μέλη καὶ αὐτὴ ἡ κόρη μικρὰ οὖσα μέγα ἐστὶν σκεῦος, βλέπει γὰρ ὑφ' ἓν οὐρανὸν ἀστέρας, ἥλιον, σελήνην, πόλεις καὶ ἄλλα κτίσματα· ὁμοίως καὶ αὐτὰ τὰ ὁρώμενα ὑπὸ τὸ ἕν, εἰς τὴν μικρὰν κόρην τοῦ ὀφθαλμοῦ ἐνμορφοῦται καὶ ἐνεικονίζεται, οὕτως ἐστὶν καὶ ὁ νοῦς εἰς τὴν καρδίαν. καὶ αὐτὴ ἡ καρδία μικρόν τι σκεῦός ἐστιν, καὶ ἐκεῖ οἱ λέοντες, ἐκεῖ οἱ δράκοντες, ἐκεῖ φωλεύει τὰ πνεύματα τῆς πλάνης, ἐκεῖ τὰ ἰοβόλα θηρία καὶ ὅλοι οἱ θησαυροὶ τῆς κακίας, ἐκεῖ αἱ τραχύτητες, ἐκεῖ αἱ φάραγγες, ἐκεῖ αἱ ἀνώμαλοι ὁδοί, ὁμοίως πάλιν ὅταν φωτισθῇ, ἐκεῖ ὁ θεός, ἐκεῖ οἱ ἄγγελοι, ἐκεῖ ἡ ζωή, ἐκεῖ τὸ φῶς, ἐκεῖ αἱ πόλεις αἱ οὐράνιαι, ἐκεῖ οἱ ἀπόστολοι, ἐκεῖ οἱ θησαυροὶ τῆς βασιλείας, ἐκεῖ τὰ πάντα ἐστίν. Ὥσπερ ἐστὶν ὁμίχλη ἐπικειμένη εἰς ὅλην τὴν οἰκουμένην τῷ ἀέρι καὶ τοῖς ὄρεσι, καὶ ἄνθρωπος ἄνθρωπον οὐ βλέπει, οὕτως ἐστὶ καὶ τὸ σκότος τοῦτο τοῦ πονηροῦ ἐπικείμενον πάσῃ τῇ κτίσει καὶ πάσῃ ψυχῇ ἀνθρώπου ἐκ τῆς παραβάσεως. ὁ ἐπισκιαζόμενος ὑπὸ τοῦ τοιούτου σκότους ὡς ἐν νυκτί ἐστι, καὶ ἐν φοβεροῖς τόποις ἔχει τὴν διαγωγήν. Ὥσπερ καπνοῦ πλῆθος εἰς ἕνα οἶκον τυγχάνον, οὕτως ἐστὶ καὶ ἡ ἁμαρτία ὡς καπνοῦ πλῆθος μετὰ τῶν λογισμῶν αὐτῆς τῶν ῥυπαρῶν ἐγκαθεζομένη καὶ ἐφέλκουσα εἰς τοὺς λογισμοὺς ἄπειρον πλῆθος δαιμόνων. Ὥσπερ οὖν ὅτε ἐν τοῖς φαινομένοις εἴη πόλεμος συγκροτούμενος· οὐκ ἀπέρχονται οἱ σοφοὶ καὶ οἱ μεγιστᾶνες εἰς πόλεμον, ἀλλὰ φοβούμενοι τὸν θάνατον ἀπομένουσιν, καὶ λοιπὸν προβάλλονται οἱ τίρωνες καὶ οἱ πένητες καὶ οἱ ἰδιῶται, καὶ συμβαίνει, ὅτι νίκην κατεργάζονται κατὰ τῶν πολεμίων καὶ διώκουσιν αὐτοὺς ἀπὸ τῶν ὁρίων καὶ λοιπὸν τὰ ἐπινίκια καὶ τοὺς στεφάνους λαμβάνουσι παρὰ τοῦ βασιλέως καὶ ἔρχονται εἰς προκοπὰς καὶ ἀξιώματα καὶ ἐκεῖνοι οἱ μεγάλοι οἱ ἐναπομείναντες εἰς τὰ οἰκεῖα αὐτῶν ὀπίσω πάντων εὑρίσκονται, οὕτως ἐστὶ καὶ εἰς τὸ μέρος τὸ πνευματικόν. οἱ ἰδιῶται ἐξ ἀρχῆς ἀκούσαντες τὸν λόγον, φιλαλήθει λογισμῷ οὗτοι τὸ ἔργον ποιοῦσιν καὶ ἐμπίπτουσιν εἰς ἀγῶνα χάριτος καὶ πόλεμον ποιοῦσιν καὶ διδόασιν καὶ λαμβάνουσιν κατὰ ἀλλήλων



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βέλη καὶ γίνεται αὐτῶν ἡ νίκη αἰώνιος. οἱ δὲ σοφοὶ καὶ δὴ λεπτῶς ζητοῦντες τὸν λόγον, φεύγουσι τὸν πόλεμον καὶ οὐ προκόπτουσιν, καὶ ὀπίσω εὑρίσκονται τῶν πολεμησάντων καὶ νικησάντων. Καθάπερ δὲ οἱ ἄνεμοι σφοδρῶς πνέοντες πάντες πάντα τὰ κτίσματα τὰ ὑπὸ τὸν οὐρανὸν κινοῦσι καὶ ἦχον πολὺν ἀποτελοῦσιν, οὕτως ἡ δύναμις τοῦ ἐχθροῦ κρούει καὶ περιφέρει τοὺς λογισμοὺς καὶ σαλεύει τὰ βάθη τῆς καρδίας εἰς τὸ ἑαυτοῦ θέλημα, καὶ εἰς τὴν διακονίαν αὐτοῦ σκορπίζει τοὺς λογισμούς. Ὥσπερ οἱ τελῶναι ὑποκαθέζονται εἰς τὰς ὁδοὺς καὶ κατέχουσι τοὺς παριόντας καὶ διασείουσιν, οὕτω καὶ οἱ δαίμονες ἐπιτηροῦσι τὰς ψυχὰς καὶ κατέχουσι, καὶ ἐν τῷ ἐξέρχεσθαι ἐκ τοῦ σώματος ἐὰν μὴ ἐντεῦθεν καθαρῶς καθαρισθῶσιν, οὐκ ἐπιτρέπονται ἀνελθεῖν εἰς τὰς μονὰς τοῦ οὐρανοῦ καὶ ὑπαντῆσαι τῷ δεσπότῃ αὐτῶν· καταφέρονται γὰρ ὑπὸ τῶν πονηρῶν πνευμάτων, τῶν ἀερίων δαιμόνων. Ὥσπερ τὸ ἅρμα ἐὰν μὴ ἔχῃ ἡνίοχον τὸν ἄγοντα καὶ ἀπάγοντα εὐδρομοῦντα τὰ ζῷα ἔνθα οἶδεν αὐτός, ἐκτρέπεται τῆς εὐθείας ὁδοῦ καὶ συντρίβεται, οὕτω καὶ ἡ ψυχὴ ἐὰν μὴ ἔχῃ τὸν ἡνίοχον τοῦ πνεύματος, ἵνα ἡνιοχήσῃ αὐτὴν ὡς οἶδεν αὐτὸ τὸ πνεῦμα, ἐκτρέπεται καὶ ἐμπίπτει εἰς φάραγγας καὶ παγίδας τοῦ διαβόλου. Ὥσπερ γεωργὸς φυτεύων κλήματα πολλὰ μετὰ τὸ διελθεῖν τὸν δεινὸν χειμῶνα καὶ τοὺς ἀνέμους τοὺς φοβερούς, καὶ τότε φανερὸν γίνεται ποῖον ἐρριζώθη, οὕτω καὶ ὁ ἄνθρωπος φυτεύεται ἐν τῷ θεῷ· λαμβάνων χάριν πνεύματος καὶ διέρχεται πάντας τοὺς χειμῶνας τῶν πειρασμῶν καὶ δοκιμάζεται ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας μεθ' ὧν συνοικεῖ, καὶ τότε φαίνεται εἰ ἐρρίζωται ἐν τῷ θεῷ, εἰ ἐν τῇ ἀγάπῃ αὐτοῦ ἕστηκεν, εἰ τὴν χάριν ἣν ἔλαβε βεβαίως ἐφύλαξε καὶ εἰ ἐν αὐτῇ ηὐξήθη καὶ ἐν αὐτῇ ἐτελειώθη, εἰ τὸ τάλαντον διπλοῦν ἐπραγματεύσατο. καὶ ὥσπερ ὁ γεωργὸς πάντα τὰ κλήματα βούλεται εἰς καρποφορίαν καὶ τελείωσιν ἐλθεῖν, οὕτω καὶ ὁ θεὸς βούλεται πάντας τοὺς λαμβάνοντας τὴν χάριν τοῦ πνεύματος αὐτοῦ δοκιμασθῆναι καὶ τελειωθῆναι. Ὥσπερ ὁ χρυσὸς τῇ γῇ μέμικται, εἶτα διϋλιζόμενος ὑπὸ τοῦ ὕδατος φανερὸς γίνεται ἀπὸ τῆς γῆς, πάλιν δὲ εἰς χωνευτήριον βάλλεται, ἕως οὗ καθαρισθῇ τελείως, καὶ τότε λαμβάνει εἰκόνα βασιλέως καὶ εἰς ἐμπορίαν ἀπέρχεται καὶ εἰς θησαυροὺς βασιλικοὺς ἀποτίθεται· πρὸ δὲ τοῦ διϋλισθῆναι κατεπατεῖτο ὑπὸ τῶν θηρίων, οὕτω καὶ ἡ ψυχὴ ἐν γῇ οὖσα μετὰ τῆς ἁμαρτίας μεμιγμένη ὑπὸ τῶν θηρίων τῶν πονηρῶν πνευμάτων κατεπατεῖτο, εἶτα ὑπὸ τοῦ πνεύματος, τοῦ οὐρανίου ὕδατος, διϋλίζεται καὶ πρῶτον φανεροῦται λαμβάνουσα χάριν καὶ γινώσκει ἑαυτὴν χωριζομένην τῆς κακίας· εἶτα εἰς τὸ χωνευτήριον τῆς δοκιμασίας βάλλεται, ἵνα τελείως καθαρισθῇ ἀπὸ παντὸς ῥύπου, καὶ οὕτως εἰκόνα βασιλέως οὐρανίου λαμβάνει καὶ μορφοῦται Χριστὸς ἐν αὐτῇ καὶ τότε καθαρὰ γενομένη εὔχρηστός ἐστι τῷ δεσπότῃ καὶ εἰς τοὺς βασιλικοὺς θησαυροὺς ἀποτίθεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὁ θώραξ ᾧ κέχρηνται οἱ πολεμισταί, ὁ λεγόμενος κλίβανος, κατὰ τὴν εἰκόνα τοῦ ἀνθρώπου ἐστίν, καὶ ἐὰν μὴ ἔχῃ τὸ κινοῦν αὐτὸν σῶμα καὶ φέρον ἀργὸν καθίσταται, οὕτω καὶ ἡ ψυχὴ εἰκὼν οὖσα τοῦ θεοῦ, ἐὰν μὴ ἐνδύσηται τὸ πνεῦμα καὶ κινήσῃ αὐτὴν καὶ πολεμήσῃ τοῖς ἐχθροῖς καθὼς τὸ πνεῦμα οἶδεν, ὁ ἄνθρωπος οὐδέν ἐστιν ὡς ἀσθενὴς καὶ ἀκίνητος, μὴ εἰδὼς μήτε τοὺς ἐχθροὺς μήτε πῶς πολεμήσῃ. Καὶ γὰρ ὁ πολεμιστής, ἐὰν μὴ ἔχῃ τὸν ἵππον ὀξὺν καὶ τὰ ὅπλα πολεμικά, οὔτε πολεμῆσαι δύναται οὔτε φυγεῖν, ἐὰν χρεία γένηται, ἀλλὰ γυμνὸς ὢν ἀπόλλυται καὶ σφάζεται, οὕτω καὶ ἡ ψυχὴ ἐὰν μὴ ἔχῃ τὸ ἅγιον ὥσπερ ὅπλον, δι' οὗ θωρακισθῇ, γυμνὴ οὖσα ἀπὸ Χριστοῦ σφάζεται καὶ ἀπόλλυται. Ὁ σπόρος διὰ τὴν χώραν ἐπαινεῖται καὶ ἡ χώρα διὰ τὸν καλὸν σπόρον, οὕτω καὶ οἱ ἄνθρωποι οἱ ἅγιοι διὰ τὸν ἐν αὐτοῖς θεὸν πνευματικοὶ καὶ ἅγιοι λέγονται καὶ θαυμάζονται, καὶ ὁ θεὸς διὰ τοὺς ἔχοντας αὐτὸν καὶ καρποφοροῦντας δοξάζεται. Ὥσπερ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δὲ ἀετὸς ἢ ἄλλο τι ὑψιπετὲς ἀπὸ τῆς γῆς μετὰ πολλῆς βίας ἵπταται, ἐπὰν δὲ εἰς ὕψος γένηται ἐν πολλῇ γαλήνῃ καὶ ἀναπαύσει καὶ ἀμεριμνίᾳ ἐστίν, οὕτω καὶ ἡ ψυχὴ λαβοῦσα τὰ πτερὰ τοῦ πνεύματος πρῶτον πολεμεῖ τοῖς ἐχθροῖς αὐτῆς καὶ βιάζεται βοηθουμένη ὑπὸ τῶν ἄνω πτερύγων. ὅταν δὲ εἰς ὕψος ἢ μέγεθος καὶ πλοῦτον τῆς χάριτος γένηται, ἀμερίμνως καὶ ἀφόβως ἐν τῷ ἀέρι τῆς θεότητος ἀναπαύεται. ἐπὰν δὲ πάλιν εἰς γῆν καταπέσῃ τὸ ὄρνεον, πιέζεται ὑπὸ πάντων εἴτε θηρίων εἴτε ἀνθρώπων· φύσις γὰρ πτερῶν ἐπὶ γῆς ἀεργὴς τυγχάνει, οὕτω καὶ ἡ ψυχὴ ἡ τῷ πνεύματι τῷ ἁγίῳ ἐρρωμένη, ἐὰν εἰς τὸν ἄνω ἀέρα τοῦ πνεύματος διακινῇ, ἄφοβος καὶ ἀμέριμνός ἐστιν· ἐὰν δὲ εἰς τὰ γήϊνα καὶ εἰς περισπασμοὺς καὶ δεσμοὺς ἀσχοληθῇ, εὐχερῶς κατέχεται ὑπὸ τοῦ πνεύματος τοῦ σκότους καὶ ὑπὸ τῶν θηρίων, τῶν ἐναντίων δυνάμεων. ἡ γὰρ φύσις τοῦ πνεύματος τοῦ ἁγίου οὐχ ἥδεται μεταδιώκειν γήϊνα καὶ ὑλικὰ πράγματα. Ὥσπερ βασιλεύς τις γράφει ἐπιστολάς, οἷς βούλεται κωδικέλλους καὶ δωρεὰς ἰδίας χαρίσασθαι, γράψας ὅτι "1ταχέως σπουδάσατε ἐλθεῖν πρός με, ἵνα λάβητε παρ' ἐμοῦ δωρεὰς βασιλικάς."2 καὶ ἐὰν μὴ ἀπέλθωσι καὶ λάβωσιν, οὐδὲν ὠφελήθησαν ἀναγνόντες τὰς ἐπιστολάς, μᾶλλον δὲ καὶ θανάτου αἴτιοί εἰσι, μὴ θελήσαντες ἀπελθεῖν καὶ ἐκ χειρὸς βασιλέως τιμὰς βασιλικὰς καταξιωθῆναι λαβεῖν, οὕτω καὶ τὰς γραφὰς τὰς θείας ὥσπερ ἐπιστολὰς ἀπέστειλεν ὁ βασιλεὺς θεὸς τοῖς ἀνθρώποις, δηλῶν δι' αὐτῶν, ἵνα παρακαλέσαντες τὸν θεὸν καὶ πιστεύσαντες αἰτήσωσι καὶ λάβωσι δωρεὰν ἐπουράνιον ἐκ τῆς ὑποστάσεως τῆς θεότητος· αὐτὸς γὰρ εἶπεν· «ἵνα γένησθε κοινωνοὶ θείας φύσεως». καὶ ἐὰν μὴ προσέλθῃ καὶ αἰτήσῃ καὶ λάβῃ ὁ ἄνθρωπος, οὐδὲν ὠφελήθη ἀναγνοὺς τὰς θείας γραφάς, μᾶλλον δὲ καὶ θανάτου ἔνοχός ἐστιν, ὅτι παρὰ βασιλέως οὐρανίου οὐκ ἠθέλησε ζητῆσαι καὶ λαβεῖν δωρεὰν ζωῆς αἰωνίου, ἧς ἄνευ ἀδύνατόν ἐστι ζωῆς ἀθανάτου τυχεῖν. Καλὸν τὸ φοβεῖσθαι ἀεὶ τὸν κύριον καὶ μὴ ἐμπιστεύειν ἑαυτῷ κατὰ πάντα τρόπον, ἵνα μὴ βυθισθῇ τις κακῶς. εἰδὼς ὅτι καλῶς ποιεῖ τί, ὃ οὐκ ἔστιν ὡς νομίζει. «ἔστι» γὰρ «ὁδὸς ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνδρί, τὰ μέντοι τελευταῖα ἔρχεται εἰς πυθμένα ᾅδου» κατὰ τὴν γραφήν. μᾶλλον οὖν ἀεὶ τὸν θεὸν παρακαλείτω, ἵνα γένηται αὐτοῦ ὁδηγὸς καὶ ὁδὸς καὶ νοῦς καὶ διάκρισις καὶ ἑρμηνευτής, καὶ ἕως οὗ εὕρῃ τὸν Χριστὸν ἐν ἑαυτῷ, ὅλως μὴ ἐμπιστεύσῃ ἑαυτῷ. ὡς ὅταν τις εὑρεθῇ ἐν κινδύνῳ πλοίου καὶ λάβῃ τὶ τῶν σκευῶν τοῦ πλοίου, ἵνα διασωθῇ καὶ οὐ μέλλει αὐτῷ περὶ τῶν ἐν τῷ πλοίῳ διὰ τὸν φόβον τῆς θαλάσσης, οὕτως ὁ Χριστιανὸς διὰ τὸν θεὸν ἀεὶ ὀφείλει φοβεῖσθαι καὶ μὴ καταφρονεῖν. ὁ θέλων σωθῆναι ἀγωνίσηται τοίνυν τί θέλει ὁ θεός. τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαπᾶν τὸν θεὸν καὶ βιάζεσθαι ἀγαπᾶν καὶ τὸν πλησίον. ἤτω οὖν ταπεινὸς ἐνώπιον τοῦ θεοῦ καὶ τῶν ἀνθρώπων, καὶ προσεχέτω ἀεὶ τῇ καρδίᾳ καὶ ἀνθιστάσθω τοῖς κακοῖς διαλογισμοῖς. καὶ ὅταν ἐκεῖ τις προσέχῃ, ἀεὶ δεῖ αὐτὸν καὶ ἐν φόβῳ εἶναι καὶ ἀγαπητικὸν καὶ ταπεινόν· καὶ μέριμναν δὲ ἔχει ὁ τοιοῦτος, πῶς ἀρέσει τῷ κυρίῳ καὶ ἀντιπολεμεῖ τῷ παλαιῷ ἀνθρώπῳ. ὁ δὲ ἀμεριμνῶν ἀπολλυμένην ἔχει τὴν καρδίαν, καὶ οὗτος ἐν τῇ παλαιότητι ἕστηκεν, οὔπω ἤρξατο ἀγωνίζεσθαι καὶ πολεμεῖν οὐκ οἶδε. καλὸν οὖν τὸ ἀεὶ ἐν φόβῳ εἶναι καὶ ζητεῖν σύνεσιν καὶ βοήθειαν παρὰ κυρίου, ἵνα δυνηθῇ τις σωθῆναι διὰ τὸν κύριον. Ἔστι «πηγὴ ἐξ οἴκου κυρίου» κατὰ τὸν προφήτην καὶ ἐπάνω αὐτῆς δένδρα καὶ τὰ φύλλα αὐτῶν οὐ μαραίνονται καὶ ἡ εὐωδία οὐκ ἐκλιμπάνει. μυστήριόν τι ἔγκειται εἰς τὸ κεφάλαιον τοῦτο. ἡ πηγὴ ἡ ζῶσα ἐξ οἴκου κυρίου ὁ κύριός ἐστιν, ἐν τῇ καρδίᾳ σου γινόμενος πηγὴ ζῶσα. τῇ γὰρ Σαμαρείτιδι ἔλεγεν· «ὃς πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω», «γενήσεται αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον». ὁρᾷς ὅτι ἔστι πηγὴ ζῶσα ἡ ζωοποιοῦσα τὴν καρδίαν; τὰ δένδρα τὰ ἐφεστῶτα ἐπ' αὐτῆς οἱ δίκαιοί εἰσιν, οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πεφυτευμένοι καὶ ἀρδευόμενοι ἐξ αὐτῆς καρποφοροῦσι καὶ ἐκφέρουσιν εὐωδίαν. καὶ πάλιν λέγει· «ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν». οἱ δίκαιοι οὖν ἀκούουσι ποταμοί. Ὥσπερ γὰρ οἱ φαινόμενοι ποταμοί, ὁ Εὐφράτης ἢ ἄλλοι, εἰς μὲν τοὺς ὁμαλεστέρους τόπους, ὅπου ῥέουσιν ἢ τρέχουσι, δύνανται ὠφελεῖν, ἀνέρχεσθαι δὲ εἰς τὰ ὄρη τὰ ὑψηλά, ὅπου εἰσὶν ὕλαι καὶ ζῷα καὶ θηρία, κἀκεῖ ποτίζειν οὐ δύνανται, οὔτε εἰς τοὺς βουνοὺς οὔτε εἰς τοὺς ὑψηλοτέρους τόπους. οὕτως ἦσαν καὶ οἱ προφῆται· ποταμοὶ ἦσαν, ἐπειδὴ ἐπέρρεεν αὐτοῖς ἐν τῇ καρδίᾳ ἄνωθεν ποταμηδὸν τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' αὐτοὶ ἤρδευον μόνον τὸ ἴδιον ἔθνος τοῦ Ἰσραήλ. οἱ δὲ ἀπόστολοι νεφέλαι ἦσαν μεμεστωμέναι ὑετοῦ· ἔφερον ἄνωθεν τὸν ὑετὸν καὶ ἐπότιζον ὅλην τὴν γῆν καὶ τὰς πεδιάδας τὰς ἐν τῇ γῇ καὶ τὰ ἐξηραμμένα ἀνέθαλον, καὶ αἱ πηγαὶ ἀνενεοῦντο. Ὥσπερ ἐὰν ᾖ μικρὸς ποταμός, πάντες παρέρχονται, ἐὰν δὲ αὐξήσῃ καὶ πλεονάσῃ, ἀπέρατός ἐστι διὰ τὸ πλῆθος τοῦ ὕδατος, οὕτω καὶ ἐν τῇ ψυχῇ, ἕως οὗ νήπιός ἐστιν ὁ ἄνθρωπος, τὰ πονηρὰ πνεύματα ἐμπεριπατοῦσι καὶ ἐμπολιτεύονται. ἐὰν δὲ ἔλθῃ καὶ ἐπὶ τὴν ψυχὴν πλεονασμὸς χάριτος καὶ γένηται πλημμύρα, οὐκέτι δύνανται τὰ πονηρὰ πνεύματα καὶ ἀκάθαρτα ἐκεῖ παρελθεῖν· πνίγονται γὰρ καὶ καταποντίζονται. Ὥσπερ ὁ ὄμβρος ἐρχόμενος ἐπὶ τὴν γῆν πᾶσαν τὴν γῆν βρέχει, τὰ ὄρη, τὰς ὕλας, τοὺς βουνούς, τὰς πεδιάδας, οὕτω καὶ οἱ ἀπόστολοι μεμεστωμένοι τῷ πνεύματι εἰσῆλθον εἰς ὅλον τὸν κόσμον καὶ ἐξέχεαν ἐπὶ πᾶσαν τὴν οἰκουμένην. Κτίσμα ἕτερον ἕτερον κτίσμα ἐκτρέφει καὶ ζωοποιεῖ, οἷον τὰ σπέρματα τοῦ σίτου καὶ τῶν κριθῶν τὰ νέφη, κτίσματα ὄντα, καὶ ὁ ὑετὸς καὶ ὁ ἥλιος ζωοποιοῦσι κελευόμενα, οὕτω κἀκεῖνοι τοὺς ὁμοδούλους ἐξέτρεφον τῷ λόγῳ τῷ οὐρανίῳ, καὶ νοήματα διεφθαρμένα καὶ νενεκρωμένα διὰ τῆς καλῆς αὐτῶν διδασκαλίας ἐζωοποίουν καὶ ἀνήγειρον. τὸ οὖν προηγούμενον ζητήσωμεν, εἰ ἐσπάρημεν ἐν τῇ ἀοράτῳ γῇ καὶ ἐφυτεύθημεν ἐν τῇ ἐπουρανίῳ ἀμπέλῳ. Καὶ ὥσπερ ἐστὶ φῶς διὰ θυρίδος εἰσερχόμενον, ὁ δὲ ἥλιος ὅλῃ τῇ οἰκουμένῃ τὰς ἀκτῖνας ἐπαφίησιν, οὕτως ἦσαν οἱ προφῆται τοῦ ἰδίου οἴκου φωστῆρες τοῦ Ἰσραήλ, οἱ δὲ ἀπόστολοι ἥλιοι λάμποντες τὰς ἀκτῖνας εἰς ὅλα τὰ μέρη τῆς οἰκουμένης. Ἔστι γῆ ἐν ᾗ κατοικοῦσι τὰ τετράποδα, καὶ ἔστι γῆ ἐν τῷ ἀέρι, ἐν ᾗ περιπατοῦσι καὶ ζῶσι τὰ ὄρνεα, καὶ ταῦτα ἐὰν θέλωσι στῆναι ἐν τῇ γῇ καὶ περιπατεῖν, ἔχουσι θηρευτὰς τοὺς κρατοῦντας αὐτά, καὶ ἔστι γῆ ἰχθύων, τὸ ὕδωρ τῆς θαλάσσης· καὶ ἕκαστον ἐν ᾧ ἐγεννήθη τόπῳ, καὶ γῇ καὶ ἀέρι, ἐκεῖ ἔχει τὴν διαγωγὴν καὶ τροφὴν καὶ ἀνάπαυσιν. οὕτως ἔστι γῆ καὶ πατρὶς σατανική, ὅπου διάγουσι καὶ ἐμπεριπατοῦσιν αἱ δυνάμεις τοῦ σκότους καὶ τὰ πνεύματα τῆς πονηρίας, καὶ ἔστι γῆ φωτεινὴ τῆς θεότητος, ὅπου περιπατοῦσι καὶ ἐπαναπαύονται αἱ παρεμβολαὶ τῶν ἁγίων ἀγγέλων καὶ τῶν ἁγίων πνευμάτων. καὶ οὔτε ἡ σκοτεινὴ γῆ τούτοις ὁραθῆναι ἢ ψηλαφηθῆναι δύναται, οὔτε ἡ γῆ τῆς θεότητος ψηλαφᾶται ἢ ὁρᾶται σκοτεινοῖς ὀφθαλμοῖς. τοῖς δὲ πνευματικοῖς φαίνεται τῷ ὀφθαλμῷ τῆς ψυχῆς καὶ ἡ σατανικὴ τοῦ σκότους καὶ ἡ φωτεινὴ γῆ τοῦ φωτός. Ὡς δὲ ὁ λόγος τῶν ἔξωθεν ὅτι "1ἔστιν ὄρη πύρινα"2, καὶ ἔστιν ἐκεῖ ζῷα ὅμοια τῶν προβάτων, λοιπὸν οἱ θηρῶντες αὐτὰ ποιοῦσι σιδηροῦς τροχοὺς καὶ βάλλουσιν ἄγκιστρα καὶ πέμπουσιν εἰς τὸ πῦρ, ἐπειδὴ ἐκεῖνα τὰ ζῷα τὸ πῦρ ἔχει τὴν βρῶσιν, τὸ πῦρ ἔχει τὴν πόσιν, τὸ πῦρ ἔχει τὴν ἀνάπαυσιν, τὴν αὔξησιν, τὴν ζωήν, ἀντὶ πάντων τὸ πῦρ αὐτοῖς ἐστι· καὶ ἐὰν ἐξενέγκῃς αὐτὰ εἰς ἄλλον ἀέρα, ἀπόλλυνται. καὶ τὰ ἱμάτια αὐτῶν ὅταν ῥυπανθῶσιν, εἰς τὸ ὕδωρ οὐ πλύνονται, ἀλλὰ εἰς τὸ πῦρ, καὶ γίνονται καθαρώτερα καὶ ἔκλευκα. οὕτως ἄρα καὶ οἱ Χριστιανοὶ τὸ ἐπουράνιον καὶ ἅγιον πῦρ ἐκεῖνο ἔχουσι βρῶσιν, ἐκεῖνο αὐτοῖς ἐστιν ἀνάπαυσις, ἐκεῖνο καθαρίζει, πλύνει καὶ ἁγιάζει αὐτῶν τὰς καρδίας, ἐκεῖνο φέρει αὐτοὺς εἰς αὔξησιν, ἐκεῖνο αὐτοῖς ἐστιν ἀὴρ ζωῆς. ἐὰν δὲ ἐκεῖθεν ἐξέρχωνται,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπόλλυνται ὑπὸ τῶν πονηρῶν πνευμάτων, ὥσπερ ἐκεῖ τὰ ζῷα ἐξερχόμενα ἀπὸ τοῦ πυρὸς ἀποθνῄσκει, ὥσπερ οἱ ἰχθύες ἀπὸ τῶν ὑδάτων, ὥσπερ τὰ ζῷα τὰ τετράποδα βαλλόμενα εἰς τὴν θάλασσαν πνίγεται, ὥσπερ τὰ πετεινὰ περιπατοῦντα εἰς τὴν γῆν κατέχονται ὑπὸ τῶν θηρευτῶν, οὕτω καὶ ἡ ψυχὴ ἀπόλλυται μὴ μένουσα ἐν τῇ γῇ ἐκείνῃ καὶ ἐν τῇ πατρίδι τῇ φωτεινῇ, ὅπου εἰσὶν αἱ δυνάμεις τοῦ φωτὸς τῶν ἀγγέλων, καὶ ἐὰν μὴ ἔχῃ τὸ πῦρ ἐκεῖνο τὸ θεϊκὸν ἀντὶ βρώσεως καὶ πόσεως καὶ ἐνδυμάτων καὶ καθαρισμοῦ καρδίας καὶ ἁγιασμοῦ ψυχῆς, συμπνίγεται καὶ κατέχεται καὶ ἀπόλλυται ὑπὸ τῶν πονηρῶν πνευμάτων. Ὥσπερ ἐὰν ᾖ πόλις μεγάλη, ἔρημος δὲ ᾖ τειχῶν ὡς διαλελυμένων, ζητητέον, ἵνα ἀσφαλῶς ὀχυρωθῇ ἡ πόλις πρὸς τὸ μὴ ἐχθροὺς εἰσιέναι, οὕτω καὶ αἱ ψυχαὶ αἱ κεκοσμημέναι γνώσει καὶ συνέσει καὶ νῷ ὀξυτάτῳ εἰσὶ μὲν ὥσπερ πόλεις μεγάλαι. ἀλλὰ ζητητέον εἰ ὠχύρωνται τῇ χάριτι τοῦ πνεύματος, μήποτε οἱ ἐχθροὶ εἰσελθόντες ἐρημώσωσιν. οἱ γὰρ σοφοὶ τοῦ κόσμου Ἀριστοτέλης ἢ Πλάτων, οἱ φρόνιμοι ἐν γνώσει, ὥσπερ πόλεις μεγάλαι ἦσαν, ἀλλ' ἔρημοι ἐγένοντο ὑπὸ τῶν ἐχθρῶν διὰ τὸ τοῦ θεοῦ πνεῦμα μὴ εἶναι ἐν αὐτοῖς. ὅσοι δὲ ἰδιῶται μέτοχοί εἰσι τῆς χάριτος, ὥσπερ πόλεις εἰσὶ μικραί, ὠχυρωμέναι δὲ τῇ δυνάμει τοῦ Χριστοῦ. οἱ δὲ ἐκπίπτοντες τῆς χάριτος ἀπὸ δύο πραγμάτων ἀπόλλυνται, ἢ ὅτι τὰς ἐπιφερομένας θλίψεις οὐχ ὑπομένουσιν ἢ ὅτι εἰς τὰς ἡδονὰς τῆς ἁμαρτίας ἡδυνθέντες ἐναπέμειναν, οὐ δύνανται γὰρ οἱ ὁδεύοντες ἄνευ πειρασμῶν διελθεῖν. ὥσπερ γὰρ ἐν τῷ τοκετῷ ἡ βασίλισσα καὶ ἡ ἐπαῖτις τὸν αὐτὸν πόνον ἔχουσιν· ὁμοίως καὶ ἡ γῆ τοῦ πλουσίου καὶ τοῦ πένητος, ἐὰν μὴ τὴν δέουσαν ἐργασίαν λάβοιεν, οὐ δύνανται ἀξίους καρποὺς ἐνέγκειν, οὕτω καὶ ἐν τῇ ἐργασίᾳ τῆς ψυχῆς οὐ σοφός, οὐ πλούσιος πρὸς χάριν βασιλεύει, εἰ μὴ δι' ὑπομονῆς καὶ θλίψεων καὶ καμάτων πολλῶν· ὁ γὰρ Χριστιανὸς ὀφείλει τοιοῦτος εἶναι. Ὥσπερ τὸ μέλι γλυκὺ τυγχάνει, οὐδὲν τὸ πικρὸν ἰοβόλων θηρίων μεταβαλεῖν αὐτὸ δύναται, οὕτως αὐτοὶ πᾶσι τοῖς προσερχομένοις, εἴτε ἀγαθοῖς εἴτε πονηροῖς, χρηστοὶ τυγχάνουσιν, ὥς φησιν ὁ κύριος· «γίνεσθε χρηστοὶ ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος». τὸ γὰρ βλάπτον καὶ μιαῖνον τὸν ἄνθρωπον ἔνδον ἐστὶν ἐν τῇ ψυχῇ ἕρπον καὶ βρύον, λογικὸν καὶ κινητὸν πνεῦμα πονηρίας, ὅπερ ἐστὶ τὸ κάλυμμα τοῦ σκότους, ὁ παλαιὸς ἄνθρωπος, ὃν δεῖ τοὺς θεῷ προσφεύγοντας ἀποδύσασθαι, καὶ ἐνδύσασθαι τὸν ἐπουράνιον καὶ καινὸν ἄνθρωπον, ὅς ἐστι Χριστός. οὐδὲν οὖν τῶν ἔξωθεν βλάπτειν δύναται τὸν ἄνθρωπον, εἰ μὴ τὸ ζῶν καὶ ἐνεργητικόν, τὸ ἐνοικοῦν ἐν τῇ καρδίᾳ πνεῦμα τοῦ σκότους. «ἐκ τῆς καρδίας γὰρ ἐξέρχονται διαλογισμοὶ πονηροὶ», ὥστε οὖν τὸν ἀγῶνα ἑκάστοτε ἐν τοῖς λογισμοῖς ὀφείλει κτήσασθαι ὁ θέλων θεῷ χρησιμεῦσαι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΛΟΓΟΣ ΙΕʹ.

15.1.1 Ὁ φιλαλήθης καὶ φιλόθεος καὶ εἰς ζωὴν ἀπελθεῖν βουλόμενος καὶ διὰ τῆς πίστεως αὐτοῦ γευσάμενος ἐξ ἀληθείας τὴν ἐπουράνιον τῆς ζωῆς τοῦ πνεύματος γλυκύτητα καὶ τῆς ἀρρήτου ἡδονῆς μέτοχος ἐν ἀληθείᾳ γενηθεὶς καὶ πνευματικῆς τροφῆς πεῖραν καὶ αἴσθησιν λαβὼν καὶ ἔμφυτον καὶ κεκρυμμένην ἐν τῇ ψυχῇ τὴν χάριν ἔχων καὶ ὁλοτελῶς ἑαυτὸν τοῖς θελήμασι τῆς χάριτος ἀποδεδωκὼς τὰ τοῦ αἰῶνος τούτου πάντα μεμίσηται καὶ ἀποδεδοκί15.1.2 μασται τῷ τοιούτῳ. ἀνώτερος γὰρ τοῦ κόσμου γέγονε καὶ πάντα τὰ φαινόμενα ἔνδοξα τοῖς ἀνθρώποις καὶ τετιμημένα, οἷον χρυσός, ἄργυρος ἢ πολυτελὴς ἐσθὴς ἢ λίθοι οἱ λεγόμενοι τίμιοι ἢ οἶκοι χρυσόροφοι ἢ δόξα καὶ ἀρχαὶ ἢ κοσμικαὶ τιμαὶ ἢ ἕτερά τινα τοιαῦτα τῷ τοιούτῳ βδελυκτὰ καὶ ἄτιμα


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὥσπερ δυσωδίας μεστὰ νενόμισται, διὰ τὸ ἀληθινὸν καὶ ἀνεκλάλητον τοῦ πνευματικοῦ φωτὸς κάλλος καὶ τὴν δόξαν καὶ τὸν πλοῦτον τῶν ἐπουρανίων ἀγαθῶν, ὧν ὁ ἔσω αὐτοῦ ἄνθρωπος πεῖραν καὶ αἴσθησιν διὰ τοῦ πνεύματος δέξασθαι κατηξιώθη καὶ διὰ τὸ ἑαυτὸν τοῖς τοῦ πνεύματος θελή15.1.3 μασιν ὁλοτελῶς ἀποδοῦναι. εἰ γὰρ ἀπαντήσει τῷ τοιούτῳ ἔνδοξον ἐν τῷ βίῳ τούτῳ, οἷον πλοῦτος ἢ τιμαὶ ἢ ἀρχαὶ ἢ δόξαι ἀνθρώπων ἢ ἔπαινοι καὶ προσκυνήσεις καὶ μακαρισμοί, οὐδὲν τούτων κατασχεῖν καὶ κρατῆσαι δύναται τοῦτον διὰ τὸ ἄλλου πλούτου ἀληθινοῦ καὶ ἄλλης τιμῆς καὶ δόξης οὐρανίου πεῖραν αὐτὸν λαβεῖν, καὶ τρυφῇ καὶ ἡδονῇ ἀφθάρτῳ τρέφεσθαι τὴν ψυχὴν 15.1.4 ἐν πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ διὰ τῆς κοινωνίας τοῦ πνεύματος. καὶ ὥσπερ ὁ λογικὸς ποιμὴν διαφέρει τῶν ἀλόγων θρεμμάτων κατὰ πάντα, ἔν τε συνέσει καὶ γνώσει καὶ διακρίσει καὶ τοῖς λοιποῖς, οὕτως ὁ τοιοῦτος τῶν λοιπῶν ἀνθρώπων διενήνοχε κατὰ πάντα, ἔν τε τῇ ἔξωθεν ἀνθρώποις φαινομένῃ ἀρετῶν ἀναστροφῇ καὶ ἐν τῇ ἔσωθεν ἐν τῷ κρυπτῷ τῶν λογισμῶν «τοῦ νοὸς 15.1.5 ἀνακαινώσει» καὶ ἁγιασμῷ καὶ διακρίσει. ὁ τοιοῦτος γὰρ ὅλος σύνεσίς ἐστιν, ὅλος νοῦς, ὅλος γνῶσις, ὅλος σοφία ἐστίν, ἄλλου πνεύματος καὶ ἄλλου νοὸς καὶ ἄλλης συνέσεως, ξένης καὶ ἐπουρανίου, παρὰ τὸν κόσμον ἐν ἑαυτῷ αἴσθεσθαι καὶ κεκοινωκέναι αὐτόν. «σοφίαν γὰρ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου 15.1.6 τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν θεοῦ σοφίαν ἐν μυστηρίῳ». ταύτης τῆς σοφίας καὶ τούτου τοῦ πνεύματος καὶ συνέσεως τῆς μὴ οὔσης τοῦ κόσμου τούτου οἱ ὄντως Χριστιανοὶ μέτοχοι γίνονται. διὸ καὶ πάντων ἀνθρώπων τῶν ἐχόντων τὸ τοῦ κόσμου πνεῦμα, φρονίμων, σοφῶν, οὗτοι εἰς πάντα διαφέρουσιν. 15.1.7 ὁ τοιοῦτος γὰρ πάντας ἀνθρώπους ἀνακρίνει κατὰ τὸ γεγραμμένον καὶ γινώσκει ἕκαστον πόθεν λαλεῖ καὶ ποῦ ἕστηκε καὶ ἐν ποίοις ἐστίν. αὐτὸν δὲ οὐδεὶς ἀνθρώπων τῶν ἐχόντων τὸ πνεῦμα τοῦ κόσμου γινώσκειν καὶ ἀνακρίνειν δύναται, εἰ μὴ μόνον ὁ τὸ ὅμοιον ἔχων ἐπουράνιον τῆς θεότητος πνεῦμα γινώσκει τὸ ὅμοιον, ὥς φησιν ὁ ἀπόστολος· «πνευματικοὶ πνευματικὰ συγκρίνοντες. ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν». «ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντας, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται». 15.1.8 ὁ τοιοῦτος τῷ κόσμῳ καὶ τοῖς τοῦ κόσμου ἐνδόξοις πράγμασι, πλούτῳ καὶ τρυφῇ καὶ πάσῃ ἀπολαύσει, ἀποτάσσεται καὶ πάντα τὰ τοῦ αἰῶνος τούτου 15.1.9 βδελυκτὰ αὐτῷ τυγχάνει. Καὶ ὥσπερ ὁ φλεγόμενος καὶ κατεχόμενος σφοδροτάτῳ πυρετῷ, πᾶν ὃ ἐὰν προσενέγκῃς αὐτῷ βρωτὸν ἢ ποτὸν ἥδιστον, βδελύσσεται καὶ ἀποβάλλεται διὰ τὸ τῷ πυρετῷ φλέγεσθαι αὐτὸν καὶ ὑπ' αὐτοῦ ἐνεργεῖσθαι καὶ κεκορέσθαι, τὸν αὐτὸν τρόπον καὶ οἱ φλεγόμενοι τῷ ἐπουρανίῳ τοῦ πνεύματος ἔρωτι καὶ σεμνῷ πόθῳ καὶ τῷ ἔρωτι τῆς ἀγάπης τοῦ θεοῦ τὴν ψυχὴν τρωθέντες καὶ τῷ θείῳ καὶ ἐπουρανίῳ πυρί, ὃ ὁ κύριος ἐν τῇ γῇ ἦλθε βαλεῖν, θέλων ἐν τάχει ἀναφθῆναι, σφοδρῶς ἐνεργούμενοι καὶ ἐκκαιόμενοι εἰς τὸν ἐπουράνιον πόθον τοῦ Χριστοῦ, ὡς προείρηται, πάντα τὰ τοῦ αἰῶνος τούτου ἔνδοξα καὶ τίμια ἀπόβλητα καὶ βδελυκτὰ λογίζονται διὰ τὸ τῆς ἀγάπης τοῦ Χριστοῦ πῦρ τὸ συνέχον καὶ ἐκκαῖον καὶ φλέγον αὐτοὺς τῇ πρὸς θεὸν διαθέσει· ἐξ ἧς ἀγάπης οὐδὲν οὔτε ἐπουρανίων οὔτε ἐπιγείων οὔτε καταχθονίων χωρίσαι δυνήσεται τούτους, καθὼς ὁ ἀπόστολος ἐμαρτύρησε Παῦλος τό· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ»; καὶ τὰ ἑξῆς. 15.2.1 Τὴν δὲ κτῆσιν τῆς ἑαυτοῦ ψυχῆς καὶ τῆς ἐπουρανίου τοῦ πνεύματος ἀγάπης οὐκ ἐνδέχεταί τινα σχεῖν, ἐὰν μὴ πάντων τῶν τοῦ αἰῶνος τούτου ἑαυτὸν ἀλλοτριώσας πρὸς τὴν ζήτησιν τῆς ἀγάπης τοῦ Χριστοῦ ἑαυτὸν ἀποδῷ καὶ πασῶν ὑλικῶν μεριμνῶν καὶ περισπασμῶν γηΐνων ὁ νοῦς ἐκτὸς γένηται, ἵνα περὶ τὸν ἕνα σκοπὸν ἀσχοληθῇ καὶ δυνηθῇ διὰ πασῶν ἐντολῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑαυτὸν κατευθύνειν, ἵνα ὅλη ἡ μέριμνα καὶ ζήτησις καὶ ὁ περισπασμὸς καὶ ἡ ἀσχολία τοῦ νοῦ περὶ τὴν ζήτησιν καὶ κτῆσιν τῆς νοερᾶς οὐσίας τῆς ψυχῆς εἴη, πῶς αὐτὴν κοσμηθῆναι δεῖ ταῖς τῶν ἐντολῶν ἀρεταῖς καὶ τῷ ἐπουρανίῳ τοῦ πνεύματος κόσμῳ καὶ τῇ τοῦ κυρίου καθαρότητι καὶ τῷ ἁγιασμῷ, ἵνα ὅταν τις πᾶσιν ἀποταξάμενος καὶ πάντα αὐτοῦ περικόψας τὰ ἐκ τῆς ὕλης καὶ γῆς ἐμπόδια σαρκικῆς ἐγάπης ἢ προσπαθείας γονέων καὶ συγγενῶν ἐκτὸς γένηται, ἐν μηδενὶ ἑτέρῳ συγχωρήσῃ τῷ ἑαυτοῦ νῷ ἀσχοληθῆναι ἢ ἀπομετεωρισθῆναι ἢ περισπασθῆναι, οἷον ἢ ἀρχαῖς ἢ δόξῃ ἢ τιμαῖς ἢ φιλίᾳ σαρκικῇ ἢ ἑτέραις τισὶ φροντίσι γηΐναις, ἀλλ' ὅλος περὶ τὴν κτῆσιν καὶ ζήτησιν τῆς νοερᾶς οὐσίας τῆς ψυχῆς τὴν μέριμναν καὶ θλῖψιν ὁ νοῦς ἀναλάβῃ καὶ τῇ προσδοκίᾳ καὶ ἀναμονῇ τῆς τοῦ πνεύματος ἐπιφοιτήσεως ὅλος ἐξ ὅλου ᾖ, καθώς φησιν ὁ κύριος· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν», καὶ πάλιν· «ζητεῖτε τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». 15.2.2 Γένοιτο, ἵνα οὕτως ἀγωνιζόμενος καὶ προσέχων ἑαυτῷ πάντοτε, ἤτοι ἐν εὐχῇ ἤτοι ἐν ὑπακοῇ ἤτοι ἐν ἔργῳ οἱῳδήποτε ἐντολῆς κατὰ θεὸν γινομένης εἴη ὁ νοῦς, τῆς ἑαυτοῦ ἐρεύνης καὶ τῆς πρὸς κύριον ζητήσεως ἐκτὸς μὴ γενόμενος. καὶ εἴθε ἵνα οὕτω δυνηθῇ διαπερᾶσαι τὸ σκότος τῶν πονηρῶν δυνάμεων καὶ τὴν ἑαυτοῦ ψυχὴν οὖσαν ἐν ἀπωλείᾳ παθῶν κτήσασθαι τῷ πρὸς κύριον ἀεὶ βίᾳ καὶ προθυμίᾳ ἑαυτὸν αἰχμαλωτίζειν καὶ πρὸς αὐτὸν μόνον προσκολλᾶσθαι, καθὼς εἴρηται· «καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ», ὅπως διὰ τοῦ τοιούτου ἀγῶνος καὶ πόθου καὶ ζητήσεως τοῦ νοὸς καταξιωθῇ γενέσθαι μετ' αὐτοῦ εἰς ἓν πνεῦμα τῆς χάριτος τοῦ Χριστοῦ καὶ δωρεᾶς ἀναπαυομένης ἐν τῷ ἀγγείῳ, εἰς ὃ ἐπεφοίτησεν, ἑαυτὴν εἰς πᾶν ἔργον ἀγαθὸν προευτρεπισαμένης τῆς ψυχῆς, μὴ ἐνυβριζούσης τὸ πνεῦμα τοῦ Χριστοῦ ἐν τοῖς ἰδίοις θελήμασι καὶ τοῖς τοῦ αἰῶνος τούτου ῥεμβασμοῖς καὶ περισπασμοῖς ἢ δόξαις ἢ ἀρχαῖς ἢ ἰδιογνωμοσύναις ἢ ἡδοναῖς σαρκικαῖς καὶ 15.2.3 τῶν πονηρῶν πνευμάτων συνδυασμοῖς καὶ κοινωνίᾳ, ἀλλ' ὅλη ἐξ ὅλου ἑαυτὴν Χριστῷ ἀναθεῖσαν καὶ αὐτῷ μόνῳ προσκολλωμένην καὶ ταῖς ἐντολαῖς αὐτοῦ ἀδιαλείπτως ἐνδιατρίβουσα καὶ τὸ ἐπιφοιτῆσαν πνεῦμα τοῦ Χριστοῦ ἀξίως τιμήσασαδιὸ καὶ καταξιοῦται μετ' αὐτοῦ εἰς ἓν πνεῦμα καὶ εἰς μίαν κρᾶσιν γενέσθαι, ὥς φησιν ὁ ἀπόστολος· «ὁ κολλώμενος τῷ κυρίῳ» ἔσται εἰς 15.2.4 «ἓν πνεῦμα». ἐὰν δέ τις ἐκδῷ ἑαυτὸν εἰς μερίμνας ἢ δόξας ἢ τιμὴν τῶν ἀνθρώπων ἢ ἀρχῆς ἐπιμελήσηται καὶ ταῦτα ἐπιζητῇ καὶ ἐν λογισμοῖς γηΐνοις ἡ ψυχὴ συμφύρεται καὶ συγχεῖται ἢ ἔν τινι ὅλως τοῦ αἰῶνος τούτου δέδεται καὶ κρατεῖται, καὶ ἀγαπᾷ ἡ τοιαύτη ψυχὴ διαπερᾶσαι καὶ διαφυγεῖν καὶ ἐξειλῆσαι τοῦ σκότους τῶν παθῶν, εἰς ὃ κατέχεται ὑπὸ τῶν πονηρῶν δυνάμεων, οὐ δύναται διὰ τὸ ἀγαπᾶν καὶ ποιεῖν τὸ θέλημα τοῦ σκότους καὶ τελείως μὴ μισεῖν τὰ ἐπιτηδεύματα τῆς κακίας. 15.2.5 Ἑτοιμάσωμεν οὖν ἑαυτοὺς ὅλῃ τῇ προαιρέσει καὶ ὅλῳ τῷ θελήματι πρὸς κύριον πορεύεσθαι καὶ Χριστοῦ ἀκόλουθοι γενέσθαι, ἐν τῷ τὰ θελήματα αὐτοῦ ἐπιτελεῖν καὶ μεμνῆσθαι τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιεῖν αὐτάς, καὶ ὅλους ἑαυτοὺς ἀπὸ τῆς ἀγάπης τοῦ κόσμου χωρίσαντες καὶ τῶν γηΐνων ἐπιθυμιῶν ἀλλοτριώσαντες καὶ αὐτῷ μόνῳ τὰς ἑαυτῶν ψυχὰς ἀναρτήσαντες τὴν αὐτοῦ 15.2.6 ἀσχολίαν καὶ μέριμναν καὶ ζήτησιν ἐν νῷ ἔχωμεν. εἰ δὲ καὶ διὰ τοῦ σώματος εἰς ἀσχολίας ἐντολῶν τινων καὶ ὑπακοὴν διὰ θεὸν ὀλίγον ἀσχολούμεθα, ἀλλ' ὁ νοῦς τῆς πρὸς κύριον ἀγάπης καὶ ζητήσεως καὶ τοῦ πόθου μὴ χωριζέσθω, ὅπως ἐν τοιούτῳ νοῒ ἀγωνιζόμενοι καὶ ὀρθῷ φρονήματι τὴν ὁδὸν τῆς δικαιοσύνης ὁδεύοντες καὶ πάντοτε ἑαυτοῖς προσέχοντες ἐπιτύχωμεν τῆς «ἐπαγγελίας τοῦ πνεύματος» αὐτοῦ καὶ λυτρωθῶμεν διὰ τῆς χάριτος αὐτοῦ ἐκ τῆς ἀπωλείας τοῦ σκότους τῶν παθῶν, ὑφ' ὧν ἡ ψυχὴ ἐνεργεῖται, ἵνα τῆς αἰωνίου βασιλείας ἄξιοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γενώμεθα καὶ συναπολαῦσαι Χριστῷ ὅλους αἰῶνας καταξιωθῶμεν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

16.τ.1 ΛΟΓΟΣ Ις΄.

16.1.1 Οἱ τέλειοι Χριστιανοὶ οἱ καταξιωθέντες ἐλθεῖν εἰς τὰ μέτρα τῆς τελειότητος καὶ γενέσθαι πλησίον τοῦ βασιλέως, τῷ σταυρῷ τοῦ Χριστοῦ πάντοτε ἀφιέρωνται. ὡς γὰρ ἐπὶ τῶν προφητῶν τὸ χρῖσμα ἦν πάντων τιμιώτερον, διότι δι' αὐτοῦ βασιλεῖς καὶ ἱερεῖς καὶ προφῆται ἐχρίοντο, οὕτω νῦν οἱ πνευματικὸν χρῖσμα χριόμενοι γίνονται Χριστοὶ κατὰ χάριν, εἰς τὸ γενέσθαι αὐτοὺς βασιλεῖς καὶ προφήτας μυστηρίων ἐπουρανίων. καὶ οὗτοί εἰσιν υἱοὶ καὶ κύριοι καὶ θεοί, δεδεμένοι καὶ ᾐχμαλωτισμένοι καὶ ἀφιερωμένοι καὶ 16.1.2 ἐσταυρωμένοι. εἰ γὰρ τὸ σύνθετον ἔλαιον τὸ ἀπὸ τῶν ἐλαιῶν τοσαύτην εἶχε δύναμιν, ὥστε τοὺς χριομένους λοιπὸν εἶναι βασιλεῖς καὶ ἡγουμένους καθὰ καὶ Δαβὶδ καὶ Σαοὺλ καὶ οἱ λοιποὶ προφῆται καὶ ἱερεῖς, πολλῷ μᾶλλον οἱ χριόμενοι τὸν νοῦν καὶ τὸν ἔσω ἄνθρωπον τῷ ἁγιαστικῷ καὶ ἀχειροποιήτῳ τῆς ἀγαλλιάσεως ἐλαίῳ καὶ ἐκείνης τῆς ἀφθάρτου καὶ θείας δυνάμεως μετέχοντες καὶ λαβόντες τὸν ἀρραβῶνα τοῦ πνεύματος, τὸ πνεῦμα τὸ παράκλητον, καταξιοῦνται φθάσαι εἰς τὰ μέτρα τῆς τελειότητος, τῆς βασιλείας λέγω καὶ τῆς υἱοθεσίας, καὶ γενέσθαι συμμύσται τοῦ ἐπουρανίου βασιλέως καὶ ἔχουσι παρρησίαν πρὸς τὸν πατέρα εἰσιόντες καὶ ἐξιόντες πρὸς αὐτόν, ἔνθα ἄγγελοι 16.1.3 καὶ τὰ πνεύματα τῶν ἁγίων. καὶ εἰ μηδέπω ἔλαβον τὴν τελείαν κληρονομίαν διὰ τὴν περικειμένην σάρκα, διὰ τὸν ἀρραβῶνα τοῦ πνεύματος ἀσφαλεῖς εἰσι περὶ τῆς ἑαυτῶν σωτηρίας ὡς ἤδη στεφανωθέντες καὶ βασιλεύσαντες, καὶ οὐκ ἀμφιβάλλουσι ὅτι συμβασιλεύσουσι τῷ Χριστῷ καὶ ἐν παρρησίᾳ καὶ πλεονασμῷ πνεύματος ἁγίου ἔσονται, διότι ἔτι ὄντες ἐν σαρκὶ ἔσχον τὸν νόστον ἐκείνης τῆς γλυκύτητος καὶ τὴν ἐνέργειαν ἐκείνης τῆς δυνάμεως. 16.1.4 Ὥσπερ γάρ τις ἐν παλατίῳ χρονίσας καὶ ἀναστραφεὶς καὶ συμμύστης βασιλέως γενόμενος, ἐὰν βασιλεύσῃ, οὐ θαμβεῖται οὔτε ξενοφωνεῖται, διότι πάντα τὸν χρόνον συνδιέτριβε τῷ βασιλεῖοὐδὲ γὰρ ἐνδέχεταί τινα τῶν τυχόντων εἰς βασιλέα χρισθῆναι, οὕτω καὶ οἱ Χριστιανοὶ ἐν ἐκείνῳ τῷ αἰῶνι μέλλοντες βασιλεύειν οὐ ξενίζονται ἤδη προεγνωκότες τὰ μυστήρια τῆς θείας 16.1.5 χάριτος, διότι τὸ ἐπιτεθὲν μετὰ τὴν παρακοὴν τοῖς ἀνθρώποις ὑπὸ τοῦ σατανᾶ κάλυμμα ἡ χάρις ἀπεκδύει ἐρχομένη τέλεον. καὶ ἐπαίρει ἀπὸ τῆς ψυχῆς πᾶν μίασμα καὶ πάντα λογισμὸν ῥυπαρόν, ὥστε τὴν ψυχὴν καθαρὰν γενομένην καὶ ἀπολαβοῦσαν τὴν ἰδίαν φύσιν, τὸ κτίσμα τὸ ἄμωμον καὶ καθαρόν, τελείως ἐνορᾶν τοῖς καθαροῖς ὀφθαλμοῖς τὴν δόξαν τοῦ φωτὸς τοῦ ἀληθινοῦ καὶ τὸν ἀληθινὸν ἥλιον τῆς δικαιοσύνης ἐξαστράπτοντα ἐν αὐτῇ τῇ καρδίᾳ. 16.1.6 Καὶ ὥσπερ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος περιαιρουμένου τοῦ στερεώματος τοῦ οὐρανοῦ οἱ δίκαιοι ἐν τῇ βασιλείᾳ καὶ φωτὶ καὶ δόξῃ ὄντες οὐδὲν ἄλλο ἐνορῶσιν ἢ τὸν Χριστὸν ἐν τῇ δόξῃ αὐτοῦ πάντοτε ἐν δεξιᾷ τοῦ πατρός, οὕτω καὶ οὗτοι ἀπὸ τοῦ νῦν εἰς ἐκεῖνον τὸν αἰῶνα ἁρπαγέντες καὶ αἰχμαλωτισθέντες πάντα τὰ ἐκεῖ κάλλη καὶ τὰς ἐκεῖ θαυματουργίας ἐνορῶσιν. καὶ ὧδε ὄντες οὐκ εἰσὶν ἐπὶ γῆς, ἀλλ' ἐπὶ γῆς ὄντες ἐν οὐρανῷ ἔχουσι τὸ πολίτευμα καὶ ἐκεῖ ἔχουσι 16.1.7 τὴν πᾶσαν διαγωγὴν καὶ τὸν νοῦν καὶ τὸν ἔσω ἄνθρωπον. καὶ ὥσπερ ὁ σωματικὸς ὀφθαλμὸς ἀπαθὴς ὢν καὶ ὑγιὴς καθαρῶς ἐνορᾷ τὸν ἥλιον, οὕτω καὶ οὗτοι τέλεον κεκαθαρμένοι τὸν νοῦν πάντοτε ἐνορῶσι τὴν δόξαν τοῦ Χριστοῦ καὶ νυκτὸς καὶ ἡμέρας σύνεισι τῷ κυρίῳ, ὥσπερ καὶ τὸ σῶμα τοῦ κυρίου συναφθὲν τῇ θεότητι πάντοτε σύνεστι τῷ πνεύματι τῷ ἁγίῳ. ἀλλὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτου τοῦ μέτρου οὐκ εὐθέως ἐπιτυγχάνουσιν οἱ ἄνθρωποι, εἰ μὴ μετὰ καμάτου καὶ ἀθλήσεως καὶ ἀγῶνος πολλοῦ. 16.1.8 Εἰσὶ γὰρ πολλοί, οἷς σύνεστιν ἡ χάρις ἐνεργοῦσα καὶ ἀναπαύουσα καὶ σύνεστιν ἡ κακία ἔνδον οὖσα, καὶ τὰ δύο πνεύματα εἰς μίαν ἐνεργεῖ καρδίαν, τό τε τοῦ φωτὸς καὶ τὸ τοῦ σκότους. καὶ πάντως ἐρεῖς μοι· «τίς κοινωνία φωτὶ πρὸς σκότος»; ἢ «τίς συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων»; 16.1.9 Ἀποκρινοῦμαί σοι κἀγὼ τὸ αὐτό· «τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος»; ἢ ποῦ τὸ θεῖον φῶς ἐπισκιάζεται ἢ θολοῦται; ἢ τὸ ἀμίαντον καὶ καθαρὸν ποῦ μιαίνεται; γέγραπται γάρ· «καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε». μονοτρόπως οὖν οὐ χρὴ νοεῖν τὰ πράγματα οὐδὲ μονομερῶς λαμβάνεσθαι. εἰς τοσοῦτον γάρ τινες ἀναπαύονται ἐν τῇ τοῦ θεοῦ χάριτι, ὅτι ἀνδρειότεροι καὶ γενναιότεροι γίνονται τῆς συνούσης αὐτοῖς ἁμαρτίας, καὶ ἔχοντες εὐχὴν νῦν καὶ ἀνάπαυσιν πρὸς τὸν θεὸν πολλὴν ἄλλῃ ὥρᾳ ἐνεργοῦνται ὑπὸ ῥυπαρῶν λογισμῶν καὶ κλέπτονται ὑπὸ τῆς ἁμαρτίας, ὄντες ἐν 16.1.10 τῇ τοῦ θεοῦ χάριτι. οἱ δὲ ἐλαφροὶ καὶ ἄπειροι μερικῶς ἐνεργούσης αὐτοῖς τῆς χάριτος νομίζουσι μηκέτι εἶναι σὺν αὐτοῖς ἁμαρτίαν· ἀλλ' οἱ ἔχοντες διάκρισιν καὶ οἱ ἔχοντες σύνεσιν οὐ τολμῶσιν ἀρνήσασθαι ὅτι "1ἔχοντες τὴν χάριν τοῦ θεοῦ οὐκ ἐνεργούμεθα ὑπὸ αἰσχρῶν καὶ ῥυπαρῶν λογισμῶν."2 πολλάκις γὰρ εὕρομεν ἐν τοῖς ἀδελφοῖς τοσαύτην ἐσχηκότας χάριν, ὥστε ἐν πέντε καὶ ἓξ ἔτεσι λέγειν αὐτοὺς ὅτι "1ἐξηράνθη ἡ ἐπιθυμία"2, καὶ μετὰ ταῦτα ὅτε ἐνόμισαν ἑαυτοὺς εἶναι ἐλευθέρους, ἐγκρυβεῖσα ἡ κακία ἐπεκινήθη αὐτοῖς, ὡς ξενισθῆναι αὐτοὺς καὶ λέγειν ὅτι "1μετὰ τοσούτους χρόνους οὕτω μοι ἐπανέστη ἡ κακία." οὐδεὶς οὖν τῶν συνετῶν τολμᾷ εἰπεῖν, ὅτι "1συνούσης μοι τῆς χάριτος τὸ λοιπὸν ἠλευθέρωμαι ἀπὸ τῆς ἁμαρτίας."2 ἐνεργεῖ δὲ τὰ δύο πρόσωπα ἐν τῷ αὐτῷ ἀνθρώπῳ, καὶ οἱ ἄπειροι τῶν πραγμάτων, μικρόν τι κίνημα πνευματικὸν ἔχοντες λέγουσιν· "1ἤδη ἐνικήσαμεν καὶ Χριστιανοί 16.1.11 ἐσμεν"2. ἐγὼ δὲ οὕτω φημὶ εἶναι τὰ πράγματα· ὥσπερ ὄντος ἐν οὐρανῷ τοῦ ἡλίου καθαροῦ καὶ μὴ ἐπισκιαζομένου ὑπὸ νεφῶν ἄφνω ἐπιδραμὼν ἀὴρ σκοτεινὸς ἢ ὁμίχλη σκοτοῦσι τὴν λαμπρότητα τοῦ ἡλίου, οὕτως εἰσὶν οἱ μὴ τέλεον καθαρθέντες, ὄντες δὲ ἐν τῇ τοῦ θεοῦ χάριτι καὶ κατεχόμενοι ἐν τῷ βάθει ὑπὸ τῆς ἁμαρτίας ἔχουσι τὰ κινήματα καὶ τοὺς λογισμοὺς αὐτῶν ἐρρωμένους πρὸς τὸν θεὸν καὶ μὴ ὄντες ἐν ἀγαθοῖς. καὶ ὥσπερ ὁ ἥλιος ἔνδον ὢν τῶν νεφῶν ὁ αὐτὸς διαμένει, οὕτω πάλιν καὶ οἱ κατεχόμενοι ἐν βάθει τοῦ ἀγαθοῦ μέρους, τῆς χάριτος λέγω, ἔτι εἰσὶ δοῦλοι καὶ ὑπόχρεοι τοῖς πονηροῖς λογισμοῖς καὶ τῷ μέρει τῆς κακίας. 16.2.1 Πολλῆς οὖν χρεία διακρίσεως, ὅπως διὰ πείρας γνοίη τις ταῦτα τοῦτον ἔχειν τὸν τρόπον. λέγω δέ σοι, ὅτι καὶ οἱ ἀπόστολοι ἔχοντες τὸν παράκλητον ὁλοτελῶς οὐκ ἦσαν ἀμέριμνοι, ἀλλὰ συνῆν τῇ χαρᾷ καὶ ἀγαλλιάσει φόβος καὶ τρόμος ἐξ αὐτῆς τῆς χάριτος, οὐ τοῦ μέρους τῆς κακίας. αὐτὴ γὰρ ἡ χάρις 16.2.2 ἠσφαλίζετο αὐτούς, ἵνα μηδὲ μικρόν τι ἐκτραπῶσι. καὶ ὥσπερ τις νέος ψηφίδα λαβὼν μικρὰν καὶ πατάξας εἰς τεῖχος οὐδὲν ἤνυσεν, ἢ ὥσπερ τόξευμα ἀσθενὲς οὐδὲν ἀδικεῖ κλίβανον ἰσχυρόν, ἀλλὰ τῇ ἀντιτυπίᾳ εἰς τὰ ὀπίσω ἀκοντίζεται, οὕτω μέρος τι τῆς κακίας προσεγγίζον αὐτοῖς, οὐδὲν ἔβλαπτεν, ἐπειδὴ ἦσαν ἐνδεδυμένοι τὴν τελείαν δύναμιν τοῦ Χριστοῦ. πλὴν καὶ τέλειοι ὄντες εἶχον τὴν ἐκ τοῦ αὐτεξουσίου ἐλευθερίαν ἀπεργάσασθαι τὰς δικαιοσύνας. 16.2.3 Ἐπειδήπερ τινὲς λέγουσιν, ὅτι μετὰ τὴν χάριν ἀμεριμνία λοιπόν ἐστι τῇ ψυχῇ, ἀλλ' ὁ θεὸς καὶ ἐν τοῖς τελείοις ἐπιζητεῖ τὸ θέλημα τῆς ψυχῆς εἰς διακονίαν τοῦ πνεύματος, ὅπως συμφωνήσωσι καὶ τιμήσωσιν. λέγει γὰρ ὁ ἀπόστολος· «τὸ πνεῦμα μὴ σβέννυτε». ἐν ἑαυτοῖς οἱ μὲν οὖν οὐκ ἤθελον ἐπιβαρεῖς γενέσθαι, ἀλλ' ἑαυτοῖς ἐπήρκουν, ἕτεροι δὲ λαμβάνοντες παρὰ κοσμικῶν, πτωχοῖς διεδίδοσαν καὶ τοῦτο ἐκείνου τοῦ μέτρου ἀνώτερόν ἐστιν. καὶ οἱ μὲν ἔχοντες τὴν χάριν μόνον τὸ ἑαυτῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μεριμνῶσι, πῶς συμφωνήσωσι τῷ θεῷ, οἱ δὲ καὶ ἄλλας ψυχὰς ὠφελῆσαι σπουδάζουσι καὶ κάματον εἰς αὐτὰς ὑφ16.2.4 ίστανται· πάλιν οὖν καὶ οὗτοι ἐκείνων εἰσὶν ἀνώτεροι. εἰσὶ δὲ καὶ ἄλλοι θέλοντες κομπάζειν καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων καὶ δεικνύναι ὅτι Χριστοῦ ἐσμεν μέτοχοι, ἄλλοι δὲ λανθάνειν καὶ κρύπτειν ἑαυτοὺς ἀπὸ τῶν ἀν16.2.5 θρώπων σπεύδουσιν· καὶ οὗτοι ἀνώτεροι ἐκείνων καὶ μείζους εἰσίν. ἄλλοι δὲ ἔχοντες τὴν χάριν τοῦ θεοῦ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ τὰ σώματα αὐτῶν εἰς πάθη καὶ ὕβρεις παραδιδόασι καὶ πάλιν οὗτοι ἀνώτεροί εἰσιν. ὁρᾷς οὖν πῶς καὶ ἐν αὐτῇ τῇ τελειότητι εὑρίσκεται μείζων εὔνοια πρὸς τὸν θεὸν ἀπὸ φυσικοῦ θελήματος ἐπιτελουμένη. 16.2.6 Ὥσπερ γάρ τις πένης λειπόμενος ἐν ὁράματι δόξῃ ἑαυτὸν πλούσιον ὁρᾶν, ἀποβεβληκότα τοὺς ῥυπαροὺς χιτῶνας καὶ ἐνδυσάμενον ἐσθῆτα λαμπράν, καὶ ἐκ τῆς περιχαρείας ἧς εἶδεν ἀναστὰς εὕρῃ τὴν ἐν χερσὶ πενίαν· οὕτως οἱ λόγον πνευματικὸν λαλοῦντες, εἰ καὶ ἀλήθειαν δοκοῦσι λαλεῖν, μὴ ἔχοντες τὸ ἔργον τοῦ λόγου ἐν γεύσει τινι καὶ δυνάμει καὶ πληροφορίᾳ ἐν τῷ νῷ κεκρυμ16.2.7 μένον ἐν φαντασίᾳ τινὶ ἑστήκασιν. καὶ ὥσπερ γυνὴ ἐσθῆτα λαμπρὰν περιβεβλημένη καὶ ἐν πορνείῳ ἑστῶσα καὶ ἐν ἀκαθαρσίᾳ, οὕτω καὶ οὗτοι τὴν καρδίαν ἔχοντες πνευμάτων ἀκαθάρτων πορνεῖον, λαλεῖν θέλουσι περὶ δικαιοσύνης μηδὲ ὅλως ἐγκύψαντες εἰς τὴν ἀλήθειαν τῶν πραγμάτων. 16.2.8 Ὥσπερ γὰρ οὐκ ἐνδέχεται ἰχθὺν ἄνευ ὕδατος ζῆν ἢ ἄνευ ποδῶν ἄνθρωπον περιπατεῖν ἢ ἄνευ ὀφθαλμῶν ἰδεῖν φῶς ἢ ἄνευ γλώσσης λαλεῖν ἢ ἄνευ ὤτων ἀκούειν, οὕτως οὐκ ἔστιν ἄνευ τοῦ Ἰησοῦ καὶ τῆς θείας ἐνεργείας γινώσκειν μυστήρια καὶ σοφίαν θεοῦ εἰδέναι ἢ εἶναι πλούσιον ἐν πνεύματι ἢ Χριστιανὸν γενέσθαι, 16.2.9 ἀλλ' οὗτοι εἰσὶ σοφοὶ καὶ παλαισταὶ καὶ ἀνδρεῖοι καὶ φίλοι θεοῦ, οἱ ὁδηγούμενοι καὶ ποιμαινόμενοι κατὰ τὸν ἔσω ἄνθρωπον ὑπὸ τῆς θείας δυνάμεως. καὶ οἱ μὲν φιλόσοφοι τῶν Ἑλλήνων λόγους μανθάνουσι καὶ λογομαχίαν σοφιστικὴν ἀσκοῦσιν, οἱ δὲ τοῦ θεοῦ δοῦλοι ὄντες ἰδιῶται λόγου εὐφραίνονται καὶ 16.2.10 ἀγαλλιῶσιν ἐπὶ τῇ τοῦ θεοῦ χάριτι καὶ θεοσέβειαν ἀσκοῦσι. διάκρινόν μοι οὖν, τίνες τινῶν διαφέρουσιν, οἱ λόγοις καὶ μύθοις πεποιθότες ἢ οἱ ἐν ἔργῳ καὶ δυνάμει τὴν ἀλήθειαν κατέχοντες. φησὶ γὰρ ἡ γραφή· «ἡ βασιλεία 16.2.11 τῶν οὐρανῶν οὐκ ἔστιν ἐν λόγῳ, ἀλλ' ἐν ἔργῳ καὶ δυνάμει». καὶ τὸ μὲν εἰπεῖν καὶ λόγοις κατασκευάσαι πράγματα εὔκολόν ἐστιν· εὐχερῶς γὰρ ἔχει πᾶς λέγειν, ὅτι "1ὁ ἄρτος οὗτος ἀπὸ σίτου γεγένηται"2, τὴν δὲ κατὰ μέρος κατασκευὴν ἐκθέσθαι οὐκ εὔκολον, ὃ δὴ καὶ ἀληθέστερόν ἐστι καὶ τῶν πεπειραμένων ἔργον. οὕτως οὖν καὶ τὸ λαλῆσαι περὶ ἀπαθείας καὶ τελειώσεως ἄκοπόν ἐστι, καὶ πείρᾳ δὲ καταλαβεῖν τὸ πρᾶγμα καὶ ἀληθείᾳ καὶ ἔργῳ καὶ 16.2.12 ἐλθεῖν εἰς τὴν κατασκευὴν τῆς τελειότητος ὀλίγων ἐστίν. καὶ τὸ μὲν εὐαγγέλιον ἀποφαντικῶς ἐκέλευσεν εἶναι πάντα ἄνθρωπον φίλον τοῦ βασιλέως θεοῦ ἐν τῷ λέγειν· "1μὴ ὀργισθῇς, μὴ ἐπιθυμήσῃς· ἂν τίς σου ῥαπίσῃ τὴν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· ἐάν τις σοι κριθῇ, ἄρας τὸν χιτῶνα, δὸς αὐτῷ καὶ τὸ ἱμάτιον"2 καὶ τὰ ἑξῆς. ὁ δὲ ἀπόστολος κατὰ πόδας τῶν λαληθέντων, πῶς χρὴ ἐνεργεῖν κατὰ μικρὸν τὸ ἔργον τῆς καθάρσεως μετὰ ὑπομονῆς καὶ μακροθυμίας ἐκπαιδεύει, πρῶτον μὲν γαλακτοτροφῶν ὡς νηπίους, εἶτα 16.2.13 φέρων εἰς αὔξησιν καὶ προκοπὴν καὶ αὖθις εἰς τελειότητα. οἷον εἶπε τὸ εὐαγγέλιον· τέλειος ἐξ ἐρέας γινέσθω χιτών, ὁ δὲ ἀπόστολος πῶς δεῖ ξαίνεσθαι τὴν ἐρέαν καὶ ὑφαίνεσθαι τὸν χιτῶνα καὶ κατασκευάζεσθαι ἐδίδαξεν. 16.3.1 Ὅσοι λόγους πνευματικοὺς λαλοῦσιν ἄνευ γνώσεως καὶ πείρας ἐοίκασιν ἀνθρώπῳ ἐν μεσημβρίᾳ καὶ καύσωνι πεδιάδα ἄνυδρον διοδεύοντι καὶ διὰ τὴν πολλὴν δίψαν διαγράφοντι κατὰ νοῦν πηγὴν ψυχράν, διειδὲς καὶ λαμπρὸν καὶ γλυκὺ ῥέουσαν ὕδωρ, καὶ ἑαυτὸν ἀπολαύοντα ἐν ἀδείᾳ τοῦ νάματος, τῶν χείλεων αὐτοῦ ἐκφρυγέντων καὶ ἀποξηρανθέντων διὰ τὴν ὑπερβολὴν τῆς δίψης, ἢ ἀνθρώπῳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποτὲ μὴ γευσαμένῳ μέλιτος ποιότητα καὶ διηγουμένῳ ἑτέροις περὶ 16.3.2 τῆς γλυκύτητος. τοιοῦτοι εἰσὶν οἱ λέγοντες λόγον περὶ τελειότητος καὶ ἁγιασμοῦ καὶ ἀπαθείας, μὴ ἔχοντες δὲ ἐν ἔργῳ καὶ πληροφορίᾳ τὰ πράγματα· οὐ γὰρ ὡς λαλοῦσιν, οὕτως ἀπαντᾷ ἡ ἀλήθεια. εἰ γὰρ δῴη ποτὲ ὁ θεὸς ἐλθεῖν τινα εἰς μικρὰν τῶν παρ' αὐτοῦ λαλουμένων αἴσθησιν, δι' ἑαυτοῦ διακρίνας γνώσεται τῶν πραγμάτων τὴν διαφοράν, ὅτι οὐ καθὼς ἐλάλει, εὗρε τὴν ἀλή16.3.3 θειαν, ἀλλὰ ἄλλως μὲν αὐτὸς ἐλάλει, ἑτέρως δὲ τὸ πνεῦμα εἰργάσατο. ἀληθῶς γὰρ ὁ Χριστιανισμὸς βρῶσίς ἐστι καὶ πόσις· καὶ ὅσον ἐσθίει τις, διὰ τὴν ἡδύτητα πλεῖον ἐρεθίζεται εἰς ἐπιθυμίαν, καὶ γίνεται ὁ νοῦς ἀκόρεστος καὶ ἀκατάσχετος. ὡς ἐάν τις διψῶντι δώσει πόμα ἡδὺ καὶ εὐόρεκτον, κἀκεῖνος ἀπογευσάμενος οὐ διὰ τὴν δίψαν μόνον, ἀλλὰ καὶ διὰ τὴν γλυκύτητα λαβρότερον προσέλθῃ τῷ ποτῷ· οὕτω πῶς ἀκόρεστός ἐστιν ἡ τοῦ πνεύματος γεῦσις. ταῦτα δὲ οὐ λόγοις ψιλοῖς νοούμενα, ἀλλὰ ἐργασίᾳ ἁγίου πνεύματος ἐν μυστηρίῳ 16.3.4 ἐν τῷ νῷ ἐπιτελούμενά ἐστι καὶ λέγεται οὕτως. εἰσὶ δέ τινες πορνείας φαινομένης ἢ κλοπῆς ἢ τῶν ὁμοίων κακῶν ἀπεχόμενοι, καὶ νομίζουσιν ἑαυτοὺς εἶναι ἁγίους. ἀλλ' οὐ καθὼς οἱ ἄπειροι τῆς ἀληθείας φάσκουσιν οὕτως εἰσὶ τὰ πράγματα. ἡ γὰρ κακία ἔτι ἐν τῷ νῷ τῶν τοιούτων ζῇ καὶ ἐφέρπει· ἅγιος δέ ἐστιν ὁ ἁγιασθεὶς καὶ καθαρθεὶς τὸν ἔσω ἄνθρωπον. πλὴν ὅπου ἡ ἀλήθεια ἀνακύπτει, ἐκεῖ μάχη τῆς πλάνης διεγείρεται· σπουδάζει γὰρ καλύψαι καὶ θολῶσαι. 16.3.5 Οἷον ὅτε παρ' Ἑβραίοις ἦν ἱερωσύνη καὶ τὸ πνεῦμα, ἐξ αὐτοῦ τοῦ ἔθνους ἐδιώκοντο οἱ πιστοὶ τοῦ θεοῦ. νυνὶ δὲ ἀφ' οὗ ἔσχισαν τὸ καταπέτασμα τοῦ ναοῦ, τὸ ἅγιον πνεῦμα ἀπέστη τοῦ τυπικοῦ θυσιαστηρίου καὶ πρὸς τὴν τῶν ἐθνῶν ἐγένετο ἐκκλησίαν. καὶ πάλιν ἀπ' αὐτῶν τῶν συμφυλετῶν διώκονται οἱ πιστοὶ καὶ μάρτυρες γίνονται οἱ φιλαλήθεις. οὐ γὰρ φαίνεται ἡ ἀλήθεια 16.3.6 οὖσα ἀλήθεια, ἐὰν μὴ ἔχῃ τοὺς ἐναντιουμένους καὶ μαχομένους αὐτῇ. εἰσὶ δὲ καὶ ἐν τοῖς ἀδελφοῖς βαστάζοντες πάθη καὶ θλίψεις, ἵνα μὴ πέσωσιν. εἷς γὰρ τῶν ἀδελφῶν συνευχόμενός τισιν ᾐχμαλωτίσθη ὑπὸ τῆς θείας δυνάμεως καὶ ἁρπαγεὶς εἶδε τὴν ἄνω πόλιν Ἱερουσαλὴμ καὶ τὰς ἐκεῖ εἰκόνας φωτεινὰς καὶ φῶς ἄπειρον, καὶ ἤκουσε φωνῆς λεγούσης· "1οὗτός ἐστιν ὁ τόπος τῆς καταπαύσεως τῶν δικαίων."2 καὶ μικρὸν φυσιωθεὶς καὶ νομίσας τι περὶ ἑαυτοῦ εὑρέθη μετὰ ταῦτα ἐκπεσὼν εἰς τὰ ἄδυτα καὶ εἰς τὰ βάθη τῆς ἁμαρτίας καὶ 16.3.7 εἰς μύρια κακά. εἰ οὖν ὁ ἐσώτερος ἔπεσε, πῶς δύναται λέγειν ὁ τυχὼν ὅτι "1νηστεύων καὶ ξενιτεύων καὶ ψωμίζων μου τὰ ὑπάρχοντα ἅγιός εἰμι"2, οὐ γὰρ ἡ τῶν φαινομένων κακῶν ἀποχή ἐστι τελεία κάθαρσις, ἀλλὰ ἡ κατὰ συνείδησιν τελεία κάθαρσις. εἴσελθε γάρ, ὦ οὗτος, διὰ τῆς τῶν λογισμῶν σου ἐπιτάσεως πρὸς τὸν αἰχμάλωτον καὶ δοῦλον τῆς ἁμαρτίας νοῦν καὶ ἴδε τὸν κατώτερον τοῦ νοῦ καὶ βαθύτερον τῶν λογισμῶν εἰς τὰ λεγόμενα ταμεῖα τῆς ψυχῆς ἕρποντα καὶ ἐμφωλεύοντα ὄφιν καὶ φονεύοντά σε διὰ τῶν καιριωτάτων τῆς ψυχῆς σου μελῶν. ἄβυσσος γάρ ἐστι καὶ ἀκατάληπτος ἡ καρδίακαὶ ἐὰν τοῦτον ἐφόνευσας καὶ εἰ τὴν ἀνομίαν καὶ πᾶσαν τὴν ἐν 16.3.8 σοὶ ἀκαθαρσίαν ἐξέβαλες, καύχησαι ἐν θεῷ περὶ καθαρότητος. εἰ δὲ μή, ταπεινωθεὶς ὡς ἐνδεὴς καὶ ἁμαρτωλὸς πρόσελθε ὑπὲρ τῶν κρυφίων σου δεόμενος τῷ κυρίῳ. πᾶσα γὰρ γραφὴ καὶ παλαιὰ καὶ νέα καὶ ὁ ἀπόστολος καὶ ἡ τοῦ σωτῆρος παρουσία περὶ καθαρότητος καὶ ἐλευθερίας τὸν λόγον ποιοῦνται, καὶ πᾶς ἄνθρωπος, εἴτε Ἰουδαῖος εἴτε Ἕλλην ἀγαπᾷ τὴν καθαρότητα, εἰ καὶ μὴ δύναται καθαρεύειν. 16.3.9 Σὲ δὲ χρὴ ἐπιζητῆσαι, πῶς καὶ διὰ τίνος δύναται ἡ καθαρότης τῆς καρδίας γενέσθαι καὶ εὑρήσεις, ὅτι οὐ δι' ἑνὸς ἑτέρου ἢ διὰ Ἰησοῦ τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος. αὐτὸς γάρ ἐστιν ἡ ζωὴ καὶ ἡ ἀλήθεια, ἡ ὁδὸς ἡ εὐθεῖα, ἡ θύρα, ὁ μαργαρίτης, ὁ ζῶν καὶ ὁ οὐράνιος ἄρτος. καὶ οὐκ ἐγχωρεῖ τινα ἄνευ ἐκείνης τῆς 16.3.10 ἀληθείας ἀλήθειαν γνῶναι ἢ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σωτηρίας τυχεῖν. ὥσπερ οὖν ἐν τοῖς φαινομένοις τῷ ἔξω ἀνθρώπῳ ἀπετάξω καὶ ἐψώμισας καὶ ἐσκόρπισας τὰ ὑπάρχοντα σου, οὕτως ἀποτάξασθαί σε δεῖ καὶ ταῖς τῶν ἠθῶν προλήψεσιν. καὶ εἰ σοφίαν ἔμαθες σαρκίνην, εἰ γνῶσιν ἔσχες πραγμάτων, ἄρνησαι. εἰ δικαιώμασι σαρκὸς πέποιθας, ἀπόστηθι ταπεινῶν ἑαυτόν· καὶ οὕτω δυνηθήσῃ τῇ μωρίᾳ τοῦ κηρύγματος μαθητευθῆναι, ἐν ᾧ κηρύγματι εὑρήσεις τὴν ἀληθινὴν σοφίαν, οὐ λόγοις κεκαλλωπισμένην, ἀλλὰ δυνάμει τοῦ ἁγίου σταυροῦ ἐνεργουμένην ἐν τοῖς καταξιωθεῖσι κτήσασθαι αὐτὴν ἐν ὑποστάσει. 16.4.1 Τί γὰρ λέγει Παῦλος; ὁ δὲ σταυρὸς τοῦ Χριστοῦ «Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρία», «ἡμῖν δὲ τοῖς σῳζομένοις θεοῦ δύναμις καὶ θεοῦ σοφία», καὶ «ἡμεῖς δὲ κηρύσσομεν Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον». καὶ ἴσως σοφιζόμενος αὐτὸν τὶς τῶν τότε ἀπεκρίνατο· καὶ εἰς νεκρὸν ἄνθρωπον μὴ δυνηθέντα ἑαυτὸν διασώσασθαι, ἀλλὰ τὸν ἀτιμότατον ὑποστάντα θάνατον ὡς κακοῦργον πιστεύειν ἡμᾶς λέγεις καὶ φάσκεις τοῦτον εἶναι τῶν ὅλων δημιουργόν; τὶ θέλει εἶναι ὦ σπερμολόγοι καὶ ξένων δαιμονίων καταγγελ16.4.2 ταί. ταῦτα γὰρ τῶν τότε σοφῶν τὰ ῥήματα μωρίαν εἶναι νομισάντων τὸ κήρυγμα· «οὐ γὰρ ἔγνω διὰ τῆς σοφίας ὁ κόσμος τὸν θεόν, ἀλλὰ εὐδόκησε διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας». σὺ δὲ εἰ καὶ ἔλαβες γεῦσίν τινα ἐξ οὐρανοῦ καὶ ἀνάπαυσιν ἔσχες ἐν τῇ ψυχῇ σου καὶ μετέσχες ἐκείνης τῆς σοφίας ἐκείνου τοῦ αἰῶνος, μὴ τυφοῦσαι καὶ μὴ ἐπαίρου ὡς ἤδη πέφθακὼς καὶ καταλαβὼν πάσαν τὴν ἀλήθειαν, μὴ καὶ σὺ ἀκούσῃς· «ἤδη κεκορεσμένοι ἐστέ· ἤδη ἐπλουτήσατε καὶ χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν». ἀλλὰ γευσάμενος ἔσω ὡς μὴ ἐναρξάμενος τοῦ Χριστιανισμοῦ· τοῦτο δὲ οὐ λόγοις, ἀλλ' ἵνα ᾖ ἐμπεφυτευμένον ἐν αὐτῷ τῷ νῷ καὶ κεκυρωμένον, μένοντα πάντοτε τῇ 16.4.3 προαιρέσει. ὥσπερ γάρ τις φιλόπλουτος μύρια συναγαγὼν χρήματα οὐκ ἔστησε τὴν ἐπιθυμίαν, ἀλλὰ τὸ καθ' ἡμέραν προστιθέμενον αὔξησιν ποιεῖται τῆς τῶν πλειόνων ὀρέξεως, καὶ ὥσπερ τις ἀποσπασθεὶς ἀπὸ ἡδυτάτου καὶ γλυκυτάτου πόματος οὐ κόρον ἔλαβεν, ἀλλὰ μᾶλλον ἔκκαυσιν τῆς δίψης· οὕτω καὶ ἡ τοῦ θεοῦ γεῦσις οὐκ ἔχει κόρον ἢ τέλος, ἀλλ' ὅσῳ πλουτεῖ τις, ὡς πένητα ἑαυτὸν ἔχει καὶ ἐσθίων καὶ πίνων ἐκκαίεται εἰς μείζονα ὄρεξιν τῶν λαμβανο16.4.4 μένων. οἱ τοιοῦτοι Χριστιανοὶ οὐκ ἔχουσι τὴν ἑαυτῶν ψυχὴν τιμίαν, ἀλλ' ὡς ἐξουδενωμένοι παρὰ τοῦ θεοῦ διάκεινται καὶ δοῦλοί εἰσι πάντων ἀνθρώπων. καὶ πολὺ χαίρει ὁ κύριος καὶ ἀναπαύεται ἐπὶ τῇ τοιαύτῃ καρδίᾳ διὰ τὴν ταπείνωσιν αὐτῆς. «κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν». 16.4.5 Μὴ τοίνυν οἰηθῇ τις περὶ ἑαυτοῦ ὡς ὤν τι ἢ ἔχων ἢ καταλαβώνεὶ καὶ ἔχει τι καὶ πλουτεῖ, διότι ἡ τύφωσις καὶ ἡ οἴησις βδελυκτὴ παρὰ θεῷ εἶναι ἀποδέδεικται, καὶ δι' αὐτῆς ἐξέβαλεν ἀπ' ἀρχῆς ἀπὸ τοῦ παραδείσου τὸν ἄνθρωπον. ἤκουσε γὰρ ὅτι «ἔσεσθε ὡς θεοί», καὶ ἐγαυριᾶτο ἐπὶ τῇ ματαίᾳ 16.4.6 αὐτοῦ ἐλπίδι. πολὺ οὖν, ὡς εἴρηται, ἀποδοκιμάζει ὁ κύριος καὶ ἀποστρέφεται τὴν τοιαύτην προαίρεσιν. κατάμαθε πῶς ὁ θεὸς καὶ βασιλεὺς καὶ υἱὸς θεοῦ «ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν» καὶ πῶς ἐπτώχευσεν, ἀτιμαζόμενος, ἐμπτυόμενος, πάσχων. καὶ εἰ ὁ θεὸς οὕτως, σὺ αἷμα καὶ σάρκα φορῶν, γῆ καὶ σποδὸς ὅλος ὢν ἐν ῥυπαρίᾳ καὶ πάσῃ ἀκαθαρσίᾳ, ὑψηλοφρονεῖς καὶ 16.4.7 καυχᾶσαι; εἰ δὲ ἦς συνετός, καὶ περὶ οὗ σοι ὁ κύριος ἔδωκεν, οὕτως λέγε· "1οὐκ ἔστιν ἐμόν, ἄλλος μοι ἔδωκε, ξένον ἐστὶ τῆς φύσεώς μου καὶ ὅτε θέλει λαμβάνει αὐτὸ ἀπ' ἐμοῦ"2 καὶ πᾶν δὲ τὸ ἀγαθὸν τῷ κυρίῳ ἀπόδος. εἰ δέ τι κακὸν εὑρεθῇ ἐν χερσί σου, τῇ ἑαυτοῦ ἀσθενείᾳ περίαπτε λέγων "1ἐγώ εἰμι ὁ 16.4.8 ἁμαρτωλὸς ὁ παροργίσας τὸν κύριον."2 «παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν» τοῦ Χριστοῦ κτήσασθε καὶ «ἐγκολπώσασθε τὴν ταπεινοφροσύνην», ἐφ' ἧς ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κύριος ἀναπαύεται, καὶ καθ' ἡμέραν ὡς σήμερον ἀρχόμενοι τοῦ Χριστιανισμοῦ γίνεσθε ἐνώπιον κυρίου ταπεινότεροι ὄντες καὶ ἐνδεέστεροι ὅλων τῶν ἀνθρώπων, καὶ ἔχετε ἑαυτοὺς ἁμαρτωλοὺς παρὰ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Ἀμήν.

17.τ.1 ΛΟΓΟΣ ΙΖʹ.

17.1.1 Περὶ τῶν λεγόντων τὴν ἀποκάλυψιν, ἣν λέγουσιν αἱ γραφαὶ τοῖς πιστῶς νοοῦσι, γίνεσθαι ἐν λογισμοῖς καὶ ἑρμηνείαις καὶ οὐχὶ φῶς θεοῦ ἀληθινὸν λάμπειν, ἐκ τῶν γραφῶν τὰς μαρτυρίας λάβωμεν. Τὸ ὁμοειδὲς τῆς δόξης τοῦ φωτὸς τοῦ περιλάμποντος τοὺς ἀξίους ὁ ἀπόστολος συγκρίνων τῇ δόξῃ τοῦ προσώπου Μωϋσέως «ἡμεῖς δέ, φησί, πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι». καὶ αὐτὸν δὲ τὸν Παῦλον ἐν Δαμασκῷ ἀπερχόμενον ἐν τῇ ὁδῷ φῶς θεῖον περιέλαμψεν ἐξαστράψαν ὑπὲρ τὸν ἥλιον. καὶ Στέφανος ἑστὼς εἶπεν· ὁρῶ «τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν» τῆς δυνάμεως. καὶ πάλιν· «ὁ ἀγαπῶν με» φησίν «ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ 17.1.2 ἐμφανίσω αὐτῷ ἐμαυτόν». ἀποδέδεικται οὖν ὅτι οὐκ εἰσὶ ταῦτα νοήματα, ἀλλ' ὑπόστασις καὶ οὐσία καὶ λάμπον θεῖον φῶς τοῦ ἁγίου πνεύματος, ἐπὶ τοῖς ἀξίοις καὶ πιστοῖς· καὶ ἐκ τῶν λοιπῶν δὲ γραφῶν ἀναλεξάμενος εὑρήσεις σύμφωνα πολλὰ τυγχάνοντα. ἐπειδὴ δέ τινες ἑνὶ προσώπῳ τὴν ἀποκάλυψιν μόνον λέγουσιν ἐν ἑρμηνείαις καὶ νοήμασιν, ἐπερειδόμενοι τῇ μαρτυρίᾳ τοῦ ἀποστόλου· «ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ», «ὁ πρῶτος σιγησάτω» καί· «ἡ ἐντολὴ κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς», καὶ ὅτι «λύχνος τοῖς ποσί μου 17.1.3 ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου». ὁμολογοῦμεν καὶ ἡμεῖς εἶναι ἀποκάλυψιν καὶ ἐν ἑρμηνείᾳ γραφῶν ὑπὸ τοῦ πνεύματος γινομένην, ὁμολογησάτωσαν δὲ καὶ αὐτοὶ ἐν οὐσίᾳ καὶ ὑποστάσει φῶς θεϊκὸν ἐλλάμπειν ταῖς καρδίαις τῶν πιστῶν. ἐν δυσὶν ἄρα προσώποις ἡ ἀποκάλυψις ἑρμηνεύεται, ἔν τε νοήμασι καὶ γνώσει γραφῶν καὶ ἐν φωτὶ θεϊκῷ καὶ οὐσιώδει, ὅπερ ἐστὶν ἐπιφαινόμενον καὶ ἐλλάμπον ὑπὲρ τὸ τοῦ ἡλίου φῶς ταῖς ψυχαῖς. 17.2.1 Περὶ τῶν ἀνυπομονήτων καὶ θεμέλιον πίστεως μὴ ἐχόντων, ὅτι αἱ προαιρέσεις τούτων τοιαῦταί εἰσιν· ἐὰν μὴ μεταλάβω χάριν πνεύματος, ἀδυνάτως ἔχω παραμεῖναι, εἰ δὲ λάβω, τότε παραμενῶ. Οὗτος οὐδὲ λαβὼν παραμένει, ὅτι τὰς θλίψεις γενναίως φέρειν οὐ δύναται, μὴ εὐτρεπίσας οὕτως ἑαυτόν. δέον κρίνειν, ὅτι τῷ δεσπότῃ μου κεχρεώστηται παρ' ἐμοῦ πάσῃ εὐνοίᾳ δουλεύειν, καί, εἴτε δίδωσί μοι ἢ οὔ, ἐγὼ οὐκ ἀφίημι τὸν δρόμον. τοῦτο λογιζόμενος, ὅτι οὔκ εἰμι ἄξιος, ἵνα καὶ τὸ ὄνομα αὐτοῦ ἐπικληθῇ ἐπ' ἐμέ. εἰ δὲ καὶ γεέννῃ με παραδώσει κολασθῆναι, ἐγὼ οὐκ ἀφίημι αὐτόν. ὡς καὶ ὁ Ἰώβ· ἐάν με ἀποκτείνῃς, ἐγὼ οὐκ ἀφίημί σε καὶ τῆς ἀκακίας μου οὐ μὴ ἐκσταίην. ὁ τοιοῦτος δικαίως τὴν ζωὴν κληρονομήσει. 17.2.2 Ὁ γὰρ τοῦ θεοῦ ἄνθρωπος εἰς ἕκαστα τῶν ἀρετῶν προκοπὴν λαμβάνει, εἰς ταπεινοφροσύνην, εἰς χρηστότητα, εἰς μακροθυμίαν· ἡ δὲ πάντων τούτων κρηπὶς ἡ πεποίθησίς ἐστιν ἡ πρὸς θεόν. οἱ γὰρ τοιοῦτον θεμέλιον μὴ ἔχοντες ὡς οἱ οἰκοδομοῦντες οἶκον ἄνευ θεμελίου. καὶ ὥσπερ οἱ περὶ τοὺς Μακκαβαίους μεγάλως ἀνδραγαθήσαντες ὑπέταξαν τοὺς ἐχθροὺς αὐτῶν ἐν τῷ σωματικῷ πολέμῳὑπόδειγμα γὰρ λάβωμεν αὐτοὺς ἐν τῷ κατὰ τῶν πνευματικῶν τῆς πονηρίας πολέμῳ, οὕτω καὶ οἱ γενναῖοι καὶ μεγαλόψυχοι τοῦ Χριστοῦ καὶ ἀληθινοὶ πολεμισταί. 17.3.1 Περὶ τοῦ μὴ δεῖν ἀπελπίζειν ὅλως τὸν ἄνθρωπον, ἀλλὰ τῇ ἐλπίδι ἀεὶ χαίρειν· ὅτι τοῦτο βούλεται καὶ ἐπιζητεῖ ὁ πονηρός, τὴν ἀνελπιστίαν ὑποτιθέμενος ταύτῃ τῇ ψυχῇ εἰς τὸ ἀπολέσαι αὐτήν, ἁμαρτημάτων προτέρων ἢ πονηρῶν ἐννοιῶν ὑπόμνησιν φέρων.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ὥσπερ γὰρ οἱ ἐν τῷ πολέμῳ τοὺς ὑπεναντίους ἀναιροῦντες ἅμα τῷ κροῦσαι τῷ ξίφει ἀλαλάζουσι φωνῇ μεγάλῃ, εἰς τὸ φοβῆσαι καὶ πτόησιν ἐμποιῆσαι καὶ τῇ φωνῇ πλέον αὐτοὺς παραλῦσαι, οὕτως ὁ πονηρὸς ὑποτιθέμενος ἐννοίας πονηρὰς καὶ ῥυπαρὰς καὶ ἀκαθάρτους τῇ ψυχῇ ἢ ἕτερά τινα ἀτοπήματα ἢ χαυνότητα ἢ καὶ εἰς παρεκτροπὴν ἁμαρτημάτων τὸν νοῦν ἄγων, εὐθέως ἀνελπιστίαν ὑποτίθεται τῇ ψυχῇ, ὡς μηκέτι δύνασθαι αὐτὴν ἀνακληθῆναι, ἵνα παντελῶς ἀπολέσῃ τὸν ἄνθρωπον. ὧν δὴ ἐννοιῶν οὐ δεῖ φροντίζειν, ἀλλὰ καταφρονεῖν καὶ ἀνδρίζεσθαι τῇ πίστει καὶ τῇ ἐλπίδι τοῦ κυρίου, ὅτι αὐτὸς ἐπηγγείλατο δικαιῶσαι τὸν ἀσεβῆ. εἰ δὲ καὶ παρέτρεψεν ἡμᾶς ἐν τοῖς ἁμαρτήμασιν ἢ διανοήμασιν ὁ σατανᾶς, ἡμεῖς ἐπὶ τὴν ἐλπίδα τοῦ θεοῦ κρεμασθέντες καὶ τῆς τοῦ πονηροῦ συμβουλίας καταφρονήσαντες ὅλῃ καρδίᾳ ἐπὶ τὸν κύριον καταφύγωμεν, ὅπως τῆς ζωῆς ἐπιτυχεῖν δυνηθῶμεν. ὁ κύριος γὰρ διὰ τοὺς ἁμαρτωλοὺς παραγέγονεν, ἵνα ἐκδίκησιν ποιήσῃ τοῖς καταπονουμένοις, ὅτι «πιστός ἐστιν ὁ ἐπαγγειλάμενος». 17.3.2 Δεῖ ἡμᾶς μὴ κατὰ τὸ ἔθος σωματικῶς εὔχεσθαι μηδὲ συνηθείᾳ κραυγῆς μηδὲ συνηθείᾳ γονάτων, ἀλλὰ νηφαλίως ἀεὶ τῷ νῷ προσδοκῶντας τὸν θεόν, πότε ἐπιστῇ καὶ ἐπισκέψεται καὶ ἐλεήσει τὴν ἐν ἀληθείᾳ προσδοκῶσαν αὐτὸν ψυχήν, καὶ λοιπὸν εἴτε χρεία κραυγῆς εἴτε χρεία ἡσυχίας τῷ νῷ νηφαλίως προσέχωμεν. ὥσπερ γὰρ τὸ σῶμα ὅπου ἐὰν ἐργάζηται, ὅλον εἰς τὸ ἔργον ἐστὶ καὶ ἀλλήλοις τὰ μέλη βοηθεῖ, οὕτω καὶ ἡ ψυχὴ εἰς τὴν εὐχὴν μὴ ἤτω ῥεμβομένη τοῖς λογισμοῖς, ἀλλ' ὅσον δύναται βιαζέσθω ἑαυτὴν συναγαγεῖν πανταχόθεν, ἵνα ἡ ψυχὴ καὶ οἱ λογισμοὶ αὐτῆς ἐν τῇ εὐχῇ καὶ ἐν τῇ προσδοκίᾳ τοῦ θεοῦ ὦσιν, αἰτουμένη ἵνα αὐτῇ ἐπιστῇ ὁ ἀληθῶς διδάσκων καὶ διδοὺς εὐχὴν καθαρὰν καὶ θεοῦ ἀξίαν, ἵνα λοιπὸν προσκυνήσῃ ἡ ψυχὴ ἐν πνεύματι ἁγίῳ. καὶ ὥσπερ ὁ πραγματευόμενος οὐ διὰ μιᾶς ὁδοῦ οἶδε πορίζειν κέρδος, ἀλλὰ πανταχόθεν θεωρεῖ, καὶ ἐὰν τύχῃ ἐντεῦθεν ἀποτυχεῖν αὐτόν, ἑτέρῳ ἐπιβάλλειμόνον γὰρ σκοπὸς αὐτῷ ἐστι τὸ κερδῆσαι, οὕτω καὶ ἡμεῖς τὴν εὐχὴν ἡμῶν ποικίλως καὶ ἐντρεχῶς καταρτίσωμεν, τὸ μέγα καὶ ἀληθινὸν κέρδος, διὰ τὸν θεὸν τὸν διδάσκοντα ἡμᾶς πᾶσαν ἀγαθωσύνην ἐξ ἀληθείας, ἵνα ἀναπαυθῇ ὁ κύριος ὁ καθίσας ἐν τῷ θρόνῳ τῆς ψυχῆς ἡμῶν. 17.3.3 Ὥσπερ γὰρ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα ἀπέθετο τὸν ὀνειδισμὸν αὐτοῦ, οὕτω καὶ ἡ ψυχή, ὅταν βλαστήσῃ τὸ ἄνθος τοῦ ἁγίου πνεύματος, ἀποτίθεται τὸν ὀνειδισμὸν τῶν ἐχθρῶν αὐτῆς. Καὶ ὥσπερ τινὰ τῶν πετεινῶν ἐπὰν ἴδωσιν ἐν νυκτὶ πυρὸς αὐγήν, φέρουσιν ἑαυτὰ κατὰ τοῦ πυρὸς καὶ ἀπόλλυνται, οὕτω καὶ ὁ ἄνθρωπος ἐπὶ τὰ χείρω πλανώμενος ἡδέως καὶ ἐν σκότει ἐρχόμενος ῥίπτει ἑαυτὸν εἰς τὰ κακά, καὶ οὕτω λοιπὸν ὑπὸ τοῦ πυρὸς τοῦ σκότους ἀπόλλυται. Τῷ δὲ θεῷ ἡμῶν πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

18.τ.1 ΛΟΓΟΣ ΙΗʹ.

18.1.1 Τὸ τῆς ψυχῆς νοερὸν καὶ τίμιον κατασκεύασμα ἐν πολλῇ τινι λεπτότητι δυσεξευρέτῳ καὶ βαθύτητι ἀνεξερευνήτῳ τυγχάνει ἀβύσσῳ τινὶ ἐοικός, ὡς τις φησί που· «ἄβυσσον καὶ καρδίαν αὐτὸς ἐρευνᾷ», ἀβύσσῳ τὸ τῆς ψυχῆς 18.1.2 νοερὸν δημιούργημα παρεικάσας. ἐκτραπέντος δὲ τοῦ ἀνθρώπου τῆς ἐντολῆς καὶ ὑπὸ τὴν ἀπόφασιν τῆς ὀργῆς τοῦ θεοῦ γεγονότος, τοῦτον λαβοῦσα ὑποχείριον ἡ ἁμαρτία καὶ αὐτὴ ὥσπερ ἄβυσσός τις τῆς πικρίας ἐν λεπτότητι καὶ βαθύτητι τυγχάνουσα, εἰσελθοῦσα ἔνδον ἀπαρξαμένη τοῦ ἐκτὸς τὰς νομὰς τῆς ψυχῆς κατέσχεν ἕως τῶν βαθυτάτων αὐτῆς ταμείων καὶ χωρίων κατεισελ18.1.3 θοῦσα καὶ πάθεσιν ἀτιμίας πληρώσασα. τοιούτῳ δέ τινι τρόπῳ παραπλησιάσωμεν τὴν ψυχὴν καὶ τῆς ἁμαρτίας τὴν μετ' αὐτῆς ἕνωσιν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὥσπερ ἐὰν ᾖ δένδρον μέγιστον, ἔχον πολλοὺς κλῶνας καὶ παρακλώνια καὶ κάρφη καὶ τὴν λοιπὴν τῆς θέσεως κατασκευήν, ἔχῃ δὲ καὶ τὰς ῥίζας ἐν τοῖς βαθυτάτοις τῆς γῆς καὶ αὐτὰς ἐοικυῖας κλάδοις καὶ πάλιν νευραῖς καὶ ἰνῶν ἐκτάσεσι καὶ ἄλλη πολλὴ λεπτότης καὶ πλοκή τις ἐκεῖ τυγχάνει, οὕτω τὰς νομὰς τῶν βαθυτάτων τῆς ψυχῆς μερῶν ἡ παρεισελθοῦσα διὰ τῆς παραβάσεως ἁμαρτία διὰ τῶν παθῶν προκατασχοῦσα ἐν νομῇ καὶ προλήψει καὶ συνηθείᾳ πολλῇ ἐν τῇ ἀνθρωπότητι γέγονεν, ἑκάστῳ συναναστρεφομένη καὶ κακοποιεῖν κρυπτῶς διδάσκουσα. 18.1.4 Ἐπὰν τοίνυν θεία χάρις ἐνεργείας ἐπισκιάσῃ τῇ πιστευσάσῃ καὶ δεηθείσῃ ψυχῇ καὶ βοηθείας τινὸς καὶ καθάρσεως τεύξηται μερικῶς, εἰ τύχοι ἐπὶ κλῶνα τινὰ καὶ ἐν μέρει τινι τῶν τῆς ψυχῆς τόπων ἡ θεία χάρις ἐπεσκίασεν, καὶ μὴ νομίσῃ τις οἰήσει κακίας ἀπατώμενος ἤδη ὅλην τὴν ψυχὴν πεφώτισθαι 18.1.5 καὶ τελείως κεκάθαρται. ἀκμὴν γὰρ πολλὴ νομὴ βαθυτάτη τῆς κακίας ἐκεῖ τυγχάνει καὶ πολλοῦ δεῖται καιροῦ καὶ πόνου καὶ ἐργασίας καὶ σπουδῆς καὶ πίστεως αὐτοῦ τοῦ ἀνθρώπου συμφωνοῦντος καὶ συναινοῦντος τῇ πρὸς αὐτὸν χάριτι, ἵνα τελείως φωτισθῇ καὶ τελείως καθαρισθῇ. καὶ γὰρ ἡ τῆς κακίας μέθοδος λανθάνειν βουλομένη καὶ ἐγκρύπτεσθαι θέλουσα διὰ οἰήσεως τὴν ψυχὴν ἀπατᾷ καὶ ποιεῖ νομίζειν αὐτὴν ὡς ὅτι διὰ τῆς ὀλίγης χάριτος ἤδη κεκάθαρται καὶ ὡς ὅτι ὅλη πεφώτισται, μόνον ἵνα αὐτὴ ἐγκρυπτομένη ἔνδον 18.1.6 λανθανόντως τὰ θελήματα αὐτῆς ἐπιτελῇ. διὰ τοῦτο γὰρ ἀπὸ μέρους ἤρξατο ἡ θεία χάρις τῇ πιστευσάσῃ ψυχῇ ἐπιφοιτᾶν, καίτοι δυναμένη διὰ ῥοπῆς ὥρας καθάραι τὸν ἄνθρωπον καὶ τελείως ἐλευθερῶσαι, ἀλλ' ἵνα δοκιμάσῃ τὴν προαίρεσιν καιροῖς καὶ χρόνοις, εἰ τὴν ἀγάπην πρὸς θεὸν ὁλοκλήρως ἀποσῴζει πάντοτε, μὴ συνδυάζων ἐν μηδενὶ τῷ πονηρῷ συμβούλῳ, ἀλλὰ μόνον τῇ χάριτι ὅλον ἑαυτὸν ἔκδοτον διδοὺς καὶ οὕτως εὐδοκιμούσης τῆς ψυχῆς καὶ εὐαρεστούσης τῷ κυρίῳ χρόνοις καὶ καιροῖς καὶ μετὰ πολλὰς δοκιμασίας τὴν χάριν ἐν μηδενὶ λυπούσης ἐκ τοῦ κατ' ὀλίγον αὐτὴ ἡ χάρις τοῦ 18.1.7 πνεύματος πάλιν νομὴν λαμβάνει ἐν τῇ ψυχῇ. καὶ ἕως τῶν βαθυτάτων αὐτῆς μελῶν καὶ μερῶν καὶ διαλογισμῶν ἐρριζοῦται καιροῖς πλείοσιν εὐδοκιμούσης καὶ συμφωνούσης τῇ χάριτι, ἕως οὗ ὅλη ἡ ψυχὴ περιληφθεῖσα ὑπὸ τῆς ἐπουρανίου χάριτος καὶ ὑπὸ τῆς δυνάμεως τοῦ πνεύματος κυριευθεῖσα καὶ βασιλευθεῖσα δυνηθῇ ἐξωσθῆναι παντελῶς, ὅλη ἐξ ὅλου ἡ ἁμαρτία τῶν παθῶν καὶ τὸ σκότος τῆς ἁμαρτίας τελείως χωρισθῆναι. τῆς χάριτος λοιπὸν βασιλευούσης ἐν αὐτῷ τῷ σκεύει, ὅλῳ σώματι τὲ λέγω καὶ ψυχή. ὁ μετὰ πολλὰς οὖν δοκιμασίας καὶ πόνους καὶ χρόνους εὐαρεστήσας τῷ πνεύματι καὶ βεβαίως καὶ ἀσφαλῶς καὶ ἑδραίως ἄξιος τοῦ κυρίου καθίσταται. 18.1.8 Εἰ δὲ χάριτος ὀλίγης ἐπιτυχὼν εἰς οἴησιν προκόψει καὶ τοῦ ταπεινοῦ φρονήματος ἐκτὸς γένηται, καὶ οὗπερ ἔχει ὀλίγου χαρίσματος ἀλλότριος καθίσταται διὰ τὴν ἀφροσύνην τῆς νηπιότητος αὐτοῦ. εἰ δὲ καὶ συμπάρεστιν ἡ τῆς ἐνεργείας χάρις κατὰ πολλὴν τοῦ θεοῦ καὶ ἄπειρον φιλανθρωπίαν αὐτοῦ μὴ συμφωνοῦντος τῷ πνεύματι εἰς κατάκρισιν καὶ τιμωρίαν καὶ ἔλεγχον τῷ τοιούτῳ γενήσεται, ὅτι τῆς τοῦ θεοῦ πολλῆς φιλανθρωπίας εἰς αὐτὸν γεγενημένης αὐτὸς τῶν ἰδίων θελημάτων οὐκ ἀνεχώρησεν, πάλιν δὲ ἐξαιτούμενος ὑπὸ τοῦ σατανᾶ εἰς θλίψεις μεγάλας παραδίδοται, ἵνα κἂν διὰ τῶν θλίψεων παιδευθεὶς μάθῃ 18.1.9 ταπεινοφρονεῖν. ὥσπερ γὰρ ὁ Ἰὼβ ἐν τοῖς βιωτικοῖς πλούσιος σφόδρα τυγχάνων καὶ ὑπὸ τοῦ πονηροῦ ἐξητήθη καὶ ἐπειράσθη πρὸς τὴν τοῦ ἀνδρὸς ἄθλησιν τε καὶ δοκιμασίαν. καὶ πάντων γυμνωθεὶς καὶ ἐρημωθεὶς τότε φανερὰν ἔδειξεν αὐτοῦ τὴν πρὸς θεὸν ἀγάπην, οὕτω καὶ ἐάν τις πλουτῇ ἐν τῇ χάριτι τοῦ πνεύματος μὴ ὑπτιούσθω μηδὲ νομιζέτω ἑαυτὸν κατειληφέναι ἢ ἐλευθερῶσθαι μηδὲ καυχάσθω ἐν ἑαυτῷ μήτε ἐπὶ ἀνθρώπων μήτε ἐπαιρέσθω καὶ ἀμεριμνήτω, ἀλλ' ἐν φόβῳ καὶ τρόμῳ ἀεὶ ὑπαρχέτω ὡς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησὶν ἡ γραφή· «ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ» καὶ πάλιν· «μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε» καὶ ἀλλαχοῦ· «μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ», ὅτι ἐν τῇ ἐξουσίᾳ τοῦ θεοῦ ὁ πλοῦτος τῆς χάριτος αὐτοῦ τυγχάνει. 18.1.10 Ἐὰν δὲ μὴ οὕτως ἐν πολλῇ ταπεινότητι καὶ συντριμμῷ τυγχάνῃ, ἐξαιτεῖται ὑπὸ τοῦ σατανᾶ καὶ παραδίδοται ὁ τοιοῦτος καὶ ἀπογυμνοῦται τῆς πρὸς αὐτὸν γενομένης χάριτος καὶ πειράζεται καὶ δοκιμάζεται ἐν θλίψεσι πολλαῖς· καὶ τότε φανεροῦται αὐτοῦ ἡ οἴησις καὶ ὁ μάταιος ὑπτιασμὸς καὶ οὕτω γνωρίζει, ὅτι 18.1.11 αὐτὸς γυμνὸς καὶ ταλαίπωρος ὑπάρχει. ὀφείλει τοίνυν ὁ πλουτῶν ἐν τῇ χάριτι τοῦ θεοῦ ἐν πολλῇ ταπεινώσει καὶ συντρίψει καρδίας ὑπάρχειν καὶ ὡς πτωχὸν καὶ μηδὲν ἔχοντα ἑαυτὸν ἡγεῖσθαι. ἀλλότριον γάρ ἐστιν αὐτοῦ τὸ χάρισμα καὶ ἄλλος ἔδωκεν αὐτὸ καὶ ὅτε βούλεται ὅπερ ἔδωκεν ἀφελέσθαι δύναται, ἵν' οὕτω ταπεινῶν ἑαυτὸν ἐπὶ θεοῦ καὶ ἀνθρώπων δυνηθῇ μεῖναι καὶ φυλαχθῆναι ἐν τῇ πρὸς αὐτὸν τοῦ κυρίου γενομένῃ χάριτι, καθὼς καὶ ὁ κύριος εἶπεν· «ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται». καίπερ ὢν ἐκλεκτὸς τοῦ θεοῦ αὐτὸς παρ' ἑαυτῷ ἀδόκιμος ἤτω, καίπερ ὢν πιστὸς καὶ ἄξιος δοῦλος κυρίου ὡς ἀχρεῖον ἑαυτὸν παντελῶς λογιζέσθω, καίπερ ὢν μέγας παρὰ τῷ δεσπότῃ. αὐτὸς παρ' ἑαυτῷ μηδὲν ὄντα ἑαυτὸν ἡγείσθω. αἱ τοιαῦται ψυχαὶ εὐάρεστοι παρὰ κυρίῳ τυγχάνουσι καὶ ἄπτωτοι διεξελθεῖν τὸν αἰῶνα τοῦτον δυνήσονται, καὶ εἰς τὴν ζωὴν τῆς βασιλείας τελείως εἰσελθεῖν ὑπὸ τοῦ ἁγίου πνεύματος καταξιοῦνται. 18.2.1 Ἡ τοῦ θεοῦ πνευματικὴ τῆς χάριτος ἐνέργεια μετὰ πολλῆς μακροθυμίας καὶ σοφίας καὶ οἰκονομίας τινὸς μυστικῆς καταρτίζεται μετὰ πολλῆς ὑπομονῆς χρόνοις καὶ καιροῖς τοῦ ἀνθρώπου ἀγωνιζομένου. καὶ τότε τῆς χάριτος τὸ ἔργον τέλειον εἰς αὐτὸν ἀποδείκνυται, τῆς αὐτεξουσίου προαιρέσεως μετὰ πολλὴν δοκιμασίαν εὐαρεστεῖν τῷ πνεύματι ἀποδειχθείσης, καὶ διὰ χρόνων πολλῶν τὴν δοκιμὴν καὶ ὑπομονὴν ἐπιδειξαμένης. ταύτην δὲ τὴν ἀκολουθίαν ἀπὸ τῶν θεοπνεύστων γραφῶν διὰ τῶν ἐν φανερῷ γεγενημένων τύπων παραστήσωμεν. 18.2.2 Ὃ δὲ λέγω τοιοῦτόν ἐστιν· ἐπὶ τοῦ Ἰωσὴφ ἐν πολλοῖς καιροῖς καὶ χρόνοις τὸ βούλημα τοῦ θεοῦ τὸ περὶ αὐτοῦ ὡρισμένον ἐτελέσθη καὶ ἐν πολλαῖς πρότερον θλίψεσι καὶ πόνοις καὶ στενοχωρίαις δοκιμασθεὶς ὑπέμεινε πάντα γενναίως, καὶ εἰς πάντα δόκιμος καὶ πιστὸς τῷ θεῷ εὑρεθεὶς δοῦλος. τότε βασιλεὺς Αἰγύπτου γέγονε καὶ τὸ γένος αὐτοῦ διέθρεψε καὶ ἡ προφητεία τῶν ὁραμάτων ἀπετελέσθη καὶ τὸ βούλημα τοῦ θεοῦ διὰ χρόνων καὶ οἰκονομίας πολλῆς τὴν πλήρωσιν εἴληφεν. 18.2.3 Ὁμοίως καὶ περὶ τοῦ Δαβίδ. ὁ θεὸς ἔχρισεν αὐτὸν εἰς βασιλέα διὰ Σαμουὴλ τοῦ προφήτου· καὶ ὅτε ἐχρίσθη, τότε ἔφευγε διωκόμενος ὑπὸ τοῦ Σαοὺλ ἀναιρεθῆναι. καὶ ποῦ ἡ χρῖσις τοῦ θεοῦ καὶ ποῦ αἱ ἐπαγγελίαι, ὡς πρὸς τὸ τάχος; μετὰ γὰρ τὸ χρισθῆναι τότε ἐθλίβετο, ἐν ἐρημίαις πελαζόμενος ἕως καὶ ἄρτου ὑστερούμενος καὶ εἰς ἔθνη καταφεύγων διὰ τὴν τοῦ Σαοὺλ ἐπιβουλὴν τὴν πρὸς αὐτὸν γινομένην. ὁρᾷς ὃν ὁ θεὸς ἔχρισεν εἰς βασιλέα, τοιαύταις περιέχεται θλίψεσιν, εἶτα χρόνοις δοκιμασθεὶς καὶ θλιβεὶς καὶ πειρασθεὶς καὶ μακροθυμήσας, ἅπαξ ἐπίστευσε τῷ θεῷ καὶ ἑαυτὸν ἐπληροφόρησεν ὅτι «ἐποίησε διὰ τῆς τοῦ προφήτου χρίσεως εἰς ἐμὲ καὶ ὅπερ εἶπεν ὁ θεὸς γενέσθαι περὶ ἐμοῦ, ἀναμφιβόλως γενέσθαι δεῖ». καὶ διὰ πολλῆς μακροθυμίας ὕστερον γέγονε τὸ τοῦ θεοῦ βούλημα καὶ ἐβασίλευσε Δαβὶδ μετὰ πολλὰς πείρας, καὶ τότε ἐφανερώθη ὁ λόγος τοῦ θεοῦ καὶ ἡ χρῖσις ἡ διὰ τοῦ προφήτου αὐτῷ γενομένη βεβαία καὶ ἀληθὴς ἀπεδείχθη. 18.2.4 Ὁμοίως καὶ περὶ Μωϋσέως. ὁ θεὸς τοῦτον προγνοὺς καὶ προορίσας καὶ προευτρεπίσας εἰς ἡγούμενον καὶ λυτρωτὴν τοῦ λαοῦ, υἱὸν ἐποίησε γενέσθαι τῆς θυγατρὸς Φαραώ, καὶ εἰς πλοῦτον βασιλικὸν καὶ δόξαν καὶ τρυφὴν ηὐξήθη πάσῃ σοφίᾳ Αἰγυπτίων παιδευθείς, καὶ γενόμενος μέγας ἠρνήσατο πάντα ἐκεῖνα, τὴν κακουχίαν καὶ τοὺς ὀνειδισμοὺς τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ «μᾶλλον ἑλόμενος, κατὰ τὸν ἀποστολικὸν λόγον, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν»· καὶ φυγὰς Αἰγύπτου γεγονὼς πολὺν χρόνον ἐν ποιμαντικῇ διῆγεν ἐργασίᾳ ὁ εἰς τοσαύτην τρυφὴν καὶ ἀπόλαυσιν βασιλικὴν ἀνατραφείς. καὶ ὕστερον οὕτω δόκιμος τῷ θεῷ καὶ πιστὸς διὰ τῆς πολλῆς μακροθυμίας ἀναδειχθεὶς καὶ ἐν πολλοῖς πειρασμοῖς ὑπομείνας ἐγένετο λυτρωτὴς καὶ ἡγούμενος καὶ βασιλεὺς τοῦ λαοῦ, καὶ θεὸς τοῦ Φαραὼ ὑπὸ τοῦ θεοῦ προσηγορεύθη· δι' αὐτοῦ γὰρ Αἴγυπτον ἐμάστιξε καὶ τὰ μεγάλα θαυμάσια ὁ θεὸς δι' αὐτοῦ εἰς τὸν Φαραὼ ἐνεδείξατο καὶ τέλος ἐν θαλάσσῃ τοὺς Αἰγυπτίους κατεπόντισεν. ἰδοὺ τὸ τοῦ θεοῦ βούλημα καὶ ἡ πρόθεσις μετὰ πόσους χρόνους ἀπεδείχθη καὶ μετὰ πόσης δοκιμασίας καὶ θλίψεως ἐτελειώθη. 18.2.5 Ὁμοίως καὶ περὶ τοῦ Ἀβραάμ. πρὸ πόσων χρόνων ἐπηγγείλατο αὐτῷ ὁ θεὸς υἱὸν χαρίζεσθαι καὶ οὐ παραυτὰ δίδωσιν αὐτόν, ἀλλὰ μεταξὺ πόσα ἔτη δοκιμασίαι καὶ πειρασμοὶ πρὸς αὐτὸν γεγόνασιν. αὐτὸς δὲ μακροθύμως πάντα τὰ ἐπερχόμενα ὑπομείνας καὶ ἑαυτὸν τῇ πίστει πληροφορήσας, ὅτι ὁ ἐπαγγειλάμενος ἀψευδὴς τυγχάνων πληρώσει τὸν ἑαυτοῦ λόγον καὶ οὕτω πιστὸς εὑρεθεὶς ἔτυχε τῆς ἐπαγγελίας. 18.2.6 Ὡσαύτως Νῶε πεντακοσιοστῷ ἔτει κελευσθεὶς ὑπὸ τοῦ θεοῦ τὴν κιβωτὸν κατασκευάζεινἐπηγγειλαμένου μὲν τότε τοῦ θεοῦ κατακλυσμὸν ἐπενεγκεῖν τῷ κόσμῳ, τῷ ἑξακοσιοστῷ δὲ ἔτει ἐπαγαγόντος ἑκατὸν ἔτη ἐμακροθύμησε πιστῶς τὴν κιβωτὸν κατασκευάσας καὶ ἐν μηδενὶ διστάσας, εἰ ἄρα ποιεῖ ὅπερ εἶπεν ὁ θεὸς ἢ οὐ ποιεῖ, ἀλλὰ ἅπαξ τῇ πίστει πληροφορηθεὶς, ὅτι ὅπερ ἐλάλησεν ὁ θεός, ἀναμφιβόλως γενέσθαι δεῖ. καὶ οὕτω δοκίμου τῆς προαιρέσεως αὐτοῦ ἐν πίστει καὶ ὑπομονῇ καὶ μακροθυμίᾳ πολλῇ εὑρεθείσης διεσώθη μόνος μετὰ τοῦ οἴκου αὐτοῦ, τὴν ἐντολὴν καθαρῶς φυλάξας. 18.2.7 Ταύτας δὲ τὰς ἀφορμὰς ἐκ τῶν γραφῶν ἠνέγκαμεν πρὸς τὸ ἀποδεῖξαι, ὅτι ἡ τῆς τοῦ θεοῦ χάριτος ἐν τοῖς ἀνθρώποις ἐνέργεια καὶ τὸ χάρισμα τοῦ πνεύματος τοῦ ἁγίου, ὅπερ ψυχὴ πιστὴ λαμβάνειν καταξιοῦται, μετὰ πολλοῦ ἀγῶνος καὶ ὑπομονῆς καὶ πολλῆς μακροθυμίας καὶ πειρασμῶν καὶ δοκιμασιῶν γίνεται, τῆς αὐτεξουσίου προαιρέσεως διὰ πασῶν θλίψεων δοκιμαζομένης. καὶ ἐπὰν ἐν πᾶσι δόκιμος εὑρεθῇ καὶ ἐν μηδενὶ τῷ πνεύματι λυπήσῃ, ἀλλὰ τῇ χάριτι διὰ πασῶν ἐντολῶν σύμφωνος γένηται, τότε τῆς τῶν παθῶν ἐλευθερίας τυγχάνειν καταξιοῦται καὶ τῆς υἱοθεσίας τοῦ ἁγίου πνεύματος τὴν πλήρωσιν λαμβάνει καὶ τελείως τὸν ἁγιασμὸν ἐν πληρώματι χάριτος κτᾶται καὶ τέλειος υἱὸς τῆς βασιλείας ἀποδείκνυται, ὥστε τὸ τοῦ θεοῦ πνευματικὸν ἔργον ἐν ψυχῇ γινόμενον μετὰ μακροθυμίας καὶ εὐτονίας καὶ ὑπομονῆς καὶ προσοχῆς πολλῆς καὶ ἀγῶνος καὶ δοκιμασίας ἀποπληροῦται. 18.3.1 Ὥσπερ οὖν ἐν τοῖς πιστοτάτοις πατράσιν ὁ θεὸς τὰς ἐπαγγελίας μετὰ πολλῆς δοκιμασίας καὶ πειρασμῶν καὶ μακροθυμίας καὶ χρόνων οἰκονομήσας τότε ὅπερ ἐπηγγείλατο κατὰ τὸ βούλημα αὐτοῦ ἀπεπλήρου, πιστῶν καὶ δοκίμων καὶ ὑπομονητικῶν καὶ μακροθύμων αὐτῶν εὑρεθέντων, οὕτω καὶ νῦν εἰς τὸν τῶν Χριστιανῶν ἀγῶνα χρόνοις πειρασθέντων καὶ δοκιμασθέντων καὶ πάσῃ ὑπομονῇ δοκίμων καὶ μακροθύμων καὶ πιστῶν εὑρεθέντων ἡ τοῦ θεοῦ ἐπαγγελία καὶ τελεία χάρις τοῦ πνεύματος εἰς αὐτοὺς πληρωθήσεται, ἵν' ὥσπερ χάριτι οὕτω καὶ δικαιοσύνῃ τὴν ζωὴν κληρονομήσωμεν εὐδοκιμήσαντες, καὶ μετὰ τοὺς ἀγῶνας τῶν ἀνδραγαθημάτων τοὺς στεφάνους καὶ τὰ ἐπινίκια τῆς βασι18.3.2 λείας δικαίως ὦμεν κομιζόμενοι. διὸ τὸ πᾶν τῆς προαιρέσεως ἡμῶν θέλημα θεῷ μόνῳ ἀνενέγκωμεν, ἑαυτοὺς πάντοτε αὐτῷ ἀνατιθέντες καὶ τὸ βούλημα αὐτοῦ μόνου, ὅσον ἐν ἡμῖν δυνατόν, ἐπιτελοῦντες. οὕτω γὰρ ἀλλοτρίους ἑαυτοὺς εἰς πάντα τοῦ χείρονος καταστήσαντες καὶ ἐν μηδενὶ ἑκουσίως ἑαυτοὺς ὑποτάξαντες τοῖς τοῦ πονηροῦ θελήμασιν ἢ κοινωνίαν ἔν τινι μετὰ τῶν παθῶν ποιούμενοι, τότε ἀληθῶς γενναῖοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀθληταὶ τοῦ Χριστοῦ ἀποδειχθησόμεθα καὶ τῆς χάριτος αὐτοῦ τὴν μετουσίαν τελείως ἑαυτοῖς κομισόμεθα καὶ τὸν ἁγιασμὸν καὶ τὴν καθαρότητα τῆς καρδίας διὰ τῆς χάριτος αὐτοῦ κτησάμενοι δικαίως καὶ χάριτι τὴν τοῦ θεοῦ βασιλείαν κληρονομῆσαι καταξιωθῶμεν. 18.4.1 Ὃν τρόπον ἀνήρ τις πλούσιος καὶ ἐν πᾶσι κόσμιος βουλόμενος ἑαυτῷ οἶκον κατασκευάσαι, πάσῃ σπουδῇ καλλωπίσας καὶ κοσμήσας εὔχρηστον ἀποδείξει εἰς μονὴν καὶ κατοικητήριον ἑαυτοῦ, οὕτως ὁ Ἀδὰμ ἀπ' ἀρχῆς ἐκτίσθη καὶ διεπλάσθη σκεῦος καθαρὸν καὶ κεκαλλωπισμένον καὶ εὔχρηστον εἰς κατοικητήριον τοῦ δεσπότου, εἰς μονὴν βασιλέως. μετὰ δὲ τὴν παράβασιν «ἐπέσπειρεν ὁ ἐχθρὸς ζιζάνια» καὶ δένδρον πικρὸν ἐφύτευσεν ἐκεῖ. 18.4.2 Καὶ ὥσπερ βασιλεὺς τὰς ὑποκειμένας αὐτῷ πόλεις δι' ἀρχόντων καὶ διοικητῶν πάντοτε ἐπισκεπτόμενος, ἡνίκα δεῖ καὶ αὐτὸς ἐφίσταται καὶ μάλιστα ἐν ἐφόδῳ πολεμίωνπάντα γὰρ τὸν λαὸν τότε συμπαραλαμβάνει, οὕτως ἀπ' ἀρχῆς τοῦ ἀνθρώπου εἰς ἐρημίαν καὶ ἀκαταστασίαν ἐμπεσόντος διὰ πρεσβυτέρων καὶ πατριαρχῶν καὶ προφητῶν καὶ νόμου ὁ θεὸς πάντοτε ἐπισκοπὴν ἐποίει τοῦ ἰδίου ἔργου, ἔσχατον δὲ καὶ αὐτὸς ὁ βασιλεὺς παραγέγονε, δύναμις θεῖα κατὰ τῆς ὑπεναντίας δυνάμεως, παρεμβολὴ ἀγγέλων κατὰ τῆς παρατάξεως τῶν δαιμόνων. γεννᾶται γὰρ ἐκ γυναικὸς παρθένου, ὅπως τὴν καταπεσοῦσαν ψυχὴν διεγείρας ἀνασκευάσῃ καὶ ἀνακαινίσῃ, καὶ ποιήσῃ τέκνα ἄνωθεν διὰ πνεύματος ἁγίου προελθόντα. 18.4.3 Τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν ἔργον τῆς θεότητος, ὅτι τὸν ἄσαρκον διὰ σαρκὸς καὶ αἵματος ἐθανάτωσεν. ἐπεὶ τίς ἦν κόπος ἐν πνεύματι αὐτὸν ἀναιρεθῆναι καὶ χωρὶς σαρκὸς θανατωθῆναι; ὅμως εὐδόκησεν ἐν σαρκὶ ὢν καὶ ὡς εὐτελὴς ἄνθρωπος ἀτιμασθῆναι καὶ παθεῖν καὶ «διὰ τοῦ θανάτου καταργῆσαι τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστιν τὸν διάβολον». 18.4.4 Ὁ ἥλιος ὅλον τὸν κύκλον ἐν οὐρανῷ ἔχων ὅλος εἰς τὴν γῆν νένευκε διακονῶν τοῖς ἐν γῇ καὶ τὰς ἀκτῖνας πανταχοῦ ἐκπέμπων καταλάμπει πάντα, καὶ ἐὰν θελήσῃς ἀτενίσαι τῷ κύκλῳ, πληροῦσαι τοῦ φωτὸς αὐτοῦ, οὕτω καὶ ὁ κύριος τὸν Ἀδὰμ ἐκ τοῦ ἡμετέρου γένους λαβὼν ἀνήνεγκεν ἐν ὑψηλῷ ἐν δεξιᾷ τοῦ πατρός, ὅλον δὲ τὸν νοῦν κάτω ἔχειν ἐποίησε πρὸς τοὺς ὁμογενεῖς, καὶ ὅσοι ἀτενίζουσιν αὐτῷ καὶ ὅλον πέμπουσι τὸν νοῦν πρὸς αὐτόν, πληροῦνται τῆς ἐνεργείας τοῦ πυρὸς τοῦ ἁγίου πνεύματος καὶ τοῦ φωτὸς αὐτοῦ. 18.4.5 Καὶ ὥσπερ τὰ νέφη ὄμβρον βαστάζοντα καὶ διυγραίνοντα καὶ ἐν ὕψει κρεμάμενα τῇ κάτω οὔσῃ διακονεῖ γῇ καὶ τὰ ἐν αὐτῇ φυτὰ διεγείρει καὶ ἀναχλοάζει, οὕτω τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ ὑετοῦ τοῦ θείου αὐτοῦ ὄμβρουγῆ γάρ ἐστι τοῦ θεοῦ ἡ ψυχή, καὶ οὕτω θάλλουσα ἀναζωπυρεῖ, τῶν λογισμῶν βοηθουμένων καὶ ἐνδυναμουμένων. 18.4.6 Καὶ ὥσπερ ἔρεα βαφεῖσα ἀλλάσσει τῆς χροίας τὴν φύσιν, οὕτως ἡ ψυχὴ βαφεῖσα ἀλλάσσεται καὶ μεταβάλλεται ἐκ τῆς ἀρχαίας φύσεως ἀνατρέχουσα καὶ ἀναδυομένη εἰς τὴν τοῦ ἁγίου φωτὸς καὶ πυρὸς φύσιν. 18.4.7 Καὶ ὥσπερ ξύλον εἰς πῦρ βληθὲν ὅλον πῦρ γίνεται καὶ κατακαίει τοὺς πλησιάζοντας ἢ καὶ ἁπτομένους, οὕτω τὰ πνεύματα τῆς πονηρίας ἐπερχόμενα τῇ πνευματοφόρῳ ψυχῇ κατακαίονται. 18.4.8 Διὰ γὰρ τοῦ παρακλήτου μεταβέβληται τὴν φύσιν καὶ ἔστησε τὰς ἐν αὐτῇ πηγαζούσας καὶ ῥεούσας τοῦ θανάτου ὁρμάς, ὡς καὶ τῆς αἱμορροούσης «ἡ τοῦ αἵματος πηγὴ» διὰ τῆς τοῦ θεοῦ δυνάμεως «ἐξηράνθη». 18.4.9 Οἱ ἔμποροι μετὰ τὸ τῆς οἰκίας ἀποστῆναι καὶ ἐν ἀλλοδαπῇ διατρίψαι καὶ αὐξῆσαι τὴν οὐσίαν, ἐὰν συληθῶσιν ὑπὸ λῃστῶν ἐν μέσῃ τῇ ὁδῷ, μάτην τὸν τοσούτου χρόνου ὑπέστησαν κάματον μηδὲν ἔχοντες ἐν χερσί, καὶ ὁ οἰκίαν οἰκοδομῶν ἑαυτῷ μετὰ τὸ τελέσαι ἐὰν ἀποθάνῃ καὶ μὴ καταμείνῃ, οὐδὲν ὠφελήθη ἐκ τῶν πολλῶν πόνων· καὶ οἱ τὴν τῶν Χριστιανῶν ὁδὸν τρέχοντες ἐὰν μὴ ἕως τέλους ἐμμείνωσιν ἐν τῇ ὁδῷ τῆς δικαιοσύνης, οὐδὲν ἐκ τοῦ προλαβόντος κόπου ὠφελήθησαν. 18.4.10 Καὶ ναῦς ἕως ἐστὶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν θαλάσσῃ, καίτοι αἰσίων ἀνέμων κινούντων αὐτὴν ὑπὸ φόβον ἐστί, μήποτε πρὸ τοῦ λιμένος ἐναντίων διεγερθέντων ἀνέμων ὑποβρύχιος γένηται· καὶ ἡ ψυχὴ μετὰ τὴν παρακοὴν μέση δύο πνευμάτων ἐγένετο, ἀγαθοῦ καὶ πονηροῦ, καὶ ἐπεισελθούσης τῆς παλαιᾶς ζύμης τῆς ἁμαρτίας ἐκ δύο πνευμάτων λοιπὸν ἀνέρχονται οἱ λογισμοὶ ἐπὶ τὴν καρδίαν. καὶ εἰσὶν ἐκεῖ καὶ ξένοι τῆς φύσεως λογισμοί, διὰ τοῦτο ὁ συνετὸς διακρίνων τὰ βλάπτοντα ἀπὸ τῶν ὠφελούντων τὰ μὲν ὡς ἐχθρὰ καταδικάζει καὶ ἐξορίζει, τὰ δὲ ὡς φίλα σεμνύνει καὶ διακατέχει. 18.4.11 Οἱ δὲ λόγῳ τὸν Χριστιανισμὸν ἐκμαθεῖν σπεύδοντες ἐοίκασι τυφλοῖς καὶ χωλεύουσι καὶ παντάπασιν ἠχρειωμένοις ἀνδράσι τοῖς ἐπὶ τῶν κλινῶν κατακειμένοις καὶ μηδὲν ἕτερον ποιεῖν δυναμένοις ἢ μόνον λαλεῖν. οὕτω γὰρ καὶ αὐτοὶ τυφλωθέντες καὶ χωλεύοντες καὶ ἀσθενοῦντες κατὰ τὸν ἔσω ἄνθρωπον ἐν τῷ λαλεῖν μόνον σπεύδουσι, μηδὲν τὸ συνόλον ὠφελοῦντες τὰς ἀσθενούσας αὐτῶν ψυχάς. 18.4.12 Ὡς γὰρ ὁ ἀπόστολος Πέτρος λόγῳ καὶ δυνάμει θεοῦ τὸν ἀπὸ γενετῆς χωλὸν διεγείρας καὶ ἐκθεραπεύσας ἅλλεσθαι ἐποίησεν, οὕτω καὶ νῦν ὁ αὐτὸς ζῶν λόγος οὐσιωδῶς καὶ ὑποστατικῶς ἐνεργῶν ἀνιστᾷ τὸν ἔσω ἄνθρωπον ἐκ τῆς χωλότητος εἰς τὸ ἐξάλλεσθαι εἰς τὸν ἀέρα τὸν θεϊκόν. 18.4.13 Ἡ σοφία τοῦ κόσμου, ἣν μανθάνουσιν οἱ ἄνθρωποι, ἀφανὴς τίς ἐστι καὶ ἀνυπόστατος, καὶ ὅμως ὥσπερ φύσις τις παραμένει προσοικειουμένη τῇ ψυχῇ· πόλλῳ μᾶλλον οἱ σοφισθέντες τῇ τοῦ θεοῦ σοφίᾳ καὶ ὁδηγούμενοι ὑπ' αὐτῆς παράμονον ἔχουσι τὴν παιδείαν καὶ τὴν γνῶσιν εἰς αἰῶνα αἰῶνος. 18.4.14 Οἱ ἄνθρωποι τοὺς ἑαυτῶν φίλους ὁρῶντες ἐν τοῖς ἰδίοις οἴκοις τῆς ἀγάπης τὰ σύμβολα, τὴν ἐν τραπέζαις τιμὴν ἐπιδείκνυνται οἱ Χριστιανοὶ δὲ ἐπισκεπτόμενοι τοὺς ἑαυτῶν ἑταίρους εὐωχεῖν ὀφείλουσι τὴν ἐπουράνιον αὐτοῖς παρατιθέντες τράπεζαν καὶ ταύτην μυρίοις καὶ πολυτελέσι κοσμήσαντες ἐδέσμασι τοῖς λόγοις τοῦ πνεύματος, ἀφ' ὧν εὐφραίνεται ἡ ψυχὴ καὶ μανθάνει, πῶς δύναται ἀπὸ τοῦ ἀγαθοῦ ἀμετάθετος εἶναι ὡς στύλος ἰσχυρὸς βαστάζων βάρη οἴκου. 18.4.15 Ὥσπερ δὲ πατὴρ ἔχων υἱὸν ἀγαπώμενον δώσει αὐτῷ μαργαρίτας ἢ ἐνδύματα λαμπρὰ καὶ διδοὺς ἀπειλητικοῖς χρήσεται λόγοις ὑπὲρ τῆς τῶν δοθέντων ἀσφαλείας καὶ περιποιήσεως μήποτε καταφρονήσας ἀπολέσῃ. ἢ ὥσπερ οἱ παιδαγωγοὶ καὶ οἱ διδάσκαλοι ἐκπαιδεύοντες τοὺς ἑαυτῶν μαθητὰς τὸν ἱμάντα προβάλλονται καὶ φόβῳ τῆς μάστιγος σπουδαιότερον προσέχειν τοῖς μαθήμασι ἀναγκάζουσιν, οὕτως ὁ θεὸς τοὺς ἐκλεκτοὺς αὐτοῦ παιδεύει διαφόρως κατ' οἰκονομίαν ἐπιφέρων αὐτοῖς τὰς θλίψεις καὶ προβάλλεται τὴν ἐναντίαν δύναμιν ἄντικρυς τῶν λαμβανόντων τὴν χάριν αὐτοῦ καὶ ἀναγεννωμένων ὑπὸ τοῦ πνεύματος αὐτοῦ. γυμναζόμενοι γὰρ ἐν τοῖς πειρασμοῖς κατορθοῦσι τὴν ὑπομονὴν καὶ ἀκριβῶς διακατέχουσιν ἐν ἀσφαλείᾳ τὰ παρὰ θεοῦ δοθέντα· ἡ γὰρ ἀνθρωπίνη φύσις καθαρεύουσα ἀπὸ τῆς ἁμαρτίας ἐπαίρεται. διὰ τοῦτο λέγει καὶ ὁ θεοφόρος Παῦλος τὸ πνεῦμα τὸ παράκλητον λαβὼν «ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι» ἐν ταῖς ἀποκαλύψεσιν «ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ» λαμβάνει γὰρ κατὰ καιρούς τινας ἐξουσίαν ὁ πονηρὸς κατὰ τῶν ἐν θεῷ τελειουμένων τοῦ θεοῦ τοῦτο παραχωροῦντος κατ' οἰκονομίαν πρὸς τὸ πλήσσειν καὶ κακοῦν διὰ τῶν ἔξωθεν τὸ σῶμα. ἔσωθεν δὲ οὐκέτι ἔχει νομὴν οὐδὲ δύναται εἰσελθὼν ἀδικῆσαι τὴν ψυχήν, ἐπειδὴ ἐν τῇ θεότητι αὐλίζεται ὁ ἔσω ἄνθρωπος περιτειχισθεὶς ὑπὸ τῆς χάριτος· ὥστε εἰ μὴ παρῆν ἡ τοῦ σώματος ἀσθένεια καὶ ὁ σκόλοψ ὁ τοιοῦτος, οὐκ ἂν ἔλεγεν ἑαυτὸν φύσεως ἀνθρωπίνης εἶναι. ἵνα οὖν γνοὺς τὴν ἑαυτοῦ ἀσθένειαν παρακαλέσῃ τὸν θεόν, ταύτην οὕτως ἔχειν παρεχωρήθη· ἴσως γὰρ λογισάμενος, ὅτι θεός εἰμι τὸν κόσμον ὅλον ἂν ἔκρινε καὶ ἐξουδένωσεν. 18.4.16 Ὥσπερ δὲ λύκος ἢ λέων ἐπερχόμενος προβάτοις ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσφαλείᾳ οὖσι καὶ ἐν σκέπῃ ἀσφαλεῖ καὶ ἀνεπιβουλεύτῳ κατακεκλεισμένοις καταγελᾶται, μὴ δυνάμενος ἐπιπηδῆσαι ἢ διαρρῆξαι, καὶ πάλιν τὰ πρόβατα ἔνδον ὄντα καὶ τῷ περικειμένῳ τείχει θαρροῦντα οὐ παντελῶς ἄφοβά εἰσιν, ἀλλὰ τρόπον τινὰ ἐπτυρμένα ὁρῶνται διὰ τὴν παρουσίαν τοῦ θηρίου, καίτοι εἰδότα ἀκριβῶς, ὅτι οὐ κυριεύσει αὐτῶν οὐδὲ εἰσελεύσεται εἰς τὴν αὐλὴν ὁ λύκος. ἢ ὥσπερ πόλις τειχήρης ἀκαταγώνιστος, ἔχουσα ἔνδον ἀποκειμένην τῶν ἀναγκαίων τὴν αὐτάρκειαν καὶ πολιορκουμένη, ἔνδον ἀποκεκλεισμένη ἐν πολλῇ πεποιθήσει καὶ ἀμεριμνίᾳ ἐστί, καὶ ὅμως οἱ στρατιῶται φόβον ἔχουσικαίτοι θαρροῦντες τῷ τείχει καὶ τοῖς ἀποκειμέναις τροφαῖς, διὰ τοῦτο καθωπλισμένοι ἀπὸ τῶν τειχῶν κατασκοπεύουσι τοὺς πολεμίους, μήποτε ἐπελθόντες μηχαναῖς τισι κατὰ τῆς πόλεως χρήσωνται. οὕτως ἦν τὰ κατὰ τοὺς ἀποστόλους. πόλεις γὰρ καὶ αὐτοὶ ὑπὸ τοῦ θεοῦ προσηγορεύθησαν, τετειχισμένοι πανταχόθεν τείχει ἀσφαλεῖ, τῷ ἁγίῳ πνεύματι τοῦ θεοῦ, καὶ ἔνδον γέμοντες παντὸς εἴδους ἀγαθοῦ, ἐνδυμάτων καὶ θησαυρῶν ἀεννάων, καὶ ὅμως ἐν τούτοις ὄντες εἶχον ἔνδον τὸν φόβον, οὐχ ὅπως μὴ πέσωσι τῆς ὁδοῦ τῆς ζωῆς, ἀλλ' ἵνα μή τινες βάσκανοι ἢ μισόκαλοι διὰ τὸν ἐν χερσὶ πλοῦτον ἐπελθόντες θλίψωσιν αὐτούς. ἐν ἀγαλλιάσει οὖν εἶχον τὸν φόβον συντηροῦντες τὰ δοθέντα αὐτοῖς ἀπὸ τοῦ θεοῦ. ἐπεὶ καὶ ὁ ψαλμωδὸς λέγει· «δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ». ὁ δὲ ἀπόστολος· «ἔξωθεν φόβοι, ἔσωθεν μάχαι». αἱ δὲ μάχαι δύο ἔχουσι τρόπους ἤ δι' ἀνθρώπων ἐπολεμοῦντο ὑβριζόμενοι, διωκόμενοι, ἢ δυνάμεις τινὲς κατὰ καιροὺς τοῦ πονηροῦ παρεχωροῦντο προσελθεῖν ἔξωθεν τῷ σώματι αὐτῶν τρόπῳ τινὶ τῆς αὐτῆς ὑποθέσεως. 18.5.1 Ἐρώτησις. Δύναται ἁμαρτία οἰκεῖν εἰς τὸν ἄνθρωπον καὶ πνεῦμα ἅγιον καὶ συμφωνεῖν μετ' ἀλλήλων; Ἀπόκρισις. Ἐν ἑνὶ αἰῶνι καὶ κόσμῳ δύο εἰσὶ φύσεις τὸ ἴδιον ἔργον ἐργαζόμεναι καὶ οὐ συμφωνοῦσιν ἀλλήλαις εἰς τὴν ἐνέργειαν. οἷον ἔστιν ἥλιος λάμπων εἰς τὴν ὑπ' οὐρανὸν καὶ ἔστιν ἄνεμος πνέων καὶ οὔτε ὁ ἥλιος μεταλαμβάνει τι ἐκ τῆς αὔρας καὶ τῆς ψυχρίας τοῦ ἀνέμουφύσεως γάρ ἐστι θερμῆς, οὔτε πάλιν ὁ ἄνεμος ἐκ τῆς θέρμης τοῦ ἡλίου μεταλαμβάνει, ἀλλὰ ἑκάτερον αὐτῶν μένει ἐν τῇ ἰδίᾳ ὑποστάσει. οὕτως εἰσι καὶ αἱ ψυχαὶ αἱ γευσάμεναι τῆς χάριτος τοῦ θεοῦ, μηδέπω δὲ φθάσασαι εἰς τέλειον μέτρον. νῦν γὰρ ἐνεργεῖ ἐν αὐταῖς τὸ πνεῦμα τὸ ἅγιον καὶ ἀναπαύει, ἐν ἄλλῃ δὲ ὥρᾳ ἐνεργοῦσιν οἱ ἄνεμοι τῆς πονηρίας, καὶ ἀμφότερα ἐν τῇ ἰδίᾳ ἐργασίᾳ μένει, καὶ οὔτε τὸ ἀκάθαρτον πνεῦμα μετέχει ἐκ τῆς καθαρότητος τοῦ ἁγιασμοῦ οὔτε τὸ πνεῦμα τὸ ἅγιον ἐκ 18.5.2 τῆς ῥυπαρίας τοῦ σκότους μεταλαμβάνει. καὶ καθάπερ ἐν τῷ τοῦ ἔαρος καιρῷ πολλαὶ μεταβολαὶ καὶ ἀλλαγαὶ γίνονται τοῦ ἀέρος, ποτὲ γὰρ σκέπεται ὁ οὐρανὸς ὑπὸ νεφῶν ὅλος καὶ ἔσω ὢν καὶ καλυπτόμενος ὁ ἥλιος οὐκ ἀλλοιοῦται οὔτε ἀδικεῖταί τι ἐκ τῆς ἐπικειμένης ἀχλύος οὔτε μὴν ὁ οὐρανὸς ἀπόλλει τὴν οἰκείαν εὐπρέπειαν, ἀλλ' ἐν τῷ καιρῷ τῆς διαλύσεως τῶν νεφῶν ὁρᾶται ὁ οὐρανὸς τὴν ἰδίαν λαμπρότητα ἀποσῴζων καὶ ὁ ἥλιος ἐν τῇ ἰδίᾳ μένων φύσει καὶ ἀκωλύτως ἐκπέμπων τὰς λαμπρὰς ἀκτῖνας· οὕτω καὶ οἱ ἔτι νηπιάζοντες. οἱ δὲ τέλειοι τὴν τοῦ θερινοῦ καιροῦ ἀποσῴζουσιν εἰκόνα, οὐκέτι εἰσὶ νέφη καὶ ὁμίχλαι, ἀλλὰ ὁ οὐρανὸς καὶ ὁ ἥλιος καθαρεύονται, οὕτω καὶ αὐτοὶ καθαρεύουσι τὸν νοῦν καὶ τὸν ὅλον ἄνθρωπον καί εἰσι πάντοτε ἐν φωτὶ τετελειωμένοι, μηδέν τι ῥύπου μετέχοντες ἐν τῇ ψυχῇ. 18.5.3 Ὥσπερ γὰρ ὁδοιπόρος μακρὰν ὅδον τρέχων καὶ πολλὰς βλέπων βοτάνας καὶ ὄρη καὶ ποταμοὺς καὶ ζῷα καὶ πετεινὰ ὑπ' οὐδενὸς κατέχεται πρὸς τὸ καταγώγιον τρέχων, ἢ ὥσπερ ὁ εἰς πόλιν τινὰ εἰσιὼν καὶ πρὸς τὸ ἴδιον ἐπειγόμενος ἔργον πρὸς οὐδὲν τῶν ἐν τῇ πόλει προκειμένων τρέχει οὐδὲ μετεωρίζεται διὰ τὴν τῆς προθέσεως ἀνάγκην, οὕτως οἱ τέλειοι παντελῶς ἀμέριμνοι ὄντες οὐ κρατοῦνται ἢ ἐμποδίζονται ὑπὸ τῆς κακίας,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλ' ἔστιν ὁ νοῦς αὐτῶν εἰς λιμένα ἀναπαύσεως καὶ εἰς αἰῶνα πάσης ἀπηλλαγμένον κακίας· ἐκεῖ ἔχουσι τὸν σκοπὸν πάντοτε καὶ τὴν πρόθεσιν, καίτοι τῆς κακίας ἔξωθεν μὴ ἡσυχαζούσης μηδὲ ἀνιεμένης, ἀλλὰ μετὰ πλήθους δαιμόνων κατὰ καιρούς τινας εἰς πολλὰς ὁράσεις μεταμορφουμένης καὶ παρισταμένης, καὶ ἐν τούτῳ δὲ τῷ μέρει πολεμοῦντες εὐεργετοῦσι τὴν ψυχήν. ἀποκαλύπτεται γὰρ ἡ τούτων φύσις εἰς τὸν 18.5.4 σοφισθέντα νοῦν γνῶναι αὐτῶν τὰς μεθοδείας· πολυποίκιλοι γάρ εἰσιν. ὡς δὲ τὰ κύματα τῆς θαλάσσης καὶ τὰ ἐν ὄρεσι δένδρα καὶ αἱ τῶν ποταμῶν συνεχεῖς καὶ ἀδιάστατοι ἐπιχύσεις πάντα ὑπερβαίνουσιν ἀριθμόν, οὕτω καὶ τὰ πνεύματα τῆς πονηρίας πάντοτε κινούμενα πολυτρόπως καθ' ἑκάστην ὥραν πολεμεῖ, ἔτι μὴν καὶ ἡ χάρις πλουσίως καὶ διαφόρως ἐνεργεῖ ἐν τοῖς ἀνθρώποις. 18.5.5 Ὥσπερ γάρ τις νέος τὴν ἡλικίαν καὶ ἁδρὸς ταῖς οὐσίαις καὶ κύριος πολλῶν κτημάτων καὶ πλούσιος ταῖς αὐτοῦ ἀποθήκαις ἐναβρυνόμενος τῇ εὐδαιμονίᾳ ὑπερφυσᾶται, ἐπαιρόμενος τοῖς τῶν κολάκων ἐπαίνοις, οὕτω καὶ ἡ φύσις ἡ ἀνθρωπίνη ὅταν εἰς ἀνάπαυσιν καὶ πλοῦτον ἐπουράνιον ἔλθῃ, ἄρχεται τυφοῦσθαι καὶ ἐπαίρεσθαι. διὰ τοῦτο ἐνδίδωσι καὶ ὑποστέλλεται αὐτὴ ἡ χάρις, ὅπως παραδοθεῖσα ἡ ψυχὴ τοῖς πνεύμασι τῆς πονηρίας ταπεινωθῇ καὶ ἐπιγνῷ τὴν ἑαυτῆς ἀσθένειαν πλὴν ἐν ᾧ καιρῷ παραδίδοται ὁ ἄνθρωπος ὁ κύριος κρυπτῶς παρὼν παρακρατεῖ τὴν ψυχὴν καὶ φυλάσσει ἐπεὶ οὐκ ἂν ἠδυνήθη ὑποστῆναι 18.5.6 ὁ ἄνθρωπος τὰς μεθοδείας καὶ θλίψεις τοῦ διαβόλου. οἱ γὰρ πρόσφατον ὑπὸ θεοῦ ἀναγεννώμενοι ἔτι νηπιάζουσι καὶ ἐν νηπιότητι εἰσὶ καὶ ὥσπερ τὰ ἄρτι γεννηθέντα βρέφη πᾶσι τοῖς μέλεσιν ἀπαρτισμένα προέρχεται καὶ διὰ τὴν ἁπαλότητα καὶ σμικρότητα ἐνεργεῖν τί ἢ πράττειν οὐ δύνανταιδιὸ καὶ πολλῆς ἀνατροφῆς καὶ ἐπιμελείας δέονται πρὸς τὸ εἰς τελείαν αὔξησιν ἐλθεῖν, οὕτως οἱ τεχθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος καὶ ὑπ' αὐτοῦ παιδαγωγούμενοι καὶ ἀνατρεφόμενοι αὔξουσι τὴν αὔξησιν τοῦ κυρίου. 18.6.1 Ἐρώτησις. Ἆρά γε ἀνιστάμενα τὰ σώματα τὰ ἐκ τοῦ Ἀδὰμ γυμνὰΐστανται ἀντικρὺς τῆς θεότητος ἢ ἔχουσιν ἐνδύματα καὶ τρέφονται τροφὴν ἄλλην, ὃν τρόπον ἐντεῦθεν ἐσκέπασται ἐνδύμασι τὸ σῶμα καὶ βρώμασι τρέφεταιἀνάγκη γὰρ τοὺς ἐν τῷ αἰῶνι τούτῳ ὄντας ἄνδρας καὶ γυναῖκας περιβεβλῆσθαι τὴν ἀσχημοσύνην καὶ τρέφεσθαι τὴν ἀπολλυμένην βρῶσιν; εἰ ἔτι οὖν ἀναστάντα ἀπὸ τῆς γῆς τῆς διαλύσεως καὶ πρὸς τὴν ἀρχαίαν σύμπηξιν ἐπανελθόντα τῶν αὐτῶν ἐπιδέονται ἢ οὔ; Ἀπόκρισις. Τοῦτό μοι ἀπρεπὲς καὶ ἀλόγιστον καταφαίνεται· οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ τῆς κτίσεως «εὐπρέπεια» καὶ ἁρμολογία καταργεῖται λυομένη καὶ οὐκέτι ἡ γῆ ἐκφέρει καρποὺς πρὸς τὴν τοῦ σώματος διατροφήν, παρέρχεται δὲ καὶ ὁ οὐρανὸς σὺν παντὶ τῷ κόσμῳ αὐτοῦ. πόθεν οὖν ἔτι τροφὴ τοῖς ἀνθρώποις χορηγηθήσεται καὶ τὰ περιβόλαια κατασκευασθήσεται 18.6.2 λυομένων τῶν ὁρωμένων κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν; ἢ δῆλον ὅτι ἕτερόν τί ἐστι παρὰ τὸ ὁρώμενον τὸ μέλλον δίδοσθαι; δεῖ γὰρ καὶ περιβεβλῆσθαι καὶ τρέφεσθαι. εἰ δὲ τὸ μάννα ὃ ἐδόθη τοῖς Ἰσραηλίταις ἐν τῇ ἐρήμῳ ξένον ἦν καὶ ἀλλότριον τῆς φύσεως αὐτῶνγέγραπται γὰρ ὅτι «ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος», πόσῳ μᾶλλον ἐν τῷ μέλλοντι αἰῶνι τροφὴν δίδωσιν ὁ θεὸς καὶ περιβόλαια τοῖς ἀνθρώποις ξένα τῆς φύσεως αὐτῶν· ὅσοι γοῦν ἐντεῦθεν λαμβάνουσι «τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις» αὐτῶν καὶ τὸν ἐπουράνιον θησαυρὸν καὶ ὅσοι νῦν φοροῦσιν ἐνδύματα ἔνδοξα καὶ ἐπουράνια καὶ ὅσοι σπείρονται τὴν γῆν τῆς καρδίας σπόρον ἐπουράνιον καὶ πνευματικόν, αὐτοὶ ἀναμφιβόλως ἀπολαύσουσι καὶ τῆς τοῦ σώματος δόξης. τὸ γὰρ νῦν κρυπτόμενον καὶ ἐμπολιτευόμενον τοῦ θεοῦ κάλλος ἐν τῇ ψυχῇ ἐν τῇ ἀναστάσει προκύψαν καὶ ἐπιχυθὲν καλύψει καὶ δοξάσει τὸ 18.6.3 ἔξω σῶμα τῷ αἰωνίῳ φωτί. ἀνάγκη οὖν τὸν νοῦν τίμιον ὄντα ἐντεῦθεν εὐαγγελισθῆναι καὶ ὑποδέξασθαι τὸ τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ πνεῦμα, καὶ οὕτω μετὰ ταῦτα συνδοξασθῆναι καὶ τὸ σῶμα. ὁ γὰρ θεὸς ἀπὸ τοῦ νῦν τὴν ψυχὴν περιβαλὼν τῇ δόξῃ καὶ καταποθῆναι ὑπὸ τοῦ πυρὸς αὐτοῦ ποιήσας ἐν τῷ προσδοκωμένῳ καιρῷ καὶ τὸ σῶμα περιβαλεῖ καὶ «σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ» ἀποδείξει, διδοὺς ἐκεῖ λοιπὸν ἀνάπαυσιν βρωμάτων καὶ ἐνδυμάτων ἐπουρανίων καὶ ἐργασίαν ἄφθαρτον τὴν τῶν ἀγγέλων. 18.6.4 Ἐν τοῖς ὁρωμένοις πράγμασιν ἴδιον ἔργον ἔχει ἡ νὺξ καὶ ἴδιον ἔργον ἡ ἡμέρα. καὶ τὰ μὲν τῆς νυκτὸς ἔργα πονηρά· ἐν αὐτῇ γὰρ οἱ κακοῦργοι τὴν ἀνομίαν ἐνδείκνυνται, βοηθούμενοι γὰρ ὑπὸ τοῦ σκότους ἐπιβουλεύουσι καὶ κλέπτουσι, φονεύουσι καὶ μοιχεύουσι ἀδεῶς ὑπὸ μηδενὸς ἐλεγχόμενοι. τὰ δὲ τῆς ἡμέρας ἔργα φωτεινά, ἔργα δικαιοσύνης καὶ θεοσεβείας, πάντα γὰρ τὰ ἐν φωτὶ γινόμενα «φῶς ἐστιν», ἐν τῷ θεῷ εἰργασμένα. οὕτω καὶ οἱ τὴν ἀνομίαν ἐργαζόμενοι ὡς ἐν νυκτὶ νῦν μὲν λελήθασι πολλούς, ὕστερον δὲ «τὰ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦνται». οἱ γὰρ ἀπὸ τοῦ νῦν συλλαμβάνοντες σπόρον τοῦ πονηροῦ ἐν ταῖς καρδίαις αὐτῶν, τοῦ νοῦ συναπτομένου τοῖς αἰσχροῖς τοῦ πονηροῦ ἔργοις, λανθάνειν σπεύδουσι καὶ κρύπτειν τὰ πονηρὰ αὐτῶν ἔργα, ἀλλ' οὐ δύνανται λαθεῖν τὸν θεόν· «πάντα γὰρ αὐτῷ γυμνὰ καὶ τετραχηλισμένα», «πρὸς ὃν ἡμῖν ὁ λόγος». τὸ γὰρ σκότος τὸ νῦν καλύψαν τὴν ψυχὴν καὶ τὴν καρδίαν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ τὸ σῶμα συγκαλύψει καὶ συσκιάσει· κατακαλύπτεται γὰρ ὑπὸ τῶν σκοτεινῶν κόλπων τοῦ πονηροῦ, τὰ δὲ καλὰ ἔργα τῶν δικαίων ἐκλάμψει ὡς ὁ ἥλιος, οὐδὲ γὰρ αὐτὰ κρυβῆναι δύνανται. 18.6.5 ὥσπερ δὲ τὰ κάρπιμα ξύλα κατὰ τὸν τῆς κινήσεως καιρὸν ἔνδον κυοφορήσαντα τοὺς καρπούς, οὐκέτι κρύπτειν τὸ ἐμπεριεχόμενον δύνανται τοῦ καιροῦ ἑλκτικῇ τινι δυνάμει καὶ βίᾳ προφέροντος τοὺς καρποὺς εἰς βρῶσιν, καὶ ὥσπερ τὸ σῶμα τοῦ κόκκου εἰς τὴν γῆν θαπτόμενον πρῶτον ἐν τῷ ἀφανεῖ ἐν τῇ κοιλίᾳ τῆς γῆς ῥιζοῖ καὶ κυοφορεῖ καὶ οὕτως αὐξάνον καὶ πρὸς τὴν ἐπιφάνειαν τῆς γῆς προκύπτον φανεροῦται τρεφόμενον καὶ εἰς καλάμην ὑψούμενον καὶ εἰς στάχυν πληρόκοκκον ἀποδιδόμενον, καὶ ὃν τρόπον τὸ κλῆμα ἐν τῇ ἀμπέλῳ κινούμενον πρῶτον ἔνδον ἐν τῇ καρδίᾳ κυοφορεῖ καὶ οὕτως εἰς φανέρωσιν προφέρει τοὺς συλληφθέντας καρποὺς καὶ τὸν οἶνον ἐν καιρῷ ἀποδίδωσιντὸν αὐτὸν τρόπον οἱ Χριστιανοὶ ἀπὸ τοῦ νῦν σπαρέντες καὶ ἀπὸ τοῦ νῦν φυτευθέντες ἐν τῇ ἐπουρανίῳ ἀμπέλῳ καὶ ῥίζας γλυκυτάτας εἰς τὴν γῆν τῆς ἐπαγγελίας πήξαντες οὐ δύνανται ἀποκρύψαι τοὺς καρπούς, ἀλλὰ τὸ ἔνδον συλληφθὲν ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως συμπεριλήψεται τὸ σῶμα· καὶ αὐτὸ εὐφραῖνον καὶ 18.6.6 χαροποιοῦν. οὕτω δὲ πάλιν καὶ τὰ τῶν ἁμαρτωλῶν ἔργα φανεροῦνται. ὥσπερ δὲ σώφρων παρθένος εἰς πορνείαν ἐμπεσοῦσα καὶ συλλαβοῦσα καὶ κρύπτειν σπεύδουσα τὴν δυσώδη αὐτῆς ἀκολασίαν οὐ δύναται λαθεῖν· τὸ γὰρ ἔμβρυον εἰς τελείαν σύμπηξιν ἐλθὸν πρόεισιν ἔλεγχον τῆς τεκούσης τὴν παρανομίαν, οὕτω καὶ οἱ ἐν τῇ καρδίᾳ συλλαμβάνοντες τὴν ἁμαρτίαν καὶ γεννήσαντες τέκνα ἀνομίας οὐ δύνανται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκφυγεῖν τὸ φοβερὸν καὶ παμφάγον πῦρ, ἀλλ' αἱ ψυχαὶ καὶ τὰ σώματα αὐτῶν ὁμοῦ καταδικάζονται. 18.6.7 Τοῦτο ἐστὶ τὸ ζητούμενον· ἀπὸ τοῦ νῦν οὖν σπουδάσωμεν εἰς τὸν ὀλίγον καιρὸν τοῦτον καταξιωθῆναι ὑποδέξασθαι καὶ συλλαβεῖν ἐν ταῖς καρδίαις ἡμῶν τὸ ἅγιον πνεῦμα τοῦ θεοῦ, ἵνα δι' αὐτοῦ ἐν ἐκρίνῃ τῇ ἡμέρᾳ καὶ τὰ σώματα ἡμῶν ἐνδυθῇ δόξαν καὶ ἀνάπαυσιν, ἀποκαθιστᾷ γὰρ ὁ κύριος τοὺς τοιούτους εἰς αἰῶνα καινὸν καὶ ἄφθαρτον, κτίζων αὐτοῖς «οὐρανὸν καινὸν καὶ γῆν καινὴν» καὶ φωστῆρας νέους, καὶ δίδωσιν αὐτοῖς τὴν ἰδίαν εἰκόνα καὶ πᾶσαν τὴν κληρονομίαν τῆς ἐπαγγελίας. καὶ οἱ τοιοῦτοι εἰσὶ λίθοι τίμιοι καὶ μαργαρῖται ἐπίλεκτοι ἑστῶτες ἐνώπιον τῆς θεότητος· οἱ γὰρ δίκαιοι λίθοι ἐκλήθησαν τίμιοι καὶ ἀετοὶ καὶ περιστεραί. ὁ δὲ ἀρχιτέκτων Χριστὸς λύει οἰκοδομὰς σκότους τῶν πονηρῶν διαλογισμῶν, περὶ ὧν εἴρηται· «λογισμοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ». ταῦ18.6.8 τα γὰρ εἰσιόντα ὡς ἐν ἐρήμῳ ὠρύονται ἐν ταῖς καρδίαις ἡμῶν, ἃ καὶ καθελὼν τίθησι τὸν θεμέλιον ἐν ταῖς καρδίαις ἡμῶν καὶ τὴν ἰδίαν πέτραν καὶ κυλίων τοὺς λοιποὺς λίθους (λέγω δὴ τοὺς τῆς φύσεως διαλογισμούς) ἀναφέρει ἕως τοῦ ἄκρου οἰκοδομήματος τῶν ὑψωμάτων τοῦ οὐρανοῦ συναρμολογῶν τῷ ἁγίῳ σώματι τοῦ Χριστοῦ καὶ συνάπτων τῇ οἰκοδομῇ τῶν ἁγίων ἀποστόλων. ἐκ δύο δὲ οὐσιῶν σύγκειται ἡ θεία οἰκοδομή· ἀνάγει οὖν αὐτὸς πρῶτος τὸν ἔσω ἡμῶν ἄνθρωπον εἰς τὴν οἰκοδομὴν τοῦ σώματος αὐτοῦ καὶ ἀγγέλων καὶ πνευμάτων ἁγίων τετελειωμένων, καὶ αὖθις αὐτὸς ἔσωθεν κάτεισι πρὸς τοὺς ἐπιγείους καὶ σκηνὴν ἑαυτῷ πήξας ἐνταῦθα καὶ ἐπιλεξάμενος τόπον καταμείνει. 18.6.9 Ὥσπερ δὲ οἱ τῆς αἰσθητῆς ὄψεως ὀφθαλμοὶ ὁρῶσι τὸν αἰσθητὸν ἥλιον, οὕτω διὰ τῶν τῆς ψυχῆς ὀφθαλμῶν ὁρῶμεν τὸ νοερὸν φῶς τοῦ ἡλίου τῆς δικαιοσύνης. καὶ ὥσπερ αἱ χελιδόνες κατὰ τὸν τοῦ χειμῶνος καιρὸν ἀναχωρήσασαι, ὅτε οὐ δύνανται φέρειν τῶν ἀέρων τὴν τραχύτητα καὶ τῶν πάγων τὴν σκληρότητα, ἐν τῷ τοῦ ἔαρος καιρῷ ἐπανέρχονται, ὅτε εὔδιον καὶ γαληνιῶντα εὑρίσκουσι τὸν ἀέρα θερμαινομένης λοιπὸν τῆς γῆς, ἐλθοῦσαι δὲ ὡς εἰς ἰδίους οἴκους εἰσίασιν εἰς τοὺς οἴκους τῶν ἀνθρώπων καὶ ἀδεῶς εἰσπεδῶσαι καὶ καλιὰς αὐταῖς οἰκοδομήσασαι νοσσοποιοῦσι καὶ ὁσῶραι λαλοῦσι ταῖς τῆς φύσεως φωναῖςοὕτω καὶ ὁ κύριος παραγενάμενος εἰς τοὺς οἴκους τῶν ψυχῶν ἡμῶν ἀναπαύεται εἰς τὴν καλιὰν τῆς καρδίας ἡμῶν κἀκεῖ οἰκεῖ, παρερχομένων λοιπὸν τῶν κυμάτων καὶ τοῦ ἀγρίου χειμῶνος καὶ τοῦ σκότους, κἀκεῖ αὐτοῦ λάμπουσιν αἱ ἀκτῖνες φωτὸς ἡδυτάτου γέμουσαι, εἰρήνης βαθείας 18.6.10 ἐπεισελθούσης τῷ τοιῷδε οἴκῳ. ἐν τῷ καιρῷ τοίνυν τοῦ θέρους, ἐγγιζούσης λοιπὸν καὶ ἐγχρονιζούσης τῆς θέρμης τοῦ ἡλίου ἡ γῆ θάλλει κινουμένη σὺν πᾶσι τοῖς ἐν αὐτῇ καρποῖς καὶ φυτοῖς· ἄμπελοί τε καὶ πάντα τὰ ξύλα τοῦ δρυμοῦ καὶ ἄρουραι δασύνονται κατασκιαζόμεναι τοῖς ἀνθηροῖς φύλλοις καὶ κοσμούμεναι τοῖς ἄνθεσιν. ἔτι μὴν καὶ τὰ ἄλογα τῶν ζῴων καρποφορεῖ ἐκ τῆς γαστρὸς προφέροντα τὰ ἔμβρυα, ὥστε εἶναι λοιπὸν καινὰ σώματα ἀρνῶν καὶ τῶν ἄλλων ζῴων καὶ καρδίας ἀκάκους καὶ ἀφελεῖς τῶν ἀρτιγενῶν παίδων καὶ πάντα δὲ σχεδὸν τὰ πρὸ βραχέως στυγνάζοντα καὶ συνεσταλμένα καὶ ἀκίνητα καὶ ἄκαρπα νῦν μεταβέβληται καρποφοροῦντα καὶ κινούμενα καὶ τρεφόμενα. ἥ τε γὰρ ὑπὸ τοῦ κρύους πεπηγμένη γῆ διαλυθεῖσα καταλάμπεται ταῖς ποικίλαις τῶν ποῶν βοτάναις καὶ τὰ ἔρημα ὄρη ταῖς χλοαῖς ἐνδυθέντα ἀποβάλλει τὴν ἀγριότητα καὶ πᾶσαι αἱ πηγαὶ πλουτήσασαι τῇ προσθήκῃ τοῦ ὕδατος ἡδὺ καὶ διειδὲς προχέουσι νᾶμα, σκιρτᾷ δὲ καὶ ἀγαλλιᾷ πᾶν γένος ζῴων πετεινῶν καὶ τετραπόδων συμμεταβαλλόμενα τῷ ἡδυτάτῳ καὶ εὐκραεῖ καιρῷ καὶ ἀφθόνως τρεφόμενα χαίρει. 18.6.11 Ταῦτα δὲ πάντα τύποι εἰσὶ τῶν νοερῶν καὶ πνευματικῶν πραγμάτων. ἀπὸ γὰρ τῆς δεινῆς ἀχλύος καὶ τῶν πικρῶν ἀνέμων συνδεδεμένος καὶ πεπεδημένος καὶ ἄκαρπός ἐστιν ὁ νοῦς, καὶ πάντες οἱ λογισμοὶ δεδουλωμένοι ἐν λύπῃ εἰσὶ πολλῇ· πολλοὶ γὰρ ἐκεῖ ἀνέρχονται διαλογισμοὶ ξένοι τῆς φύσεως σου 18.6.12 καὶ ἕκαστος διαλογισμὸς ἐκ τοῦ σατανᾶ ἐστιν. ἐν δὲ τῷ καιρῷ τῆς ἐπισκέψεως τοῦ πνεύματος τοῦ ἁγίου πολλή τις γίνεται μεταβολὴ καὶ ἀλλαγή. ἄρχεται γὰρ ὁ νοῦς ἐξανθεῖν καὶ καρποφορεῖν καρποὺς πνευματικοὺς ἐκ τῆς γῆς τῆς καρδίας, οἱ τρίβολοι καὶ οἱ φραγμοὶ καὶ οἱ πονηροὶ δαίμονες διαρρήγνυνται ὑπὸ τῆς δυνάμεως τοῦ πνεύματος. ἄρχεται δὲ αὐτὴ ἡ καρδία κινεῖσθαι καὶ συλλαμβάνειν τὸν οὐράνιον σπόρον καὶ γεωργεῖσθαι ὑπὸ τοῦ ἀληθινοῦ γεωργοῦ πολλῇ γαλήνῃ καὶ πολλῇ εἰρήνῃ, καὶ μακάριοι οἱ ἐπισκεφθέντες καὶ γεωργηθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 18.7.1 Ἐρώτησις. Τί ἐστι τὸ «κατ' εἰκόνα καὶ ὁμοίωσιν» θεοῦ; Ἀπόκρισις. Ὥσπερ ὁ θεὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκατάληπτός ἐστι καὶ ἀπερίγραπτος, οὕτω καὶ ὁ νοῦς πανταχοῦ φέρεται καὶ ἔνθα οὐκ ἐγένετο παραγίνεται, καὶ εἰ βουληθείη ἄπεισιν εἰς τὰ ἐξώτερα καὶ εἰς τὰ κατώτερα καὶ ἀνώτερα τῆς γῆς μέρη, ὅσῳ δέ τις προκόπτει εἰς τὴν ἐπίγνωσιν τοῦ πνεύματος, τοσούτῳ μεῖζον 18.7.2 γνωρίζει τὴν ἰδίαν ὑπόστασιν. ὃν τρόπον δὲ ἀνδριαντοπλάσται καὶ πάντες οἱ χαλκουργοὶ πρῶτον κηροπλαστήσαντες ἐκτύπωμα, οὗ βούλονται κατασκευάσαι ζωδίου, καθ' ὁμοίωσιν τοῦτο διὰ χαλκοῦ μετὰ τοῦτο ποιοῦσιν ἐγχέοντες τὸν τετηγμένον χαλκόν, οὕτως ὁ θεὸς λαβὼν «χοῦν ἀπὸ τῆς γῆς» ἐποίησε τὴν εἰκόνα τοῦ ἔξω ἀνθρώπου καὶ κατὰ τὴν ὁμοιότητα τούτου ἐποίησε τὸν ἔσω ἄνθρωπον, ὃς καλεῖται ψυχὴ καὶ νοῦς, σκεῦος τίμιον, μόνῳ θεῷ καὶ τοῖς τελείοις καὶ πνευματοφόροις γνωριζόμενον καὶ νοούμενον. τιμιώτερον δέ ἐστι πάντων τῶν κτισμάτων ἡ ψυχὴ τοῦ ἀνθρώπου. ὁ δὲ ἔξω ἄνθρωπος γεννᾶται ὡς καὶ τὰ λοιπὰ ζῷα, ἐσθίει ἐκ τῆς γῆς, γηρᾷ, ἀποθνῄσκει. ὁ δὲ ἔσω ἄνθρωπος (τουτέστιν ἡ ψυχή) «κατ' εἰκόνα καὶ ὁμοίωσιν» τοῦ θεοῦ γεγένηται καὶ τούτῳ συγκρίνεται, ἔστι γὰρ νύμφη βασιλέως καὶ ὃν τρόπον εὐφραίνεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφραίνεται ἐπὶ ψυχῇ κύριος. κέκληται 18.7.3 δὲ εἰς υἱοθεσίαν. «ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι υἱοὶ θεοῦ εἰσι» καὶ ἀδελφοὶ καὶ φίλοι τοῦ νυμφίου. καὶ ὥσπερ ἀνελθὼν εἰς τὸ ὄρος ὁ κύριος «μετεμορφώθη» εἰς τὴν θεϊκὴν αὐτοῦ δόξαν, οὕτως αἱ ψυχαὶ ἀπὸ τοῦ νῦν φωτίζονται καὶ συνδοξάζονται, ἐν δὲ τῇ τελευταίᾳ ἡμέρᾳ καὶ τὰ σώματα συνδοξαζόμενα ἐξαστράπτει. λέγει γὰρ ἡ γραφή· «τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν». ἄρα οὖν ἀπεντεῦθεν ἔχουσι τὴν υἱοθεσίαν καὶ τὴν ἀκατάλυτον χαράν, ἣν χαίρουσιν οἱ Χριστιανοί· οὐ γὰρ διαδέχεται αὐτοὺς λύπη πάλιν. καὶ τὴν μὲν τοῦ κόσμου χαρὰν καταλαβοῦσα θλῖψις καταλύει, ἡ δὲ χάρις τοῦ κυρίου συμβασιλεύειν ποιεῖ εἰς τοὺς ἀπεράντους αἰῶνας. καὶ ἡ μὲν βασιλεία τοῦ κόσμου τούτου καὶ τὸ κράτος τῆς γῆς ταπεινὸν καὶ ἐξουδενωμένον, ἡ δὲ τοῦ κυρίου ἀδιάλειπτος. ἀποδέδεικται οὖν ὅτι ἔχει ἡ ψυχὴ εἰκόνα ἰδίαν, τὰ μέλη τοῦ ἔξω ἀνθρώπου· ἡμεῖς δὲ δόξαν ἀναπέμψωμεν τῇ μακαρίᾳ καὶ ἀθανάτῳ τριάδι πατρί τε καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 19.τ.1 ΛΟΓΟΣ ΙΘ΄.

19.1.1 Ὁ τοῦ θεοῦ ἄνθρωπος ὁ κατ' ἀλήθειαν τὴν ὁδὸν τῆς δικαιοσύνης διοδεύων καὶ ὁ εὐπειθὴς δοῦλος τοῦ κυρίου εἰς ἕκαστον ἀγαθὸν καὶ εἰς πᾶσαν κατάστασιν ἀρετῆς ἀεὶ προκοπὴν λαμβάνει καὶ κρείττων ἑαυτοῦ γίνεται ὁσημέραι βελτιούμενος καὶ εἰς πάντα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα θεμέλιον κτᾶται, οἷον εἰς ταπεινοφροσύνην καὶ πραότητα εἰς χρηστότητα εἰς ὑπομονὴν εἰς μακροθυμίαν εἰς ἀγάπην εἰς πίστιν εἰς ἐλπίδα εἰς σωφροσύνην εἰς ἀνδρείαν εἰς ἀγαθότητα. ἕκαστον γὰρ αὐτῶν πολλὴν βαθύτητα καὶ πλατύτητα καὶ 19.1.2 λεπτότητος ἐργασίαν ἔχει. ὥσπερ ἐὰν ᾖ ἐν παραδείσῳ δένδρα πολλὰ καρποφόρα τε καὶ διάφορα καὶ ἕκαστον δένδρον ἔχῃ κλάδους καὶ πάλιν οἱ κλάδοι κλῶνας μικροὺς κάρφη τε λεπτότερα καὶ πλῆθος πολὺ φύλλων, οὕτως ἐν ἑκάστῃ τῶν ἀρετῶν πολλή τις λεπτότης ἔγκειται ἐργασίας καὶ πολλὴ βαθύτης 19.1.3 καὶ ἕκαστον ὥσπερ ἀποτέλεσμά τι τέλειον τυγχάνει. πάντων δὲ τούτων κρηπὶς καὶ ἑδραίωμα καὶ τὸ ἀκρότατον, εἰς ὃ ὀφείλει ἡδραιῶσθαι καὶ τεθεμελιῶσθαι ἕκαστος ὁ προσερχόμενος θεῷ, ἔστιν ἡ εἰς θεὸν πεποίθησις καὶ ἡ τῆς πίστεως ἑδραιότης, ὅπερ πρὸ πάντων ἕκαστος ὁ βουλόμενος εὐαρεστῆσαι θεῷ κτήσασθαι 19.1.4 ὀφείλει καὶ ἑδραιωθῆναι τῇ πεποιθήσει τοῦ θεοῦ. οἱ γὰρ μὴ κτώμενοι τὴν εἰς θεὸν πεποίθησιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρότερον ἐοίκασι τοῖς οἰκοδομοῦσιν οἶκον ἄνευ θεμελίου. καὶ γὰρ οἱ περὶ τοὺς Μακκαβαίους μεγάλως ἀθλήσαντες καὶ γενναιότητα ἐνδειξάμενοι μεγαλοψύχως ἐν πολλοῖς πολέμοις καὶ μεγάλοις τῇ πρὸς θεὸν πίστει καὶ πεποιθήσει τοὺς ἑαυτῶν ἐχθροὺς ὑπέτασσον ἐν τῷ σωματικῷ πολέμῳ, οὓς ὑπόδειγμα λάβωμεν εἰς ἑαυτοὺς ἐν τῷ «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας» ἀοράτῳ πολέμῳ, ὅτι οὕτω πρόθυμοι καὶ ἀνδρεῖοι καὶ γενναῖοι καὶ μεγαλόψυχοι εἶναι ὀφείλομεν οἱ τοῦ Χριστοῦ ἀληθινοὶ πολεμισταί· φησὶ γὰρ ὁ ἀπόστολος· «ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν 19.1.5 ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν». ἐν ταῖς θλίψεσι τοίνυν ταῖς διαφόροις καὶ τοῖς ποικίλοις πειρασμοῖς, τοῖς ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων ἡμῖν ἐπεγειρομένοις, ὑπομονητικοὶ τυγχάνειν ὀφείλομεν καὶ ἀνδρίζεσθαι καὶ μακροθυμεῖν οἱ γενναῖοι τοῦ Χριστοῦ ἀθληταὶ καὶ πολεμισταί, ὅπως καὶ ἐν ταῖς παρακλήσεσι καὶ δωρεαῖς τῆς χάριτος εὐχάριστοι 19.1.6 εἶναι δυνηθῶμεν. ὥσπερ γὰρ ὁ φαινόμενος τῶν ἀνθρώπων κόσμος χάριτι καὶ δικαιοσύνῃ ὑπὸ τοῦ διοικεῖται, χάριτι μὲν ἐπὶ πλήθει καὶ εὐφορίᾳ καρπῶν καὶ ὑγείᾳ καὶ εὐκρασίᾳ καιρῶν καὶ πάσῃ ἀγαθῶν δόσει, δικαιοσύνῃ δὲ καὶ παιδείᾳ ἔν τε λιμοῖς καὶ λοιμοῖς καὶ θλίψεσι καὶ ἀνάγκαις, καταστροφαῖς, χαλάζαις, συμπτώσεσι καὶ ὅσα ὑπὸ θεοῦ πρὸς παιδείαν τέτακται διὰ 19.1.7 δικαιοσύνην καὶ ὠφέλειαν τῶν ἀνθρώπωνοὕτω καὶ ἡ ψυχὴ ἡ βουλομένη τὸν ἄνω τῆς θεότητος κόσμον κληρονομῆσαι ὑπὸ τῆς χάριτος πολυτρόπως διοικεῖται καὶ ποτὲ μὲν ἐν ἀνέσει καὶ εὐφροσύνῃ τοῦ πνεύματος ἀγαλλιᾶται καὶ τῇ τῆς χάριτος παρακλήσει ἐνευφραίνεται, ποτὲ δὲ παραδίδοται παιδείᾳ καὶ πειρασμοῖς διαφόροις καὶ θλίψεσι παντοδαπαῖς τοῦ ἐγκοσμίου πνεύματος, ἵνα γυμνασθεῖσα διὰ πάντων καὶ δόκιμος εὑρεθεῖσα καὶ ἐν πᾶσι πειρασμοῖς γενναίως ὑπομένουσα καὶ τῆς πρὸς θεὸν εὐαρεστήσεως ἐν μηδενὶ παρεκπεμπομένη καὶ οὕτως εὐδοκιμήσασα ἐν Χριστῷ ἀξία θεοῦ καταστῇ χάριτι καὶ δικαιοσύνῃ τὴν αἰώνιον ζωὴν κληρονομοῦσα. 19.2.1 Καὶ ὥσπερ ἐν τῷ βίῳ τούτῳ οὔτε τὸ ὅλον ἀνέσεις καὶ εὐφορίαι καὶ καρπογονίαι καὶ εἰρήνη παρὰ ἀνθρώποις τυγχάνει, ἀλλὰ τῷ τῆς δικαιοσύνης ζυγῷ καὶ μέτρῳ ὁ θεὸς παιδεύει καὶ ἐλεεῖ καὶ προνοεῖται τοῦ κόσμου, οὕτω καὶ ψυχὴ ἡ τῷ ἄνω κόσμῳ γεννηθῆναι ποθοῦσα οὐ τὸ ὅλον ἐν ἀνέσει καὶ εὐφροσύνῃ καὶ χαρᾷ τοῦ πνεύματος γίνεται, ἀλλὰ τῷ δικαιοσύνης καὶ χάριτος ζυγῷ παιδεύει 19.2.2 καὶ ἐλεεῖ καὶ οἰκονομεῖ ταύτην ὁ θεός. εἰ γὰρ τὸ ὅλον ἄνεσις ἦν ἐν τῷ βίῳ παρὰ ἀνθρώποις καὶ τρυφὴ καὶ κόρος καὶ πλοῦτος ἄνευ θλίψεων καὶ ὀδυνῶν, οὐκ ἂν ἤνεγκαν καὶ ἐβάστασαν οἱ ἄνθρωποι καταφρονοῦντες τοῦ θεοῦ καὶ εἰς τὰς τῆς σαρκὸς ἡδονὰς ἑαυτοὺς παντελῶς ἐκδιδόντες. «ἔφαγε, γάρ φησιν Ἰακὼβ καὶ ἐνεπλήσθη, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, 19.2.3 καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος». οὕτω καὶ εἰς τὸ πνευματικὸν ἀνάλαβε. εἰ τὸ ὅλον καὶ ἀδιαλείπτως ἐν τῇ χαρᾷ καὶ τῇ ἀνέσει καὶ εὐφροσύνῃ τοῦ πνεύματος μόνον διῆγεν ἡ ψυχή, οὐκ ἂν ἑαυτὴν ἔτι ἐπεγίνωσκε καὶ τὴν γυμνασίαν δὲ καὶ ὁδὸν τῆς δικαιοσύνης ἠγνόει ἂν καὶ ὑπερήρετο, καὶ τῇ οἰήσει μόνον προέκοπτε πάντων κατεπαιρομένη καὶ οὐδ' ὡς ἄνθρωπον ἑαυτὴν ἐλογίζετο 19.2.4 εἶναι. ὥς φησιν ὁ ἀπόστολος· ἐν «τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων», «ἐδόθη μοι» «ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι». ὁρᾷς ὅτι τῷ τοιούτῳ ἁγίῳ ἀνδρὶ αἱ θλίψεις εἰς συμφέρον ἦσαν ἔτι, ὥς φησιν ὁ αὐτός, «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει». ὥστε αἱ θλίψεις εἰς συμφέρον καὶ εἰς τὸ δοκιμωτέραν τὴν ψυχὴν ἀπεργάσασθαι τυγχάνουσιν. 19.3.1 Μόνον ἵνα αὐτὸς ὁ ἄνθρωπος πάντα τὰ ἀπαντῶντα καὶ μάλιστα τὰς θλίψεις προθύμως καὶ γενναίως φέρῃ, μηδὲν ἑαυτῷ συγγινώσκων ῥαθυμίας ἢ ἀμελείας ἢ χαυνώσεως ἢ μετεωρισμοῦ τινος ἢ ἄλλων τινῶν ἑκουσίων ἁμαρτημάτων, ἀλλ' ὅλος ἐξ ὅλου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δουλεύων εὐαρέστως καὶ ἀναθεὶς ἑαυτὸν τῷ κυρίῳ, τὰ συμβαίνοντα θλιβερὰ πάντα γενναίως καὶ προθύμως ὑπομένων φερέτω, εἰς τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ θεοῦ ἀποσκοπῶν πάντοτε κἀκεῖθεν βοήθειαν ἐκδεχόμενος, ἵν' οὕτως ἄξιος τοῦ θεοῦ κατὰ πάντα γενόμενος καταστῇ. οἶδε γὰρ ὁ θεὸς πόσον ὀφείλει τις ἐν δοκιμασίᾳ καὶ παιδείᾳ καὶ πειρασμοῖς ἐλθεῖν πρὸς τὸ δοκιμώτερον αὐτὸν γενέσθαι, μόνον εἰ ὁ ἄνθρωπος τῆς ὑπομονῆς 19.3.2 ἐγκρατὴς γένηται. εἰ γὰρ ὀλίγης συνέσεως καὶ βραχέος λογισμοῦ ἄνθρωποι μετέχοντες δοκιμάζουσι καὶ διακρίνουσιν, ὅσον βάρος καὶ γόμον ἕκαστον ζῷον βαστάσαι δύναται, οἷον ἡμίονος ἢ ὄνος ἢ κάμηλος, καὶ εἰ ὁ κεραμεὺς πλάσας τὰ σκεύη οἶδεν ὅτι ἐὰν μὴ ἐν πυρὶ βληθῇ, χρήσιμα αὐτῷ οὐ γίνεται, καὶ ἐπίσταται ὅσον ἐν τῷ πυρὶ χρῆ αὐτὰ ἐαθῆναι, ἵνα ἐπιτήδεια γένηται, καὶ οὔτε ὑπὲρ τὸ δέον ἀφίησιν αὐτά, ἵνα μὴ καταφθαρῇ, οὔτε ἐλλείπει, ἵνα μὴ ἀποίητα καὶ ἄχρηστα γένηται, πόσῳ μᾶλλον ὁ θεός, ὁ ὢν ἄρρητος καὶ ἄφατος, ἡ ἀληθινὴ γνῶσις καὶ ἄπειρος σύνεσις καὶ ἀκατάληπτος σοφία, οἶδε πόσων δοκιμασιῶν καὶ θλίψεων καὶ πειρασμῶν χρῄζουσιν αἱ ψυχαὶ αἱ αὐτῷ 19.3.3 εὐαρεστεῖν θέλουσαι. καὶ μετὰ τὰς θλίψεις τοῦ πληρώματος τῆς χάριτος τυχεῖν ἀξιοῦνται καὶ ὁλοτελῶς τὴν καθαρότητα καὶ τὸν ἁγιασμὸν διὰ τῆς κοινωνίας τοῦ πνεύματος κτῶνται καὶ τῶν παθῶν τὴν λύτρωσιν παντελῶς δέχονται, ὑποτεταγμένων αὐτοῖς λοιπὸν τῶν πονηρῶν πνευμάτων, καὶ οὕτως ἄμωμοι καὶ ἄσπιλοι διὰ τοῦ πνεύματος ἀπεργασθέντες τῆς τῶν οὐρανῶν βασιλείας τυχεῖν καταξιοῦνται ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

20.τ.1 ΛΟΓΟΣ Κʹ.

20.1.1 Ἐοίκασιν αἱ τῶν Χριστιανῶν ψυχαὶ ὑπὸ τοῦ πονηροῦ εἰς θλίψεις πολλὰς ἐρχόμεναι ἐν τῷ κόσμῳ τούτῳ εἴδει καννάβεως. ὥσπερ γὰρ τὸ τῆς καννάβεως εἶδος ἐφ' ὅσον τύπτεται καὶ βασανίζεται τοσοῦτον λεπτότερον καὶ χρησιμώτερον καὶ καθαρώτερον ἀπαρτίζεται, εἰς τὸ γενέσθαι ἐξ αὐτοῦ λεπτότατα νήματα, καὶ ἐφ' ὅσον πλέον βασανίζεται καὶ καταξαίνεται πλέον χρησιμώτερον καθίσταται, οὕτω καὶ αἱ φιλόθεοι καὶ φιλαλήθεις τῶν Χριστιανῶν ψυχαί, ἐφ' ὅσον εἰς πολλὰς θλίψεις καὶ δοκιμασίας καὶ πειρασμοὺς ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων εἰσέρχονται, αὐταὶ δὲ ὑπομένουσι καὶ μακροθυμοῦσι, καθαρώτεραι καὶ χρησιμώτεραι καὶ δοκιμώτεραι εἰς τὸ πνευματικὸν τῆς λεπτότητος τῆς χάριτος ἔργον κατασκευάζονται καὶ τέλος τὸν ἐπουράνιον 20.1.2 τῶν ἁγίων χῶρον οἰκεῖν καταξιοῦνται. δοκιμαζομένη γὰρ ἡ ψυχὴ ἐν τοῖς πολλοῖς πειρασμοῖς καὶ ταῖς διαφόροις θλίψεσι καὶ ὑπὸ τῆς χάριτος βοηθουμένη, ὑπομένουσα μακροθύμως ἐπ' ἐλπίδι τοῦ κυρίου πᾶν τὸ τῆς κακίας εἶδος ἐξ αὐτῆς κατ' ὀλίγον μειοῖ καὶ τὸ βαρὺ τῆς συνοικούσης ἁμαρτίας φορ20.1.3 τίον ἀποτίθεται τοιούτῳ τινὶ τρόπῳ· ὥσπερ ἐάν τις ὁδεύῃ ὁδὸν μακρὰν ἀπερχόμενος εἰς πόλιν τινά, βαστάζῃ δὲ μαρσίπιον μεστὸν ἄμμου, τὸ δὲ τοιοῦτον ἔχῃ κάτωθεν ὀπὴν λεπτοτάτην, καὶ ὅσῳ βαδίζει καθ' ὅλης τῆς ὁδοῦ ἀπορρέῃ καὶ αὐτὸς κουφίζεται, καὶ τέλος καταντήσαντος ἐν τῇ πόλει ἡ βαρυτάτη ἄμμος ἐκενώθη καὶ αὐτὸς ἠλαφρύνθη καὶ ἀνεπαύθη τελείως ἀπὸ τοῦ βάρους τῆς 20.1.4 ἄμμουοὕτω καὶ τῆς κατ' ἀλήθειαν ἀγωνιζομένης ψυχῆς διοδευούσης τὴν ὁδὸν τῆς δικαιοσύνης καὶ εἰς τὴν πόλιν τῆς βασιλείας ἐπειγομένης, βασταζούσης δὲ μεθ' ἑαυτῆς τὸ βαρὺ φορτίον τῆς ἁμαρτίας τῶν παθῶν, ἐφ' ὅσον διοδεύει τὴν ὁδὸν τῶν ἀρετῶν καὶ τῷ κυρίῳ προσκολλᾶται, τοσοῦτον ἡ ἁμαρτία καὶ τὰ πάθη μειοῦνται καὶ αὐτὴ ἡ αἴσθησις ἐλαφρότητος καὶ πραϋπαθείας ἐν 20.1.5 ἑαυτῇ αἰσθάνεται. ἐὰν δὲ τελείως προσκολληθῇ καὶ ὁλοκλήρως καὶ τὴν ὁδὸν τῆς δικαιοσύνης



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀμώμως καὶ καλῶς διοδεύσῃ, εἰς αὐτὴν τὴν κατάπαυσιν τοῦ πληρώματος τῆς χάριτος εἰσελθεῖν καταξιοῦται παντελῶς τοῦ βαρυτάτου φορτίου τῆς ἁμαρτίας τῶν παθῶν λυτρωθεῖσα. πρότερον δὲ διὰ πολλῶν πειρασμῶν καὶ θλίψεων διελθεῖν δεῖ, καὶ οὕτω εἰς τὴν κατάπαυσιν τοῦ πληρώματος τῆς χάριτος εἰσέρχεται, τουτέστι τῆς ἀπαθείας τυχεῖν καταξιοῦται. 20.2.1 Ὥσπερ γὰρ τὸ νεόπλαστον σκεῦος τῷ πυρὶ μὴ βληθὲν ἀποίητόν ἐστι τοῖς ἀνθρώποις, ἢ ὥσπερ νήπιον βρέφος ὡς πρὸς τὰ τοῦ κόσμου ἔργα ἀνεπιτήδειον τυγχάνει, οὔτε γὰρ πόλιν οἰκοδομεῖν οὔτε φυτεῦσαι δύναται, οὐ σπόρον καταθέσθαι οὐδὲ ἕτερόν τι ἔργον τοῦ κόσμου ἐπιτελεῖν· νήπιον γάρ ἐστιν. 20.2.2 οὕτω καὶ ψυχαὶ ἀπείραστοι καὶ μὴ δοκιμασθεῖσαι ἐν διαφόροις θλίψεσιν ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας ἀκμὴν νήπιαι καὶ ἀγύμναστοι τυγχάνουσι καὶ (ὥσπερ εἰπεῖν) οὐδέπω χρησιμεύουσι τῇ βασιλείᾳ, ὥς φησιν ὁ μακάριος Παῦλος· «εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι καὶ οὐχ υἱοί ἐστε». ἰδού, πόσον αἱ θλίψεις καὶ οἱ δοκιμασμοὶ καὶ οἱ πειρασμοὶ εἰς συμφέρον εἰσὶ τῷ ἀνθρώπῳ, χρήσιμον καὶ δόκιμον τὴν ψυχὴν ἀπεργαζό20.2.3 μεναι. μόνον ἵνα τις προθύμως καὶ γενναίως καὶ ἀνδρείως ἑαυτὸν ἑτοιμάζῃ, φέρων ἐν ὑπομονῇ τὰ ἐπερχόμενα, καὶ ἵνα κρατήσῃ τῆς ἐλπίδος καὶ τῆς πεποιθήσεως, ἔχων τὴν προσδοκίαν τῆς λυτρώσεως πάντοτε καὶ θαρσῶν τῇ εὐσπλαγχνίᾳ τοῦ Χριστοῦ, ὅτι οὐκ ἀφίησιν εἰς τέλος ψυχὴν ζητοῦσαν αὐτὸν πειρασθῆναι ὑπὲρ δύναμιν, «ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν». 20.3.1 Ἔτι δὲ καὶ τοῦτο ἐν ἑαυτῷ κρίνει, ὅτι καὶ ἐὰν ἀποκτενεῖ με καὶ μυρία ἕτερα χείρονα παθῶ παραχωρηθεὶς ὑπὸ τοῦ κυρίου μου παθεῖν καὶ θλιβῆναι ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, ἐγὼ αὐτὸν οὐκ ἀφίημι. πιστὸς γάρ ἐστιν, ὃς ἐξελεῖταί με ἐκ πάσης θλίψεως «καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν» ἀναγάγῃ με, καὶ οὕτως ἑαυτὸν ὅλον ἐξ ὅλου τῷ κυρίῳ ἀποδεδωκὼς καὶ εἰς τέλος ὑπομείνας ὕστερον τῆς εὐεργεσίας καὶ τῆς ἀντιλήψεως καὶ τῆς τῶν ἀγαθῶν ἀνταποδόσεως πεῖραν λήψεται, καθώς φησιν ὁ κύριος· «ὁ δὲ ὑπομείνας εἰς 20.3.2 τέλος, οὗτος σωθήσεται». εἰ γὰρ ἐν τῷ βίῳ τούτῳ εἰς ἀξιώματα καὶ προκοπὰς οὐ δύνανται ἐλθεῖν οἱ ἄνθρωποι οὐδὲ ἀξίωμά τι μεῖζον παρὰ βασιλέως λαμβάνειν, ἐὰν μὴ πρότερον ἐν πολλῇ γυμνασίᾳ γένωνται καὶ ἀνδραγαθήματα πολλὰ ἐπιδείξωνται εἰς πόλεμον εἰσελθόντες, πᾶσαν πολεμικὴν τέχνην μαθόντες καὶ ἐγγυμνασάμενοι καὶ πείρᾳ τὴν νίκην ἐπιδειξάμενοι καὶ τρόπαια κατὰ τῶν ἐναντίων ἀράμενοι καὶ εἰς πάντα τῷ βασιλεῖ εὐδοκιμήσαντες 20.3.3 τότε γὰρ ἀξιωμάτων καὶ τιμῶν μεγάλων βασιλικῶν καταξιοῦνταιπόσῳ μᾶλλον παρὰ τῷ ἐπουρανίῳ καὶ ἀληθινῷ βασιλεῖ τὰ ἀξιώματα τῆς χάριτος καὶ τῆς δωρεᾶς πνεύματος καὶ τὰ οὐράνια παρὰ θεοῦ δόματα οὐδεὶς καταξιοῦται εὐθὺς λαμβάνειν, ἐὰν μὴ πρότερον ἐγγυμνάζηται διαπαντὸς ὁ νοῦς τῇ τῶν ἀγαθῶν ἐννοιῶν μελέτῃ καὶ τῇ τῶν ἁγίων ἐντολῶν προσοχῇ καὶ τῇ πρὸς θεὸν πεποιθήσει, καὶ οὕτω καταξιωθῇ χάριτος καὶ λάβῃ οὐράνιον ὅπλον (αὐτὸ τὸ πνεῦμα) καὶ ἐν αὐτῷ μεγάλως εὐδοκιμήσῃ κατὰ τῶν πνευμάτων τῆς πονηρίας· ἀγωνιζόμενος, καὶ συμφωνῶν καὶ συναινούμενος τῇ δοθείσῃ αὐτῷ παρὰ τοῦ θεοῦ χάριτι καὶ τῷ οὐρανίῳ ὅπλῳ σύμμαχος καὶ συμπολεμιστὴς κατὰ τῆς κακίας διαπαντὸς γεγονὼς καὶ τροπωσάμενος διὰ πολλῶν πόνων καὶ ἀγώνων καὶ δοκιμασιῶν τὸν «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας» πόλεμον. καὶ ὅτε τὴν νίκην ἄρηται κατὰ τῶν ἐχθρῶν, τότε ἀξιωμάτων θείων καὶ ἐπουρανίων καὶ τιμῶν ἐνδόξων καὶ πνευματικῶν παρὰ τῷ ἐπουρανίῳ βασιλεῖ τυχεῖν καταξιοῦται, δυνάμενος οὗτος καὶ ἑτέρους λοιπὸν καταρτίζειν καὶ 20.3.4 διδάσκειν πόλεμον. εἰ γὰρ ἀπὸ ἀγέλης ἁπλῶς ἄνθρωπος κοινὸς ληφθῇ μὴ εἰδὼς πόλεμον μήτε πεῖραν ἔχων πολεμικῶν πραγμάτων καὶ εὐθὺς στρατηλάτης καταστῇ πάντων, γέλωτος ἄξιός ἐστι τῶν πολεμικῶν κατάρχειν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βουλόμενος αὐτὸς πρότερον μὴ εἰδὼς πόλεμον. οὕτω καὶ εἰς τὸ πνευματικὸν ὁ τὸν λόγον τοῦ θεοῦ ὑφηγούμενος καὶ ψυχῶν προϊστάμενος ἔμπειρος κατὰ πάντα τῶν πνευματικῶν πραγμάτων εἶναι ὀφείλει, ἵνα ὧνπερ ὑφηγεῖται λόγων πείρᾳ τὴν ἐργασίαν ἐπιδειξάμενος ὠφέλειαν καὶ βοήθειαν δι' ἑαυτοῦ τοῖς ἀκούουσιν 20.3.5 ἑκάστοτε προσάγῃ. ἡ γὰρ τοῦ θεοῦ σοφία καὶ ἡ ὁδὸς τοῦ Χριστιανισμοῦ καὶ τὸ τῆς χάριτος ἔργον ἐν τῇ πιστῇ ψυχῇ καταρτιζόμενον ἐν πολλῇ τινι λεπτότητι καὶ αὐξήσει καὶ προκοπῇ ἐπιτελεῖται, καὶ ὅτε τις νομίσει τετελεκέναι τότε ἄρξασθαι αὐτὸν δεῖ ἐνδοτέρου πράγματος, τῶν τοῦ πνεύματος μυστηρίων καὶ προκοπῶν πνευματικῶν ἐν ψυχῇ γινομένων, καὶ πολλάκις νομίσας τελέσαι 20.3.6 πολλάκις καὶ ἄρξασθαι ἔχει. εἰ γὰρ ἐν τῷ βίῳ τούτῳ ἐν τῇ κοσμικῇ σοφίᾳ ἐστίλέγω δὴ χαμαιδιδασκάλων, εἶτα γραμματικῶν, εἶτα ῥητόρων, πάλιν σοφιστῶν, τέλος φιλοσόφωνκαὶ ἐπάν τις πάντας τοὺς διδασκάλους διέλθοι ἓν τελειῶν καὶ ἑτέρου ἀρχόμενος, τότε δίκας λέγειν ἐπ' ἀρχόντων ἄρχεται εἶτα χρόνοις ἐπευδοκιμήσας γίνεται κατὰ καιροὺς καὶ αὐτὸς ἄρχων, καὶ τότε πάλιν συγκάθεδρον ἑαυτῷ λαμβάνει μήτι αὐτὸν τοῦ δικαίου παρέλθοι. 20.3.7 εἰ οὖν ἐν τῷ κόσμῳ τούτῳ τοσαύτη σοφίας λεπτότης καὶ προκοπὴ τυγχάνει, πόσῳ μᾶλλον ἡ ἄρρητος καὶ ἄπειρος τοῦ θεοῦ σοφία καὶ ἡ ὁδὸς τοῦ Χριστιανισμοῦ πολλήν τινα λεπτότητα καὶ πολλὰς προκοπὰς ἔχει. καὶ ὅσῳ τις προκόπτει, ἀρχὴν λαμβάνει ἑτέρων πραγμάτων, τῶν τοῦ πνεύματος μυστηρίων καὶ τῶν τῆς σοφίας ἀποκρύφων θησαυρῶν ἐνδότερον γίνεται, καὶ ὅσῳ ἐν τῇ χάριτι αὔξει καὶ προκόπτει καὶ τῇ τοῦ θεοῦ γνώσει πλουτεῖ, τοσούτῳ καὶ τὰ τῆς κακίας «νοήματα» καὶ πανουργεύματα ἐπιγινώσκει, ὥς φησιν ὁ ἀπόστολος· 20.3.8 «οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν». τηλικαύτης τοίνυν προκειμένης ἡμῖν ἐλπίδος καὶ τοσούτων πνευματικῶν ἀγαθῶν τοῖς ἐν ἀληθείᾳ βουλομένοις ἀγωνίζεσθαι ἡτοιμασμένων καὶ ἡμεῖς ἑαυτοὺς ὅλῃ δυνάμει ἀποδῶμεν εἰς τὴν πρὸς θεὸν εὐαρέστησιν, ἵνα τῶν πνευματικῶν χαρισμάτων τυχόντες καὶ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ προκόψαντες καὶ πάντα πειρασμὸν καὶ θλῖψιν διὰ τῆς χάριτος τοῦ Χριστοῦ ὑπερβάντες καὶ τοῦ ἁγιασμοῦ τελείως καταξιωθέντες τῆς αἰωνίου ζωῆς ἄξιοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21.τ.1 ΛΟΓΟΣ ΚΑ΄.

21.1.1 Ἡ τῶν ἐπουρανίων ἀγαθῶν ἐρῶσα ψυχὴ καὶ Χριστῷ συμβασιλεῦσαι ἐλπίζουσα διὰ μεταβολῆς καὶ ἀλλοιώσεως ἐκ τῆς τῶν παθῶν κακίας εἰς τὰς τοῦ Χριστοῦ ἀρετὰς μεταβληθῆναι ὀφείλει καὶ ἀλλαγῆναι τὴν προαίρεσιν καὶ ἁπαξαπλῶς τὸν διὰ τοῦ πνεύματος ἀνακαινισμὸν κτήσασθαι, ἕως ἐν σαρκί ἐστιν. 21.1.2 Ὥσπερ γὰρ ἐὰν ᾖ ἐν ἐρήμῳ ὄρει οἶκος μοναστηρίου Χριστιανῶν, ὅπου τὸ πρὶν λύκοι καὶ θῆρες ἄγριοι καὶ ἑρπετὰ δεινὰ ηὐλίζετο καὶ ἐνεφώλευον, ἐπὰν οἰκοδομηθῇ καὶ ἐξημερωθῇ πᾶς ὁ τόπος, λοιπὸν ἐκεῖ ἀδιάλειπτοι «ψαλμοί, 21.1.3 ὕμνοι, ᾠδαὶ πνευματικαί», εὐωχίαι καὶ ἀγαλλίασις πρὸς κύριον γίνεται, οὕτω καὶ τῆς ψυχῆς οὔσης ἐρήμου τοῦ θεοῦ ἀπὸ τῆς παραβάσεως Ἀδὰμ καὶ ἐν ἀγριότητι παθῶν κειμένης ἐν τῇ λογικῇ τῆς καρδίας αὐτῆς γῇ θῆρες κακοὶ καὶ λύκοι δεινοὶ καὶ ἑρπετὰ πάμπολλα πνευμάτων πονηρίας ἐννέμονται καὶ ἐναυλίζονται καὶ ἐμφωλεύουσι, διὰ τῶν φαύλων καὶ πονηρῶν λογισμῶν τὴν 21.1.4 ἐνέργειαν δεικνύοντα, ἐπὰν δὲ ἔλθῃ ὁ ἡμερωτὴς τῶν ἀγρίων τόπων τῆς ψυχῆς καὶ τῶν νοερῶν θηρίων καὶ ἑρπετῶν ὀλοθρευτής, ὁ κύριος, καὶ οἰκοδομήσῃ τὴν οἰκίαν τῆς ψυχῆς ἐν πνεύματι καὶ ἡμερώσῃ πᾶσαν τὴν λογικὴν αὐτῆς γῆν ἐν ταῖς ἰδίαις τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνεύματος ἀρεταῖς καὶ κατασκηνώσῃ καὶ μόνην παρ' αὐτῇ ποιήσῃ, τότε ἐκεῖ εὐχαὶ καὶ προσκυνήσεις ἐν πνεύματι καὶ ἀληθείᾳ τῷ θεῷ ἐπιτελοῦνται ἀδιαλείπτως, τότε «ψαλμοί, ὕμνοι, ᾠδαὶ πνευματικαὶ» ἐκ τῆς ψυχῆς ἀναπέμπονται διὰ τῆς χάριτος εἰς οὐρανούς, τότε εὐωχίαι καὶ ἑορτὴ ἀγγέλων καὶ χαρὰ ἐπουράνιος καὶ ἀνεκλάλητος γίνεται τοῦ σκηνοβάτου Χριστοῦ ἐν τῇ ψυχῇ πνευματικῶς ἑορτάζοντος καὶ εὐφροσύνῃ, καὶ ἀγαλλιάσει οὐρανίῳ τὴν διάνοιαν εὐφραίνοντος. 21.1.5 Καὶ ἑτέρως δὲ τῷ αὐτῷ νοήματι χρησώμεθα. ὥσπερ χρυσίον, ὃ τὸ πρὶν ἦν γῇ μεμιγμένον καὶ ὑπὸ τῶν θηρίων καὶ ἑρπετῶν καταπατούμενον, ἐπὰν ληφθῇ καὶ καθαρισθῇ καὶ διϋλισθῇ ὑπὸ τῶν ἐπισταμένων τὴν τέχνην τῆς καθάρσεως τοῦ χρυσίου, τότε γίνεται στέφανος καὶ διάδημα βασιλικὸν εἰς 21.1.6 τὴν κεφαλὴν τοῦ βασιλέως ἐπιτήδειον, οὕτω καὶ ταύτην τὴν ψυχὴν νῦν ἐν γῇ ἁμαρτίας μεμιγμένην καὶ ὑλικοῖς καὶ ματαίοις λογισμοῖς συμπεπλεγμένην καὶ ὑπὸ τῶν θηρίων τῶν πνευμάτων τοῦ σκότους καταπατουμένην διὰ τῆς τῶν παθῶν ἐνεργείας καὶ ἐν πολλῇ ὕβρει καὶ αἰσχρότητι λογισμῶν πονηρῶν τυγχάνουσαν καὶ ἐν σκότει τοῦ αἰῶνος τούτου πεφυρμένην, ὡς καὶ ἐκεῖ τῇ γῇ μέμικτο ὁ χρυσός, ἐπὰν ἔλθῃ ὁ καλὸς καὶ ἀληθινὸς τεχνίτης καὶ καθαριστὴς τῶν ψυχῶν ἡμῶν, λαμβάνει καὶ καθαρίζει ἀπὸ τῆς ὕβρεως ἐκείνης καὶ τοῦ δεινοῦ σκότους τοῦ κεκαλυφότος αὐτὴν καὶ καθαρὰν ἀπεργασάμενος ὥσπερ καλὸν χρυσίον στέφανον καὶ διάδημα ἐπουράνιον αὐτὴν ἑαυτῷ κατασκευάζει. 21.1.7 καὶ γὰρ ὁ προφήτης φησί· «καὶ ἔσῃ στέφανος δόξης ἐν χειρὶ κυρίου καὶ διάδημα κάλλους ἐν χειρὶ θεοῦ σου». ἰδοὺ ἐκ ποίας ὕβρεως καὶ ἀτιμίας εἰς ὁποίαν δόξαν καὶ τιμὴν μεταβάλλεται ὁ ἄνθρωπος διὰ τῆς δυνάμεως τοῦ ἁγίου πνεύματος καὶ τῆς τοῦ ἰδίου αὐτεξουσίου ὀρθῆς προαιρέσεως καὶ σπουδῆς καὶ σπουδῆς καὶ πίστεως. 21.1.8 εὐδόκησε γὰρ ὁ θεὸς τῇ ἑαυτοῦ ἀγαθότητι τῇ ψυχῇ κοινωνῆσαι τῆς ἑαυτοῦ βασιλείας, καὶ ἐπὰν ἐλθὼν ἐπισκέψηται τὴν ψυχὴν τὴν ἐξ ὅλης προαιρέσεως ἑαυτὴν εἰς τὴν πνευματικὴν εὐαρέστησιν ἔκδοτον ἀποδοῦσαν, μεταδίδωσιν αὐτῇ τοῦ φωτὸς τῆς θεότητος αὐτοῦ διὰ τῆς κοινωνίας τοῦ ἁγίου πνεύματος, καὶ τότε αὔξει καὶ τείνει καὶ πλατύνει τὸ νοερὸν αὐτῆς φρόνημα ἕως οὐρανίων ὑψωμάτων, καὶ αὐτὸς ἄνωθεν κατέρχεται πρὸς αὐτὴν ἀναλαμβάνων αὐτὴν πρὸς ἑαυτὸν καὶ ἕως οὐρανοῦ ἐκτείνων κἀκεῖ μυστηρίων ἀρρήτων πνευματικῶν ἀπολαύειν αὐτὴν καταξιοῖ. 21.1.9 Ὢ τῆς ἀρρήτου εὐδοκίας, ὢ τῆς ἀνεκδιηγήτου φιλανθρωπίας, ὢ τῆς ἀνεννοήτου ἀγάπης καὶ τῆς ἀφράστου εὐσπλαγχνίας. ἐκ ποίας ἀτιμίας καὶ σμικρότητος εἰς ποίαν τιμὴν καὶ μεγαλωσύνην μετατίθησι καὶ μεταβάλλει ψυχὰς ἐν ἀληθείᾳ πιστευούσας καὶ εἰς πᾶσαν εὐαρέστησιν ἑαυτὰς ἀποδούσας. 21.1.10 ἡ γλυκύτης γὰρ καὶ ἡ ἀνάπαυσις ἡ ἐπουράνιος ἐκείνη ἀκόρεστός ἐστιν. εἰ γὰρ ἐπὶ γῆς οὕτως οἱ πλούσιοι ὅσον κτῶνται καὶ πλουτοῦσι τοσοῦτον ὥσπερ πτωχοὶ παρ' ἑαυτοῖς εἰσιν, ἀεὶ ἐπιθυμοῦντες τὴν τῶν πλειόνων κτῆσιν καὶ μὴ κορεννύμενοι ἐφ' οἷς ἔχουσι, καὶ ὅσῳ πλουτοῦσι τοσοῦτον ἐπιζητοῦσιν ὑπερπλουτεῖνκαὶ αὐτὸς δὲ ὁ ἐπὶ γῆς βασιλεὺς ὅσους θησαυροὺς ἔχει, καὶ ὅμως ἔτι πλείονας βούλεται καὶ ἐπιθυμεῖ, καὶ πόσου κόσμου κυριεύει καὶ οὐ κορέννυται, ἀλλ' ἐβούλετο πάντων τῶν ἐπὶ γῆς ἐθνῶν δεσποτεύειν μόνος καὶ βούλεται 21.1.11 πάσης τῆς γῆς τοὺς θησαυροὺς τοῦ χρυσίου κεκτῆσθαικαὶ εἰ οὗτοι οὕτως, πόσῳ μᾶλλον ψυχὴ γευσαμένη γλυκύτητος θεοῦ καὶ χρηστότητος πνεύματος αἴσθησιν δεξαμένη καὶ τῆς ἀνεκλαλήτου χαρᾶς, ἥτις ἐστὶν ὁ κύριος, μέτοχος γενηθεῖσα καὶ πλούτου οὐρανίου τοῦ φωτὸς τῆς θεότητος κοινωνήσασα καὶ θησαυρῶν σοφίας ἀποκρύφων θίγουσα καὶ οὐρανίᾳ ἀκτῖνι τοῦ προσώπου τοῦ Χριστοῦ ἐλλαμφθεῖσα καὶ εἰρήνης θεότητος πεῖραν λαβοῦσα οὐκ ἐκκαυθήσεται ὑπὸ τῶν τοσούτων ἀρρήτων ἐπουρανίων ἀγαθῶν καὶ εἰς ἀκόρεστον πνευματικὴν ἐπιθυμίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔλθῃ καὶ εἰς ἀπλήρωτον κόρον ἔρωτος θείου καταληφθῇ, τοσαύτης ἀγαθότητος καὶ χαρᾶς καὶ εἰρήνης ἀρρήτου θεότητος μεταλαβοῦσα. 21.1.12 Ὥσπερ γὰρ ἡ θάλασσα πάντων τῶν ποταμῶν ἐπιρρεόντων οὐ πληροῦται, οὕτως ἡ ψυχὴ ἡ καταξιωθεῖσα εἰσελθεῖν εἰς τὴν εἰρήνην τῆς θεότητος τοῦ πνεύματος ὅσῳ δίδωσιν αὐτῇ ἐπουρανίων δωρεῶν χαρίσματα οὐ κορέννυται, καὶ ὅσῳ λαμβάνει ἐπιζητεῖ καὶ ὅσῳ κορέννυται, ἔτι ἐπιθυμεῖ καὶ ὅσῳ πληροῦται ἔτι λείπεται καὶ ὥσπερ ἄβυσσός τις ἀπλήρωτος ἀπὸ τῆς πολλῆς τοῦ πνεύματος ἐπιθυμίας καὶ τοῦ οὐρανίου φίλτρου τῆς ἀκορέστου ἀγάπης τοῦ Χριστοῦ καθί21.1.13 σταται. ἐπὶ γῆς ἐν σαρκὶ περιπατεῖ καὶ ἐν οὐρανοῖς μετὰ τοῦ κυρίου τῇ φρονήσει τὴν διατριβὴν ἔχει. τούτων δὲ τῶν ἀγαθῶν τυχεῖν καταξιοῦνται καὶ τηλικαύτης προκοπῆς αὔξησιν ἐν ψυχῇ λαμβάνουσιν, ὅσοι τῷ ταπεινῷ φρονήματι ἑαυτοὺς ἐκδεδώκασι καὶ ἐπάρσεως καὶ φυσιώσεως λογισμὸν ἐν ἑαυτοῖς οὐ παραδέχονται, ἀλλ' ἑαυτοὺς ἀναξίους ἡγοῦνται καὶ ἐπὶ θεοῦ καὶ ἀνθρώπων, καὶ ὡς ἀρχὴν ἔχοντες πάντοτε ἀγωνίζονται, καὶ οὕτως ἑαυτοὺς ἐξουδενοῦντες 21.1.14 καὶ ταπεινοῦντες ἐκείνων τῶν πνευματικῶν ἀγαθῶν καταξιοῦνται τυχεῖν, ὥς φησιν ὁ κύριος· «ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται». οἱ γὰρ ὀλίγης τινὸς χάριτος μέτοχοι γενόμενοι καὶ εἰς ἔπαρσιν καὶ φυσίωσιν ἑαυτοὺς ἐκδεδωκότες διὰ τὸ νομίζειν εἶναί τι λυποῦντες τὴν χάριν τοῦ πνεύματος καὶ οὗπερ ἔχουσιν ἀγαθοῦ ἀποστεροῦνται διὰ τὴν ἀφροσύνην τῆς νηπιότητος αὐτῶν. 21.1.15 Ζητήσωμεν τοίνυν τὸν κύριον ἔρωτι καὶ φίλτρῳ ψυχῆς ἀεὶ αὐτὸν προσδοκῶντες καὶ εἰς αὐτὸν ἀποκρεμάμενοι καὶ αὐτὸν ἔχειν μόνον ἐπιθυμοῦντες, τὸν τοσούτων ἀγαθῶν ἐπαγγελτὴν καὶ πληρωτὴν τοῖς πιστεύουσιν εἰς αὐτὸν 21.1.16 γινόμενον. ὁ λόγος δὲ ὁ τοῦ πνεύματος ὑπὸ τῶν πνευματικῶν λαλούμενος οὕτως ἐστίν· ὥσπερ ἐὰν ᾖ ποταμὸς μέγιστος ἐν πληρώματι ὕδατος ὅσον παρέρχεται τοσοῦτον πάλιν ἔρχεται· ἀνελλιπὴς γάρ ἐστιν, ἀεὶ γεννώμενος καὶ βρύων ἐξ 21.1.17 ἀμέτρου πηγῆς ἀβύσσου. τὸν αὐτὸν τρόπον καὶ οἱ ἔχοντες τὴν ζῶσαν πηγὴν τοῦ πνεύματος ὅσῳ διηγοῦνται μυστήρια τοῦ πνεύματος τοσούτῳ πλείω εὑρίσκουσι, τῆς θεϊκῆς πηγῆς ἀναβρυούσης ἀεὶ καινότερα καὶ ἐπουράνια μυστήρια τοῦ λόγου. 21.1.18 Παρακαλέσωμεν τοίνυν καὶ ἡμεῖς τὸν κύριον μετασχεῖν ἐκ τῆς πνευματικῆς πηγῆς τοῦ ζῶντος ὕδατος, ὅτι «ὁ πιὼν» καὶ λαβὼν ἐξ αὐτῆς «οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα» κατὰ τὸν τοῦ κυρίου λόγον, ἀλλ' ἔσται «ἐν αὐτῷ πηγὴ ὕδατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον» καὶ «ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν 21.1.19 ὕδατος ζῶντος». τοῖς οὖν ἐκ πνεύματος διηγουμένοις τὰ τοῦ πνεύματος μυστήρια καὶ ἐκ τῆς ζώσης τοῦ θεοῦ πηγῆς προφέρουσι τὸν τοῦ θεοῦ λόγον, οὕτως ὀφείλουσιν οἱ ἀκούοντες προσέχειν, ὡς ἐκ στόματος τοῦ θεοῦ τὸν λόγον ἀκούοντες καὶ ὡς πνεύματος ἁγίου κινοῦντος τὸ τῆς γλώσσης ὄργανον καὶ ὡς 21.1.20 δι' αὐτοῦ λαλοῦντος. τούτων οὖν τῶν πνευματικῶν καὶ ἐπουρανίων ἀγαθῶν νῦν τυχεῖν πῶς ἡμῖν ἔσται, εἰ μὴ ἀεὶ ἀποβλέπομεν «εἰς τὸν τῆς πίστεως ἡμῶν ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν» καὶ προσέχομεν διαπαντὸς τῇ ταπεινώσει 21.1.21 αὐτοῦ, πῶς θεὸς ὢν «ἑαυτὸν ἐκένωσεν» εἰς φύσιν ταπεινήν. ἡμεῖς οὖν οἱ φύσει ὄντες ταπεινοὶ πῶς οὐκ ὀφείλομεν ταπεινοῦσθαι καὶ ἐπιγινώσκειν τὴν ἑαυτῶν φύσιν αἰσχυνόμενοι, ὅτι ὁ ἔνδοξος ἄδοξος γέγονε δι' ἡμᾶς καὶ θεὸς ὢν φύσιν ταπεινὴν τὴν ἀνθρωπίνην ἀνέλαβε καὶ πτωχὸς καὶ ταπεινὸς ἐν κόσμῳ ἀνεστράφη, ἐξουδενούμενος καὶ ὀνειδιζόμενος ὑπὸ ἀναξίων ἀνθρώπων. ἡμεῖς οὖν φύσει ὄντες ἄτιμοι καὶ ταπεινοὶ καὶ ἁμαρτημάτων γέμοντες οὐκ ὀφείλομεν 21.1.22 τὴν ἑαυτῶν φύσιν ἐπιγινώσκειν; μιμηταὶ τοίνυν αὐτοῦ γενόμενοι τῆς ταπεινώσεως καὶ πολιτείας καὶκαθ' ὅσον ἐκ τῆς ἡμετέρας φύσεως δυνατὸν πιστεύοντες καὶ ἀγαπῶντες αὐτὸν ἐν ἀληθείᾳ καὶ πρὸ ὀφθαλμῶν αὐτὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχοντες καὶ προσδοκῶντες αὐτὸν ἐλθεῖν καὶ οἰκῆσαι ἐν ἡμῖν, τευξώμεθα ἐκείνων ὧν ἐπηγγείλατο διδόναι «τοῖς ἀγαπῶσιν αὐτόν», ἃ οὔτε ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε «ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη», «ἡμῖν δὲ» ἀποκαλύψει «διὰ τοῦ πνεύματος αὐτοῦ» ἐρχόμενος καὶ μόνην ποιῶν παρ' ἡμῖν, ἵν' ἐξ αὐτοῦ λοιπὸν μανθάνωμεν δι' ἐνεργείας πνεύματος πᾶσαν ἀρετὴν πραΰτητος καὶ ταπεινοφροσύνης καὶ πίστεως καὶ ἀγάπης καὶ πᾶσαν δικαιοσύνην καὶ πλήρωσιν τῶν 21.1.23 ἐντολῶν αὐτοῦ διὰ τῆς ἰδίας χάριτος ἐν ἡμῖν πληρώσῃ. αὐτὸς γὰρ ἔφη ὅτι «ἀπ' ἐμοῦ μάθετε, ὅτι πραός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». καὶ οὕτως ἄμωμοι καὶ ἄσπιλοι διὰ τῆς αὐτοῦ δυνάμεως καταρτισθέντες τῆς αἰωνίου βασιλείας τυχεῖν ἄξιοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

22.τ.1 ΛΟΓΟΣ ΚΒ΄.

22.1.1 Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς προσευχὴν διδάσκων τοὺς ἑαυτοῦ μαθητάς, παρακαλεσάντων αὐτὸν διδάξαι αὐτοὺς προσεύχεσθαι, οὕτως ἔλεγεν αὐτοῖς· «λέγετε· πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν». τὴν εὐχὴν δὲ ταύτην ἐδίδασκεν εὔχεσθαι τοὺς ἀκμὴν ζητοῦντας ἄφεσιν ἐγκλημάτων. 22.1.2 Ὥσπερ γὰρ δοῦλος δεσπότου χρηστοῦ πολλὰ ἁμαρτήσας καὶ φυγών, μετὰ δὲ πολὺν χρόνον ἐπιστρέψας προαποστέλλει τῷ ἰδίῳ δεσπότῃ ἀξιώτας εἰς τὸ καταλλαγῆναι αὐτῷ τὸν ἀγαθὸν δεσπότην καὶ ἔξωθεν τῆς θύρας ἕστηκεν, οὔπω δὲ τὸ πρόσωπον αὐτοῦ κατηξιώθη θεάσασθαι, καὶ ἕως οὗ ὤργισται αὐτῷ ὁ δεσπότης, πάντες οἱ οἰκεῖοι αὐτοῦ ἐχθροὶ τυγχάνουσι, τέκνα, φίλοι γνήσιοι, συγγενεῖς, ἀλλὰ καὶ ἔξω τῆς θύρας ἱστάμενος καὶ μήπω εἰς πρόσωπον ἐλθὼν τοῦ ἰδίου δεσπότου ἤδη εἰς ἔννοιαν αὐτοῦ ἐστιν, ἐπὰν δὲ εἰς πρόσωπον τὸ ἑαυτοῦ δέξηται αὐτὸν καταλλάσσεται καὶ εἰρηνεύει αὐτῷ, καὶ λοιπὸν πάντες συγγενεῖς, τέκνα, δοῦλοι, φίλοι εἰρήνην καὶ ἀγάπην πρὸς αὐτὸν κέκτηνται. 22.1.3 τὸν αὐτὸν τρόπον καὶ ὁ ἄνθρωπος ἁμαρτήσας καὶ παραβὰς τὴν ἐντολὴν τοῦ ἐπουρανίου καὶ ἀληθινοῦ δεσπότου καὶ φυγὰς γενόμενος τῆς ἀγαθότητος αὐτοῦ διὰ τὸ προσλαβεῖν αὐτὸν ἐν τῇ ἑαυτοῦ ψυχῇ πάθη ἀτιμίας καὶ ἐπὶ τῇ πονηρίᾳ καὶ τῇ κακίᾳ τοῦ πονηροῦ πνεύματος διαγαγεῖν· εἶτα δὲ ἐπιστρέφων πρὸς τὸν ἑαυτοῦ δεσπότην καὶ παρακαλῶν ἄφεσιν ἁμαρτιῶν λαβεῖν καὶ τυχεῖν πάλιν τῆς δεσποτικῆς καὶ εἰρηνικῆς βασιλείας εἰς τὴν θύραν ἔξωθεν παραμένει, ἐπιθυμῶν καταξιωθῆναι ἰδεῖν τὸ χρηστὸν καὶ εἰρηνικὸν τοῦ ἀγαθοῦ δεσπότου πρόσωπον, καὶ ἕως οὗ οὐδέπω κατηλλάγη αὐτῷ ὁ οὐράνιος βασιλεὺς καὶ εἰς πρόσωπον τὸ ἑαυτοῦ κατηξίωσεν ἐλθεῖν αὐτόν, ἰδοὺ πάντες ἄγγελοι καὶ ἅγιοι καὶ πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν οὐκ εἰρηνεύθησαν αὐτῷ, ἀλλὰ καὶ ἔξωθεν εἰς τὴν θύραν παραμένων τῆς πρὸς κύριον ζητήσεως ἤδη εἰς τὴν διάνοιαν τοῦ 22.1.4 ἀγαθοῦ καὶ χρηστοῦ οὐρανίου πατρὸς καὶ δεσπότου ἐστίν. ἐπὰν δὲ καταλλαγῇ αὐτῷ εἰς τὸ προφανὲς καὶ εἰσαγάγῃ ἔσω τῆς θύρας τῆς ζωῆς αὐτοῦ καὶ καταξιώσῃ ὀφθῆναι τῇ ψυχῇ ἐν ἀποκαλύψει καὶ πληροφορίᾳ καὶ αὐτὴ ἡ ψυχὴ καταξιωθῇ ἰδοῦσα τὸ τοῦ φωτὸς οὐράνιον καὶ δεσποτικὸν πρόσωπον προσκυνῆσαι καὶ εἰρηνευθῆναι αὐτῷ, τότε «χαρὰ» καὶ ἀγαλλίασις «ἐν οὐρανῷ» «ἐνώπιον τῶν» ἁγίων «ἀγγέλων» γίνεται· εἰρηνεύσασα γὰρ τῷ ἑαυτῆς δεσπότῃ καὶ πᾶσι τοῖς οἰκείοις αὐτοῦ εἰρηνεύεται. 22.1.5 Καὶ γὰρ ὁ κύριος τῆς ψυχῆς τὴν πτῶσιν διηγούμενος παραβολὴν ἔφερε περὶ τοῦ νεωτέρου υἱοῦ τοῦ λαβόντος τὸ μέρος αὐτοῦ καὶ ἀπελθόντος εἰς ἀλλοτρίαν πατρίδα πρὸς κακοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ πονηροὺς δεσπότας κἀκεῖ δαπανήσαντος τὰ ὑπάρχοντα 22.1.6 αὐτῷ μετὰ πορνῶν καὶ ζῶντος ἀσώτως καὶ χοίρους βόσκοντος. ἄρτον δὲ ζωῆς λέγων ἑαυτὸν τοὺς ἐσθίοντας τὴν σάρκα αὐτοῦ καὶ πίνοντας τὸ αἷμα αὐτοῦ ζῆν εἰς αἰῶνας ἔλεγε λέγων· «ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα μένει ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ». καὶ πάλιν· «ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα» καί· «ὁ τρώγων με κἀκεῖνος ζήσεται δι' ἐμέ» καὶ πνεῦμα δὲ τῆς ἑαυτοῦ θεότητος δίδωσι τροφὴν καὶ ζωὴν ταῖς ἀξίαις ψυχαῖς. καὶ 22.1.7 γὰρ οἱ τῆς εὐχαριστίας τοῦ ἄρτου κατ' ἀλήθειαν μεταλαμβάνοντες πνεύματος ἁγίου καταξιοῦνται μέτοχοι γίνεσθαι καὶ οὕτω δύνανται εἰς αἰῶνας αἱ 22.1.8 ἅγιαι ψυχαὶ ζῆσαι. ὥσπερ δὲ ὁ πιὼν τὸν οἶνον εἰς πάντα τὰ μέλη αὐτοῦ κιρνώμενον ἔχει αὐτὸν καὶ γίνεται ὁ οἶνος ἐν αὐτῷ καὶ αὐτὸς ἐν τῷ οἴνῳ, οὕτω καὶ ὁ πίνων τὸ αἷμα τοῦ Χριστοῦ. τὸ πνεῦμα γὰρ τῆς θεότητος ποτιζόμενον κιρνᾶται ἐν τῇ τελείᾳ ψυχῇ καὶ ἡ ψυχὴ ἐν αὐτῷ καὶ οὕτως ἁγιασθεῖσα τοῦ κυρίου ἀξία καθίσταται· «πάντες, γάρ φησι, τὸ αὐτὸ πνεῦμα ἐποτίσθημεν». 22.1.9 ἐκεῖνος οὖν ἔζη ἀσώτως τὰ πάθη τῶν τῆς πονηρίας πνευμάτων ἐσθίων καὶ πίνων καὶ ἐν αὐτοῖς ζῶν καὶ ταῖς ἡδοναῖς ταῖς σαρκικαῖς τῶν παθῶν τοῦ αἰῶνος τούτου κεκρατημένος. 22.1.10 Ὥσπερ γὰρ δι' ἐνεργείας τῶν παθῶν τὸ ἐγκόσμιον πνεῦμα τῆς πλάνης τοῦ σκότους τῆς ἁμαρτίας ἐνεργεῖ ἐν τῷ φρονήματος σαρκικοῦ πεπληρωμένῳ ἀνθρώπῳ, ἐξ οὗ ἐσθίει καὶ ἐν ᾧ ζῇ, οὕτως ἐνεργείᾳ καὶ δυνάμει τὸ πνεῦμα τοῦ φωτὸς τῆς θεότητος οἰκεῖ εἰς τὸν καταξιωθέντα ἁγιασθῆναι ἄνθρωπον, ἐξ οὗ ἐσθίει καὶ ἐν ᾧ ζῇ ἡ ψυχὴ κατὰ τὸν εἰπόντα· «δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ», καὶ πάλιν· «ζῶ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός», καὶ πάλιν· «ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε», καί· «ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν», καὶ ὁ κύριος· «ἐλευσόμεθα (ἐγὼ καὶ ὁ πατήρ μου) καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». ταῦτα ἐν δυνάμει καὶ πληροφορίᾳ τοῖς 22.1.11 καταξιουμένοις γίνεται καὶ οὐχὶ ἀδήλως καὶ ἀνενεργήτως. ὁ νόμος γὰρ τὸ πρὶν λόγῳ ἀνυποστάτῳ ἐπεστρέφετο τοὺς ἀνθρώπους ζυγὸν βαρὺν ἐπιτιθεὶς καὶ μὴ δυνάμενος βοηθῆσαι αὐτοῖς διὰ τὸ τὴν δύναμιν τοῦ πνεύματος μὴ διδόναι, ἀπὸ δὲ τῆς τοῦ κυρίου παρουσίας ἡ θύρα τῆς χάριτος τοῖς πιστεύουσι ἐξ ἀληθείας 22.1.12 ἠνεῴχθη. οὗτος γὰρ ὁ λόγος δύναμιν θεοῦ καὶ ἐνέργειαν πνεύματος δίδωσι καὶ τὴν νοσοῦσαν ψυχὴν καὶ ἐν τοῖς πάθεσι κατακειμένην διὰ τῆς δυνάμεως ἀνίστησι καὶ ἐρρωμένην ἀποκαθίστησιν. ὁ λιμὸς τοίνυν ἐκείνῳ τῷ βόσκοντι χοίρους καὶ ζῶντι ἀσώτως εἰς συμφέρον γέγονε τοῦ μνησθῆναι καὶ ἐπιστραφῆναι πρὸς τὸν ἑαυτοῦ πατέρα καὶ γὰρ εἰ μὴ λιμὸς ἐγεγόνει εἰς γῆν Χαναάν, οὐκ ἂν οἱ ἀδελφοὶ πρὸς Ἰωσὴφ ἀπήρχοντο καὶ οἱ λόγοι τῶν ὁραμάτων αὐτοῦ οὐκ ἂν ἐπληροῦντοκαὶ οὗτοι γὰρ μυστήριόν τι καὶ εἰκόνα ἀπετέλουν. 22.1.13 Ὥσπερ γὰρ οἱ ἀδελφοὶ Ἰωσὴφ ἀπεστέρησαν τὸν ἴδιον ἀδελφὸν τῆς κληρονομίας τοῦ πατρός, εἰθ' ὕστερον λιμοῦ γενομένου ἐλθόντες πρὸς αὐτὸν καὶ φανέντες τῷ προσώπῳ αὐτοῦ ᾐσχύνοντο, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἡ ἀποστεροῦσα νῦν τὴν κληρονομίαν τοῦ καλοῦ Ἰωσήφ, τοῦ ἐπουρανίου βασιλέως Χριστοῦ, ἥτις κληρονομία αὐτή ἐστιν ἡ ψυχή, καὶ μὴ δοῦσα ἑαυτὴν αὐτῷ ἀπὸ τῆς ἰδίας προαιρέσεως εἰς τὴν πνευματικὴν λατρείαν, εἰς τὸ ἐνοικῆσαι ἐν αὐτῇ καὶ κληρονομῆσαι αὐτὴν καὶ βασιλεῦσαι ἐν αὐτῇ, εἰς ὕστερον ἐν τῇ ἀναστάσει καὶ τῇ ἐπιφανείᾳ ἐνδόξου αὐτοῦ παρουσίας τῆς μεγάλης λιμοῦ τῆς κρίσεως 22.1.14 ἐπελθούσης αἰσχυνθήσεται καὶ ἐντραπήσεται ἐνώπιον αὐτοῦ. τοῦτο δὲ καὶ ἐπὶ Ἰουδαίων νοεῖται τῶν σταυρωσάντων τὸν κύριον καὶ ὕστερον μελλόντων αἰσχύνεσθαι ἐν τῇ παρουσίᾳ τῆς δόξης αὐτοῦ, ἀλλὰ καὶ ἐν ἄλλῳ τρόπῳ νοητέον. εἰς διάφορα γὰρ πρόσωπα ἐστὶν ὁ λόγος. πᾶσα ψυχὴ ἡ πρὶν ἀπειθοῦσα τῷ λόγῳ καὶ ἀποστεροῦσα τῆς κληρονομίας τοῦ κυρίου τὴν ἑαυτῆς ὑπόστασιν εἰς ὕστερον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιστρέψασα καὶ δεηθεῖσα τοῦ κυρίου ἐπιφανέντος αὐτῇ διὰ τῆς χάριτος αὐτοῦ αἰσχύνεται κατὰ ποίου ἀγαθοῦ τὸ πρὶν τὴν ἐπιβουλὴν ἐποιεῖτο καὶ ἀνυπότακτος 22.1.15 ἦν τῷ τῆς ἀληθείας λόγῳ. ἀποδέχεται τοίνυν ὁ πατὴρ τὸν υἱὸν χαίρων. «οὗτος, γάρ φησιν, ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησε καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη». καὶ δίδωσιν αὐτῷ τὴν πρώτην στολὴν καὶ τὸν δακτύλιον καὶ τὸν σιτευτὸν μόσχον δι' αὐτὸν ἔθυσεν. ἀποδέχεται καὶ ὁ οὐράνιος πατὴρ χαίρων ψυχὴν τὴν ἐπιστρέφουσαν καὶ μετανοοῦσαν καὶ ἐν ἀληθείᾳ προσερχομένην αὐτῷ καὶ δίδωσιν αὐτῇ τὴν στολὴν τοῦ φωτὸς τοῦ Χριστοῦ καὶ τὸν δακτύλιον 22.1.16 τῆς σφραγίδος τοῦ ἐπουρανίου καὶ ἀγαθοῦ πνεύματος. δι' αὐτὴν γὰρ ἐτύθη καὶ ὁ καλὸς σιτευτὸς μόσχος αὐτὸς ὁ κύριος σαρκὶ παθών. «νεκρός, φησὶ γάρ, ἦν καὶ ἀνέζησε καὶ ἀπολωλὼς καὶ εὑρέθη». νεκρὸς καὶ ἀπολωλὼς ἦν τῷ ἑαυτοῦ πατρί· ἐκεῖ γὰρ ἔζη ἀσώτως καὶ ἔβοσκε χοίρους. καὶ ἡ ψυχή, ἕως οὗ ζῇ ἀσώτως μετὰ τῶν πνευμάτων τῆς πονηρίας ἀναστρεφομένη καὶ μετ' αὐτῶν διὰ τῆς ἐνεργείας τῶν παθῶν πορνεύουσα καὶ σὺν τῇ ἁμαρτίᾳ διάγουσα, νεκρὰ καὶ ἀπολωλυῖα τυγχάνει τῷ ἐπουρανίῳ καὶ ἀγαθῷ πατρί. ἐπὰν δὲ μνησθῇ καὶ ἐπιστραφῇ πρὸς αὐτὸν καὶ μετανοήσῃ, τότε «χαρὰ γίνεται» ἐν οὐρανοῖς «ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ», καὶ λαμβάνει στολὴν δόξης φωτὸς Χριστοῦ σφραγιζομένη τῷ ἐπουρανίῳ πνεύματι καὶ οὕτω ζῇ πάλιν ζωὴν πνευματικὴν πρὸς τὸν 22.1.17 ἐπουράνιον πατέρα. ἀλλ' ὥσπερ ἐκεῖ οὐκ ἦν θέλημα τοῦ πατρὸς τὸν υἱὸν αὐτοῦ ἀπολέσθαι καὶ θελήσαντος αὐτοῦ ἀπελθεῖν ἀπ' αὐτοῦ, καὶ εἰπόντος· «δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας» οὐκ ἐκώλυσεν, οὕτω καὶ ὁ θεὸς οὐκ ἤθελεν ἀπολέσθαι τὸν Ἀδάμ, καὶ θελήσαντι αὐτῷ παραβῆναι τὴν ἐντολὴν καὶ τὸ ἴδιον μέρος λαβεῖν (τουτέστι τὸν ἑαυτοῦ νοῦν καὶ τὸ θέλημα) οὐκ ἐκώλυσε, διὰ τὸ ἴδιον αὐτὸν ἔχειν θέλημα καὶ ἰδίαν ἐξουσίαν καὶ ἰδίαν γνώμην· αὐτεξούσιον 22.1.18 γὰρ αὐτὸν ἐξ ἀρχῆς ἐποίησεν ὁ θεός, ποιεῖν πᾶν ὃ βούλεται. φόβος τοίνυν καὶ ἀγάπη καὶ αἰσχύνη ἐπέστρεφον τὸν προειρημένον δοῦλον τῷ δεσπότῃ καὶ τὸν υἱὸν πρὸς τὸν ἑαυτοῦ πατέρα, καὶ ταῦτα τὰ τρία μεταξὺ αὐτῶν ἦν. οὕτω καὶ ἡ ψυχὴ φόβῳ καὶ ἀγάπῃ καὶ αἰσχύνῃ ἐὰν ἐπιστραφῇ πρὸς τὸν χρηστὸν δεσπότην αὐτῆς καὶ πατέρα, τὸν κύριον, προσδέχεται καὶ ἀπολαμβάνει αὐτήν, μὴ λογιζόμενος τὰ πρῶτα τῆς ἁμαρτίας κακά. 22.2.1 Ὅλη γὰρ ἡ ἔλευσις τοῦ κυρίου καὶ ἡ ἀγαθὴ παρουσία αὐτοῦ διὰ τὴν ψυχὴν ταύτην γεγένηται, ἵνα δωρεὰν τοῦ ἁγίου πνεύματος κοινωνήσῃ τῇ ἀνθρωπότητι καὶ τὴν ἐνέργειαν τῶν παθῶν τῆς ἁμαρτίας καὶ τὴν γεγενημένην διὰ τὴν πολλὴν πρόληψιν τῶν κακῶν συνήθειαν ἐκριζώσῃ. 22.2.2 Ὥσπέρ τινα ἀπὸ γῆς ζιζάνια ἢ ἀκάνθας ἢ τριβόλους καὶ τὸ ἴδιον αὐτοῦ πνεῦμα δωρήσηται τῇ ψυχῇ, ἵν' οὕτω ζήσασα ζωὴν πνεύματος καὶ οὐρανίαν δύναμιν ἐνδυσαμένη δυνηθῇ ποιῆσαι κατὰ ἀλήθειαν πᾶν τὸ θέλημα τοῦ θεοῦ. ὥσπερ γὰρ χωρὶς τῆς κακίας καὶ πονηρίας τῶν παθῶν οὐκ ᾔδει ἡ ψυχὴ ποιῆσαι κακόν, οὕτω χωρὶς τοῦ ἐπουρανίου καὶ ἀγαθοῦ πνεύματος οὐκ οἶδεν ἡ ψυχὴ 22.2.3 ποιῆσαι πᾶν τὸ θέλημα τοῦ θεοῦ, ἀλλ' ἔστιν ἔτι ἐκτὸς τοῦ θεοῦ. φησὶ γὰρ καὶ ὁ ἀπόστολος· «οὐδεὶς οἶδε τὰ τοῦ θεοῦ εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ», καὶ ἐπάγει· «ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν», καί· «ἡμῖν ἀπεκάλυψεν ὁ θεὸς διὰ τοῦ πνεύματος αὐτοῦ». πολλὰ γὰρ θαυμάσια καὶ σημεῖα παράδοξα ἐθεώρουν οἱ ἀπόστολοι ὑπὸ τοῦ κυρίου γινόμενα, καὶ ἐπειδὴ οὔπω εἰλήφασιν ἐκείνην τὴν ἐπουράνιον «ἐξ ὕψους δύναμιν» ἐν τῇ ἑαυτῶν ψυχῇ ἐδίσταζον, ἐσείοντο, ἐσκανδαλίζοντο, ἄλλος ἀλλαχοῦ ἔφευγον ἐπὶ τῆς τοῦ κυρίου σταυρώσεως. ὁ κύριος μόνος ἰάσατο τὴν ψυχὴν δοὺς τὸ ἅγιον πνεῦμα αὐτοῦ εἰς αὐτήν. καὶ πᾶς ὁ μὴ προσδοκῶν καὶ λαμβάνων ἐκείνην τὴν «ἐξ ὕψους δύναμιν» ἰαθῆναι τελείως ἐκ τῶν τῆς ἀτιμίας παθῶν οὐ δύναται· οὕτω γὰρ ἡ τῶν παθῶν ἀναίρεσις γενέσθαι ἠδυνήθη. 22.2.4


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Εἰ γὰρ βούλει ἀκριβῶς κατανοῆσαι τῆς ἀνθρωπίνης ἀσθενείας τὴν φύσιν καὶ τὸ εὐπερίτρεπτον ἐπὶ τὸ χεῖρον καὶ πῶς ἄνευ τῆς παρουσίας τοῦ κυρίου ἰαθῆναι ἡ ἀνθρωπότης οὐκ ἠδυνήθη, κατανόησον πόσα θαυμάσια καὶ τεράστια ἐξ ἀρχῆς ἐκδικήσεις τε καὶ φόβοι γεγόνασιν ὑπὸ τοῦ θεοῦ διὰ τὴν τῶν πονηρῶν 22.2.5 ἐπιτηδευμάτων ἐργασίαν· τοῦτο μὲν ἐπὶ Νῶε κατακλυσμός, τοῦτο δὲ διαμερισμοὶ γλωσσῶν, καταστροφαὶ πόλεων, ἐμπρησμοὶ Σοδόμων καὶ Γομόρρας, φόβοι, σεισμοὶ μεγάλοι κατὰ καιρούς, ὁμοίως λιμοί, λοιμοί. ταῦτα πάντα εἰς ἐκδίκησιν τῶν κακῶν ὑπὸ τοῦ θεοῦ τῷ γένει τῶν ἀνθρώπων ἐπήρχετο, καὶ ἐπέρχεται ἔτι καὶ νῦν πρὸς τοὺς λοιπούς, ὥστε φοβηθέντας παύσασθαι τῶν κακῶν. εἶτα ἑξῆς νόμος, προφῆται, ἱερεῖς, θυσίαι, δῶρα, προσφοραί, ἀποδεκατώσεις καὶ ἄλλα μυρία τοῦ νόμου δικαιώματα, ὁμοίως τῷ Ἰσραὴλ σημεῖα παράδοξα καὶ μεγάλα ὁ θεὸς ἐποίησε διὰ φανερῶν ὀπτασίων εὐεργεσίας αὐτοῖς παρέχων. 22.2.6 τῶν Αἰγυπτίων μαστιζομένων ἐν τῇ δεκαπλήγῳ μάστιγι αὐτοὶ ἐν ἀνέσει διῆγον, καὶ στύλῳ πυρὸς ἦσαν φωτιζόμενοι καὶ στύλῳ νεφέλης ἐπισκιαζόμενοι, καὶ θάλασσαν παρὰ τὴν ἰδίαν φύσιν διαρρηχθεῖσαν τοῖς ὀφθαλμοῖς αὐτῶν ἐθεώρησαν καὶ παρῆλθον διὰ μέσου αὐτῆς, καὶ τοὺς ἐχθροὺς αὐτῶν καταποντισθέντας ἐν αὐτῇ ἐθεάσαντο. μάννα ἐξ οὐρανοῦ φαγεῖν κατηξιώθησαν, φωνὰς θεοῦ καὶ ὀπτασίας ἐν τῷ ὄρει Σινᾶ ἤκουσαν καὶ εἶδον, καὶ ἄλλα μυρία τοιαῦτα, ἅπερ κατὰ βραχὺ ἐξαριθμήσασθαι δυσχερές. 22.2.7 Καὶ ταῦτα πάντα τὰ εὐεργετήματα παρέσχετο αὐτοῖς ὁ θεὸς καὶ ἡ ψυχὴ ἀπὸ τῆς νόσου τῶν ἀνιάτων παθῶν τῆς ἁμαρτίας οὐκ ἐθεραπεύθη οὐδὲ ἐξ ὅλης καρδίας ἠδυνήθησαν πρὸς κύριον ἐπιστρέψαι διὰ τὸ ἔχειν τὸ κάλυμμα τοῦ σκότους (τουτέστι τὰ «πάθη τῆς ἀτιμίας») ἕως οὗ ἦλθεν ὁ κύριος, θεὸς ὢν καὶ πανταχοῦ ὢν καὶ μένων ὃ ἦν, σῶμα φορέσας καὶ γεννηθεὶς καὶ αὐξηθεὶς καὶ πάσῃ πολιτείᾳ ἁγιότητος ἐν κόσμῳ ἀναστραφεὶς εἰς «ὑπόδειγμα τῶν μελλόντων» πιστεύειν, ἔπειτα ταπεινωθεὶς καὶ ῥαπισθεὶς καὶ ἀτιμασθεὶς καὶ ὀνειδισθείς, ἔσχατον δὲ σταυρωθεὶς καὶ νεκρωθεὶς καὶ ἕως ᾅδου κατελθών, καὶ ἐγερθεὶς τῇ τρίτῃ ἡμέρᾳ καὶ εἰς οὐρανοὺς ἀναληφθεὶς «διὰ τῆς δόξης τοῦ πατρὸς» καὶ καθεσθεὶς «ἐν δεξιᾷ τῆς μεγαλωσύνης» καὶ τότε ἐξαπέστειλε τὴν «ἐξ ὕψους δύναμιν» ἐν τῇ ἀνθρωπότητι τὴν ἀποκτένουσαν καὶ καταργοῦσαν τὰ τῆς 22.2.8 ψυχῆς ἀνίατα πάθη. πρῶτον δὲ τὴν «ἀπαρχὴν τοῦ» παρακλήτου «πνεύματος» εἰς τοὺς ἑαυτοῦ μαθητὰς ἐξέπεμψε καὶ δι' αὐτῶν πᾶσι τοῖς εἰς τὸν κύριον πιστεύουσιν ἡ δύναμις ἐκείνη ἐπισκιάζει καὶ καταλύουσα ἐν ταῖς ψυχαῖς αὐτῶν ἰᾶται ἐκ τῶν παθῶν τῆς ἁμαρτίας καὶ ἐκ τῆς νεκρότητος τοῦ σκότους τὴν ψυχὴν ἀνίστησιν. ἕως οὖν τότε ἡ ψυχὴ τετραυμάτιστο καὶ πεφυλάκιστο ἐν σκότει βεβλημένη ἐν μοχλοῖς σιδηροῖς καὶ πύλαις χαλκαῖς καὶ ἁμαρτίαις παθῶν ἐγκεκλεισμένη, καὶ οὐ διώδευε διὰ τῶν τρίβων τῶν λογισμῶν αὐτῆς ὁ 22.2.9 θεός. καὶ νῦν δὲ εἰς ἣν ψυχὴν οὐδέπω παραγέγονεν ὁ κύριος καὶ ἡ δύναμις τοῦ πνεύματος αὐτοῦ οὐ κατέλυσεν ἐν αὐτῇ καὶ ἔλυσεν αὐτὴν ἐκ τῶν δεσμῶν τῆς ἁμαρτίας καὶ ἐξήγαγεν ἐκ τῆς φυλακῆς τοῦ σκότους τῆς πονηρίας καὶ ἐνῴκησεν εἰς αὐτὴν ἐνεργητικῶς ἐν πάσῃ δυνάμει καὶ πληροφορίᾳ, ἔτι ἐν τῷ σκότει ἐστὶ δεδεμένη καὶ ὑπὸ τῶν παθῶν τοῦ σκότους κεκρατημένη καὶ ὑπὸ τῶν πονηρῶν λογισμῶν ἐνεργουμένη. οὓς γὰρ ὁ κύριος διὰ τὴν εἰλικρινῆ πίστιν καὶ ἀγάπην αὐτῶν τὴν πρὸς αὐτὸν τὴν ἑαυτοῦ δύναμιν τοῦ πνεύματος ἐνέδυσε, καὶ εἰς οὓς τὴν δωρεὰν τῆς οὐρανίου χάριτος ἐξέχεε, καὶ ὧν εἰς τὰ βαθύτατα τοῦ νοὸς ἡ τοῦ πνεύματος χάρις ἐνῴκησε, τούτων γίνεται ὁ κύριος ὡς ψυχὴ ὑπὸ 22.2.10 πνεύματος ἁγιασθέντων. τοσαύτη ἀγαθότης τῆς ἀρρήτου εὐδοκίας Χριστοῦ εἰς τὴν ταπεινωθεῖσαν ὑπὸ τῆς κακίας ἀνθρωπότητα γέγονεν, ὥς φησιν ὁ ἀπόστολος· «ὁ κολλώμενος τῷ κυρίῳ ἔσται εἰς ἓν πνεῦμα» καὶ ὁ κύριος· «τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γεγεννημένον ἐκ τοῦ πνεύματος ἓν πνεῦμά ἐστι», καὶ πάλιν ἀλλαχοῦ· «πάτερ 22.2.11 ὥσπερ ἐγὼ καὶ σὺ ἕν ἐσμεν, οὕτω καὶ οὗτοι ἵνα ἐν ἡμῖν ἓν ὦσιν». εἰ γὰρ μετὰ τῆς πονηρίας τῶν παθῶν οὖσα ἡ ψυχὴ ἓν ἦν μετ' αὐτῆςκἂν γὰρ εἶχεν ἴδιον θέλημα, ἀλλ' οὐκ ἠδύνατο ποιεῖν ὃ ἤθελε καθώς φησιν ὁ ἀπόστολος «ὃ οὐ θέλω τοῦτο ποιῶ»διὰ τὸ πεπρᾶσθαι καὶ δούλην εἶναι καὶ ζυγὸν βαρὺν βαστάζειν ἁμαρτίας παθῶν, εἰ οὖν ἐκείνη οὕτως, πόσῳ μᾶλλον ἡ δύναμις τῆς θεότητος οἰκήσασα ἐν τῇ ἁγιασθείσῃ ψυχῇ, τῇ ἀξίᾳ τοῦ κυρίου γενομένῃ, ἑνοῦται μετ' αὐτῆς, τὸ θέλημα ἑαυτῆς ἅπαν πάσῃ χαρᾷ καὶ προθυμίᾳ ἀποδούσης τῇ δυνάμει τοῦ θεϊκοῦ πνεύματος, καὶ γίνεται ἡ ψυχὴ τοῦ κυρίου διὰ τὸ ἑκουσίως καὶ προθύμως βασιλεύεσθαι ὑπὸ τῆς θείας τοῦ πνεύματος δυνάμεως καὶ 22.2.12 ἰδίῳ θελήματι μηκέτι αὐτὴν πορεύεσθαι. ὥσπερ γὰρ ὁ ἥλιος καὶ ὁ ἄνεμος κέκρανται ἐν ἀλλήλοις, οὕτως ἀνακιρνᾶται ἡ ἀξία ψυχὴ μετὰ τοῦ πνεύματος τοῦ κυρίου, ὅλη ἐξ ὅλου ἐν τῷ πνεύματι γινομένη διὰ τὸ σύμφωνον εἶναι τὴν ψυχὴν ἐν πάσαις ἀρεταῖς τῇ χάριτι τοῦ κυρίου. «τίς, γάρ φησιν, ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ» (τουτέστι τὴν ἑνωθεῖσαν ψυχὴν τῷ ἁγίῳ πνεύματι). 22.2.13 Παρακαλέσωμεν οὖν τὸν κύριον καὶ ἡμεῖς τυχεῖν τῆς ἀνεκδιηγήτου δωρεᾶς ταύτης καὶ ἐν πάσῃ «πληροφορίᾳ πίστεως» καὶ «ἐλπίδος» δέξασθαι ἐν ἑαυτοῖς προσδοκήσωμεν τὴν «ἐξ ὕψους δύναμιν» τὴν καθαίρουσαν πάντα τὰ ἐν ἡμῖν τῆς κακίας τῶν παθῶν ὀχυρώματα, ἵνα ἕως ἐν σαρκί ἐσμεν, ἁγιασθέντες ὑπὸ τοῦ πνεύματος, καθαρισθέντες ἀπὸ τῶν παθῶν τῆς ἁμαρτίας καὶ ἄσπιλοι καὶ ἄμωμοι διὰ τῆς χάριτος αὐτοῦ καταρτισθέντες ἄξιοι τῆς αἰωνίου κληρονομίας γενώμεθα ἐν Χριστῷ Ἰησοῦ, τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 23.τ.1 ΛΟΓΟΣ ΚΓ΄.

23.1.1 Ὁ θεὸς τῇ ἰδίᾳ σοφίᾳ τῷ σώματι τούτῳ ὑποστηρίγματα (τουτέστι τροφάς) ἐκ τῆς γῆς κατεσκεύασε, καὶ πᾶσαν πρόνοιαν τῆς κτίσεως ποιεῖται δι' αὐτὸ τὸ σῶμα, ὅπως μηδὲν ἐλλείπῃ αὐτῷ. ἐπὰν δὲ ἐν καχεξίᾳ ἢ ἀσθενείᾳ τυγχάνῃ, λύπη τοῖς συγγενέσι πολλή ἐστιν, ὅτι διὰ τῶν ὑποστηριγμάτων, ὧν ὁ θεὸς 23.1.2 αὐτῷ κατεσκεύασε, μὴ τρεφόμενον κινδυνεύει τοῦ θανεῖν. καὶ γὰρ γονεῖς γεννῶντες τέκνα πᾶσαν σπουδὴν ἔχουσιν, ἵνα τὰ γεννήματα αὐτῶν ἀπολαύωσι τῶν καρπῶν τοῦ οἴκου αὐτῶν καὶ τῶν πόνων αὐτῶν. ἐπὰν δὲ συμβῇ κατὰ κάκωσιν ἢ νωθείαν ἢ καχεξίαν μὴ ἐπιδέχεσθαι τροφήν, πολλὴν λύπην οἱ γονεῖς ἀναδέχονταιτοῦτο γὰρ αὐτῶν ἐστι θέλημα, ὅπως τοὺς πόνους τῶν 23.1.3 καρπῶν αὐτῶν ἀπολαύωσι. τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ κύριος ἐξ οὐρανοῦ ἐλθὼν διὰ τοῦτο ἀνέλαβε τὴν σάρκα τῆς ἀνθρωπότητος, καὶ ὅλη ἡ ἔλευσις καὶ ἡ σπουδὴ αὐτοῦ εἰς τοῦτο γέγονεν, ἵνα ὑποστηρίγματα καὶ τροφὰς ἐπουρανίους ἐκ τοῦ ἰδίου πνεύματος παράσχῃ τῇ ψυχῇσκιὰ γὰρ τυγχάνει πάντα τὰ φαινόμενα τῶν ἀοράτων. 23.1.4 Ὥσπερ γὰρ σωματικῶς τρέφεται τὸ σῶμα τροφὴν ἐκ τῆς γῆς καὶ ζῇ, οὕτω καὶ πνευματικῶς τρέφεται ἡ ἀξία καὶ πιστὴ ψυχὴ τροφὰς οὐρανίους ἐκ τοῦ πνεύματος τοῦ θεϊκοῦ καὶ ζῇ ζωὴν πνευματικήν. ἐὰν δὲ μὴ δυνηθῇ διὰ τὴν πρὸς τὰ πάθη ὁρμὴν καὶ τὴν εἰς τὰ χείρονα ῥοπὴν ὑποδέξασθαι ἡ ψυχὴ ἐκείνη τὴν ἔνθεον καὶ πνευματικὴν βρῶσιν ἢ διὰ νοὸς ἀσθένειαν ἢ κακοήθειάν τινα ἢ ἀπιστίαν, πολλὴν λύπην ἀναδέχεται ὁ Χριστὸς πολλὰ παθὼν δι' αὐτήν, ὅπως 23.1.5 ἐπουράνιον τροφὴν τοῦ πνεύματος παράσχῃ αὐτῇ. ὥσπερ γὰρ τὸ σῶμα μὴ μεταλαμβάνον τροφῆς ἐκ τῆς γῆς νεκροῦται καὶ ἀπόλλυται, οὕτω καὶ ἡ ψυχὴ ἐσθίουσα τὸν ἐπουράνιον ἄρτον νεκρὰ τυγχάνει καὶ ἀπόλλυται ἐκ τῆς θεϊκῆς τοῦ πνεύματος ζωῆς. 23.1.6 Καὶ γὰρ καὶ τοῦ σώματος αὐτός ἐστιν ὁ πρόνοιαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ποιούμενος διὰ τῆς οἰκονομίας τῆς ὁρωμένης κτίσεως· ἐλλείψαντος γὰρ ἄρτου ἐν τῇ ἐρήμῳ πολλοῦ ὄχλου ὄντος τῇ χρηστότητι αὐτοῦ ὁ κύριος ἀπὸ πέντε ἄρτων ἐπλήθυνεν, ὡς πάντας ἐμπλησθῆναι καὶ πολλὰ περισσευθῆναι εὐτρεπίζει γὰρ τῷ σώματι τροφὴν καὶ ἀναπαύει αὐτό, ἵνα ἀξίους καρποὺς ἀποδῷ τῷ κυρίῳ ἡ ψυχή. 23.1.7 ὥσπερ γὰρ ἐπὶ τῶν δένδρων τῶν ἐλαιῶν ἢ τῆς ἀμπέλου ἢ τῶν λοιπῶν καρποφόρων φυτῶν πρὸ τοῦ τὸν καρπὸν ἐνεγκεῖν εἰς βρῶσιν κάμνουσιν εἰς αὐτὰ οἱ γεωργοὶ πάσῃ ἐπιμελείᾳ φιλοκαλοῦντες, ἀκμὴν δὲ ὡς εἰπεῖν ἄκαρπα ξύλα ἐστὶ νεόφυτα ὄντα, ἀλλὰ μακροθυμησάντων εἰς αὐτὰ καὶ πᾶσαν ἐπιμέλειαν ποιουμένων, ἐν τῷ ἰδίῳ καιρῷ δι' αὐτῶν ἔνδοθεν καρπὸς εἰς βρῶσιν τοῖς ἀνθρώποις 23.1.8 προέρχεταιτὸν αὐτὸν τρόπον καὶ ὁ κύριος πᾶσαν ἐπιμέλειαν ποιεῖται τοῦ σώματος καὶ πᾶσαν πρόνοιαν διὰ τῆς ὁρωμένης κτίσεως εἰς ἀνάπαυσιν αὐτοῦ, ἵνα ἡ ἔνδοθεν κρυπτὴ καὶ αὐτεξούσιος οὖσα ψυχὴ ἀξίους καρποὺς δικαιοσύνης ἐκ προαιρέσεως ἀποδῷ τῷ θεῷ. «πολλὴν» γὰρ ἔχουσι «παρρησίαν» καὶ δόξαν οἱ ἀληθινοὶ Χριστιανοὶ ἐπὶ θεοῦ, οἱ ἰδίῳ θελήματι ἐξ ἀληθείας θεῷ εὐαρεστήσαντες καὶ διὰ τῆς χάριτος αὐτοῦ μεγίστην παρρησίαν κτησάμενοι. 23.1.9 Ὥσπερ γὰρ οἱ ἐπὶ γῆς ἄρχοντες τὰς εἰκόνας τοῦ βασιλέως λαμβάνοντες ὑπ' ἐξουσίαν ἔχουσι πάντας τοὺς οἰκήτορας τῶν χωρῶν, καὶ πᾶς ὁ δῆμος διὰ τὰς τοῦ βασιλέως εἰκόνας ἐν ὑποταγῇ αὐτοῖς ἐστι, καὶ ὅταν προέρχωνται, εἰσὶν οἱ προτρέχοντες καὶ πάντας διωθούμενοι, ὅπως ἐν πολλῷ ἀξιώματι καὶ τιμῇ 23.1.10 μεγάλῃ ἀνεμποδίστως καὶ ἀνυβρίστως διοδεύσωσινοὕτω καὶ ψυχαὶ αἱ τὴν ἔνδοξον καὶ ἐπουράνιον καὶ φωτεινὴν τοῦ κυρίου εἰκόνα ἐν ἑαυταῖς φέρουσαι πάντα τὰ ἐναντία πνεύματα ἐν ὑποταγῇ τιθέασιν ὑπὸ τοὺς πόδας αὐτῶν ὑπο23.1.11 τασσόμενα καὶ πολλὴν τιμὴν καὶ παρρησίαν παρὰ τοῖς ἄνω κέκτηνται. ὅπου γὰρ τὸ τοῦ θεοῦ ἅγιον καὶ δεσποτικὸν πνεῦμα ἐνεργεῖ καὶ ἐνοικεῖ, ἀναγκαίως πᾶσα ἡ κτίσις τὴν ὑπακοὴν ἀποπληροῖ διὰ τὴν ἐπουράνιον καὶ δεσποτικὴν καὶ βασιλικὴν τοῦ πνεύματος εἰκόνα. 23.1.12 Εἰ γὰρ ἐν τῷ Ἰσραὴλ τοῦ πνεύματος μερικῶς εἰς αὐτοὺς διακονοῦντος καὶ μερικήν τινα δικαιοσύνην ἐπιτελοῦντος πάντα ὑπετάσσετο θελήματι θεοῦ θάλασσα γὰρ διεμερίζετο τιμῶσα τὸν δεσπότην καὶ ὁδὸς ἐν μέσῳ αὐτῆς ἐγίνετο, ὁμοίως δὲ καὶ ἐν τοῖς τρισὶ παισὶ τὸ πῦρ τὴν ἰδίαν καυστικὴν φύσιν ἐπεῖχε τιμῶν τοὺς θεοῦ ἀξίους, καὶ ἄγριοι λέοντες ἐπέσχον τὴν ἑαυτῶν θανατικὴν ὁρμὴν μηδὲν τὸν ἅγιον Δανιὴλ βλάψαντες, καὶ αὐτὰ τὰ πετεινὰ διηκόνουν τοῖς τοῦ θεοῦ ἀξίοις τροφὴν κομίζονταπόσῳ μᾶλλον ὅταν ἡ ἱερὰ καὶ ἔνθεος τοῦ θεοῦ εἰκὼν ἐνζωγραφηθῇ καὶ ἐντυπωθῇ εἰς τὴν ἀξίαν καὶ πιστὴν καρδίαν, τὰ 23.1.13 πάντα τιμᾷ καὶ ὑπακούει. καὶ γὰρ ἡ θάλασσα τοῦ σκότους τῆς πικρίας τῶν πονηρῶν πνευμάτων τοῦ ἀέρος τούτου διαμερίζεται ἀπέμπροσθεν αὐτῶν, ὥστε ἀνεμποδίστως τὴν ψυχὴν εἰς οὐρανοὺς διοδεύειν καὶ τείχη σιδηρὰ καὶ ὀχυρώματα καὶ μοχλοὶ ἀόρατοι διαρρήγνυνται καὶ καθαιροῦνται ὑπὸ τῆς δυνάμεως τοῦ πνεύματος («λογισμοὺς, γάρ φησι, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ») καὶ τὸ ἔνδον τῆς κακίας τῶν παθῶν πῦρ σβεννύμενον ἀεργὲς καὶ ἄτονον ἀποδείκνυται καὶ οἱ ἄγριοι θῆρες τῶν πνευματικῶν τῆς πονηρίας λεόντων ὑπὸ τοὺς πόδας αὐτῶν ὑπόκεινται. πᾶσα γὰρ ἡ κτίσις πρὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως ὑπ' αὐτοῦ ἐβασιλεύετο. 23.2.1 Ἀλλὰ καὶ ὑμεῖς, ἀγαπητοὶ ἀδελφοί, ἐὰν ἐμμείνητε νῦν ἐν τῷ λόγῳ τῆς ἀληθείας καὶ τῇ πτωχείᾳ καὶ τῷ ταπεινῷ φρονήματι καὶ πάσαις ταῖς τῶν ἐντολῶν ἀρεταῖς, νυκτὸς καὶ ἡμέρας κρούοντες εἰς τὴν πνευματικὴν θύραν τοῦ ἐπουρανίου βασιλέως καὶ ἐκεῖθεν πάντα τὰ ἀγαθὰ ζητοῦντες οὐδενὸς ὑστερη23.2.2 θήσεσθε, ἀλλὰ πάντα ὅσα ζητεῖτε ἀφθόνως ὑμῖν ὁ κύριος χαρίζεται. ὃν τρόπον εἰ οἱ ἑστῶτες εἰς τὴν θύραν τοῦ ἐπιγείου βασιλέως καὶ δόματα ζητοῦντες ἤ τινα ἕτερα αἰτήματα ἐν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μακροθυμίᾳ καὶ ὑπομονῇ οὐ στεροῦνται ὧν ἐπιθυμοῦσι, πόσῳ μᾶλλον ἡμεῖς εἰς τὴν θύραν τοῦ ἐπουρανίου καὶ εὐσπλάγχνου καὶ ἀληθινοῦ βασιλέως ἑστῶτες μετὰ πάσης μακροθυμίας ἐν πάσῃ ὑπομονῇ μετὰ πίστεως καὶ ἐλπίδος καὶ ἐν πληροφορίᾳ ζητοῦντες παρ' αὐτοῦ τὰ ἐπουράνια τοῦ 23.2.3 πνεύματος χαρίσματα ληψόμεθα τὰ αἰτήματα ἡμῶν. καθὼς καὶ ὁ κύριος ἐνετείλατο λέγων· «αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν», καὶ διεξελθὼν ἐπάγει· «εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν», καὶ πάλιν· «ὁ καταλιπὼν πατέρα ἢ μητέρα ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἕνεκεν ἐμοῦ ἑκατονταπλασίονα λήψεται 23.2.4 ἐν τῷ αἰῶνι τούτῳ καὶ ζωὴν αἰώνιον κληρονομήσει». δίδωσιν οὖν τὰς κληρονομίας ὁ ἐπουράνιος βασιλεὺς (ἀληθὴς γάρ ἐστι) μόνον εἴ τις ἐν ἀγάπῃ καὶ ὑπομονῇ καὶ ἀληθείᾳ ζητεῖ αὐτόν. αὐτὸς γὰρ προτρέπεται ἕκαστον λέγων· "1ἰατρὸς ἀληθινὸς εἰμὶ ἐγώ. εἴ τις οὐκ ἔχει ὄμματα, ζητήσει παρ' ἐμοῦ καὶ λάβῃ ὀφθαλμοὺς μακαρίους ὁρῶντας τὴν ἐμὴν δόξαν, οἵτινες ἀναβλέψαντες σκοτισθή23.2.5 σονται οὐκέτι. εἴ τις κωφὸς τυγχάνει τῷ ἔσω ἀνθρώπῳ, αἰτήσει καὶ διανοιγήσεται αὐτοῦ τὰ ὦτα, ἅπερ διανοιγέντα οὐκέτι εἰς τοὺς αἰῶνας κωφωθήσονται. εἴ τις χωλὸς ὑπάρχει, ζητήσει παρ' ἐμοῦ πόδας πνευματικοὺς περιπατοῦντας εἰς τὴν γῆν τῶν ζώντων. εἴ τις ὅπλα οὐκ ἔχει, παρ' ἐμοῦ ζητήσει, ἵνα ἐνδυσάμενος ὑπὸ τῶν πολεμίων μὴ ἀδικηθῇ. καὶ πᾶν ὅ τις παρ' ἐμοῦ ζητεῖ, ἐγὼ δίδωμι. πάντα γὰρ παρ' ἐμοὶ πεπλήρωται καὶ ὑστερεῖ παρ' ἐμοὶ οὐδέν."2 23.2.6 ἑστῶτες τοίνυν ἐν τῇ βασιλικῇ θύρᾳ πάντοτε καὶ αἰτοῦντες πνευματικὰς δωρεὰς οὐδενὸς ὧν χρῄζετε ὑστερηθήσεσθε, καὶ πάντα τὰ κτίσματα συγχαίρει ὑμῖν καὶ συναγάλλεται τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια, ὑμῶν πρὸς τὸν δεσπότην καὶ πατέρα προσκολλωμένων καὶ τὸ θέλημα αὐτοῦ ποιεῖν μόνον ἐπιθυμούντων. 23.2.7 Πάντοτε τοίνυν τὸν ἀγῶνα ἔχετε «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας» πᾶσι τοῖς πάθεσι ἀνταγωνιζόμενοι καὶ πᾶσαν κακίαν ἀποστρεφόμενοι τὰ παρὰ τοῦ κυρίου τε ὅπλα ἐνδυόμενοι δι' αὐτῶν τὴν νίκην τῶν ἐναντίων ποιῆσαι δύνασθε. 23.2.8 ἰδοὺ γὰρ ὡς ἐν τοῖς ὁρωμένοις ὁ βασιλεὺς τιμᾷ τοὺς πολεμιστὰς καὶ ἀγωνιστὰς καὶ τούτοις δίδωσιν ἐνδύματα καὶ ὅπλα ἐνδύει αὐτοὺς καὶ εἰσάγει πρῶτον εἰς γυμνασίαν τοῦ πολέμου, ὅπως παιδευθῶσιν, ἵνα ἐν τῷ καιρῷ τοῦ πολέμου δόκιμοι ἀποδειχθῶσιν, οὕτω καὶ ὁ κύριος τοὺς ἱσταμένους καὶ ἀγωνιζομένους εἰς τὸν «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας» πόλεμον ἐκτρέφει ἄρτῳ ἐπουρανίῳ καὶ ἐλαίῳ ἀγαλλιάσεως πνευματικῷ ἀλείφει καὶ καθαροῖς πνευματικοῖς ὕδασιν ἀποσμήχει καὶ ἀποπλύνει ἐξ αὐτῶν πάντα ῥύπον παθῶν ἁμαρτίας καὶ δίδωσιν αὐτοῖς ἐπουράνια ὅπλα τοῦ πνεύματος καὶ ἐνδύματα φωτὸς θεϊκοῦ, ὅπως εἰσελθόντες πρὸς τὸν πνευματικὸν τῆς πονηρίας πόλεμον ἐπαινεθῶσι καὶ τὴν 23.2.9 νίκην ἀράμενοι στεφανωθῶσι. τούτοις δίδωσι καὶ κληρονομίας ἐπουρανίους. οἱ τοιοῦτοι δῆλον ὅτι ἐκ θεοῦ γεννῶνται, καὶ δίδοται αὐτοῖς ἄλλη πόλις ἐπουράνιος καὶ καταξιοῦνται ἀδελφοὶ τοῦ Χριστοῦ γενέσθαι καὶ κληρονόμοι τοῦ πατρός. 23.2.10 Ὥσπερ γὰρ ὁ καύσων τοῦ ἡλίου ἐπιλάμπων τοῖς φύμασι τοῦ σπόρου τὰ μὲν εἰς τὴν πετρώδη γῆν σπαρέντα εὐθὺς ξηραίνει μὴ ἔχοντα νοτίαν μηδὲ βάθος γῆς, τὰ δὲ ἐν καλῇ καὶ ἐν βαθείᾳ γῇ ἐσπαρμένα οὐ βλάπτεται (ἐρρίζωνται γὰρ ἐν αὐτῇ κατὰ βάθος), οὕτω καὶ οἱ τεθεμελιωμένοι ἰσχυρῶς ἐν τῇ πίονι γῇ, τῇ ἀγαθῇ προαιρέσει καὶ τῇ πίστει τῇ ὀρθῇ καὶ τῇ χάριτι τοῦ θεοῦ, οὐδὲν βλαβήσονται ὑπὸ τοῦ καύσωνος τῶν πειρασμῶν, ἀλλὰ μᾶλλον ἰσχυροποιοῦνται 23.2.11 καὶ πλείονα καρπὸν ἀποδιδόασιν. οἱ τοιοῦτοι εἰσὶ τεθεμελιωμένοι εἰς τὴν ἀσάλευτον πέτραν, αὐτὸν τὸν Χριστόν. τῷ γὰρ Πέτρῳ εἶπεν ὁ κύριος· «σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μοχλοὶ ᾅδου οὐ κατισχύσουσιν αὐτῆς». οἱ γὰρ μοχλοὶ εἰς τὸ ἐκριζῶσαι καὶ ἀνατρέψαι τὸν θεμέλιον τοῦ οἴκου εἰσίν, οὕτω καὶ ὁ πονηρὸς τὰς πιστὰς καὶ τεθεμελιωμένας ψυχὰς ἐκριζοῦν ἀπὸ τοῦ θεοῦ ἐπιχειρεῖ καὶ βούλεται αὐτὰς εἰς ἑαυτὸν 23.2.12 περιτρέψαι. ὁμοίως πάλιν ὁ κύριος παρεικάζων τὸν ποιοῦντα τὰς ἐντολὰς αὐτοῦ ἀνθρώπῳ «φρονίμῳ» θεμελιοῦντι «τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν». «ἦλθον, φησίν, οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν». 23.2.13 Καὶ ἡμεῖς τοίνυν τὸν θεμέλιον τῆς καρδίας καὶ τῆς προαιρέσεως ἡμῶν ἐπὶ τὴν ἀσάλευτον τοῦ Χριστοῦ πέτραν θεμελιώσωμεν, ὅπως δι' αὐτοῦ ἰσχυροποιούμενοι καὶ ἐνδυναμούμενοι καὶ στερεοὶ καὶ δόκιμοι πρὸς τοὺς ἐπεγειρομένους ἡμῖν πειρασμοὺς εὑρεθέντες καὶ νικηταὶ ἀποδειχθέντες τῶν ἐπουρανίων ἀγαθῶν ἄξιοι γενώμεθα σὺν Χριστῷ ἀπολαῦσαι εἰς τοὺς ἀπεράντους αἰῶνας. Ἀμήν.

## 24.τ.1 ΛΟΓΟΣ ΚΔ΄.

24.1.1 Περὶ τοῦ πῶς δεῖ πάσας τὰς γραφὰς πνευματικῶς ἀναλαμβάνειν πρὸς τὴν ὠφέλειαν τῆς ψυχῆς ἡμῶν, δι' ἣν πάντα ἐγράφη, καὶ μηδὲν σαρκικὸν ἢ Ἰουδαϊκὸν ἐννοεῖν. 24.1.2 Ὁ γὰρ ἀπόστολος φησίν· «ταῦτα πάντα τυπικῶς συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν». εἰ οὖν δι' ἡμᾶς ἐγράφη, πνευματικῶς πάντα ὀφείλομεν ἀναλαμβάνειν καὶ μηδὲν Ἰουδαϊκὸν ἢ σαρκικόν. ὁ γὰρ ἀπόστολος φησίν· «ὁ νόμος πνευματικός ἐστιν». 24.1.3 εἴτε οὖν περὶ πολέμων διαφόρων ἐγράφη, μυστηριωδῶς ἐγράφη διὰ τοὺς νῦν πολέμους τοὺς ἀοράτους τῶν πνευμάτων τῆς πονηρίας πρὸς τὴν ψυχὴν γινομένους, εἴτε περὶ ἱστοριῶν τινῶν διὰ τὰ νῦν γινόμενα μυστήρια τῇ ψυχῇ ἐλέχθη, εἴτε λόγους ἄλλους πολλοὺς ἐλάλησεν ἐν ταῖς γραφαῖς τὸ πνεῦμα τὸ ἅγιον (ὡς 24.1.4 περὶ πόλεων ἢ ἄλλων τινῶν πραγμάτων). πάντα διὰ τὰ νῦν μυστήρια τὰ ἐν τῇ ψυχῇ γινόμενα ἐγράφη, κἂν ἐγένετο τότε εἰς τὸ φανερὸν ἀληθῶς, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον ἀφορμὰς λαμβάνον ἀπὸ τῶν φαινομένων πάντων καὶ τῶν γενομένων τότε ἐλάλησε περὶ τῶν νῦν μελλόντων τῇ ψυχῇ συμβαίνειν. 24.1.5 Πάντα οὖν ὅσα ἐγράφη, ὡς προείρηται, εἰς ἡμετέραν ὠφέλειαν πνευματικῶς ἐγράφη. οἷον περὶ τοῦ Χριστοῦ προμηνύων ὁ θεὸς βασιλέα αὐτὸν ἀναστήσειν τῷ Ἰσραὴλ ἐπηγγείλατο δοῦναι «τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ Δαβὶδ» καὶ οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ εἰς τοὺς αἰῶνας, «καὶ τῆς βασιλείας αὐτοῦ» φησι μὴ εἶναι «τέλος» καὶ κατακυριεύσειν ἀπὸ περάτων ἕως περάτων, καὶ ἁπλῶς λυτρωτὴν καὶ βασιλέα καὶ ἐξουσιαστὴν τοῦ λαοῦ Ἰσραὴλ ἐπηγγείλατο ἀνιστᾶν 24.1.6 καὶ ἰδοὺ θεωροῦμεν ἐν τοῖς φαινομένοις, ὅτι οὐδὲν τούτων γέγονεν. οὔτε γὰρ ἐβασίλευσεν ὁ Χριστὸς ἐν τῷ φανερῷ τῆς Ἱερουσαλὴμ οὔτε ᾠκοδόμησεν αὐτήν, ἀλλὰ τοὐναντίον ὁ κηρυχθεὶς βασιλεὺς σταυρῷ τετιμώρηται, καὶ οὗ «τῆς βασιλείας (φησὶν) οὐκ ἔσται τέλος» οὔτε ἦρξεν ἐν τοῖς φαινομένοις οὔτε ἐλυτρώσατο τὸν Ἰσραὴλ οὔτε ἐκάθισεν εἰς τὸν θρόνον Δαβίδ, ἀλλὰ τοὐναντίον, ὡς προείρηται, καὶ ἐνεπτύσθη καὶ ἠτιμάσθη καὶ ἐκολαφίσθη καὶ ἐσταυρώθη 24.1.7 οὗτος ὁ προσδοκώμενος βασιλεύς. τί οὖν; ἡ προφητεία ἀεργὴς καὶ ὁ λόγος τοῦ θεοῦ ψευδής; ἰδοὺ γὰρ ἐν τοῖς φαινομένοις οὐδὲν τούτων γέγονεν, εἰ μὴ ὅτι πνευματικῶς καὶ μυστικῶς ἐλάλησε διὰ τῶν ἁγίων ὁ θεὸς καὶ πνευ24.1.8 ματικῶς καὶ ἐξ ἀληθείας ἐγένετο καὶ γίνεται. ἦλθε γὰρ λυτρωτὴς ὁ κύριος, ἀληθινὸς βασιλεὺς τοῦ Ἰσραήλ, τουτέστι τῆς ψυχῆς τῆς ὑπὸ τοὺς πολεμίους καὶ δεινοὺς ἄρχοντας τῆς πονηρίας πεσούσης καὶ ὑπὸ τὴν βασιλείαν καὶ ἐξουσίαν τοῦ σκότους τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἁμαρτίας κατενεχθείσης ἀπὸ τῆς τοῦ πρώτου ἀνθρώπου παραβάσεως, ἦλθεν ὁ Χριστὸς λυτρώσασθαι αὐτήν, ἦλθεν ὁ βασιλεὺς ὁ ἐπαγγελθεὶς οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὴν σκηνὴν Δαβὶδ τὴν πεπτω24.1.9 κυῖαν, τουτέστιν αὐτὴν τὴν ψυχὴν ἐμπεσοῦσαν εἰς κακίαν παθῶν. ἦλθε συναγαγεῖν πάντα τὸν Ἰσραήλ, ἤτοι αὐτῆς τῆς ψυχῆς τοὺς τῆς καθαρᾶς φύσεως λογισμοὺς πάντας τοὺς ἐσκορπισμένους ὑπὸ τῆς πονηρίας ἐν τῷ αἰῶνι τούτῳ ἤτοι τοὺς τῆς ἄνω Ἱερουσαλὴμ ἁγίους. ἦλθε καὶ ἐκαθέσθη εἰς τὸν θρόνον αὐτοῦ, τὸν ἄνθρωπον, καὶ ἐβασίλευσε τῆς Ἱερουσαλήμ, τῆς ψυχῆς, εἰς τοὺς 24.1.10 αἰῶνας»καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔστι τέλος». πᾶσαν γὰρ ψυχήν, ἣν ἐλυτρώσατο ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν αὐτοῦ καὶ ἐκαθέσθη ἐν αὐτῇ καὶ ἐβασίλευσε τῆς ἀληθινῆς Ἱερουσαλήμ, αὐτῆς τῆς ψυχῆς, καὶ τοῦ ἀληθινοῦ Ἰσραήλ, αὐτοῦ τοῦ ἀνθρώπου, καὶ ἣν ψυχὴν ἠλευθέρωσεν ἀπὸ τῆς ἁμαρτίας εἰς τοὺς αἰῶνας, ἐν αὐτῇ βασιλεύει καὶ κατοικεῖ «καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔστι τέλος». 24.1.11 Περὶ τούτων τῶν μυστηρίων ἔλεγον οἱ προφῆται καὶ περὶ τῆς λυτρώσεως βασιλείας αὐτοῦ οὐκ ἔστι τέλος». 24.1.11 Περὶ τούτων τῶν μυστηρίων ἔλεγον οἱ προφῆται καὶ περὶ τῆς λυτρώσεως ταύτης προέλεγον καὶ περὶ ταύτης τῆς βασιλείας καὶ ταύτης τῆς Ἱερουσαλὴμ καὶ τούτου τοῦ θρόνου, ὡς ἐξ αὐτῶν τῶν πραγμάτων ἀπεδείξαμεν, καὶ ἀληθῶς ἐπληρώθησαν πᾶσαι αἱ γραφαὶ τῶν ἁγίων προφητῶν· ἐξ ἀληθείας γὰρ ἐλθὼν ὁ βασιλεὺς Χριστὸς ἐλυτρώσατο τὴν Ἱερουσαλήμ, τουτέστι τὴν ψυχήν, ἀπὸ τῶν ἐχθρῶν αὐτῆς καὶ τῶν καταδυναστευσάντων καὶ τῶν τυραννησάντων αὐτὴν ἐν τῇ πονηρίᾳ τοῦ σκότους, «καθεῖλε τοὺς δυνάστας ἀπὸ τῶν θρόνων καὶ ὕψωσε» τὴν τεταπεινωμένην ψυχὴν καὶ ἐβασίλευσε Χριστὸς ἐν αὐτῇ καὶ θρόνον αὐτὴν αἰώνιον ἑαυτῷ κατεσκεύασε «καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔστι τέλος». ἐλυτρώσατο γὰρ τὸν Ἰσραηλιτικὸν ἄνθρωπον, τὸν κατ' εἰκόνα αὐτοῦ 24.1.12 κτισθέντα, καὶ οὕτως ἐπληρώθη ἐξ ἀληθείας ὁ λόγος τοῦ θεοῦ. εἰ δὲ ἐν τῷ φανερῷ ὡς ὁρῶμεν τούτων οὐδὲν γεγένηται καὶ ἐν τῷ κρυπτῷ εἰς τὴν ψυχὴν ἐξ ἀληθείας οὐ γίνεται, ποῦ ὁ ἀληθὴς λόγος τοῦ θεοῦ, ποῦ τὰ ῥήματα τοῦ πνεύματος ἐπληρώθησαν; ἆρα μάταια τὰ προαγγελθέντα πάντα καὶ οἱ προφῆται ψευσταί; μὴ γένοιτο. ποῦ οὖν ἐβασίλευσεν ὁ Χριστός, ἰδοὺ γὰρ ἐν τῷ φανερῷ οὐκ ἐβασίλευσε δῆλον ὅτι τὴν καθαρὰν ψυχὴν θρόνον ἑαυτῷ κατεσκεύασε καὶ ποῦ συνήγαγε καὶ ἐλυτρώσατο τὸν Ἰσραήλ; δῆλον ὅτι τὸν ἄνθρωπον ἀπὸ τῶν ἐχθρῶν τῶν δεινῶν ἐλυτρώσατο καὶ συνήγαγεν αὐτὸν σκορπισθέντα. 24.1.13 Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν θεόν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἀληθινὸν βασιλέα, ἵνα καὶ ἡμᾶς λυτρώσηται ἀπὸ τῶν ἐχθρῶν ἡμῶν καὶ βασιλεύσῃ ἐν ἡμῖν, ῥυόμενος ἡμᾶς ἐκ τῆς βασιλείας τῆς ἁμαρτίας, καὶ καθεσθῇ ἐν τῷ θρόνῳ τῆς ψυχῆς ἡμῶν εἰς τοὺς αἰῶνας καὶ ἐνοικοδομήσῃ καὶ ἀνακτήσηται καὶ ἀνακαινίσῃ τὰ νοήματα ἡμῶν, καινὴν καὶ ἐπουράνιον Ἱερουσαλὴμ ποιήσας ἡμᾶς καὶ γεννήσας ἡμᾶς ἐκ τοῦ πνεύματος αὐτοῦ, ἵνα ἐνοικήσῃ καὶ ἐμπεριπατήσῃ ἐν ἡμῖν κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ εἰς ἅπαντας τοὺς αἰῶνας, ὅτι πᾶσι τοῖς πιστεύουσιν αὐτῷ ἐξ ἀληθείας καὶ ἐλπίζουσι καὶ αἰτοῦσι καὶ δεομένοις αὐτοῦ καὶ προσδοκῶσι ποιεῖ τὴν λύτρωσιν ταύτην νῦν καὶ βασιλεύει ἐν πάσῃ αἰσθήσει καὶ ἐνεργείᾳ πληροφορίας ἐν αὐτοῖς ἐν ἀληθείᾳ εἰς τοὺς αἰῶνας. 24.1.14 καὶ οὕτως ἀπὸ τοῦ νῦν βασιλεύοντος Χριστοῦ ἐν ἡμῖν τὰ ἐνέχυρα καὶ τοὺς ἀρραβῶνας τῆς βασιλείας λαβόντες νῦν τὸν φωτισμὸν τοῦ Χριστοῦ ἐν τῇ ψυχῇ ἡμῶν γινόμενον, τότε ἐν τῇ ἀναστάσει ἀναστήσονται τὰ σώματα ἡμῶν τῆς ψυχῆς ἀπὸ τοῦ νῦν ἐγερθείσης ἐκ τῆς νεκρώσεως τῶν παθῶν τῆς ἁμαρτίας, καὶ συνδοξασθήσονται τῇ ψυχῇ ἀπὸ τοῦ νῦν φωτιζομένῃ ὑπὸ τοῦ ἀληθινοῦ καὶ ἀρρήτου φωτὸς τοῦ Χριστοῦ, καὶ οὕτω συμβασιλεύσομεν αὐτῷ ἐν ἀναπαύσει ἀνεκλαλήτῳ εἰς τοὺς ἀπεράντους αἰῶνας


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναπαυόμενοι. 24.1.15 Δόξα τῇ εὐσπλαγχνίᾳ αὐτοῦ καὶ τῷ ἀπείρῳ αὐτοῦ ἐλέει, ὅτι οὕτως ἠγάπησε τὸ γένος τῶν ἀνθρώπων, καταξιῶν ἡμᾶς τῆς αὐτοῦ βασιλείας εἰς τοὺς αἰῶνας. Ἀμήν.

25.τ.1 ΛΟΓΟΣ ΚΕ΄.

25.1.1 Ὥσπερ ἐὰν ᾖ ἅρμα ὑπὸ ἡμιόνων ἑλκόμενον, χρὴ δὲ τὸν ἡνίοχον τὰ λῶρα κατέχοντα ἕκαστον ζῷον ἐπιτηδείως ἄγειν πρὸς εὐθείαν καὶ τὸ βουλόμενον ἀτάκτως ἐξορμᾶν ἐπέχειν καὶ ἀναχαιτίζειν, ἵνα τὸ ἅρμα εὐθείως καὶ τεταγμένως ἐν τῇ ὁδῷ ἀπαγόμενον ἀκινδύνως εἰς τὴν πόλιν δυνηθῇ εἰσελθεῖν, οὕτως ὅλον τὸ τῆς ψυχῆς καὶ τοῦ σώματος σύγκριμα ὁ ἡνίοχος νοῦς ὑπὸ τοῦ λόγου παιδευόμενος ὀφείλει τὰ φυσικὰ τῶν λογισμῶν κινήματα κατὰ τὸ θέλημα τοῦ θεοῦ εὐθύνειν καὶ πᾶσαν κίνησιν λογισμοῦ φυσικοῦ ἀτάκτως προπηδῶσαν καὶ παρὰ τὸν εὐθῆ λόγον τρέχειν ἐθέλουσαν γενναίως ἀναχαιτίζειν, ἵν' οὕτως ὅλον τὸ τῆς ψυχῆς ἡμῶν καὶ τοῦ σώματος ἅρμα λογικῶς καὶ θελήματι θεοῦ ἐν τῇ βασιλικῇ τῶν θείων γραφῶν ὁδῷ βαῖνον εἰς τὴν ἐπουράνιον τῶν ἁγίων 25.1.2 πόλιν καταντῆσαι δυνηθῇ. ἕκαστον γὰρ φυσικῆς κινήσεως λογισμόν, εἰ τύχοι περὶ βρώσεως ἢ ποτοῦ ἢ ἐνδυμάτων ἢ περὶ παντοίων χρειῶν σωματικῶν, ἥγησαί μοι χάος εἶναί τι ἀπλήρωτον (κατὰ τῶν πλειόνων ὀρέγεσθαι) καὶ μάλιστα ὑπὸ τῆς κακίας φιληδόνως ὑποκλεπτόμενον ὡς φυσικῆς ἕνεκεν χρείας 25.1.3 ἐκπλήρωσιν. εἰ οὖν συνεπιδίδωσι καὶ συναπάγεται ὁ νοῦς ἰδίῳ θελήματι μὴ ἀναχαιτίζων τὴν τῶν λογισμῶν ἀπλήστῳ διαθέσει προπέτειαν, ὡς εἰς ἄμετρόν τινα βυθὸν καὶ χάος ἐμπίπτει καὶ πάντοτε τρέχων καὶ πονῶν περὶ τὰ σαρκικὰ καὶ εἰς αὐτὰ τὸ ὅλον ἀσχολούμενος οὐ καταφθάνει καὶ ἐκπληροῖ τὸ καλὸν διὰ τὸ ἐν σωματικαῖς ἀσχολίαις χρειῶν τὸν νοῦν ἐμπλατύνεσθαι. 25.1.4 ὀφείλει τοίνυν παντοίῳ τρόπῳ τῷ λόγῳ τοῦ θεοῦ πειθόμενος ἐπέχειν ἑαυτὸν καὶ μεμετρημένως καὶ περιεσφιγμένως τὰς σωματικὰς χρείας διοικεῖν καὶ τὸν θλιβερώτερον καὶ πενιχρώτερον ἐπιλέγεσθαι βίον, ἵν' οὕτω τὴν τοῦ σώματος ζωὴν δι' ὀλίγων χρειῶν ἐκπληρούμενοι ἐπὶ τὴν πνευματικὴν λατρείαν καὶ τὸν ἀγγελικὸν τῆς πρὸς θεὸν καρτερήσεως βίον τὸ πλέον σχολάζοντες δυνηθῶμεν τὴν ἑαυτῶν βραχύβιον ζωὴν κατὰ τὸ θέλημα τοῦ θεοῦ κυβερνήσαντες κληρονόμοι τῆς αἰωνίου ζωῆς γενέσθαι. 25.1.5 Ὥσπερ γὰρ ἐὰν ᾖ τις τραύματα ἔχων ἐν τῷ σώματι, ἑαυτὸν δὲ χρίσῃ πηλῷ ἢ βορβόρῳ, καὶ ἐρχόμενος πρὸς τὸν ἰατρὸν παρακαλῇ θεραπευθῆναι, καί φησιν αὐτῷ ὁ ἰατρός· "1εἰ βούλει θεραπευθῆναι, ἀπόπλυναι πρότερον τὸν ἐπικείμενον τοῖς τραύμασί σου πηλὸν ἤτοι βόρβορον, ἵνα πλυνθέντα φανερὰ καὶ δῆλα γένωνται, μὴ ἐπικαλυπτόμενα ὑπό τινος ῥυπαρίας, κἀγὼ ὡς ἐπίσταμαι τῇ ἐμῇ τέχνῃ θεραπεύω τὰ πεπονθότα μέλη· ἐπικειμένου γὰρ βορβόρου τοῖς τραύμασιν οὐκ ἐνεργοῦσι τὰ ἰατρικὰ φάρμακα καὶ ἀδύνατον θεραπευθῆναι."2 25.1.6 οὕτω διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως πᾶσα ψυχὴ ἀοράτως ὑπὸ τοῦ πονηροῦ διαφόροις τραύμασιν ἐτραυματίσθη καὶ διὰ τὴν ἀρχαίαν νομὴν ἐμπαθὴς κατέστη κατὰ τὴν ἀψευδῆ τοῦ κυρίου φωνὴν τὴν λέγουσαν· «ἔσωθεν γὰρ ἐκ τῆς καρδίας ἐκπορεύονται διαλογισμοὶ πονηροί», καὶ ἀπαριθμησάμενος ἐγνώρισε τὴν τῶν παθῶν ἐνέργειαν ἀοράτως ἔνδον ἐν τοῖς λογισμοῖς κινουμένην ἔξωθεν προέρχεσθαι, καὶ ὁ ἀπόστολος δὲ λέγων· «ὥσπερ γὰρ διὰ τοῦ ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν», ἐδήλωσε τὴν ἀόρατον τῶν παθῶν ἐνέργειαν καὶ ἑκάστην ψυχὴν διὰ τὴν ἀρχαίαν νομὴν τῆς κακίας τραύμασιν ἀκουσίοις συμπεπλέχθαι, ὧν ηὔχετο καὶ ὁ μακάριος Δαβὶδ ῥυσθῆναι λέγων· «ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου». 25.1.7 ταῦτα τοίνυν τὰ τραύματα ἔχουσα τῶν παθῶν ἡ ψυχὴ ἰδίᾳ προαιρέσει πάλιν ὑπὸ τῶν ἡδονῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ κόσμου δελεαζομένη ὥσπερ βορβόρῳ τινὶ ἢ πηλῷκαὶ ἐπικαλύμματι τῶν ἔνδον ἐγκεκρυμμένων παθῶνχριομένη καὶ ἑαυτὴν ἵν' οὕτως εἴπω μολύνουσα δέεται δὴ τοῦ ἐπουρανίου ἰατροῦ, θεραπευθῆναι τὰ 25.1.8 ἔνδον πάθη τῶν πονηρῶν διαλογισμῶν ἐπιθυμοῦσα. ἀλλά φησιν αὐτῇ ὁ κύριος, ὥσπερ ἐκεῖ ὁ σωματικὸς ἰατρὸς τῷ τετραυματισμένῳ ἀπόπλυναι πρότερον τὸν ἐπικείμενον τοῖς τραύμασί σου πηλόν, καὶ οὕτως ἰάσεως τυχεῖν δυνήσῃ, τουτέστιν ἀπόρριψαι, ὦ ψυχή, ὅσα διὰ τῶν σῶν θελημάτων ἐπιτελεῖς κακά, μίσησον, ἀναχώρησον τῶν βιωτικῶν καὶ κακῶν προλήψεων, ἀεργῆ ἔστωσαν ἐν σοὶ τὰ πάθη γεγυμνωμένα ἀπὸ τῆς σῆς προαιρέσεως, μὴ μολύνου ἑκουσίῳ θελήματι διὰ συνδυασμοῦ καὶ συνεργίας κακῆς τῶν ἀοράτων, τῶν 25.1.9 κρυπτῶν τραυμάτων μολυσμῶν, κἀγὼ ἰῶμαί σου τὰ παρὰ ἀνθρώποις ἀνίατα πάθη τῶν πονηρῶν διαλογισμῶν καὶ εἰς τὴν ἀρχαίαν τῆς καθαρᾶς φύσεως εὐγένειαν ἀποκαθιστῶ σε, ἵνα πάλιν εἰκὼν καὶ ὁμοίωμα θεοῦ ἐν ἀληθείᾳ ὑπάρχῃς, πάσας τὰς τοῦ πνεύματος ἀρετὰς διὰ τοῦ φυσικοῦ καὶ ἐνδιαθέτου νόμου ἐντετυπωμένας ἐν σεαυτῇ ἔχουσα, καὶ οὕτω τῷ πνεύματι τῷ ἁγίῳ διὰ τῆς ἐνεργοῦς χάριτος κοινωνήσασα καὶ τὸν ἐπουράνιον νυμφίον Χριστὸν ἀπολαβοῦσα καὶ οἶκος καὶ ναὸς αὐτῷ ἅμα τῷ σώματι διὰ τοῦ ἁγιασμοῦ προκαταρτισθεῖσα, τῶν αἰωνίων τῆς βασιλείας ἀγαθῶν αἰωνίως ἀπο25.1.10 λαύσῃς. ταύτην δὲ τὴν ἐπαγγελίαν διὰ τοῦ ἀποστόλου ὁ κύριος ἐπηγγείλατο λέγων· «ἵνα παραστήσῃ αὐτὸς ἑαυτῷ τὴν ἐκκλησίαν ἔνδοξον (ἥτις ἐστὶ ψυχὴ ἁγίων), μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος». 25.1.11 Ὥσπερ γὰρ εἰ ἀπὸ καθαρᾶς πηγῆς διὰ σωλήνων ὕδωρ καθαρὸν προέρχεται, ἔξωθεν δὲ ὕδωρ θολερὸν καὶ βορβορῶδες ἐπεισέλθῃ τῇ πηγῇ, τὸ διὰ τῶν σωλήνων καθαρὸν ὕδωρ προερχόμενον μολύνεται ὥσπερ χαράδρας τινὸς ἐπάνω αὐτῆς ἐπιρρεούσης, οὕτω διὰ τῆς παραβάσεως τοῦ Ἀδὰμ τὸ θολερὸν ὕδωρ τῶν τοῦ πονηροῦ κακῶν διαλογισμῶν τῷ καθαρῷ καὶ διαυγεῖ τῶν τῆς ψυχῆς καλῶν διαλογισμῶν νάματι διὰ τῶν αἰσθητηρίων τοῦ σώματος ὡς διὰ σωλήνων τινῶν ἐπεισελθὸν θολοῖ διὰ τῶν παθῶν καὶ ταράσσει καὶ τὸ καθαρὸν καὶ διειδὲς τῶν εὐθειῶν διανοημάτων τῆς ψυχῆς ὕδωρ μολύνει 25.1.12 διὰ τῆς προλαβούσης νομῆς. διὸ θεοῦ μόνον χρεία καὶ τῆς τοῦ ἡμετέρου θελήματος πολλῆς συνεργίας ἐν πάσαις ἀρεταῖς, ἵνα τῇ δυνάμει τῆς χάριτος εἰς τὴν ἰδίαν τῆς καθαρότητος φύσιν τὴν ψυχὴν ἀποκαταστήσῃ, ὅπως εὐάρεστος θεῷ ἐν πάσαις ἀρεταῖς εὑρεθεῖσα καὶ ἄμωμος καταρτισθεῖσα διὰ τῆς 25.1.13 βοηθείας τοῦ ἁγίου πνεύματος τῆς αἰωνίου ζωῆς ἀξία γένηται. τοῖς γὰρ φυσικοῖς λογισμοῖς καὶ τοῖς φυσικοῖς τῆς ψυχῆς κινήμασιν ἐπιτηρεῖ ὁ πονηρός, ὥστε τὰ ἴδια τῆς κακίας πάθη ἐπιμιγνύειν, ἵνα φυσικῶν ἀποπληρώσεων δῆθεν χάριν τὸν ἄνθρωπον εὐλογοφανῶς ἀπατᾶν δύνηται. τοσαύτης οὖν ἀκριβείας πρὸς τὰς φυσικὰς ἐκπληρώσεις χρεία διὰ τὸν προφάσει τῆς φυσικῆς χρείας τὰ ἴδια τῆς κακίας πάθη ἐπιμιγνύοντα. 25.1.14 Ὥσπερ ἐὰν ᾖ δένδρα καρπῶν πεπληρωμένα, ἑνὶ δὲ ἑκάστῳ δένδρῳ ἥγησαί μοι θηρίον παρακαθεύδειν· ἐὰν οὖν μή τις μετὰ πάσης προσοχῆς καὶ εὐφυίας καὶ νήψεως ἀπέλθῃ, ἵνα τοὺς καρποὺς τοῦ δένδρου λαβεῖν δυνηθῇ, ἄδηκτος 25.1.15 τῶν θηρίων παρελθεῖν οὐ δύναται. οὕτως ἐὰν μή τις πάσῃ νήψει καὶ προσοχῇ ὑπὸ τοῦ θείου λόγου κυβερνώμενος τὰς διὰ τῶν αἰσθητηρίων φυσικὰς χρείας ἀποπληροῖ, ἄδηκτος παθῶν κακίας τῶν ἀοράτων θηρίων παρελθεῖν τὸν αἰῶνα τοῦτον οὐ δύναται καὶ διὰ τοῦτο χρεία νήψεως διηνεκῶς, ἕως οὗ 25.1.16 ἡ χάρις εἰς τὴν ἡμῶν ἐπιλάμψει ἀσθένειαν. ὥσπερ γὰρ ἐν ταῖς ὁδοῖς ταῖς εἰς τὴν πόλιν ἀγούσαις οἱ λῃσταὶ προσκαρτεροῦσι πρὸς τὸ τοὺς ἀφυλάκτως παριόντας εὐκόλως ἀποσυλῆσαι καὶ ἀπογυμνῶσαιού γὰρ δὴ ἐν ταῖς ἐρήμοις καὶ ὄρεσι οἱ κακοῦργοι ἁπλῶς περιέρχονται, ἀλλὰ δῆλον ὅτι ἔνθα διοδεύουσιν ἄνθρωποι, οὕτως ἐν τοῖς φυσικοῖς τῆς ψυχῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κινήμασιν οἱ ἀόρατοι τῶν πονηρῶν πνευμάτων λῃσταὶ ἐπιτηροῦσι τὴν ἀπροόρατον καὶ ἀφύλακτον καὶ χαύνην ψυχήν, ὅπως ἐν ταῖς ὥσπερ ὁδοῖς τῶν αἰσθητηρίων, δι' ὧν ἡ ψυχὴ ἐν τῷ κόσμῳ τούτῳ τὰς φυσικὰς χρείας ἔκπληροι, ἐὰν καιρὸν εὕρωσιν, ἀπογυμνώσωσι τῶν ἀρετῶν καὶ καταβάλωσιν ἐν τοῖς ἁμαρτήμασιν ὅπερ ἐστὶ ψυχῆς θάνατος. 25.1.17 Πολλῆς οὖν παραφυλακῆς καὶ νήψεως καὶ συνέσεως χρεία κατὰ τὸ εἰρημένον· «πάσῃ φυλακῇ τήρει σὴν καρδίαν· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς», ἵνα πάντοτε ὁ ἡγεμὼν νοῦς ἔχῃ ὥσπερ θώρακα καὶ ὅπλον τὸν λόγον τῶν ἁγίων ἐντολῶν καὶ τὴν εἰς θεὸν πεποίθησιν, ἵνα ἀφόβως καὶ ἀκινδύνως διὰ τῶν ὁδῶν τῶν αἰσθητηρίων ἐν τῷ αἰῶνι τούτῳ παρέρχεσθαι δύνηται, καὶ φρουρὸν τὸν εὐθῆ καὶ εὐσεβῆ λογισμὸν ὥσπερ θυρωρὸν ἐν ταῖς πύλαις τῆς ψυχῆς στήσῃ, ἵνα τοὺς γνωρίμους καὶ οἰκείους λογισμοὺς εἰσδέχηται χαίρων ἐν τῇ πόλει τῆς καρδίας, τοὺς δὲ κακούργους καὶ ἀλλοτρίους τῆς κακίας λογισμοὺς ἀπωθῆται καὶ ἀποκλείῃ ταῖς φαύλαις ἐννοίαις τὰς πύλας τῆς καρδίας, τουτέστιν ἀσυνδύαστον αὐτὸν τῇ πονηρίᾳ τὸ καθόλου φυλάττων, ἵν' οὕτως ἀκίνδυνος καὶ ἀνεπιβούλευτος ἡ τῆς ψυχῆς πόλις φυλασσομένη τῷ βασιλεῖ Χριστῷ εὐαρεστῆσαι δυνηθῇ. 25.2.1 Ὥσπερ γὰρ ἐάν τις ὑπὸ πυρετοῦ ἐπὶ πλεῖον κατέχηται καὶ τὸν στηρίζοντα τὸ σῶμα ἄρτον λαβεῖν οὐ δύνηται διὰ τὴν τοῦ πυρετοῦ ἐπικράτειαν, ὁ σοφὸς ἰατρὸς τέχνῃ μεθοδεύει τοῦ θρέψαι τὸν ἄρρωστον καὶ τὸν ἄρτον ἐν ὕδατι διαλύων ἐπιδίδωσιν αὐτῷ, ἵν' ὡς ὕδωρ τὸν ἄρτον λαμβάνων δέξηται διαλυθέντα καὶ οὕτω κατ' ὀλίγον τοῦ πυρετοῦ μειουμένου στερεωτέραν προσφέρῃ τροφήν, ἕως οὗ διὰ πολλῆς προσοχῆς ὑγιάνας εἰς τὴν κατὰ φύσιν ἕξιν ἀποκαταστῇ, καὶ οὕτω τοῦ ἄρτου καὶ τῶν λοιπῶν διαφόρων ἐδεσμάτων μετὰ 25.2.2 πάσης εὐρωστίας μεταλαμβάνων ἀπολαύῃοὕτω καὶ ἡ ψυχὴ κακωθεῖσα διὰ τὴν παράβασιν τοῦ Ἀδὰμ καὶ ἐμπαθὴς γενομένη ὑπὸ τοῦ πυρετοῦ τῶν παθῶν τῆς ἁμαρτίας κεκράτηται ἑκάστοτε διαφόρως, καὶ τῇ ἰδίᾳ σοφίᾳ ὁ ἐπουράνιος ἰατρὸς τὸν ἐπουράνιον ἄρτον (τουτέστι τὴν δύναμιν τοῦ πνεύματος) ἀοράτως διὰ τοῦ ἁγίου μυστηρίου τοῦ «λουτροῦ τῆς παλιγγενεσίας» καὶ τοῦ σώματος τοῦ Χριστοῦ καὶ διὰ τῶν γραφῶν «τοῦ λόγου τῆς παρακλήσεως» τρέφει καὶ θάλπει τὴν κεκακωμένην καὶ ἐμπαθῆ ψυχήν, τὴν ἐνέργειαν τοῦ πνεύματος ἐν δυνάμει καὶ πληροφορίᾳ μηδέπω κεχωρηκυῖαν λαβεῖν, ἤτοι 25.2.3 διὰ τὴν νηπιότητα ἤτοι διὰ τὴν ὀλιγοπιστίαν ἢ ἀμέλειαν. ἑκάστη γὰρ ψυχὴ κατὰ τὸ μέτρον τῆς πίστεως ἐν τῷ ἁγίῳ βαπτίσματι τῆς ἀφέσεως τῶν ἁμαρτιῶν τυγχάνουσα τὴν ἐνέργειαν τῆς χάριτος μεταλαμβάνει, ἡ μὲν ἐν δυνάμει καὶ πληροφορίᾳ, ἡ δὲ ἐν λεπτοτέρᾳ τῆς χάριτος ἐνεργείᾳ κατὰ τὴν προειρημένην τοῦ ἀρρώστου παραβολὴν καὶ οὕτω κατ' ὀλίγον διὰ πάσης προσοχῆς καὶ τῆς ἐν ταῖς ἀρεταῖς ἐπιμελείας τῆς ἀοράτου νόσου τῶν παθῶν μειουμένης καὶ τῆς ὑγείας τῶν ἀρετῶν τοῦ πνεύματος προσγινομένης ἀποκαθίσταται ἡ τὸν κύριον ζητοῦσα ψυχὴ εἰς τὴν κατὰ φύσιν τῆς ἀπαθείας ὑγείαν τὸν ἐπουράνιον ἄρτον, αὐτὴν τὴν δύναμιν τοῦ πνεύματος, ἐνεργῶς λοιπὸν καὶ 25.2.4 πεπληροφορημένως τρέφεσθαι χωροῦσα. ἡ δὲ τοιαύτης χάριτος καταξιωθεῖσα ψυχὴ καὶ τῶν παθῶν κυριεύσασα τῆς βασιλείας ὄντως τέκνον ἄξιον ἀναδείκνυται. πρόκειται μὲν γὰρ ἡ ἐν τῷ βαπτίσματι τοῦ πνεύματος χάρις ἐπιφοιτῆσαι πλουσίως ἑκάστῳ βουλομένη καὶ τάχιον τελειότητα δυνάμεως θείας δωρήσασθαι ἐπιθυμοῦσαἀλλὰ κατὰ τὸ ἑκάστου διάφορον τῆς πίστεως 25.2.5 καὶ εὐλαβείας μέτρον ἡ μετάληψις τῆς χάριτος γίνεται, τῆς μὲν ἀφέσεως τῶν ἁμαρτιῶν πάντας ἴσως καταξιοῦσα, τῆς δὲ οἰκείας τοῦ πνεύματος μεταλήψεως κατὰ τὸ μέτρον τῆς πίστεως ἑκάστου τὴν χώρησιν δωρουμένη, πάντας ἐκδεχομένη καὶ προτρεπομένη ἐλθεῖν διὰ προκοπῆς ἀρετῶν καὶ ἀρίστης πολιτείας καὶ ἐπιχορηγίας πνεύματος ἁγίου «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦ Χριστοῦ» κατὰ τὴν τοῦ μακαρίου ἀποστόλου φωνήν, ὅπερ ἐστὶν ἡ παντελὴς τῶν παθῶν ἀπολύτρωσις καὶ ἡ πληρεστάτη τοῦ ἁγίου πνεύματος καὶ ἐνεργὴς ἐνοίκησις. 25.2.6 Ἀλλ' ὥσπερ καὶ ἐν ταῖς κακώσεσι πολλή τις διαφορὰ καὶ ἡ πρὸς ὑγείαν νεῦσις τυγχάνει καὶ ποικίλη· πάλιν γὰρ ἐπὶ τὴν παραβολὴν ἀναδράμωμεν. ὁ μὲν γὰρ τάχιον ἱδροῖ καὶ τοῦ πυρετοῦ σχεδὸν ὑφ' ἓν ἀναχωρήσαντος ταχυτέρως τὴν στερεωτέραν τοῦ ἄρτου καὶ τῶν ποικίλων ἐδεσμάτων τροφὴν δέχεσθαι δύναται καὶ οὕτω συντομώτερον εἰς τελείαν ὑγείαν ἀποκαθίσταται, ἐὰν μέντοι καὶ μετὰ τὸ ἀναστῆναι διὰ τοῦ ἱδρῶτος ἐκ τῆς νόσου μὴ ἀτάκτως διαιτᾶται ἢ σκυλμὸν καμάτου ἀπείρως ἀναλαμβάνῃ παρὰ τὸν ἰατρικὸν λόγον· ἐπεὶ πάλιν ἀνασκευάζεται ἡ νόσος καὶ χείρων τῆς προτέρας καθίσταται, καὶ οὕτω 25.2.7 κινδυνεύει καὶ θανάτου πεῖραν λαμβάνει διὰ τὴν ἰδίαν ἀπροσεξίαν. ὁ δὲ μὴ τάχιον ἱδρώσας, ἔχων δὲ τὸν πυρετὸν ἐπικείμενον κατὰ τὴν προειρημένην παραβολήν, ὑπείκων τῷ ἰατρῷ ἐμπείρως τρέφεται, καὶ κατ' ὀλίγον ἡ κάκωσις μειοῦται καὶ αἱ δυνάμεις τῷ σώματι προσγίνονται, ἕως οὗ τελείως ἡ νόσος ὑποχωρήσῃ καὶ τελεία ὑγεία προσγένηται, ἐὰν μέντοι εὐτακτῇ καὶ οὗτος πάνυ προσέχων ἑαυτῷ καὶ ταῖς τοῦ ἰατροῦ παραγγελίαις ἐν πάσῃ ἀκριβείᾳ πείθηται· εἰ δὲ μή γε πάλιν ἀνατροπιάσας χεῖρον τοῦ προειρημένου ἀπόλλυται, πλείονος γὰρ παραφυλακῆς τούτῳ παρὰ τὸν προειρημένον χρεία. πλὴν τοῖς ἀμφοτέροις κίνδυνος ἢ καὶ θάνατος ἐπέρχεται, ἐὰν μὴ εὐτακτῶσι τῇ διαίτῃ 25.2.8 τῷ ἰατρικῷ λόγῳ πειθόμενοι, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ χάριτος ἐνεργοῦς τάχιον ἀξιωθεῖσα, τουτέστιν ὥσπερ ἐν βαρυτάτῃ κακώσει ἱδρώσασα καὶ ἀποθεμένη τὸ πλεῖστον τῆς ἁμαρτίας τῶν παθῶν νόσημα, ἐὰν ἐν πάσῃ προσοχίᾳ καὶ εὐταξίᾳ ἀκριβοῦς πολιτείας ἀναστρέφει κατὰ τὸν εὐαγγελικὸν τῆς ἀληθινῆς ἰατρείας λόγον, ἰδοὺ τάχιον ὑγιᾶναι παντελῶς δύναται, τουτέστι τελείαν λύτρωσιν τῶν παθῶν δέξασθαι κατὰ τὸν τοῦ ἀποστόλου λόγον· «ἡ ἀγάπη, φησίν, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν» καὶ τὰ ἑξῆς. αὕτη γάρ ἐστιν ἡ τελεία τῆς ψυχῆς ὑγεία. 25.2.9 Εἰ δὲ ἀπροσεχόντως καὶ ἀδιαφόρως ἐν τῇ καταφρονήσει τῶν εὐαγγελικῶν ἐντολῶν ὡς δὴ ὑγιάνασα τὸν αἰῶνα τοῦτον διοδεύει καὶ τὴν ἑαυτῆς σωτηρίαν ἐν φόβῳ καὶ τρόμῳ οὐ κατεργάζεται κατὰ τὴν τοῦ μακαρίου Παύλου παραγγελίαν ἐν πολλῇ ταπεινώσει καὶ πόνῳ καὶ εὐλαβείᾳ ἀναστρεφομένη κατὰ τὸν τοῦ ἀνατροπιασμοῦ λόγον εἰς τὴν προτέραν ἀναλύει τῶν παθῶν τῆς κακίας νόσον, ἀρξαμένη πνεύματι καὶ σαρκὶ ἐπιτελοῦσα, καὶ οὕτως ἐν τοιούτῳ τρόπῳ ἀπομένουσα ἕως τέλους τῷ αἰωνίῳ θανάτῳ τῆς ἁμαρτίας παραδίδοται, καθώς φησιν ὁ κύριος· «ἄρατε ἀπ' αὐτοῦ τὸ τάλαντον», καὶ πάλιν· «καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ καὶ δοθήσεται τῷ ἔχοντι», τουτέστι τῷ μὴ λυποῦντι τὸ πνεῦμα διὰ τῆς κακοτροπίας, τῷ μὴ ἐνυβρίζοντι τὴν χάριν τὴν δοθεῖσαν διὰ τῆς ἀσέμνου πολιτείας, τῷ αἰσθομένῳ ἀξίως τιμῆς διὰ τῆς ἐργασίας τῶν ἐντολῶν τὴν ἐπουράνιον χάριν τοῦ προσκυνητοῦ πνεύματος. 25.2.10 οὗτος γάρ ἐστιν ἀληθῶς ὁ ἔχων ὁ διὰ πάσης εὐαρεστίας τιμῶν τὴν δεδομένην τοῦ πνεύματος δωρεάν, ὁμοίως δὲ καὶ ὁ λόγῳ θείῳ δι' ἀκοῆς ὑπὸ τῆς χάριτος διατρεφόμενος καὶ ἐνεργῆ τὴν δύναμιν τοῦ πνεύματος μηδέπω κεκτημένος, ἀλλὰ λεπτοτέραις οἰκονομίαις οἰκονομούμενος ὑπὸ τῆς χάριτος τοῦ θεοῦ, τοῦ ἐπουρανίου ἰατροῦ. πλείονος καὶ οὗτος προσοχῆς καὶ παραφυλακῆς χρῄζει κατὰ πάντα τῷ εὐαγγελικῷ τῆς ἀληθινῆς ἰατρείας λόγῳ πειθόμενος, ἵνα κατὰ βραχὺ ἡ τῆς ἁμαρτίας νόσος ὑποχωρήσῃ καὶ ἡ τῆς δικαιοσύνης τῶν ἀρετῶν ὑγεία τελεία προσγένηται, ἕως οὗ εἰς τὸ τέλειον τῆς ἀπαθείας μέτρον διὰ τῆς χάριτος ἀποκαταστὰς εὐάρεστος θεῷ εὑρεθῆναι δύ25.2.11 ναται. εἰ δέ τις ἀταξίᾳ, τουτέστι παρακοῇ τῶν ἐντολῶν, παρακολουθεῖ, πάλιν ἀνατροπιασμοῦ δίκην εἰς χείρονα πάθη κακίας ἐμπεσὼν θανάτῳ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἰωνίῳ ὑπόδικος γίνεται διὰ τὴν ἀφύλακτον καὶ φιλήδονον προαίρεσιν, ὅτι ἀρξάμενος ὑγιαίνειν ἀπὸ τῆς χαλεπῆς νόσου τῶν παθῶν καὶ ὑπὸ τῆς χάριτος βοηθεῖσθαι οὐκ ἐξηκολούθησε τοῖς εὐαγγελικοῖς προστάγμασιν, ἀλλὰ ἰδίῳ θελήματι αὐτοῦ πορευομένου τοιαῦτα αὐτοῦ τὰ τέλη γεγόνασι. Χρεία οὖν ἀμφοτέροις ὑπακούειν τῷ τῆς ἀληθείας λόγῳ πάντοτε καὶ ἐν πόνῳ καὶ σπουδῇ καὶ πολλῷ ἀγῶνι τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθαι, ἵν' οὕτω τῆς βασιλείας κληρονόμοι γενέσθαι καταξιωθῶσιν εἰς αἰῶνας. Ἀμήν.

## 26.τ.1 ΛΟΓΟΣ Κϛ΄. Ὑπόμνησις περὶ τοῦ ἀοράτου λόγου τοῦ θεοῦ

26.1.1 Ὁ καλούμενος λόγος τοῦ θεοῦ ἔργον τι πνευματικὸν τῇ ψυχῇ τῇ ὀρθῶς καὶ πιστῶς καὶ ἐν ἀγάπῃ δεχομένῃ ἀποδείκνυσι καὶ μεταβολήν τινα ἀπεργάζεται. οὗτος γὰρ ὁ ἀφανὴς τοῦ θεοῦ λόγος πάντα τὰ κτίσματα τὰ «ὁρατὰ καὶ τὰ ἀόρατα» κατεσκεύασε καὶ δι' αὐτοῦ «τὰ πάντα συνέστηκεν». οὗτος γὰρ ὁ λόγος θεός ἐστι· φησὶ γὰρ ὁ εὐαγγελιστής· «ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος». «πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς 26.1.2 αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε». καὶ πάντες οἱ ἄγγελοι καὶ οἱ ἅγιοι διὰ τῆς ἀφανοῦς τοῦ λόγου δυνάμεως κινοῦνται καὶ ζῶσι καὶ ἐκ τοῦ πνεύματος αὐτοῦ ἐσθίουσι καὶ πίνουσιν οὐρανίαν καὶ πνευματικὴν βρῶσιν καὶ πόσιν. «καὶ ἡ ζωή, γάρ φησιν, ἦν τὸ φῶς τῶν ἀνθρώπων», καθὼς καὶ ὁ κύριος εἶπεν· «ἐὰν μή τις φάγῃ μου τὴν σάρκα καὶ πίῃ μου τὸ αἷμα, οὐκ ἔχει ζωὴν 26.1.3 αἰώνιον». οὐκ ὀφείλομεν δὲ τοῦτο σωματικῶς καὶ ὑλικῶς νοεῖν, ἀδελφοί, καθὼς πολλοὶ τῶν μαθητῶν ἀκούοντες τὸν λόγον τοῦτον ἐσκανδαλίσθησαν «λέγοντες· πῶς δύναται οὗτος τὴν σάρκα αὐτοῦ δοῦναι ἡμῖν φαγεῖν»; ἡ γὰρ ἀληθινὴ σὰρξ τῆς ζωῆς, ἣν ἐσθίουσιν οἱ Χριστιανοί, καὶ τὸ αἷμα, ὃ πίνουσιν, ὁ λόγος αὐτοῦ ἐστι καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἐν τῇ εὐχαριστίᾳ τοῦ ἄρτου κατασκηνοῖ καὶ ἁγιάζει διὰ λόγου καὶ δυνάμεως πνεύματος, καὶ 26.1.4 γίνεται σῶμα καὶ αἷμα Χριστοῦ. «καὶ πάντες, γὰρ φησὶν ὁ ἀπόστολος, ἓν πνεῦμα ἐποτίσθημεν», καθὼς καὶ ὁ κύριος εἶπε τοῖς σωματικῶς τοῦτο νοοῦσι· «τοὺς λόγους οὓς λελάληκα ὑμῖν πνεῦμά ἐστι καὶ ζωή ἐστιν». οὗτος οὖν ὁ λόγος ἀλάσσει καὶ μεταβάλλει τὰς φύσεις τῶν κτισμάτων, καθ' ὃν βούλεται τρόπον. πολὺ γὰρ ἀγαπήσας τὸ γένος τῶν ἀνθρώπων ὁ θεὸς βούλεται καὶ ἐπιθυμεῖ εἰς αὐτοὺς τὴν ἰδίαν τοῦ πνεύματος αὐτοῦ εἰκόνα ἐντυπῶσαι καὶ ἁγίας τὰς ψυχὰς αὐτῶν ἀπεργάσασθαι. 26.1.5 Εἰ οἱ ἐπίγειοι ἄνθρωποι πρὸς τὰ γήϊνα πολλὴν ἔχουσιν ἀγάπην, οἷον ὁ βασιλεὺς εἰς τὸν χρυσὸν τὴν ἑαυτοῦ εἰκόνα ἐντυποῖ, καὶ ἐν τοῖς καλλίστοις οἴκοις πάλιν ἄλλοι τὰς εἰκόνας αὐτῶν ἐνζωγραφοῦσιν, ἵν' εἰσερχόμενοι καὶ ἐξερχόμενοι ἴδωσιν ἐν τοῖς κτίσμασιν αὐτῶν τὰς ἑαυτῶν εἰκόνας. εἰ οὖν οὕτως οἱ ἄνθρωποι τὴν εἰς τὰ κτίσματα αὐτῶν ἀγάπην ἔχουσι, πόσῳ μᾶλλον ὁ θεὸς ἐπὶ τὰ κτίσματα καὶ ποιήματα αὐτοῦ βούλεται τὴν ἐπουράνιον εἰκόνα τῆς ζωῆς τοῦ θείου καὶ ἐπουρανίου πνεύματος ἐγγράφειν καὶ ἐντυποῦν ἐν τῷ 26.1.6 οἴκῳ τοῦ σώματος. καὶ πάλιν αὐτὸς λαβὼν τὴν εἰκόνα τῆς ἀξίας καὶ πιστῆς ψυχῆς εἰς τὴν τοῦ πνεύματος αὐτοῦ φωτεινὴν εἰκόνα ἐνετύπωσε καὶ ἐν τῷ ἐπουρανίῳ καὶ ἀχειροποιήτῳ αὐτοῦ οἴκῳ ἀνατίθησι· σκιαὶ γὰρ καὶ 26.1.7 εἰκόνες τυγχάνουσι τὰ ἐπίγεια τῶν ἐπουρανίων. σπουδάσωμεν τοίνυν ὁλοτελῶς ἑαυτοὺς τῷ κυρίῳ ἀποδοῦναι καὶ πάντων τῶν ἐπιγείων καταφρονῆσαι καὶ αὐτῷ μόνῳ ἑαυτοὺς ἀφιερῶσαι καὶ τῷ φρονήματι τῆς ψυχῆς ἀλλοτρίους τοῦ αἰῶνος τούτου ποιῆσαι καὶ ἐξελθεῖν τοῖς νοήμασιν ἐκ τῆς φαινομένης τοῦ κόσμου ἀπάτης, ἵνα τῶν προειρημένων ἀγαθῶν τυχεῖν καταξιωθῶμεν, τὸ τῆς διανοίας ἡμῶν κάλλος ἐπιθυμητὸν τῷ ἐπουρανίῳ βασιλεῖ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταστήσαντες. 26.1.8 Καὶ γὰρ ὁ ἀπόστολός φησιν· «ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμ26.1.8 βολῆς». πῶς τοίνυν ἐξέλθωμεν καὶ πῶς τῶν πνευματικῶν ἐκείνων ἐπιτύχωμεν ἀγαθῶν καὶ ποίᾳ ἀγωγῇ καὶ ποίῳ τρόπῳ εὐαρεστήσωμεν, ἵνα ἡ ἱερὰ καὶ 26.1.9 ἐπουράνιος τοῦ Χριστοῦ εἰκὼν ἡμῖν ὑπὸ τοῦ πνεύματος ἐντυπωθῇ; ὥσπερ γὰρ ἐπὰν ἀποδημῇ ἀπὸ πατρίδος εἰς πατρίδα βασιλεύς, οἱ τῆς πόλεως πολιτάρχαι καὶ πολῖται εἰς ὑπάντησιν πορρωτέρω ἐξέρχονται διὰ τὴν τιμὴν τοῦ βασιλέως, καὶ ἐπὶ τούτοις χαίρει καὶ τὸ αὐτοῦ ὄμμα ἐπ' αὐτούς ἐστι καὶ τούτοις τιμὰς δίδωσι βασιλικάς. οἱ δὲ ἐπιχώριοι ἢ ἐν ἑτέροις τόποις μένοντες ἢ οἱ ἀμελεῖς καὶ ἀνόητοι οὔτε οἴδασιν ὅτι βασιλεὺς καὶ ἄρχων ἐπιδημεῖ διὰ τὸ μὴ ὑπαντῆσαι αὐτῷ· διὸ οὔτε τιμῶν καταξιοῦνται οὔτε παρρησίαν ἔμπροσθεν 26.1.10 βασιλέως ἔχειν δύνανται. ὥσπερ ἐκεῖνοι ἐφ' οὓς τὸ ὄμμα αὐτοῦ, οἷς καὶ βαθμοὺς καὶ ἐξουσίας χαρίζεται τοῦ κρίνειν καὶ δικάζειν διὰ τὸ τὴν εἰκόνα αὐτοῦ καὶ τὰς τιμὰς ἔχειν αὐτοὺς μεθ' ἑαυτῶν, οὕτω καὶ αἱ τῶν Χριστιανῶν ψυχαὶ αἱ τὸ κάλλος τῆς ὀρθῆς καὶ ἀγαθῆς προαιρέσεως κεκτημέναι καὶ εἰς ὑπάντησιν τοῦ ἐπουρανίου βασιλέως ἐρχόμεναι, τουτέστι πάντα καταλιποῦσαι ἕνεκεν αὐτοῦ καὶ τῷ φρονήματι τοῦ αἰῶνος τούτου ἐξερχόμεναι, καταξιοῦνται δομάτων πνευματικῶν καὶ ἐξουσίαν κατὰ τῶν πονηρῶν πνευμάτων λαμβάνουσι. 26.1.11 καὶ ὥσπερ τὰ σώματα τῶν ἁγίων ἐν τῇ ἀναστάσει «εἰς ὑπάντησιν τοῦ κυρίου εἰς ἀέρα» κατὰ τὸν τοῦ ἀποστόλου λόγον ἁρπάζονται, οὕτω καὶ τὰ πνεύματα τῶν τῇ ἀγαθῇ προαιρέσει καὶ τῇ τῶν ἀρετῶν ἐπιτηδεύσει καὶ τῇ πολλῇ σπουδῇ τῆς πρὸς αὐτὸν ζητήσεως ἐν πόθῳ καὶ πίστει καὶ ἀγάπῃ καὶ τῇ τῶν ἁγίων ἐντολῶν παραφυλακῇ πάντοτε ἐνεχομένων καὶ τὴν ἐπιφοίτησιν καὶ μετάληψιν τῆς χάριτος αὐτοῦ πάντοτε προσδοκώντων τοῦ ἐξελθεῖν εἰς ὑπάντησιν αὐτοῦ, ὅπως τιμῶν πνευματικῶν καταξιωθείημεν, κατὰ τῆς πονηρίας τὴν ἐξουσίαν λαμβάνοντες καὶ τῆς τοῦ πνεύματος ἐνοικήσεως ἄξιοι γινόμενοι, ἵν' οὕτω ζωῆς ἀθανάτου ἐπιτυχεῖν δυνηθῶμεν. 26.1.12 Ἢ ὥσπερ οἱ τὸ χρυσίον καὶ τὸ ἀργύριον ὀρύσσοντες πεπληροφόρηνται, ὅτι ἐν τῇ γῇ τυγχάνει, ἀλλ' εἰς ποῖον τόπον οὐκ ἐπίστανται, τὸ λοιπὸν οὖν λαμβάνοντες ἐργαλεῖα ὀρύσσουσιν ἑνὶ ἑκάστῳ τόπῳ, καὶ ἕως οὗ εὕρωσι καὶ τύχωσιν ὧν ποθοῦσιν, οὐκ ἀφίστανται· τὸν αὐτὸν τρόπον καὶ ἡ δύναμις τῆς θεότητος πανταχοῦ τυγχάνει ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς καὶ ἐξωτέρω πάντων τῶν κτισμάτων, καὶ τὰ πάντα τῆς δόξης αὐτοῦ πεπλήρωταιἀπερίγραπτος γὰρ καὶ ἀπεριόριστός ἐστιν, ἀλλ' ἡμῖν οὐ φαίνεται διὰ τὸ κάλυμμα τῆς κακίας ἐν τῇ καρδίᾳ ἡμῶν περικεῖσθαι διὰ τὴν τοῦ Ἀδὰμ τῆς ἐντολῆς παράβασιν. 26.1.13 τὸ λοιπὸν ἕκαστος τῇ πρὸς αὐτὸν ἀγάπῃ καὶ πίστει καὶ τῇ τοῦ νοὸς ὀρθῇ ζητήσει ὀρυσσέτω τοῖς ἐργαλείοις τῶν λογισμῶν τῆς ψυχῆς, αὐτὸν μόνον ποθῶν καὶ τὰ πάντα ὑπερορῶν. ἐὰν γὰρ ἐν τῇ καρδίᾳ σου ὀρύσσῃς τοῖς λογισμοῖς τὴν προσδοκίαν τοῦ κυρίου ἔχων, ἐκεῖ εὑρίσκεις αὐτὸν κἀκεῖ σοι φανεροῦται ὁ θησαυρὸς τῆς ζωῆς Ἰησοῦς. μόνον ὀρυσσέτω τις ἐν τῇ διανοίᾳ πάντοτε αὐτὸν περιβλεπόμενος καὶ εἰς αὐτὸν τῷ πόθῳ δεδεμένος, καὶ οὕτως ὁ θησαυρὸς τῆς ἀθανάτου βασιλείας τοῦ πνεύματος εὑρίσκεται ἐν τῇ καρδίᾳ τοῖς ἐν ἀληθείᾳ ζητοῦσιν αὐτόν. 26.1.14 Ὥσπερ γὰρ ὁ ἥλιος πανταχοῦ ἐφήπλωται ἀνατείλας ἐπὶ πᾶσαν τὴν γῆν καὶ ταύτην φωτίζει, ἀλλ' ἐπὰν πρὸς δυσμὰς γένηται, πάσας τὰς ἰδίας παραλαβὼν ἀκτῖνας εἰσέρχεται εἰς τὸν οἶκον αὐτοῦ μηδὲ μίαν ἀκτῖνα τῷ σκότει καταλιπών, ἢ ὥσπερ ἐπὶ τοῦ σώματος ἔχοντος τὰ μέλη, ὅπου τὸ σῶμα πορεύεται, ἐκεῖ πάντα τὰ μέλη αὐτοῦ συνακολουθεῖ, οὕτω καὶ ὅσοι τῶν ἀνθρώπων ἀκτῖνες τοῦ ἡλίου τῆς δικαιοσύνης τυγχάνουσιν, υἱοὶ φωτὸς ὄντες καὶ τοῦ πνεύματος αὐτοῦ μετέχοντες καὶ μέλη τοῦ ἀχράντου καὶ ἀμώμου σώματος τοῦ Χριστοῦ ὑπάρχοντες, ἄμωμοι καὶ αὐτοὶ διὰ τῆς χάριτος τοῦ πνεύματος γεγονότες, ἐν τῇ συντελείᾳ τοῦ κόσμου ἢ ἐν τῷ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξέρχεσθαι ἐκ τοῦ σώματος ὡς ἴδιαι ἀκτῖνες συμπαραλαμβάνονται παρὰ τοῦ τῆς δικαιοσύνης πνευματικοῦ ἡλίου εἰς τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ ὡς ἴδια μέλη πάντῃ καὶ πανταχοῦ 26.1.15 σύνεισιν αὐτῷ πάντοτε. «ὅπου, γάρ φησιν, ἐγώ εἰμι, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται», καὶ πάλιν· «πάτερ, θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ οὗτοι ὦσιν, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν», τουτέστιν ὅσοι εἰσὶν αὐτοῦ μέλη καὶ μέτοχοι τῆς θείας καὶ ἀθανάτου αὐτοῦ δυνάμεως. οὕτω γὰρ γέγονεν ἡ εὐδοκία αὐτοῦ καὶ οὕτως ἠθέλησε τῇ φύσει ταύτῃ τῇ ταπεινῇ δύναμιν τῆς ἁγίας καὶ θείας τοῦ πνεύματος φύσεως χαρίσασθαι καὶ κεράσαι τῇ ἰδίᾳ τῆς θεότητος δυνάμει, ὅπως θεότητος καὶ ἀνθρωπότητος κοινωνία καὶ κρᾶσις καὶ συμ26.1.16 πλοκὴ γένηται. ὢ τῆς ἀρρήτου εὐδοκίας καὶ τῆς ἀπείρου ἀγαθότητος τοῦ σωτῆρος. ἐλθὼν γὰρ ἐπὶ τῆς γῆς ὁ θεὸς λόγος καὶ ἀναλαβὼν τὸν ἄνθρωπον καὶ κεράσας αὐτὸν τῇ ἰδίᾳ θεότητι «ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς ἐκάθισεν», ὅπως καὶ τοὺς πιστοὺς καὶ ἀξίους αὐτοῦ, τοὺς ἐκ τοῦ πνεύματος γεννωμένους, συνθρόνους καὶ συνδόξους ὡς ἴδια καθαρὰ μέλη 26.1.17 ἀπεργάσηται. Δόξα τῇ εὐδοκίᾳ καὶ τῇ μεγαλωσύνῃ αὐτοῦ. ὥσπερ δὲ ὁ θεὸς τοῦ κόσμου διαφέρει, οὕτω καὶ οἱ ἐξ αὐτοῦ γεγεννημένοι δίκαιοι τῶν λοι26.1.18 πῶν ἀνθρώπων διαφέρουσι. Σπουδάσωμεν τοίνυν καὶ ἡμεῖς κατὰ πάντα τῷ κυρίῳ εὐαρεστῆσαι, ὅπως ἄξιοι αὐτοῦ εὑρεθέντες καὶ τοῦ πνεύματος αὐτοῦ μέτοχοι γεγονότες καὶ δι' αὐτοῦ πάσης κακίας καθαρθέντες καὶ μέλη αὐτοῦ καταξιωθέντες γενέσθαι σὺν αὐτῷ εἰς τοὺς ἀπεράντους αἰῶνας βασιλεύσωμεν. Ἀμήν.

## 27.τ.1 ΛΟΓΟΣ ΚΖʹ.

27.1.1 Πάντα τὰ φαινόμενα τοῦ κόσμου τούτου τύπος ἐστὶ τοῦ ἀοράτου καὶ ἀφανοῦς καὶ κρυπτοῦ τῆς θεότητος κόσμου. 27.1.2 Ἔστι γῆ ἡ φαινομένη, εἰς ἣν πεφύτευται ἄμπελος καὶ δένδρα καρποφόρα καὶ σπόρος καὶ πλοῦτος πολύς. οὕτως ἔστι καὶ γῆ ἀόρατος τῆς ζωῆς ἐπουράνιος, ὅπου ἔχουσιν οἱ Χριστιανοὶ τὸν πλοῦτον καὶ τὴν ἀνάπαυσιν αὐτῶν, καὶ ἐν αὐτῇ τῇ κρυπτῇ τῆς ζωῆς γῇ πεφυτευμέναι εἰσὶν αἱ ψυχαὶ αὐτῶν καὶ καρποὺς τοῦ πνεύματος καρποφοροῦσι τῷ θεῷ. αὐτὰ δὲ τὰ πράγματα εἰς δύο πρόσωπα κεῖνται. σὺ γίνῃ τοῦ κυρίου ἄμπελος καὶ αὐτὸς σοῦ· λέγει γάρ· «ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή». καὶ ὃν τρόπον ἐν τοῖς φαινομένοις τὸ κλῆμα ἐρρίζωται καὶ πεφύτευται ἐν τῇ γῇ, οὕτω καὶ αἱ ψυχαὶ τῶν ἁγίων ἐν τῇ ἐπου27.1.3 ρανίῳ ἀμπέλῳ (τουτέστι ἐν τῷ κυρίῳ) εἰσὶ πεφυτευμέναι. καὶ ἔστι σπόρος πνεύματος ἁγίου καὶ σπόρος ἀνθρώπου· σπείρεται ὁ νοῦς εἰς τὴν ζῶσαν γῆν τοῦ θείου λόγου, καὶ πάλιν ἡ δύναμις τοῦ πνεύματος σπείρεται ἐν τῇ λογικῇ τῆς πιστευούσης ψυχῆς γῇ. ὥσπερ οὖν εἰς τὸ φαινόμενον χρήζει ἡ γῆ ἐργασίας, καὶ ἐξέρχονται ἐργάται καὶ τὸν σπόρον ἐν αὐτῇ κατατίθενται καὶ ἐκφέρει καρπούς, καὶ τῷ ἰδίῳ καιρῷ λαμβάνουσιν οἱ θερισταὶ τὰ δρέπανα καὶ θερίζουσιν, οὕτως ἔστι γῆ ἀφανὴς τοῦ κυρίου ἡ ψυχὴ τοῦ ἀνθρώπου καὶ ὁ καλὸς γεωργὸς ὁ κύριος, οἱ ἐργαζόμενοι τὴν γῆν οἱ ἅγιοι ἀπόστολοί εἰσιν, οἱ δια27.1.4 δεξάμενοι τὸν λόγον κυρίου. αὐτὸς γὰρ ὁ τοῦ πατρὸς λόγος ἦλθεν εἰς τὸν κόσμον οὐρανοὺς καινοὺς ποιῆσαι καὶ γῆν καινὴν κατασκευάσαι, καθὼς ἐπηγγείλατο· «ἰδοὺ ποιῶ οὐρανοὺς καινοὺς καὶ γῆν καινήν», τὴν μὴ παρερχομένην. οὗτος γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ αὕτη καὶ πάντα τὰ βλεπόμενα λύεται καὶ παρέρχεται, ἡ δὲ ὑπὸ τοῦ κυρίου ἐργαζομένη λογικὴ καὶ πνευματικὴ γῆ 27.1.5 αἰώνιος. οἱ γὰρ τοῦ κόσμου τούτου πλούσιοι, ὅσα ἂν κτήσωνται καὶ συνθῶσι πολὺν πλοῦτον, ἐν τῷ ἐξέρχεσθαι αὐτοὺς ἐν τῷ ἰδίῳ καιρῷ ἐκ τοῦ κόσμου γυμνοὶ ἀπέρχονται, μηδὲν δυνάμενοι τοῦ πλούτου αὐτῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσης του.

μεθ' ἑαυτῶν ἐπικομίσασθαι. ἐνταῦθα δὲ ἐάν τινα κατορθώματα κτήσωνται καὶ ἀποθῶνται πνευματικὸν πλοῦτον οἱ Χριστιανοὶ ἐν τῇ ζώσῃ τῆς καρδίας γῇ, ἐν τῷ ἐξέρχεσθαι τοῦ κόσμου τούτου συμπαραλαμβάνουσι μεθ' ἑαυτῶν καὶ τὸν τοιοῦτον πλοῦτον αὐτῶν καὶ τὸν θησαυρὸν τῆς ζωῆς καὶ τοὺς καρποὺς τῶν πόνων αὐτῶν τοὺς ζῶντας, καὶ ἀπέρχονται ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ, ὅπου ἡ 27.1.6 αἰώνιος αὐτῶν ἐστι κατάπαυσις καὶ κληρονομία. αὕτη οὖν ἡ φαινομένη γῆ παρέρχεται καὶ ὁ πλοῦτος οὗτος ἀφανίζεται καὶ οἱ καρποὶ ἀναλίσκονται, ἐκεῖνα δὲ τὰ πνευματικὰ πράγματα τὰ μὴ τούτοις τοῖς ὀφθαλμοῖς ὁρώμενα εἰς τὸν αἰῶνα συμπαραμένει. 27.1.7 Ὥσπερ οὖν τὰ δένδρα ταῦτα ἔνδοθεν συλλαμβάνει τοὺς καρποὺς καὶ ἐν τῷ καιρῷ τοῦ Ξανθικοῦ μηνός, ὅτε τὸ ἔαρ ἡδὺ ἔφθασε, προκομίζει ἕκαστον δένδρον τὸν ἔνδον ὄντα καρπὸν εἰς τὸ προφανὲς καὶ ἀνάγκη τὸν βότρυν ἐκ τοῦ κλήματος ἐξελθεῖν καὶ τὴν λοιπὴν ὀπώραν ἐκ τῶν καρποφόρων δένδρων προελθεῖν, οὕτω καὶ ὅσοι νῦν ἐν τῷ κρυπτῷ συλλαμβάνουσι τὸν ἐπουράνιον σπόρον τοῦ πνεύματος τῆς δόξης ἐν ταῖς καρδίαις ἑαυτῶν καὶ πλήρεις εἰσὶν ἀρετῶν, ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως ἐκείνη ἡ ἐπουράνιος καὶ πνευματικὴ δόξα, ἣν ἀπὸ τοῦ νῦν ἔνδοθεν ἐκομίσαντο, καὶ τὰ γυμνὰ σώματα ἐνδύσει καὶ ἀμφιάσει 27.1.8 ἔξωθεν δόξαν ἐπουράνιον. οὐαὶ ψυχῇ τῇ μὴ κτησαμένῃ καὶ ἐμπορευσαμένῃ διὰ τῆς πίστεως αὐτῆς τὴν δόξαν τοῦ πνεύματος ἔνδον, ὅτι ἐν τῇ ἀναστάσει οὐχ ἕξει, ὃ καλύψει καὶ δοξάσει καὶ ἀμφιάσει αὐτῆς τὸ σῶμα τὸ ἀμφίον τοῦ σωτηρίου. 27.1.9 Ἐτέθησαν οὖν οἱ ἀπόστολοι καὶ ἐργάται τῶν λογικῶν ψυχῶν καὶ οἰκονόμοι πνευματικοί, καὶ οἰκονόμοι οὐ τῶν φαινομένων οἰκιῶν, ἀλλὰ τῶν καρδιῶν τῶν ἀνθρώπων. ὥσπερ ὁ οἰκονόμος εἰσέρχεται εἰς τὸν οἶκον καὶ πάντα τὰ ἐν αὐτῷ ἐπιμελῶς καθαρίζει καὶ διακοσμεῖ τὴν οἰκίαν πρὸς τὴν ἀρέσκειαν τοῦ δεσπότου, οὕτω καὶ ὁ λόγος τῶν ἀποστόλων εἰσερχόμενος εἰς τὰς καρδίας τῶν πιστῶν ἀνθρώπων οἰκονομεῖ τὴν ψυχὴν καὶ κοσμεῖ πρὸς τὴν τοῦ ἐπου27.1.10 ρανίου δεσπότου εὐαρέστησιν καὶ ἐνοίκησιν. οἱ δὲ αὐτοὶ καὶ ποιμένες ἐκλήθησαν· «βόσκε, γάρ φησιν ὁ κύριος τῷ Πέτρῳ, τὰ ἀρνία μου». ὁμοίως καὶ αὐτοὶ πρῶτοι τὰς κλεῖς τῆς βασιλείας ἔλαβον· λέγει γὰρ ὁ κύριος τῷ Πέτρῳ· «σοὶ δώσω τὰς κλεῖς τῆς βασιλείας». τί δέ ἐστιν ἡ κλείς, ἀλλ' ἢ ὁ θεῖος καὶ ἐπουράνιος λόγος ὁ λαληθεὶς ὑπ' αὐτῶν ἐν δυνάμει τοῖς μετὰ πίστεως ἀκούουσι; διανοίγει γὰρ τὰ ὦτα τῶν πιστῶν ὁ θεῖος ἐν δυνάμει λόγος καὶ εἰσερχόμενος ἔνδον ἀνοίγει τὰς κεκλεισμένας ὑπὸ τοῦ πονηροῦ θύρας τῆς καρδίας καὶ κατέχει ἐκεῖ τὰς νομὰς τῆς ψυχῆς, ἥτις καρδία διανοιγεῖσα ἐξ ἀληθείας διὰ τῆς δυνάμεως τοῦ πνεύματος τοῦ ζῶντος καὶ ἐνεργοῦς λόγου 27.1.11 οὐκέτι πάλιν κλεισθήσεται εἰς τοὺς αἰῶνας. καὶ γὰρ αὐτὸς ὁ πονηρὸς διὰ τοῦ λόγου, οὗ ἐλάλησε τῇ Εὔᾳ, εἰσῆλθε πρῶτον εἰς τὴν ἀκοὴν καὶ διὰ τῆς ἀκοῆς ἐχώρησεν εἰς τὴν καρδίαν ὑπακουσάσης τῷ λόγῳ αὐτοῦ, καὶ κατέσχε τὰς νομὰς τῆς ψυχῆς καὶ ἀπέκλεισε τὰς θύρας τῆς καρδίας ἀπὸ τοῦ διανοιχθῆναι πρὸς τὴν αἰώνιον ζωὴν καὶ τὴν πνευματικὴν ἐκείνην τῆς ἀκοῆς ἀρετήν. ἀνάγκη οὖν ὅπου ὁ ἀφανιστὴς ἐμπεριεπάτησε καὶ ἠρήμωσεν, ἐκεῖ τὸν λόγον τῆς ζωῆς δεῖ εἰσελθεῖν καὶ διορθώσασθαι τὰ ἠρημωμένα τῆς ψυχῆς τῶν 27.1.12 ἀρετῶν πράγματα. καὶ ὥσπερ ὁ βασιλεὺς εἰς πᾶσαν τὴν γῆν τὰς εἰκόνας αὐτοῦ πέμπει καὶ δι' αὐτῶν τὸ κράτος αὐτοῦ καὶ ἐξουσία γνωρίζεται, οὕτω καὶ ὁ πονηρὸς αἰχμαλωτίσας τὸ γένος τῆς ἀνθρωπότητος καὶ ὑπὸ τὴν ἰδίαν ἐξουσίαν διὰ τῆς παραβάσεως τοῦ Ἀδὰμ πάντας κατασχὼν τὰς δυσειδεῖς καὶ ζοφερὰς τοῦ σκότους αὐτοῦ εἰκόνας τῶν παθῶν τῆς ἀτιμίας ἐνέβαλεν εἰς τὰς ψυχὰς καὶ δι' αὐτῶν ἐκράτησε τὰς νομάς, εἰς πάσας ἁμαρτίας καὶ ἀκαθαρσίας ἐκτρέψας τοὺς ἀνθρώπους. 27.2.1 Οὗτός ἐστιν ὁ νόμος τῆς ἁμαρτίας ὁ ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοός, κατὰ τοῦ νόμου τοῦ θεοῦ. οὗτός ἐστιν ὁ παλαιὸς ἄνθρωπος, ὃν ἀποδύσασθαι ἡμᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προστάσσει ὁ μακάριος ἀπόστολος. τοῦτό ἐστι τὸ πνεῦμα τοῦ κόσμου, οὗπερ λυτρωθῆναι εὐχόμεθα. τοῦτό ἐστι τὸ κάλυμμα τοῦ σκότους τὸ ἐπὶ τὴν καρδίαν κείμενον, ὅπερ διὰ τῆς δυνάμεως τοῦ Ἰησοῦ περιαιρεθῆναι ἐλπίζομεν ἐπιστρέψαντες τελείως πρὸς τὸν κύριον, ἵνα «ἀνακεκαλυμμένῳ 27.2.2 προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζώμεθα». ὅσαι δὲ ψυχαὶ ἐν πίστει καὶ ἀγάπῃ πολλῇ προσεγγίζουσι τῷ κυρίῳ, ζητοῦσι παρ' αὐτοῦ τὴν λύτρωσιν καὶ τὴν χάριν τοῦ πνεύματος αὐτοῦ κομίσασθαι ἐπιθυμοῦσικαὶ ἀποστέλλει αὐταῖς κύριος τὴν ἐπιθυμητὴν καὶ ἐπουράνιον εἰκόνα τοῦ ἀρρήτου φωτὸς αὐτοῦ τὴν ζῶσαν (τουτέστι τὸν τοῦ πνεύματος αὐτοῦ νόμον τὸν καινὸν καὶ ἐπουράνιον ἄνθρωπον) καὶ διὰ τῆς ἀθανάτου καὶ ζώσης τοῦ φωτὸς τῶν ἀρετῶν αὐτοῦ εἰκόνος καταργοῦνται αἱ τοῦ σκότους δυσειδεῖς τῆς κακίας τῶν παθῶν εἰκόνες, καὶ βασιλεύει τῆς πιστῆς καὶ ἀξίας ψυχῆς τὸ πνεῦμα, ἐπιτελούσης πᾶν τὸ θέλημα αὐτοῦ καθαρῶς καὶ ἀμώμως καὶ τὸ κράτος αὐτοῦ διὰ τῆς ζώσης καὶ θεοειδοῦς τῆς χάριτος αὐτοῦ εἰκόνος εἰς τὰς ἀξίας αὐτοῦ ψυχὰς ἐν ἀληθείᾳ γνωρίζεται. 27.2.3 Ὥσπερ γὰρ ἐν τῷ παλατίῳ ἐὰν ὦσι πεπαιδευμένοι οἱ διάκονοι τοῦ βασιλέως, ἐὰν μὴ λάβωσι παρ' αὐτοῦ τὰ σκεύη τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, οὐ δύνανται ὑπηρετήσασθαι τῷ βασιλεῖἄλλο δέ εἰσιν αὐτοὶ καὶ ἄλλο τὰ σκεύη τὰ βασιλικά, ἅπερ αὐτοῖς ἐγχειρίζεται, ἐν γὰρ τοῖς ἰδίοις σκεύεσιν ὑπηρετεῖται ὁ βασιλεύς οὕτω καὶ οἱ ἄνθρωποι καὶ οἱ ἄγγελοι ἐὰν μὴ λάβωσι τὰ πνευματικὰ σκεύη τοῦ κυρίου (τουτέστι δύναμιν καὶ γνῶσιν καὶ σύνεσιν ἐκ τοῦ πνεύματος αὐτοῦ) καὶ μέτοχοι δυνάμεως θεοῦ γένωνται, οὐ δύνανται ἐπιτελέσαι ἀμώμως πᾶν τὸ 27.2.4 θέλημα τοῦ θεοῦ. καὶ γὰρ αὐτοὶ οἱ ἄγγελοι πνεύματα ὄντες ἔλαβον ἐκ τοῦ πνεύματος αὐτοῦ δύναμιν καὶ ἀνακραθέντες δι' αὐτοῦ ποιοῦσι πᾶν τὸ θέλημα τοῦ θεοῦ, ὡσαύτως καὶ αἱ ψυχαὶ τῶν ἀνθρώπων πνεύματά εἰσι, καὶ ἐὰν μὴ λάβωσι δύναμιν θεοῦ καὶ γνῶσιν ἐκ τοῦ πνεύματος αὐτοῦ, οὐ δύνανται ἐπιτελέσαι ἀξίως πᾶν τὸ θέλημα τοῦ θεοῦ. 27.2.5 Καὶ γὰρ οἱ κάτω καὶ οἱ ἄνω ἑταῖροι ἀλλήλων εἰσίν, ὥς φησιν ὁ ἀπόστολος· «εἰρηνοποιήσας» «εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς». ζῇ τοίνυν ἕκαστος ἀξίως ἐκείνου, οὗ καὶ τὴν εἰκόνα φορεῖ ἐν δυνάμει καὶ ἐνεργείᾳ, ἤτοι τὴν τοῦ θεοῦ (καὶ τῆς χάριτος, τῶν ἀρετῶν, τῆς ζωῆς) ἤτοι τὴν τοῦ πονηροῦ (τῶν παθῶν τῆς ἀτιμίας), καὶ οὐ τὴν εἰκόνα ἐν ἑαυτῷ ἔχει, εἰς τὸν ἐκείνου αἰῶνα καὶ ζῇ καὶ διαιτᾶται. ἐὰν γὰρ τὴν εἰκόνα τῆς ζωῆς τοῦ φωτὸς τοῦ πνεύματος ἔχῃ τις ἐν ἑαυτῷ, ζῇ παρὰ τοῖς ἄνω ἐν τῷ αἰωνίῳ καὶ ἀφθάρτῳ κόσμῳ, ἐὰν δὲ τὴν δυσειδῆ τοῦ πονηροῦ ἔχῃ τις ἐν ἑαυτῷ εἰκόνα, ζῇ ἐν τῷ φθαρτῷ αἰῶνι τοῖς ἄνω νεκρὸς τυγχάνων. νεκροὶ γὰρ ὀφείλουσι γενέσθαι τῷ κόσμῳ τούτῳ καὶ τῷ σαρκικῷ φρονήματι θανατωθῆναι οἱ βουλόμενοι ἐν ἐκείνῳ τῷ ἀθανάτῳ καὶ 27.2.6 αἰωνίῳ κόσμῳ ζῆσαι. ἐάν τις γὰρ παντὸς τοῦ κράτους τῆς γῆς κυριεύσῃ τῆς οὔσης ὑπὸ τὸν ἥλιον, πρόνοιαν δὲ τῆς ἑαυτοῦ ψυχῆς μὴ ποιήσῃ τοῦ ζῆσαι αὐτὴν ἐν τῷ ἀφθάρτῳ καὶ αἰωνίῳ κόσμῳ, οὐδεμίαν ὄνησιν καὶ ὄφελος ἔχει. πάντα γὰρ τὰ κτίσματα πρὸς μίαν ψυχὴν οὐκ ἰσάζεται, ὥς φησιν ὁ κύριος· «ἐὰν τὸν κόσμον ὅλον κερδήσῃς, τὴν δὲ ψυχήν σου ζημιωθῇς, τί ὄφελος ἢ τί δώσεις ἀντάλλαγμα τῆς ψυχῆς σου»; ὥστε μιᾶς ψυχῆς ὅλος ὁ κόσμος οὐκ ἄξιός ἐστιν. 27.2.7 Δύο οὖν εἰσὶ νόμοι πρὸς οὓς ἔχουσι τὴν πάλην οἱ Χριστιανοί, καὶ εἷς «νόμος ὁ τοῦ πνεύματος τῆς ζωῆς», εἰς ὃν ἀναπαύονται καὶ ζῶσι ζωὴν αἰώνιον. ἄλλος δέ ἐστι νόμος ὁ τῆς συνηθείας τοῦ κόσμου καὶ τῶν προτέρων αἰσχρῶν καὶ ματαίων ἔργων, εἰς ὃν ἕλκονται δελεαζόμενοι οἱ ἀναχωροῦντες καὶ ἀποτασσόμενοι τῷ βίῳ τούτῳ. πρὸς τοῦτον ἔχουσι τὸν ἀγῶνα οἱ ἀρχὴν ἀγαθὴν ἑλόμενοι τοῦ μὴ ὑπακούειν καὶ ταῖς προτέραις συνηθείαις ἑαυτοὺς μὴ ἐπιδιδόναι, καὶ ὅταν τοῦ νόμου τούτου καλῶς περιγένωνται καὶ νικήσωσι, τότε πόλεμον καὶ ἀγῶνα μέγαν ἔχουσι πρὸς τὸν ἀφανῆ τοῦ σκότους τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παθῶν νόμον τὸν ἐν τῇ καρδίᾳ ἐγγεγραμμένον, αὐτὴν δὴ τὴν ἐνέργειαν τῆς κακίας, τουτέστι τὴν ἁμαρτίαν τὴν ἐμποδίζουσαν τῇ ψυχῇ καὶ κωλύουσαν εἰς τὴν ζωὴν τῆς βασιλείας εἰσελθεῖν. ἔστι δὲ καὶ ὁ ἀφανὴς νόμος τοῦ πνεύματος τῆς θεότητος ὁ ζῶν καὶ ἀντιλαμβανόμενος τῆς ἀγωνιζομένης ψυχῆς πρὸς τοὺς τῆς κακίας νόμους. 27.2.8 τὸ οὖν τοῦ ἀνθρώπου ἔργον ἔοικε τῷ τοῦ κυρίου ἔργῳ. ὥσπερ γὰρ ὁ κύριος κατέλθων εἰς τὴν γῆν πολλὰ παθεῖν ὑπέμεινεν ὑβρισθεὶς καὶ ἀτιμασθεὶς καὶ σταυρωθείς, ἔπειτα καὶ «εἰς τὰ κατώτερα μέρη» κατῆλθε «τῆς γῆς» διὰ τὴν ἑαυτοῦ κληρονομίαν (τουτέστι τὰς πιστὰς καὶ ἀξίας αὐτοῦ ψυχάς), οὕτω καὶ οἱ Χριστιανοὶ πολλὰ παθεῖν ὑπομένουσιν, ἕως θανάτου πρὸς τὴν κακίαν ἀγωνιζόμενοι διὰ τὴν ἐπουράνιον αὐτῶν κληρονομίαν, ἥτις ἐστὶν αὐτὸς ὁ κύριος. 27.2.9 Σπουδάσωμεν τοίνυν καὶ ἡμεῖς πάντοτε αὐτῷ εὐάρεστοι εὑρεθῆναι, ἐν μηδενὶ τῷ νόμῳ τῆς κακίας ὑποτασσόμενοι, ἵνα τοῦ νόμου τοῦ πνεύματος τῆς ζωῆς καταξιωθέντες δυνηθῶμεν δι' αὐτοῦ καὶ τοῦ τῆς κακίας νόμου τῶν παθῶν ἀπαλλαγῆναι καὶ τῆς αἰωνίου ζωῆς ἐπιλαβέσθαι, καὶ οὕτως ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ ἁπλῶς ἀναστραφέντες καὶ πᾶν τὸ θέλημα τοῦ θεοῦ διὰ τῆς χάριτος αὐτοῦ ἐπιτελέσαντες καὶ ἄμωμοι διὰ τοῦ νόμου τοῦ πνεύματος καὶ ἄσπιλοι καταρτισθέντες τῆς αἰωνίου ζωῆς ἄξιοι γενώμεθα, σὺν τῷ κυρίῳ εἰς αἰῶνας αἰώνων ἐν ἀθανάτῳ βασιλείᾳ ἀπολαύοντες τῶν ἐκεῖ ἀγαθῶν. Δόξα τῇ μεγαλωσύνῃ καὶ ἀγαθότητι αὐτοῦ. Ἀμήν.

28.τ.1 ΛΟΓΟΣ ΚΗ΄.

28.1.1 Ὁ κύριος ἐν τῷ εὐαγγελίῳ μυστικῶν πραγμάτων διήγησιν ποιούμενός φησιν· «ἀγαπᾷ ὁ πατὴρ τὸν υἱὸν καὶ πάντα ἔδωκεν αὐτῷ εἰς τὰς χεῖρας αὐτοῦ», καί· «πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς πιστεύητε». τί ἐστι τὰ μείζονα ἔργα, ἃ δίδωσιν ὁ πατὴρ ποιῆσαι τῷ υἱῷ; νεκροὺς γὰρ ἤγειρε καὶ τυφλοῖς ἔδωκε τὸ βλέπειν, χωλοῖς τὸ περιπατεῖν, λεπροὺς ἐκαθάρισε, παραλυτικοὺς ἐθεράπευσε καὶ πᾶσαν νόσον ἰάσατο. 28.1.2 ποῖα οὖν τὰ «τούτων μείζονα ἔργα»; ἀλλὰ καὶ τὰ ἔργα τῆς κτίσεως, ἧς ἐποίησεν ὁ θεός, πάντα ἦν· οὐρανὸς γὰρ ἦν, ἥλιος καὶ σελήνη, ἀστέρες καὶ πᾶς ὁ κόσμος αὐτῶν ἦν, ἀλλὰ καὶ ἡ γῆ καὶ πᾶσα φυτεία ἦν καὶ πᾶν σπόριμον σπέρμα ἦν καὶ οἰκοδομαὶ πόλεων καὶ οἰκιῶν, ὕδωρ καὶ τὰ ἐν αὐτῷ, ὄρη καὶ βουνοί, ἀὴρ καὶ τὰ ἐν αὐτῷ πετεινὰ πάντα ἦν, ἀλλὰ καὶ νόμος ἦν καὶ γραφαὶ ἦσαν καὶ πᾶσα ἡ δικαιοσύνη τοῦ νόμου ἦν γεγραμμένη ἐν ταῖς γραφαῖς. τί οὖν τὸ λεῖπον; ἰδοὺ πάντα ἦν. τίνα ἐστὶ τὰ «μείζονα ἔργα», ἃ ἐπαγγέλλεται ὁ κύριος ποιῆσαι; καὶ γὰρ ἐν τοῖς ὁρωμένοις οὐδὲν τούτων μεῖζον ἔργον ἐποίησεν, ὡς ἐν τῷ εὐαγγελίῳ 28.1.3 ποιῆσαι ἀναγέγραπται. τίνα οὖν ἐστι λοιπὸν τὰ «μείζονα ἔργα»; ἀληθῶς μεγάλα καὶ ἀληθινὰ καὶ αἰώνια ἔργα εἰργάσατο ἐλθὼν καὶ διὸ τὰ μείζονα καὶ αἰώνια ἔργα, ἃ ἐπηγγείλατο ποιῆσαι, πᾶσα ἡ σωτήριος αὐτοῦ ἔλευσις γεγένηται· δι' ἃ καὶ τὰ φαινόμενα πάντα σημεῖα καὶ τέρατα πεποίηκεν. ἦλθε γὰρ ψυχὴν τὴν νεκρωθεῖσαν ἀπὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ καὶ ἐν νεκρότητι παθῶν κακίας γενομένην ἀναστῆσαι, τὴν ἐκπεσοῦσαν ἀπὸ ζωῆς αἰωνίου καὶ εἰς θάνατον αἰώνιον κατενεχθεῖσαν. εἶπε γὰρ ὁ θεὸς τῷ Ἀδάμ· «ᾗ δ' ἡμέρᾳ φάγῃς, θανάτῳ ἀποθάνῃς». καὶ οὕτω γέγονεν· ἀπέθανε γὰρ ἡ ψυχὴ ἀπὸ θεοῦ, τῆς αἰωνίου ζωῆς χωρισθεῖσα, τουτέστι τοῦ φωτὸς τῆς βασιλείας μηκέτι ἀπολαύουσα, ἐπεὶ εἰς τὸ φαινόμενον οὐκ αὐτῇ τῇ ἡμέρᾳ ἀπέθανεμετὰ γὰρ «ἐννακόσια τριάκοντα ἔτη» γέγραπται, ὅτι «ἀπέθανεν». 28.1.4 Ἡ ψυχὴ οὖν ἐνεκρώθη αὐτῇ τῇ ἡμέρᾳ καὶ μετὰ ταῦτα αὐτοῦ τὸ σῶμα τῷ φαινομένῳ θανάτῳ κατεδικάσθη. οὕτω καὶ νῦν ὁ κύριος ἐποίησεν ὀρθῶς τὴν κρίσιν κρίνας· ἐγείρει πρῶτον ἀπὸ νεκρότητος παθῶν τὴν ψυχὴν νῦν καὶ ἀπὸ σκότους αἰωνίου εἰς φῶς αἰώνιον μετατίθησιν αὐτήν, ἐν τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναστάσει δὲ καὶ τὸ σῶμα ἐγείρει καὶ τῆς ἀθανάτου δόξης καταξιώσει. ἐνεδύσατο γὰρ ἡ ψυχὴ τότε ἔνδυμα θανάτου, τὴν ἁμαρτίαν, καὶ ἐνορᾶν τὸν ἴδιον δεσπότην οὐκ ἠδύνατο· ἐλθόντος δὲ τοῦ σωτῆρος φησὶν Ἰωάννης· «ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου», τουτέστιν ὁ τὸν ἀόρατον θάνατον τοῦ καλύμματος τοῦ σκότους, «τὸ φρόνημα τῆς σαρκὸς» περιαιρῶν, καὶ ἐκ νεκρότητος παθῶν ἀνιστῶν τὴν ψυχήνκαὶ πάλιν θεωρεῖν τοῖς νοεροῖς αὐτῆς ὀφθαλμοῖς τὸν ἴδιον δεσπότην 28.1.5 κατηξιώθη. ἴδε ἀληθῶς τὸ πρῶτον καὶ μεῖζον πάντων ἔργων ὧν ἐποίησεν ἔργον αἰώνιον· ψυχὴν ἀνέστησεν ἀπὸ θανάτου αἰωνίου. τὰς χωλὰς οὖν καὶ τυφλὰς καὶ παραλελυμένας ψυχὰς ἦλθεν ὁ κύριος ἰάσασθαι· ἰδὲ μεῖζον ἔργον τῶν φαινομένων σημείων. πάλιν τί ἐποίησεν ἔργον μεῖζον τοῦ οὐρανοῦ καὶ τῆς γῆς ὁ κύριος, ὅτι ἐπήγγελται «μείζονα τούτων ἔργα» ποιῆσαι, ἐὰν μή, φησίν, «μείζονα τούτων» ποιήσω, μὴ πιστεύσητέ μοι; ἣν ἐνέστησε ψυχὴν ἐκ τοῦ αἰωνίου θανάτου, εἰσήγαγεν αὐτὴν εἰς κόσμον θεότητος οὐράνιον, πνευματικὸν καὶ αἰώνιον»ἐν σκέπῃ, γάρ φησι, τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται» καὶ ἥλιον δικαιοσύνης ἔδωκεν αὐτῇ ἑαυτόν, τὸν φωτίζοντα αὐτὴν φωτὶ αἰωνίῳ, εἰσήγαγεν αὐτὴν καὶ εἰς τὴν γῆν τῶν ζώντων διὰ τοῦ φωτὸς τῆς θεότητος τοῦ πνεύματος, ἵν' ὥσπερ τὸ σῶμα τοῦτο ἐπὶ γῆς περιπατεῖ καὶ ἐργάζεται τὰ ἔργα τῆς γῆς, οὕτω καὶ ἡ ψυχὴ εἰσελθοῦσα εἰς τὴν ἀόρατον τῆς χάριτος γῆν ἡ ἄνωθεν γεννηθεῖσα ἐν αὐτῇ αὐλίζηται καὶ εἰς ἐκείνην ἐργάζηται 28.1.6 ἔργα θεϊκὰ ἀρετῶν τοῦ πνεύματος. ὡς ἔλεγεν ὁ κύριος· «ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον», ἵν' ὥσπερ τὸ σῶμα ἐσθίει ἐκ τῆς γῆς καὶ πίνει, οὕτω καὶ ἡ ψυχὴ ἐσθίῃ τὸν ἀληθινὸν ἄρτον, τὸν κύριον, καὶ πίνῃ τὸ ζῶν ὕδωρ ἐκ τῆς δυνάμεως τοῦ πνεύματος. καὶ ὥσπερ τὸ σῶμα ἐσθίει καὶ πίνει ἀπὸ τῆς ἀμπέλου ταύτης, οὕτω ψυχὴ ἡ γεννηθεῖσα ἄνωθεν ἐσθίει ἀπὸ τῆς ἀληθινῆς ἀμπέλου, τοῦ κυρίου τοῦ εἰπόντος· «ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή», καὶ πίνει ἐκ τοῦ πνευματικοῦ καὶ 28.1.7 ἐνθέου οἴνου τοῦ μὴ παρέχοντος δίψαν ἢ ἐπιθυμίαν σαρκός. καὶ ὥσπερ τὸ σῶμα χρίεται εἰς ἄνεσιν ἔλαιον ἐκ τῆς γῆς ταύτης, οὕτω καὶ ἡ ψυχὴ χρίεται τὸ ἀληθινὸν τῆς ἀγαλλιάσεως ἔλαιον, αὐτὸ τὸ πνεῦμα τὸ ἄνεσιν καὶ ἀνάπαυσιν ἀληθινὴν ἀπὸ τῶν καυματηρῶν παθῶν αὐτῇ παρέχον. καὶ ὥσπερ ἀμφιέννυται τὸ σῶμα ἀμφία ἐνταῦθα καὶ ὑποδήματα, οὕτω καὶ ἡ ψυχὴ ἄφθαρτα καὶ πολυποίκιλα τοῦ πνεύματος ἀμφία ἀμφιέννυται καὶ τὰ ὑποδήματα τῆς ζωῆς ὑποδύεται. καὶ ὥσπερ ἐνταῦθά εἰσι φυτεῖαι καὶ σπέρματα καὶ ὕδατα ἐν τῇ γῇ, οὕτω καὶ ἡ ψυχὴ ἔχει φυτείας ἀοράτους καὶ σπέρματα ζωῆς καὶ ὕδωρ ζῶν, ἐξ οὗ πίνει καὶ ἔχει ἐν ἑαυτῇ πηγὴν «ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον». καὶ ὥσπερ τὸ σῶμα ἔχει τὸν ἀέρα τοῦτον, ἐξ οὗ ἀναπνεῖ καὶ ζῇ, οὕτω καὶ ἡ ψυχὴ ἔχει τὸν θεϊκὸν καὶ ἐπουράνιον τοῦ πνεύματος ἀέρα, ἐξ οὗ ἀναπνεῖ καὶ ζῇ ἀθανάτῳ ζωῇ. ταῦτα ἔλεγεν ὁ ἀπόστολος σκιὰν τῶν μελλόντων. ὁ κόσμος γὰρ ὁ φαινόμενος τύπος καὶ εἰκὼν καὶ ὑπόδειγμά ἐστι τοῦ ἀοράτου καὶ αἰωνίου τῆς θεότητος κόσμου. 28.2.1 Ἀλλὰ καὶ ὥσπερ ἐνταῦθα εἰς τὸ φανερὸν ὁ νόμος καὶ γραφαὶ καὶ δικαιοσύναι, οὕτω καὶ ὁ κύριος ἐλθὼν ἔδωκεν ἐν τῇ καρδίᾳ νόμον ἀληθινὸν ἀνεξάλειπτον τὸν τοῦ ἁγίου πνεύματος, ζῶντα καὶ ἐνεργοῦντα ζωὴν εἰς τὴν ψυχήν. καὶ ἔχει ἡ ψυχὴ καὶ νόμον ἐλευθερίας τὸ πνεῦμα καὶ δικαιοσύνην ἀληθινὴν τὸν κύριον. ἐκεῖ μὲν γάρ, ὥς φησιν ὁ ἀπόστολος, «ἡνίκα ἂν ἀναγινώσκηται Μωϋσῆς κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται», ἐνταῦθα δὲ «ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμεθα», καὶ ἐκεῖ μὲν ὥσπερ τινὰ θηρία ἢ ἑρπετὰ ἀεὶ ἐν τῇ γῇ κατοικοῦσι καὶ γῆν μεταλαμβάνουσιν, οὕτω καὶ οἱ ὑπὸ νόμον τυγχάνοντες καὶ ὑπὸ ἁμαρτίαν καὶ πάθη ὄντες γηΐνην τὴν δικαιοσύνην ποιοῦσι, διὰ τὸ καὶ γηΐνας αὐτοὺς ἔχειν ἐπαγγελίας κάτω κύπτοντες καὶ μὴ δυνάμενοι τῷ φρονήματι τῆς ψυχῆς


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνακεκαλυμμένῳ προσώπῳ προσέχειν εἰς τὴν δόξαν τοῦ θεοῦ, ὑπὸ δεσμοὺς κακίας ὄντες καὶ μηδέπω ἐλευθερωθέντες 28.2.2 ἐκ τῆς δουλείας τῆς ἁμαρτίας. νῦν δὲ οἱ ἔχοντες τὸν νόμον τοῦ πνεύματος καὶ ἐλευθερωθέντες ἐκ τῆς δουλείας τῆς ἁμαρτίας καὶ τὴν ἐπουράνιον δικαιοσύνην ἐργαζόμενοι διὰ τῆς χάριτος ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ φωτὸς Χριστοῦ κατανοοῦσι, τῷ πνεύματι αὐτοῦ τὴν ψυχὴν ἀνακραθέντες. ταῦτά ἐστι τὰ «μείζονα» καὶ ἀληθινὰ «ἔργα», ἃ ἐπηγγείλατο ποιεῖν ὁ κύριος. καὶ διὰ ταῦτα τὰ ἔργα ἦλθεν, ἵνα τὴν θανατωθεῖσαν τοῖς πάθεσι ψυχὴν ἀναστήσῃ καὶ εἰσαγάγῃ αὐτὴν εἰς κόσμον ἀληθῆ θεότητος, ἵν' ἔχῃ ἡ ψυχὴ οὔρανον καινὸν καὶ ἥλιον δικαιοσύνης καὶ γῆν φωτὸς ζῶντος, εἰς ἣν κατοικεῖν δύναται, καὶ βρῶσιν ἀληθινὴν καὶ πόσιν πνευματικὴν καὶ ἔργον ἄφθαρτον ζωῆς καὶ οἶκον καὶ πόλιν οὐράνιον καὶ ἐνδύματα τοῦ πνεύματος θεῖα καὶ στεφάνους τῆς χάριτος ἀφθάρ28.2.3 τους. καὶ πάντα ἁπλῶς, ἅπερ τὸ σῶμα ἔχει ἐνταῦθα, κατὰ τὴν εἰκόνα ταύτην καὶ ἡ ψυχὴ ἐκ τῆς ἀφθάρτου δόξης τοῦ πνεύματος κατασκευαζόμενα αὐτῇ ὑπὸ θεοῦ ἔχειν καταξιοῦται. ἀλλ' ἐπὰν ἀκούσῃς ὅτι ἡ ψυχὴ ἔχει ἀληθινὸν ἥλιον τὸν κύριον καὶ αὐτὸν ζωὴν καὶ αὐτὸν βρῶσιν καὶ πόσιν, μηδὲν ἐπίγειον ἢ χοϊκὸν νοήσῃς. τὰ γὰρ ἄφθαρτα ὡς ἄφθαρτα ἐννόει. ἄρρητα γὰρ καὶ ἀλάλητα τὰ τοῦ πνεύματος μυστήριά εἰσιν ἐν τῇ ψυχῇ ὑπὸ τοῦ κυρίου γινόμενα, ἃ πείρᾳ τοῖς ἀξίοις γινώσκεται, γλώσσῃ δὲ καὶ στόματι σαρκὸς λαληθῆναι ἀδύνατον ἢ μόνον σκιάς τινας καὶ εἰκόνας ἐν ὑποδείγματι ἐκ τοῦ κόσμου τούτου ἔστι λαμβάνειν. ἐκεῖνα γὰρ ὄντως ἄφθαρτα τυγχάνει, ἅ ἐστι πάντα ἐκ τοῦ θεϊκοῦ πνεύματος ταῖς ἀξίαις ψυχαῖς ὑπὸ τοῦ κυρίου ἐπηγγελμένα 28.2.4 ἄρρητα καὶ αἰώνια ἀγαθά. «οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς» τὴν ψυχὴν τὴν κατ' εἰκόνα αὐτοῦ κτισθεῖσαν, ὥστε ἑαυτὸν χαρίσασθαι αὐτῇ ποικίλως ἐν αὐτῇ κοσμούμενον καὶ τῆς ἰδίας φύσεως κοινωνὸν αὐτὴν καθιστῶντα, καὶ οὕτω συνανακραθεῖσα ἑνοῦται τῷ κυρίῳ, πνεῦμα καὶ αὐτὴ γινομένη. ἀπὸ τοῦ νῦν δὲ ἀνίσταται ἀπὸ τῆς πτώσεως καὶ τῆς νεκρώσεως τῶν παθῶν ἡ ψυχὴ ὑπὸ τῆς δυνάμεως τοῦ πνεύματος, καὶ ἀπὸ τοῦ νῦν εἰσέρχεται τῷ φρονήματι καὶ τῇ τοῦ νοὸς ὑποστάσει εἰς τὸν κόσμον τῆς θεότητος καὶ εἰς τὴν ἄρρητον δόξαν καὶ συνάπτεται τῷ Χριστῷ εἰς ἓν πνεῦμα μετ' αὐτοῦ γινομένη. διὰ τοῦτο γὰρ ἡ ἔλευσις αὐτοῦ γεγένηται, ἵνα ταῦτα τὰ μυστήρια καὶ τὰ θαυμάσια καὶ τὰ παράδοξα ποιήσῃ μετὰ τῆς ψυχῆς τῆς ἀγαπώσης αὐτὸν τελείως, ἐν τῷ κόσμῳ ἔτι οὔσης· ἐν δὲ τῇ ἀναστάσει καὶ αὐτὸ τὸ σῶμα καταξιοῦται τούτων τῶν χαρισμάτων, καὶ τότε συνδοξασθήσεται τῇ ψυχῇ τῇ ἀπὸ τοῦ νῦν διὰ τῆς 28.2.5 δυνάμεως τοῦ πνεύματος δοξασθείσῃ. οὐαί, εἴ τις οὐκ ἐζήτησε καὶ ἀπὸ τοῦ νῦν ἔλαβεν ἐν πληροφορίᾳ τὴν ζωὴν τῆς κοινωνίας τοῦ πνεύματος καὶ τῆς δόξης ἐκείνης μέτοχος οὐ γέγονε καὶ ἐκ τῆς νεκρότητος τῶν παθῶν ἀναστῆναι ὑπὸ τοῦ πνεύματος οὐ κατηξιώθη, ὅτι γυμνὸς καὶ ἔρημος ἀπὸ κοινωνίας θεοῦ ἀπομείνας ἔξω τῶν πυλῶν τῆς βασιλείας ἀποκλεισθήσεται. 28.2.6 Παρακαλέσωμεν οὖν τὸν κύριον, ἐν πάσῃ πίστει καὶ ἀγάπῃ πάσαις ταῖς ἐντολαῖς ἑαυτοὺς ἐκδόντες, ἵνα τῶν προειρημένων ἀγαθῶν τυχεῖν καταξιωθῶμεν καὶ τῆς τοῦ πνεύματος αὐτοῦ κοινωνίας μέτοχοι γενέσθαι, ἵνα διὰ τῆς χάριτος αὐτοῦ ἁγιασθέντες καὶ «ἄσπιλοι καὶ ἄμωμοι» καταρτισθέντες καὶ τῆς αἰωνίου ζωῆς ἄξιοι γενώμεθα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 29.τ.1 ΛΟΓΟΣ ΚΘ΄.

29.1.1 Οἱ κατὰ σκοπὸν τῆς ἀληθείας τρέχοντες καὶ ἀληθινὴν εὐχὴν τὴν δι' ἐνεργείας πνεύματος ἁγίου ἐν ἑαυτοῖς ὡς ἔμφυτον διὰ τῆς πίστεως αὐτῶν κτήσασθαι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προσδοκῶντες «ἐν πνεύματι καὶ ἀληθείᾳ» κατὰ τὴν εὐαγγελικὴν τοῦ κυρίου παρά29.1.2 δοσιν τὴν προσκύνησιν τῇ ἁγίᾳ τριάδι προσκομίζουσιν. τὴν ἀρχὴν οὖν τῆς τοιαύτης ζητήσεως εὐθέως καὶ ὀρθῶς ὀφείλουσι ποιεῖσθαι, ὅλην τὴν ἀγαθὴν ὁρμὴν καὶ ὀξύτητα τοῦ πόθου ἐν τῇ τῆς πίστεως νήψει καὶ ἐναρέτου νοὸς στοργῇ καὶ τῶν ἀγαθῶν λογισμῶν εὐθύτητι ἐν ἑαυτοῖς ἔχειν σπουδαζέτωσαν ἐν πάσῃ διαγωγῇ, ἵνα διὰ τῶν ἀγαθῶν ἐννοιῶν καὶ τῇ τῶν καλῶν μνήμῃ»ὅσα ἐστὶν ἀληθῆ» καὶ «δίκαια» καὶ «ἁγνά»εἰς φόβον θεοῦ ἡ ψυχὴ προκόπτουσα τὴν ἐπὶ τὰ κρείττονα αὔξησιν λαμβάνειν δύνηται. 29.1.3 Ἐξαιρέτως δὲ τὴν εὐχὴν ἡμῶν ἐν πίστει καὶ φόβῳ θεοῦ καταρτίζειν σπουδάσωμεν, μὴ σωματικοῖς ἔθεσιν ἐμπληροφορούμενοι ἢ συνηθείᾳ κραυγῆς ἢ συνηθείᾳ σιωπῆς ἢ συνηθείᾳ γονάτων, τοῦ νοὸς ἐν συγχύσει καὶ ταραχῇ ἢ ῥαθυμίᾳ καὶ λήθῃ ἀγνοίας δι' ἑκούσιον ἀμέλειαν κατεχομένου, ἀλλὰ μετὰ πάσης νήψεως καὶ προσοχῆς καὶ μερίμνης ἀγαθῆς τὴν ἔρευναν καὶ προσοχὴν τοῦ νοῦ ἑκάστοτε μέν, μάλιστα δὲ ἐν τῇ προσευχῇ ποιεῖσθαι σπουδάσωμεν, 29.1.4 παντὸς γηΐνου λογισμοῦ ἑαυτοὺς ἀλλοτριοῦντες καὶ πάσας ὑλικὰς ἐννοίας ἀποστρεφόμενοι καὶ ὅλον τὸν νοῦν τῆς ψυχῆς διὰ τῆς πίστεως καὶ ἐλπίδος εἰς τὴν προσδοκίαν Χριστοῦ ἔχωμεν, ἐκδεχόμενοι πᾶσαν ὥραν τὴν ἐπιφοίτησιν τῆς αὐτοῦ χάριτος, δι' ἧς τὴν ἀληθινὴν καὶ ἀρέμβαστον τοῦ πνεύματος εὐχὴν κτήσασθαι δυνάμεθα, διὰ πασῶν διεξόδων καὶ τρίβων τῶν λογισμῶν τῆς ψυχῆς τὴν ἀπεκδοχὴν τοῦ πνεύματος ἔχοντες, προορῶντες τὸν κύριον διὰ πίστεως καὶ φόβου ἐνώπιον ἡμῶν διαπαντός, οὐ τόπῳ σωματικῶς ἔξωθεν ἢ κάτω ἢ ἄνω ἀνατυποῦντες ἐν τῇ διανοίᾳ ὡς ἐν τόπῳ τινὶ τοῦ θεοῦ τυγχάνοντος 29.1.5 καὶ ἐμπεριγράφου ὄντος, ἀλλὰ ἀοράτῳ θεότητος δυνάμει καὶ ἀκαταλείπτως πανταχοῦ τυγχανούσῃ καὶ τοῖς ζητοῦσιν αὐτὴν ἐν φόβῳ καὶ τρόμῳ καὶ πόθῳ ἐν καρδίᾳ εὑρισκομένην καὶ κατὰ τὸ «μέτρον τῆς πίστεως» αὐτῶν καὶ κατὰ τὴν δύναμιν τῆς χωρήσεως αὐτῶν ἐναργῶς τῷ ἔσω ἀνθρώπῳ ἀποκαλυπτομένην διὰ σωτηρίαν καὶ ζωὴν καὶ ἁγιασμὸν ψυχῆς καὶ σώματος, τοιοῦτον σκοπὸν ἔχοντες 29.1.6 ὡς πανταχοῦ τῆς ἀπροσίτου δυνάμεως οὔσης. οὐ γὰρ ἐνδέχεται εἶναι τόπον, ἔνθα μή ἐστιν ἡ ἄρρητος τῆς θεότητος δύναμις, ἐν δὲ τῇ ψυχῇ ἡμῶν διὰ τῆς πίστεως καὶ τῆς πρὸς αὐτὸν ἐν πόθῳ ζητήσεως ἐναργῶς φανεροῦται κατὰ τὴν χώρησιν τῆς πίστεως ἡμῶν εἰς καθαρισμὸν τῆς καρδίας. οὐ γὰρ ἂν ἄλλως καθαρισθῆναι καὶ ἁγιασθῆναι καρδία δύναται, μὴ τῆς ἁγιαστικῆς τοῦ πνεύματος δυνάμεως ἐναργῶς τῇ ψυχῇ ἀποκαλυφθείσης. τότε γὰρ δυνησόμεθα ἐν πνεύματι ἄνευ ῥυπαρῶν καὶ γηΐνων καὶ ματαίων λογισμῶν προσκυνῆσαι τῷ πατρὶ καθὼς δεῖ. 29.1.7 Ψυχὴ οὖν ἡ τοιοῦτον σκοπὸν ἔχουσα καὶ ἐκδεχομένη, πότε ἡ τῆς θείας χάριτος ἐνέργεια τὴν νενεκρωμένην καρδίαν ζωοποιήσει, καὶ τὸ πῦρ τῆς ἀγάπης τοῦ πνεύματος πότε τὴν καρδίαν συλλαβὸν πᾶσαν ἐν αὐτῇ ἀκαθαρσίαν τῇ ἰδίᾳ ἐνεργείᾳ ἐκκαύσει καὶ καθαρότητα καὶ ἁγιασμὸν τοῦ ἔσω ἀνθρώπου ἐργάσηται, 29.1.8 οὐκ ὀφείλει σωματικοῖς ἔθεσιν, ὡς προείρηται, ἢ συνηθείᾳ φωνῆς ἢ σιωπῆς ἢ γονάτων κλίσει ἐν τῇ εὐχῇ πληροφορεῖσθαι, ἀλλὰ διάπυρος τῷ πρὸς κύριον πόθῳ ὑπαρχέτω πάσης ὑλικῆς ἐννοίας ἀλλοτριουμένη καὶ ἑαυτὸν ὁ μοναχὸς βίᾳ καὶ πόνῳ ὅσῃ δύναμις ἐν τῇ καρδίᾳ ἐπισυνάγων ἐκεῖ τὴν κατάκρισιν τῶν παθῶν τῆς κακίας διὰ τῆς ἐνεργείας τοῦ πνεύματος ἔστω ἐκδεχόμενος, καὶ ἐκεῖ τὴν ἀγαλλίασιν τῆς οὐρανίου χάριτος καὶ τὴν πνευματικὴν εὐφροσύνην προσδοκάτω γενέσθαι ἐρρωμένος τῇ διανοίᾳ καὶ τῷ σκοπῷ τῆς ζητήσεως κυρίου καὶ τῇ νήψει 29.1.9 τοῦ νοός. λοιπὸν ὡς ἂν βούληται ἕκαστος καὶ ὡς εὐχερὲς καὶ ἡδὺ αὐτῷ καταφαίνεται, οὕτως εὐχέσθω. εἰ μὲν χρεία κραυγῆς ἢ βοῆς, δεόμενος τοῦ κυρίου ἄνευ θορύβου καὶ συγχύσεως τοῦ νοὸς καθὼς εἴρηται· πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος «ποιήσει τὴν ἐκδίκησιν τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

βοώντων πρὸς αὐτὸν ἡμέρας 29.1.10 καὶ νυκτός». εἰ δὲ χρεία σιωπῆς, ἐν πόθῳ καὶ πόνῳ νοὸς τὴν ἀντίληψιν τῆς χάριτος ἐκδεχόμενος καὶ διὰ τῆς τοῦ σώματος προσκαρτερήσεως καὶ γονυκλισίας καὶ εὐχῆς τοὺς πνευματικοὺς θησαυροὺς τῆς ἐπουρανίου δωρεᾶς ἐν ἐπιθυμίᾳ καὶ δίψει διὰ πίστεως πάντοτε ἐκζητῶν καὶ συναγαγέτω ἑαυτὴν ἡ ψυχὴ ἀπὸ τῆς ὕλης τοῦ κόσμου καὶ τοῦ ῥεμβασμοῦ τῶν λογισμῶν μάλιστα ἐν τῇ εὐχῇ ὅση δύναμις. 29.1.11 Ὥσπερ γὰρ κατὰ τὸ σωματικὸν ὁπόταν τις ἐργάζηται, ὅλα τὰ μέλη τοῦ σώματος εἰς τὸ ἔργον συνῆκται ἀλλήλοις βοηθοῦντα καὶ πάντα τὰ μέλη τὸ ἔργον ἀποτελοῦσιν, οὕτω καὶ ἡ ψυχὴ πάντοτε μέν, ἐξαιρέτως δὲ ἐν ταῖς ὥραις τῆς εὐχῆς, μὴ ἤτω ἀλλαχοῦ τοῖς διαλογισμοῖς ἑκουσιῶς ῥεμβομένη καὶ διασκορπισμένη, ἀλλ' ὅση δύναμις πάντα τὰ ὁρώμενα τῷ σωματικῷ ὀφθαλμῷ διὰ τὸν θεὸν ὑπερορῶσα βίᾳ ἑαυτὴν συναγέτω ἀπὸ πασῶν συνηθειῶν καὶ προλήψεων οὐκ ὀρθῶν, ἔχουσα πρὸ ὀφθαλμῶν διαπαντὸς τὸν τοῦ θεοῦ φόβον, ἵνα ὅλα τὰ μέλη τῶν νοημάτων αὐτῆς ἐν τῇ εὐχῇ συνηγμένα τυγχάνωσι, τὴν προσδοκίαν τοῦ κυρίου ἐν πίστει δεχομένης, πότε ἐπιστῇ αὐτῇ διὰ τῆς ἐνεργοῦς ἐπισκέψεως ἡ τοῦ πνεύματος χάρις ἡ διδάσκουσα αὐτὴν καὶ δωρουμένη εὐχὴν ἀληθινήν, ἀπερίσπαστον, ἀρέμβαστον, καθαράν, ἵνα τότε προσκυνήσῃ ἡ ψυχὴ τῷ θεῷ καθὼς δεῖ «ἐν πνεύματι καὶ ἀληθείᾳ» καὶ προσεύξηται διὰ τῆς χάριτος ἐν ἀγαλλιάσει καὶ εὐφροσύνῃ πνευματικῇ. 29.2.1 Ὥσπερ γὰρ ὁ ἔμπορος τὴν ἐμπορίαν αὐτοῦ πραγματευόμενος οὐ διὰ μιᾶς ὁδοῦ οὐδὲ διὰ μιᾶς προφάσεως οἶδε πορίζειν τὸ κέρδος τῆς ἐμπορίας αὐτοῦ, ἀλλ' ἐντρεχῶς καὶ νηφόντως πανταχόθεν περισκοπεῖ, ἐὰν τύχῃ αὐτὸν ἐντεῦθεν ἀποτυγχάνειν τοῦ κέρδους, ἑτέρῳ πράγματι ἐπιβάλλεταιὅλος γὰρ ὁ σκοπὸς αὐτῷ ἐστι τοῦ κερδῆσαι καὶ πολυπλασιάσαι τὴν ἐμπορίαν αὐτοῦ, οὕτω καὶ ἡμεῖς τὴν εὐχὴν τῆς προσδοκίας ἡμῶν, ὅσον ἀνθρωπίνῃ ἰσχύϊ καὶ συνέσει δυνατόν, ποικίλως καὶ ἐντρεχῶς ἐν ὀρθῷ καὶ συνηγμένῳ νῷ καὶ νηφούσῃ διανοίᾳ καταρτίσωμεν, ἵνα κερδῆσαι δυνηθῶμεν τὸ ἀληθινὸν καὶ μέγα κέρδος, αὐτὸν τὸν κύριον ἡμῶν, τὸν διδάσκοντα ἡμᾶς πᾶσαν ἀγαθωσύνην ἀρετῶν καὶ ἀληθείας ἐνέργειαν, τὸν εἰπόντα πρὸς τοὺς τοιαύτην πίστιν καὶ σπουδὴν 29.2.2 ἀναλαμβάνοντας· «ἐλευσόμεθαἐγὼ καὶ ὁ πατήρ μουκαὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα», καὶ πάλιν· «ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν», ἵν' ὥσπερ ἐν ἰδίῳ θρόνῳ ἐπικαθεσθῇ καὶ ἀναπαυθῇ ἐν τῇ καρδίᾳ ἡμῶν, ὡς ἐν τῷ Ἰεζεκιὴλ γέγραπται, ὅτι ἐπεκαθέζετο ὁ θεὸς φερόμενος ὑπὸ τῶν νοερῶν καὶ θείων καὶ πνευματικῶν ζῴων γεμόντων ὀφθαλμῶν καθ' ὅλων τῶν μερῶν ἔμπροσθεν καὶ ὄπισθεν, οὕτω καὶ ψυχὴ ἡ καταξιωθεῖσα διὰ τῆς πίστεως αὐτῆς καὶ πολλῆς δεήσεως καὶ ἐν πάσαις ἐντολαῖς σπουδῆς ὑποδέξασθαι ἐν ἑαυτῇ τὸν μέγαν βασιλέα Χριστὸν καὶ ναὸς καὶ θρόνος αὐτῷ γενομένη νοερός, ὅλη ὀφθαλμὸς γίνεται καὶ ὅλη φῶς καὶ ὅλη οὐρανὸς καὶ ἀνεκλάλητον κάλλος, διὰ τῆς θείας δυνάμεως τῆς ἀνακιρναμένης ἐν τῇ ὑποστάσει αὐτῆς καὶ οὐράνιον αὐτὴν 29.2.3 καὶ ἔνθεον κάλλος διὰ τῆς κοινωνίας ἀπεργαζομένης. μακάρια τοίνυν ἡ τοιαύτη ψυχὴ ἡ σπουδὴν πολλὴν ἀναδειξαμένη Χριστῷ, ἵνα τῶν τοιούτων ἐπουρανίων ἀγαθῶν ἀπὸ τοῦ νῦν ἔτι ἐν σαρκὶ οὖσα ἐπιτυχεῖν δυνηθῇ, ἧς τὸ σῶμα ναὸς καὶ οἰκητήριον τοῦ ἐπουρανίου βασιλέως γενέσθαι καταξιοῦται, καθώς φησιν ὁ ἀπόστολος, ὅτι «τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστι» καὶ πάλιν παραινῶν τοῖς ὑπηκόοις καὶ πιστοῖς τοῦ μεγάλου τούτου ἀξιώματος σπουδάσαι διὰ τῆς πίστεως καταξιωθῆναι φησίν· «δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν». ἡ τοιαύτη ψυχὴ ὥσπερ νύμφη ἀγαθὴ ἀγαθοῦ νυμφίου συναπολαύουσα αὐτῷ τῷ κυρίῳ ἐν τῷ οἴκῳ τοῦ σώματος αὐτῆς διὰ τῆς μυστικῆς τοῦ πνεύματος κοινωνίας εὐφραίνεται ἀδιαλείπτως καθὼς εἴρηται ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ προφήτῃ· «ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί». 29.2.4 Ὑπόδειγμα δὲ καὶ ἐκ τοῦ ὁρωμένου κόσμου λάβωμεν. ὥσπερ οἰκία ἔχουσα τὸν κατασκευάσαντα δεσπότην καὶ βασιλέα αὐτῆς ἐν ἑαυτῇ κατοικοῦντα πάντα τὰ ἀγαθὰ αὐτοῦ ἐν ἑαυτῇ φέρεικαὶ γὰρ ἐκεῖ ὁ πλοῦτος καὶ οἱ διάφοροι τῶν κειμηλίων αὐτοῦ θησαυροὶ ἀπόκεινται, ἐκεῖ τὰ ὅλα ἐνδύματα τῆς διαφόρου χλιδῆς ἀποτεθησαύρισται, ἐκεῖ καθαρότης πολλὴ θυμιαμάτων καὶ πάσης εὐωδίας ηὐτρέπισται, ἐκεῖ εὐωχίαι καὶ ἑορταὶ πάντοτε γίνονται διὰ τὸν δεσπότην τοῦ οἴκου, καὶ ἁπαξαπλῶς πᾶσα ἀπόλαυσις τρυφῆς καὶ πᾶσα καλλονὴ λαμ29.2.5 πρότητος καὶ δόξης, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἡ καταξιωθεῖσα διὰ πολλῆς πίστεως καὶ πάσης ἀρετῆς τὸν κατασκευάσαντα δεσπότην καὶ βασιλέα ἐν τῷ οἴκῳ τοῦ σώματος αὐτῆς ὑποδέξασθαι καὶ νύμφη αὐτοῦ ἁγία καὶ καθαρὰ γενέσθαι διὰ τῆς ἀρρήτου καὶ μυστικῆς τοῦ πνεύματος κοινωνίας ἐκεῖ ἔχει θησαυροὺς «τῆς σοφίας καὶ γνώσεως» ἀποκρύφους, οἱ ἐν τῷ οἴκῳ τοῦ σώματος αὐτῆς ἐναπόκεινται, ἐκεῖ τὰ ἐπουράνια καὶ φωτεινὰ τοῦ πνεύματος ἐνδύματα πάσης καλλονῆς ὑπεραίροντα ἐναποτεθησαύρισται, ἐκεῖ εὐωδία πνεύματος ἁγίου πεπλήρωται, ἐκεῖ ἑορταὶ ἁγίων ἀγγέλων καὶ δυνάμεων πάντοτε ἐπιτελοῦνται διὰ τὸν ἐνοικοῦντα δεσπότην καὶ βασιλέα Χριστόν, καὶ ἁπαξαπλῶς πάσης εὐφροσύνης πνευματικῆς καὶ ἀπολαύσεως οὐρανίου ἡ τοιαύτη ψυχὴ πάντοτε ἐμπίπλαται, ἔχουσα τὸν ἐπουράνιον νυμφίον ἀδιαλείπτως μεθ' ἑαυτῆς τῷ οἴκῳ τοῦ σώματος αὐτῆς ἐνοικοῦντα. μακαρία ὄντως ἡ ψυχὴ ἐκείνη ἡ τοιούτων 29.2.6 ἀγαθῶν ἐντεῦθεν καταξιωθεῖσα. οὐαὶ δὲ οἰκίᾳ τῇ μὴ ἐχούσῃ τὸν δεσπότην αὐτῆς ἐν αὐτῇ κατοικοῦντα. ὥσπερ γὰρ ἡ ἐπίγειος οἰκία μὴ ἔχουσα τὸν ἴδιον δεσπότην κατοικοῦντα ἐν αὐτῇ ἔρημος καὶ οἰκόπεδος διὰ τὴν ἀμέλειαν καθίσταται, καὶ ἐκεῖ κύνες καὶ χοῖροι εἰσίασι καὶ ἐξίασι, καὶ ἐκεῖ αἴλουροι καὶ ἴβεις καὶ κόρακες ἐγκατοικοῦσιν, ἐκεῖ κοπριῶν γίνεται ἀποθήκη καὶ πάσης 29.2.7 ἀκαθαρσίας καὶ δυσωδίας ἡ οἰκία ἐκείνη πληροῦται· οὕτως οὐαὶ ψυχῇ ἐκείνῃ τῇ μὴ ἐγερθείσῃ διὰ τῆς χάριτος καὶ τῆς θείας δυνάμεως ἐκ τῆς πτώσεως καὶ πλάνης τῶν παθῶν τῆς κακίας καὶ μὴ ἐχούσῃ τὸν βασιλέα αὐτῆς Χριστὸν κατοικοῦντα ἐν τῷ οἴκῳ τοῦ σώματος αὐτῆς, ὅτι ἐκεῖ τῶν ὄντως πονηρῶν κοπριῶν (τουτέστι τῶν δυσωδεστάτων ἁμαρτημάτων) ἐστὶν ἀποθήκη, ἐκεῖ ἐχῖνοι καὶ ἴβεις καὶ κόρακες, τὰ πνεύματα τῆς πονηρίας, δι' ὧν τὰ πάθη τῆς κακίας ἐνεργούμενα ἐγκατοικοῦσιν ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως τὴν νομὴν εἰς τὴν ψυχὴν ἔχοντα, «ἐκεῖ σειρῆνες» «καὶ ὀνοκένταυροι» «καὶ δαιμόνια» κατὰ τὸ λόγιον τοῦ προφήτου «ὀρχήσονται», δι' ὧν οἱ πονηροὶ καὶ αἰσχροὶ καὶ μάταιοι καὶ γήϊνοι διαλογισμοὶ τῆς καρδίας ἡμῶν ἐνεργούμενοι βρύουσι καὶ ἀνεῳγμένων τῶν θυρῶν τῆς ψυχῆς εἰσίασι καὶ ἐξίασι τὰ πονηρὰ καὶ ἄγρια θηρία καὶ ἑρπετά, πνεύματα τῆς πονηρίας. 29.2.8 Αὕτη δὲ ἡ κακὴ κληρονομία τῶν παθῶν ἀπὸ τῆς παραβάσεως Ἀδὰμ πάσῃ τῇ ἀνθρωπότητι ἐδόθη, ἀπολέσαντος ἐκείνου τὴν προτέραν τῆς καθαρᾶς φύσεως εὐγένειαν καὶ τὸ ἱερὸν ἀξίωμα καὶ τοῦ ὁρᾶν τὸν ἴδιον δεσπότην στερηθέντος διὰ τὴν τῆς ἐντολῆς παράβασιν καὶ διὰ τοῦτο ἐκπλανηθέντος καὶ τοῦ παραδείσου ἐκβληθέντος. τὰ γὰρ προειρημένα κακὰ πάσῃ ψυχῇ ἐνοικεῖ καὶ ἐνεργεῖται διὰ τῶν παθῶν τῆς ἁμαρτίας τῇ μὴ ἐχούσῃ τὸν βασιλέα αὐτῆς Χριστὸν ἐν ἑαυτῇ κατοικοῦντα ἐν πάσῃ αἰσθήσει καὶ ἐπιγνώσει καὶ πληροφορίᾳ, 29.2.9 δι' οὗ ἡ παντελὴς ἴασις τῆς καρδίας γενέσθαι δύναται. οὐαὶ δὲ τῇ μὴ παρακαλούσῃ καὶ δεομένῃ τοῦ δεσπότου καὶ βασιλέως αὐτῆς Χριστοῦ ἀδιαλείπτως ἐν πίστει καὶ πληροφορίᾳ, ἵνα ἐλθὼν καθαρίσῃ αὐτὴν ἀπὸ πάσης ῥυπαρίας καὶ δυσωδίας παθῶν καὶ λυτρώσηται αὐτὴν ἀπὸ τῶν προειρημένων πονηρῶν πνευμάτων καὶ ἰάσηται αὐτὴν ἀπὸ τῶν ἀοράτων τραυμάτων τῶν παθῶν τῆς κακίας καὶ οἰκοδομήσῃ τὸν οἶκον τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σώματος αὐτῆς ἐν ἁγιασμῷ καὶ καθαρότητι. καὶ οὕτως ἐνοικήσαντος ἐν αὐτῇ πᾶσα καθαρότης καὶ ἁγιασμὸς καὶ ἀρετὴ καὶ σύνεσις καὶ γνῶσις καὶ σοφία τοῦ πνεύματος ἐκεῖ ἔσται, καὶ τοιαύτης χάριτος καταξιωθεῖσα τότε ἀξία τῆς βασιλείας τῶν οὐρανῶν καθίσταται. 29.2.10 Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν κύριον, ἕως καιρὸν ἔχομεν μετανοίας, πάσῃ νήψει καὶ γρηγορότητι πίστεως καὶ προευτρεπίσωμεν ἑαυτοὺς ἐν πάσῃ ἐναρέτῳ πολιτείᾳ, ἵνα ἐλθὼν ὁ ἐπουράνιος βασιλεὺς Χριστὸς ἐνοικήσῃ ἐν ἡμῖν κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ. ἄλλως γὰρ οὐκ ἐνδέχεται αὐτὸν παραγενέσθαι καὶ ἀναπαυθῆναι ἐν ἡμῖν, ἐὰν μὴ πρότερον, ὅσον ἔχομεν δυνάμεως καὶ ὁρμῆς, παντὸς πάθους κακίας ἀλλοτριωθῶμεν καὶ πάσαις ἀρεταῖς πνευματικαῖς ἑνωθῶμεν, καὶ οὕτως τὸν οἶκον ἡμῶν προευτρεπισάντων καὶ μονὴν δεσποτικὴν ἑτοιμασάντων τότε τῇ ἰδίᾳ χρηστότητι ἐλθὼν ὁ κύριος κατοικήσει ἐν ἡμῖν καὶ μονὴν παρ' ἡμῖν ποιήσεται, καὶ οὕτως τῇ δυνάμει τῆς χάριτος αὐτοῦ αἱ ψυχαὶ ἡμῶν καθαρισθεῖσαι καὶ τῇ τοῦ πνεύματος αὐτοῦ κοινωνίᾳ ἁγιασθεῖσαι καὶ «εἰς μέτρον» πνευματικῆς «ἡλικίας» ἐλθοῦσαι τῆς αἰωνίου ζωῆς ἀξιωθήσονται, εἰς τοὺς αἰῶνας. Ἀμήν.

30.τ.1 ΛΟΓΟΣ Λʹ.

30.1.1 Πάντα τὰ ἐν κόσμῳ φαινόμενα ἔργα ἐπ' ἐλπίδι καὶ σκοπῷ ἑκάστου γίνονται εἰς τὸ μεταλαβεῖν τῆς ἀπολαύσεως τῶν καμάτων καὶ πόνων αὐτοῦ. 30.1.2 Ὁ γεωργὸς σπείρει ἐπ' ἐλπίδι καὶ ἐπὶ τῷ σπόρῳ ἄρχεται χαίρειν, προσδοκῶν πολλαπλασίονας τοὺς καρπούς, καὶ καμάτους καὶ πόνους ὑποφέρει διὰ τὴν ἐλπίδα καὶ προσδοκίαν»ἐπ' ἐλπίδι, γάρ φησιν, ὁ ἀροτριῶν ἀροτριᾷ», καὶ ἐὰν μὴ ἐν πάσῃ πληροφορίᾳ ἀπολαύσῃ τῶν διὰ τῶν πόνων αὐτοῦ ἐπιγενο30.1.3 μένων καρπῶν, οὐδὲν ὠφελεῖται. ὡσαύτως καὶ ὁ λαμβάνων γυναῖκα ἐπ' ἐλπίδι τοῦ τέκνα ποιῆσαι καὶ σχεῖν κληρονόμους λαμβάνει, καὶ ὁ ἔμπορος ὁμοίως δίδωσιν ἑαυτὸν εἰς θάλασσαν (καὶ εἰς ἕτοιμον θανάτου κίνδυνον) διὰ τὸ κέρδος. 30.1.4 οὕτω καὶ ἐν τῷ ἔργῳ καὶ ἀγῶνι τῆς θεοσεβείας καὶ τῆς βασιλείας τῶν οὐρανῶν, ἐπ' ἐλπίδι τοῦ φωτισθῆναι «τοὺς ὀφθαλμοὺς τῆς καρδίας» καὶ τοῦ τὸν νοῦν διὰ τοῦ πνεύματος ἀνακαινισθῆναι καὶ ἀλλαγῆναι καὶ μεταβληθῆναι εἰς τοὺς καρποὺς τοῦ πνεύματος δίδωσιν ἑαυτὸν ὁ μοναχός, ἀναχωρῶν τῶν βιωτικῶν καὶ σχολάζων τῷ κυρίῳ, εὐχαῖς καὶ δεήσεσι καὶ πάσαις ἀρεταῖς ἑαυτὸν εὐτρεπίζων, προσδεχόμενος τὸν κύριον, πότε ἐλθὼν κατοικήσει ἐν αὐτῷ καὶ καθα30.1.5 ρίσει αὐτὸν ἀπὸ τῆς ἐνοικούσης τῶν παθῶν ἁμαρτίας. οὐκ ἀναπαύεται δὲ οὐδὲ ἐμπληροφορεῖται ἐν τοῖς καμάτοις αὐτοῦ καὶ τῇ πολιτείᾳ, ἕως οὗ τύχῃ τῶν ἐλπιζομένων, ἕως οὗ ὁ κύριος ἐλθὼν ἐνοικήσει ἐν αὐτῷ ἐν πάσῃ αἰσθήσει καὶ ἐνεργείᾳ πνεύματος ἁγίου. ὅτε δὲ γεύσεται τῆς χρηστότητος τοῦ θεοῦ καὶ τοῖς καρποῖς τοῦ πνεύματος ἐντρυφήσει καὶ περιαρθῇ ἀπ' αὐτοῦ τὸ κάλυμμα τοῦ σκότους καὶ τὸ ἐπουράνιον φῶς τοῦ Χριστοῦ ἐλλάμψει καὶ ἐνεργήσει ἐν αὐτῷ ἐν χαρᾷ ἀδιηγήτῳ, τότε πληροφορεῖται ἐπὶ τῷ ἐλέει τῆς χάριτος, ἔχων μεθ' ἑαυτοῦ τὸν κύριον ἐν πολλῇ ἀγάπῃ καὶ στοργῇ πνευματικῇ, καὶ χαίρει 30.1.6 μεγάλως, ὅτι τῶν ἐλπιζομένων τυχεῖν κατηξιώθη. ἀλλὰ καὶ τυχὼν τῶν πνευματικῶν ἀγαθῶν καὶ ἀναπαεὶς ἀναπαύσει ἐπουρανίῳ χαίρει μὲν μεγάλως ἐπὶ τῷ κέρδει τοῦ πνευματικοῦ πλούτουὥσπερ καὶ ὁ ἐπὶ γῆς ἔμπορος πλουσίως κερδήσας χαίρει, ἀγῶνα δὲ ἔχει καὶ φόβον τὸν ἀπὸ τῶν ἀοράτων λῃστῶν καὶ κλεπτῶν καὶ τῶν δολίων πνευμάτων τῆς πονηρίας, μήπως χαυνωθεὶς ἢ ἀμελήσας ἢ ῥαθυμήσας ἀπολέσῃ τὸν κάματον καὶ τὸν μέγαν πλοῦτον τῆς χάριτος, ἕως οὗ ἀναλύσας τοῦ κόσμου τούτου καταξιωθῇ εἰσελθεῖν ἐν τοῖς ἰδίοις, ἐν τῇ βασιλείᾳ τῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανῶν, ἐν τῇ «ἄνω Ἱερουσαλήμ», ἧς τὸν ἀρραβῶνα τῆς κληρονομίας ἀπὸ τοῦ νῦν ἔλαβεν, ἕως οὗ τὸ σῶμα ἀπόθηται ἤτοι ἐν τελείοις μέτροις τῆς χάριτος καὶ ἐν πληρώματι Χριστοῦ γένηται, φόβον ὀφείλει ἔχειν καὶ κίνδυνον ὑποπτεύειν καὶ πολλὴν μέριμναν. 30.1.7 Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν κύριον, ἵνα πληροφορήσῃ ἡμᾶς τῷ ἐλέει τῆς χρηστότητος αὐτοῦ καὶ ἀποδύσῃ ἡμᾶς «τὸν παλαιὸν ἄνθρωπον» καὶ ἐνδύσῃ τὴν ἐπουράνιον δύναμιν τοῦ πνεύματος, ἵνα κερδήσαντες τὸ ἀληθινὸν καὶ μέγα κέρδος τῆς δωρεᾶς τοῦ Χριστοῦ καὶ τῶν προσδοκωμένων, ἀπὸ τοῦ νῦν ἐν πληροφορίᾳ καὶ ἀγαλλιάσει τοῦ πνεύματος γενόμενοι καὶ οὕτω λοιπὸν ὑπ' αὐτοῦ ὁδηγούμενοι ἐν πᾶσιν, ἐν πολλῇ γαλήνῃ καὶ εἰρήνῃ ἐσόμεθα καὶ εὐάρεστοι αὐτῷ ἐν πάσαις ἐντολαῖς κατὰ τὸ θέλημα αὐτοῦ εὑρεθέντες καὶ ὑπὸ τοῦ πνεύματος αὐτοῦ τελείως ἁγιασθέντες, ἀπὸ τοῦ νῦν καὶ πάσης ῥυπαρίας καθαρισθέντες, σὺν αὐτῷ ἐν τῇ βασιλείᾳ αὐτοῦ ἀναπαυσώμεθα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

31.τ.1 ΛΟΓΟΣ ΛΑ΄.

31.1.1 Ἡ τοῦ θεοῦ σοφία ἄπειρος καὶ ἀκατάληπτος οὖσα, ἀκαταλήπτως καὶ ἀνεξιχνιάστως πρὸς τὴν τοῦ αὐτεξουσίου θελήματος δοκιμασίαν, καὶ τὰς οἰκονομίας τῆς χάριτος εἰς τὸ γένος τῆς ἀνθρωπότητος ποικίλως ἐξεργάζεται πρὸς 31.1.2 τὸ φανερωθῆναι τοὺς ἐξ ὅλης καρδίας ἀγαπῶντας αὐτόν. τισὶ μὲν γὰρ 31.1.2 προαπαντῶσι τὰ δόματα καὶ τὰ τοῦ ἁγίου πνεύματος χαρίσματα ἄνευ καμάτων καὶ πόνων εὐθὺς ἅμα τῷ προσελθεῖν καὶ αἰτῆσαι ἢ ἔσθ' ὅτε καὶ ἐν τῷ κόσμῳ ἔτι τυγχάνουσιν· οὐκ ἀργῶς δὲ οὐδὲ ἀκαίρως οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ σοφίᾳ θεοῦ τινι ἀρρήτῳ καὶ ἀκαταλήπτῳ εἰς τὸ δοκιμασθῆναι τὴν προαίρεσιν καὶ τὸ αὐτεξούσιον θέλημα τοῦ ταχέως ἐπιτυχόντος τῆς θείας χάριτος, εἰ αἴσθηται τῆς εὐεργεσίας καὶ τῆς πρὸς αὐτὸν γεγενημένης χρηστότητος καὶ γλυκύτητος θεοῦ καὶ κατ' ἀναλογίαν τῆς ἄνευ πόνων εὐεργεσίας καὶ χάριτος τὴν σπουδὴν καὶ τὸν δρόμον καὶ τὸν ἀγῶνα καὶ τὸν τῆς ἀγάπης αὐτοῦ καρπὸν τὸν ἐκ θελήματος καὶ προαιρέσεως ἐπιδειξάμενος τὴν ἀμοιβὴν τῶν χαρισμάτων ἀνταποδίδωσι, τουτέστιν εἰ ὅλον ἑαυτὸν δοὺς ἔκδοτον εἰς τὴν τοῦ θεοῦ ἀγάπην 31.1.3 τὸ αὐτοῦ θέλημα ἐπιτελέσει. οἷς δὲ καὶ ἀναχωρήσασι τοῦ κόσμου καὶ ἀρνησαμένοις τὸν αἰῶνα τοῦτον καὶ ἐν πολλῇ προσκαρτερήσει εὐχῆς καὶ νηστείας καὶ σπουδῆς τῶν λοιπῶν ἀρετῶν τυγχάνουσιν ἐπιμακροθυμεῖ ὁ θεός, τὸ δόμα τοῦ πνεύματος καὶ τὴν χάριν αὐτοῦ μὴ εὐθὺς διδοὺς καὶ ἀναπαύων αὐτούς, ἀλλὰ διὰ τῆς ἐπὶ πολὺ παρατάσεως δοκιμάζων αὐτοὺς θλίψεσι παραδιδοὺς καὶ τὴν ἀνάπαυσιν τοῦ πνεύματος τάχιον αὐτοῖς οὐ διδούς. καὶ τοῦτο οὐκ ἀργῶς οὐδὲ ἀκαίρως οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ σοφίᾳ ἀρρήτῳ εἰς δοκιμασίαν τοῦ αὐτεξουσίου θελήματος, τοῦ ἰδεῖν εἰ πιστὸν καὶ ἀληθινὸν ἥγηνται τὸν θεὸν τὸν ἐπαγγειλάμενον τοῖς αἰτοῦσι διδόναι καὶ τοῖς ζητοῦσιν εὑρίσκειν καὶ τοῖς κρούουσιν ἀνοίγειν θύραν ζωῆς, τοῦ ἰδεῖν εἰ πιστεύσας ὁ τοιοῦτος ἐξ ἀληθείας τῷ λόγῳ αὐτοῦ ἕως τέλους παραμείνῃ αἰτῶν καὶ ζητῶν καὶ κρούων, μήπως περικακήσας καὶ ὑποστείλας ἀποστραφῇ ἢ ἀπιστήσας καὶ ἀπελπίσας ὀλιγωρήσῃ, μὴ εἰς τέλος ὑπομείνας, τοῦ δοκιμάσαι τὸ θέλημα καὶ τὴν προαίρεσιν. 31.1.4 Εἰ διὰ τῆς παρατάσεως τῆς χάριτος πλέον ἐπιθυμεῖ τοῦ θεοῦ καὶ πλέον ὀρέγεται τῶν ἐπουρανίων καὶ πλείονα πόνον καὶ σπουδὴν καὶ ἀγῶνα καὶ δρόμον καὶ πᾶσαν ἀρετῆς κατάστασιν καὶ πεῖναν καὶ δίψαν ὁσημέραι προστίθησι, μὴ χαυνούμενος ὑπὸ τῆς πονηρίας καὶ τῶν λογισμῶν τῆς κακίας τῶν συνόντων τῇ ψυχῇ καὶ εἰς ὀλιγωρίαν καὶ ἀνυπομονησίαν καὶ ἀπελπισμὸν ὁδηγούντων μὴ ἐπακολουθῶν, ἀλλ' ἐφ' ὅσον ὁ κύριος διὰ τῆς παρατάσεως μακροθυμεῖ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπ' αὐτῷ, δοκιμάζων τὴν ἀγάπην καὶ πίστιν τοῦ θελήματος αὐτοῦ, αὐτὸς ὀξυτέρως καὶ ἐμπονεστέρως καὶ ἀφειδεστέρως ἀεὶ ζητῶν καὶ ἀπαιτῶν τὴν δωρεὰν τοῦ πνεύματος αὐτοῦ, πεπιστευκὼς καὶ πληροφορήσας ἑαυτόν, ὅτι ὁ θεὸς ἀληθὴς καὶ ἀψευδής ἐστιν ἐπαγγειλάμενος διδόναι τοῖς μετὰ πίστεως αἰτουμένοις τὴν χάριν αὐτοῦ ἕως τέλους ἐν πάσῃ ὑπομονῇ. αἷς γὰρ ψυχαῖς πιστὸς καὶ ἀληθὴς 31.1.5 ὁ θεὸς ἥγηται καὶ «ἐσφράγισαν, ὅτι ὁ θεὸς ἀληθής ἐστιν». ἀκολούθως τὰ προειρημένα διαφυλάττειν καθήκει, πάντοτε ἀνακρινούσαις ἑαυτάς, ἐν τίσιν ὑστεροῦσιν ὅσον ἐξ ἑαυτῶν ἢ πόνῳ ἢ ἀγῶνι ἢ σπουδῇ ἢ πίστει ἢ τῇ λοιπῇ τῶν ἀρετῶν καταστάσει, καὶ ἀνακρίνουσαι βιάζονται ὅση δύναμις ἑαυτὰς καὶ ἄγχουσιν εἰς τὴν εὐαρέστησιν τοῦ θεοῦ, ἅπαξ πιστεύσασαι, ὅτι ὁ θεὸς ἀληθὴς καὶ ὅτι ἕως τέλους ἐὰν παραμείνωσι πρὸς αὐτόν, οὐχ ὑστερήσονται τῆς δωρεᾶς αὐτοῦ, ἀλλ' ὁτεδήποτε καταξιωθήσονται τῆς ἐπουρανίου χάριτος καὶ τῆς αἰωνίου ζωῆς τεύξονται. 31.1.6 Καὶ οὕτω κενοῦσιν ὅλην τὴν ἀγάπην αὐτῶν πρὸς αὐτόν, ἀρνησάμεναι πάντα καὶ αὐτὸν μόνον ἐν πολλῇ ἐπιθυμίᾳ καὶ πείνῃ προσδοκῶσαι, καὶ τὴν αὐτοῦ παράκλησιν καὶ ἀνάπαυσιν τῆς χάριτος μόνον ἐκδεχόμεναι πάντοτε καὶ ἐπὶ μηδενὶ τοῦ κόσμου τούτου παρακαλούμεναι ἢ ἀναπαυόμεναι ἢ δεσμούμεναι ἑκουσίως, ἀλλὰ πάντοτε τοῖς ὑλικοῖς λογισμοῖς ἀντιλέγουσαι τὴν τοῦ κυρίου παράκλησιν καὶ βοήθειαν μόνην προσδοκῶσι. ταῖς τοιαύτην δὲ προαίρεσιν καὶ σπουδὴν καὶ ἀγάπης ὑπομονὴν ἀναδεχομέναις ψυχαῖς αὐτὸς ἤδη κρυπτῶς σύνεστι καὶ 31.1.7 βοηθεῖ καὶ διαφυλάσσει καὶ ὑποστηρίζει εἰς ἕκαστον ἀρετῆς καρπόν. κἂν ἐν θλίψει καὶ πόνῳ τυγχάνωσι καὶ εἰ ἐν ἐπιγνώσει ἀληθείας καὶ φανερώσει ψυχῆς τὴν χάριν τοῦ πνεύματος καὶ τὴν ἀνάπαυσιν τῆς ἐπουρανίου δωρεᾶς οὐδέπω ἐκομίσαντο καὶ οὐκ ᾔσθοντο διὰ τὴν ἄρρητον τοῦ θεοῦ σοφίαν καὶ τὰ ἀνεκδιήγητα αὐτοῦ κρίματα τοῦ δοκιμάζοντος διαφόρως τὰς ψυχὰς καὶ εἰς τὴν ἐκ θελήματος καὶ προαιρέσεως ἀγάπην ἀποσκοποῦντος· καὶ οἷς μὲν τάχιον τὴν ἰδίαν τοῦ πνεύματος χάριν παρέσχε, τούτων δοκιμάζοντος τὴν ἀναλογίαν τῆς ἀγάπης καὶ σπουδῆς καὶ δρόμου καὶ ὀξύτητος καὶ τὴν ἄρνησιν τοῦ κόσμου, οἷς δὲ ἐν τῷ μακροθυμεῖν παρέτεινε τὴν ἐν αἰσθήσει καὶ ἀποκαλύψει χάριν αὐτοῦ τούτων τὴν ὑπομονὴν καὶ τὴν ἕως τέλους πρὸς αὐτὸν ἀγάπην καὶ σπουδὴν καὶ ἀδίστακτον πίστιν, πάντα τὰ ὁρατὰ ὅσον ἐν θελήματι ἀποστρεφομένων καὶ τέλος πρὸς αὐτὸν ἑαυτοὺς κενωσάντων καὶ τότε τὴν ἐπαγγελίαν τοῦ πνεύματος κομιζο31.1.8 μένων. ὅροι γὰρ καὶ μέτρα καὶ σταθμοὶ τῆς αὐτεξουσίου προαιρέσεως καὶ τοῦ θελήματος τῆς πρὸς αὐτὸν ἀγάπης καὶ σπουδῆς παρὰ θεῷ τυγχάνουσιν, ἀποσκοποῦντος τῷ μέτρῳ τῆς ἐκ προαιρέσεως πρὸς αὐτὸν ἀγάπης καὶ σπουδῆς καὶ τῆς εἰς πάσας τὰς ἁγίας αὐτοῦ ἐντολὰς ὅση δύναμις διαθέσεως, καὶ οὕτω τῆς βασιλείας καὶ τῆς αἰωνίου ζωῆς καταξιοῦντος ἀναπληρώσαντας τὸ τῆς ἀγάπης αὐτῶν καὶ ὀφειλῆς πρὸς αὐτὸν μέτρον. 31.2.1 Ὥς γὰρ ἐὰν ᾖ τις πλούσιος σφόδρα καὶ ἔνδοξος ἀνήρ, προσέλθῃ δέ τις αὐτῷ ἐκ θελήματος αὐτοῦ ἀνὴρ ἐνδεὴς καὶ πτωχός, ὑστερούμενος πάντων, οὗτος δὲ ὁ πένης κενώσῃ τὴν ἀγάπην αὐτοῦ ὅλην πρὸς τὸν πλούσιον μηδὲν ἕτερον ἀποσκοπῶν μηδὲ ἔχων εἰς ἕτερόν τινα ἐλπίδα, ἀλλ' εἰς αὐτὸν μόνον ἔχῃ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐξ ὅλης καρδίας εἰς τὸν οἶκον αὐτοῦ κάμνων, καὶ αὐτὸς πρὸ ὀφθαλμῶν ᾖ αὐτῷ τὰ πάντα ζωὴ καὶ τροφὴ καὶ ἔνδυμα καὶ ἁπαξαπλῶς ὅλην τὴν ἀγάπην τῆς διανοίας αὐτοῦ πρὸς αὐτὸν ἔχῃ, καὶ πάσης ἐλπίδος περικόψας ἑαυτὸν πρὸς αὐτὸν ὅλας αὐτοῦ τὰς ἐλπίδας ἔδησε, τότε ὁ ἔνδοξος ἐκεῖνος καὶ πλούσιος ἀνήρ, ἰδὼν αὐτὸν οὕτως ἐπὶ πολὺ ὅλην ἐξ ὅλου τὴν ἀγάπην πρὸς αὐτὸν κενώσαντα καὶ μηδὲν πρὸ ὀφθαλμῶν ἔχοντα εἰ μὴ αὐτὸν ὅλῃ καρδίᾳ καὶ ὅση δύναμις αὐτῷ εἰς τὸν οἶκον αὐτοῦ ἐργαζόμενον καὶ πάσης ἐλπίδος ἑαυτὸν περικόψαντα καὶ εἰς αὐτὸν μόνον ὅλας τὰς ἐλπίδας αὐτοῦ κενώσαντα, οὕτως ἰδὼν τὴν τοῦ πένητος ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλοῖς χρόνοις πρὸς αὐτὸν ἐξ ὅλης καρδίας ἀγάπην χρηστευόμενος σφόδρα πρὸς αὐτὸν τὸν ὀφθαλμὸν αὐτοῦ εἰς ἀγαθὰ πρὸς αὐτὸν τίθησι καὶ καθιστᾷ αὐτὸν ἐπίτροπον καὶ ἐξουσιαστὴν εἰς τὸν οἶκον αὐτοῦ, ἅτε δὴ εὔνοιαν τοιαύτην καὶ σπουδὴν καὶ ἀγάπην ἐξ ὅλης δυνάμεως πρὸς αὐτὸν δεδειχότα καὶ ὁσημέραι μείζονα τὴν ἀγάπην αὐτοῦ πρὸς αὐτὸν καὶ εὔνοιαν 31.2.2 ἔχοντα, τότε δίδωσιν αὐτῷ ἐνδύματα ἔνδοξα ἐκ τῆς ἰδίας ὑποστάσεως καὶ ἐφ' ἵππων καὶ ἁρμάτων καθέζεσθαι αὐτὸν ἐν πολλῇ τιμῇ καταξιοῖ καὶ τὴν οὐσίαν καὶ τὸν πλοῦτον ὡς πιστῷ ὄντι ἐγχειρίζει αὐτῷ, καὶ οὕτω τὴν ἀγάπην καὶ εὔνοιαν, ἣν εἰς τὸν πλούσιον ἄνδρα ὁ πτωχὸς ἐνεδείξατο, ἀνταπολαμβάνει αὐτὸς πολλαπλασίονα. πάλιν γὰρ ὁ πλούσιος ἐγχειρίσας αὐτῷ τὰ ἴδια αὐτοῦ πράγματα ὅλην τὴν ἀγάπην αὐτοῦ πρὸς αὐτὸν ἔχει καὶ αὐτὸς αὐτῷ ἐστιν ἀνάπαυσις καὶ τὰ πάντα ἐν χερσὶν αὐτοῦ καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς ἀγαθὸν πρὸς αὐτὸν πάντοτε ἀποσκοποῦσιν. ἰδοὺ ἅπερ ἐπεδείξατο καλὰ καὶ ἀγάπην τὴν ἐξ εὐνοίας, πολλαπλασίονα ἀνταπέλαβεν. 31.2.3 Εἰ οὖν ἀπὸ ἀνθρώπων τοσαύτην ἀκολουθίαν ἀνταποδόσεως ἡ ἀγάπη κέκτηται, πόσῳ μᾶλλον ἡ προσερχομένη τῷ κυρίῳ ψυχὴ τῷ ὄντως μόνῳ πλουσίῳ, οὖσα δὲ πτωχὴ καὶ ἐνδεὴς ἀπὸ τῆς αἰωνίου ζωῆς καὶ τοῦ πλούτου τοῦ Χριστοῦ καὶ τοῦ ἐπουρανίου ἄρτου ὑστερουμένη. κενώσασα γὰρ τὴν ἀγάπην αὐτῆς ὅλην πρὸς τὸν κύριον καὶ πρὸ ὀφθαλμῶν αὐτὸν μόνον ἔχουσα καὶ τὰ πάντα ἡγησαμένη, ζωήν, ἔνδυμα, πλοῦτον, τρυφήν, καὶ πάσης ἐλπίδος ἑαυτὴν περικόψασα καὶ αὐτὸν μόνον ἐλπίδα ἔχουσα καὶ προθύμως εἰς τὸν οἶκον αὐτοῦ τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα ὅση δύναμις αὐτῇ ἐστιν ἐπιτελοῦσα, καὶ οὕτω πρὸς αὐτὸν κενωθεῖσα ὅλη ἐξ ὅλου κἂν παραυτὰ τῶν οὐρανίων χαρισμάτων οὐκ ἔτυχεν, ὅμως τετήρηται αὐτῇ ὁτεδήποτε ἀνταπολαβεῖν τὴν ἀγάπην αὐτῆς καὶ τὴν πρὸς αὐτὸν εὔνοιαν, ἐὰν εἰς τέλος διαμείνῃ, προσεπαύξουσα πάντοτε τὴν εἰς αὐτὸν πίστιν καὶ ἀγάπην καὶ ἐλπίδα καὶ πάσης ἀρετῆς ἐπιτήδευσιν καὶ οὕτω τεύξεται τῶν οὐρανίων χαρισμάτων, δοκιμασθεῖσα καὶ εἰς τέλος ὑγιῆ τὴν λατρείαν καὶ σπουδὴν καὶ ἀγάπην καὶ εὔνοιαν πρὸς αὐτὸν ἐνδειξαμένη, καὶ πλούτου ἐπουρανίου καταξιοῦται ὡς πιστὴ καὶ εὔνοιαν πᾶσαν πεποιηκυῖα, καὶ οὕτω τῆς αἰωνίου ζωῆς τευξαμένη «πάντοτε σὺν τῷ κυρίῳ» ἐν τῇ βασιλείᾳ αὐτοῦ ἀναπαύσεται. 31.2.4 ἵνα δὲ μὴ δόξωμεν ἀφ' ἑαυτῶν τὰς παραβολὰς λέγειν ἐξ ἀνθρωπίνων ὑποδειγμάτων φέροντες, ἐκ τῶν θείων γραφῶν ταῦτα καταμάθωμεν σύμφωνα, ὡς προειρήκαμεν, λεγουσῶν· ἐκεῖνος ὁ νεώτερος υἱὸς ὁ λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ καὶ καταδαπανήσας μετὰ πορνῶν ζῶν ἀσώτως καὶ εἰς πενίαν μεγάλην καταντήσας καὶ εἰς τοσαύτην ἔνδειαν ἐλθών, ὥστε μήτε κερατίων κορεννύειν τὴν γαστέρα αὐτοῦ, εἰς ἑαυτὸν γεγονὼς καὶ μνησθεὶς τοῦ πατρικοῦ πλούτου καὶ τῆς εὐσπλαγχνίας αὐτοῦ εἶπε· «πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων, καὶ ἐγὼ λιμῷ ἀπόλλυμαι», καὶ ἐπιστρέψας καὶ ἐλθὼν πρὸς τὸν πατέρα ὅλην τὴν ἀγάπην αὐτοῦ ἐκένωσε πρὸς αὐτὸν εἰπών· «οὔκ εἰμι ἄξιος κληθῆναι υἱός σου», καί· «ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, πάτερ». τότε ἰδὼν ὁ πατὴρ τὴν ἐξ ὅλης καρδίας αὐτοῦ μετάνοιαν καὶ τὴν πρὸς αὐτὸν ἀγάπην, ὅτι ὅλος ἐξ ὅλου πρὸς αὐτὸν ἐκενώθη, μηκέτι ἔχων ἄλλην τινὰ ἐλπίδα πρὸ ὀφθαλμῶν, ἀλλὰ μόνον τὸ πρόσωπον τοῦ πατρός, ἀνταπέδωκεν αὐτῷ τὴν ἀγάπην τὴν πρὸς αὐτὸν καὶ στολῆς τῆς πρώτης κατηξίωσε καὶ τοῦ δακτυλίου καὶ τὸν σιτευτὸν μόσχον δι' αὐτὸν ἔθυσε, καὶ τοῦ πατρικοῦ πλούτου κοινωνὸς 31.2.5 γέγονεν οὗτος. ταύτῃ δὲ τῇ παραβολῇ ἐχρήσατο ὁ κύριος πρὸς ψυχὰς ἐκ θελήματος καὶ προαιρέσεως αὐτῶν ἐπιστρεφούσας καὶ ὁλόκληρον ἀγάπην ἐνδειξαμένας πρὸς κύριον πρότερον καὶ μετάνοιαν καὶ σπουδὴν καὶ πόνον καὶ ἀγῶνα, καὶ τότε τῶν πνευματικῶν ἀγαθῶν τυγχανούσας καὶ τῆς αἰωνίου ζωῆς ἀξιουμένας, μόνον αὐτῷ ἐξ ἑαυτῶν ἕως τέλους ὅση δύναμις ἐν πάσαις ἀρεταῖς τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σπουδὴν ἐὰν ἐπιδείξωνται τῆς ἀγάπης καὶ τὸ μέτρον αὐτῶν ἀναπληρώσωσι τὸ τῆς ὀφειλῆς. 31.3.1 Εἰς δὲ τὸ ἕτερον μέρος οἷς προαπαντᾷ ἡ χάρις καὶ ταχέως τῆς δωρεᾶς τοῦ πνεύματος τυγχάνουσιν ἀκοπιάστως πῶς καὶ αὐτῶν ἡ προαίρεσις καὶ τὸ θέλημα δοκιμάζεται, εἰ κατὰ ἀναλογίαν τῶν εὐεργεσιῶν τὴν εὔνοιαν καὶ τὴν σπουδὴν τῆς ἀγάπης αὐτῶν πρὸς αὐτὸν καὶ πάσης ἀρετῆς ἐπιτήδευσιν ἐνδείξονται καὶ τῶν εὐεργεσιῶν αἴσθονται καὶ ἀξίους τοὺς καρποὺς καὶ τὸ μέτρον καὶ τὴν 31.3.2 ὀφειλὴν τῆς ἀγάπης τοῦ θελήματος ἀναπληρώσουσιν. ἄλλῃ παραβολῇ ἀκολούθῳ ἐκ τῆς γραφῆς χρησόμεθα. τῷ Ἰσραὴλ τὰ δόματα καὶ τὰ χαρίσματα καὶ αἱ εὐεργεσίαι ἐκεῖναι αἱ πολλαὶ τοῦ θεοῦ προαπήντησαν πρὸ τοῦ τι αὐτὸν εἰς θεὸν ἐργάσασθαι καὶ ἀρετῆς ἐπιτηδεύματα ἐνδείξασθαι τοιούτων εὐεργεσιῶν ἄξια. πόσα γὰρ τεράστια αὐτοῖς πεποίηκεν ὁ θεός, τοῦτο μὲν τοὺς Αἰγυπτίους πάσῃ παιδείᾳ καὶ μάστιγι δι' αὐτοὺς μαστίξας καὶ ἐξαγαγὼν αὐτοὺς ἐξ Αἰγύπτου μετὰ δυνάμεως μεγάλης καὶ πλούτου πολλοῦ, τοῦτο δὲ στύλῳ νεφέλης ἐν ἡμέρᾳ ἀπὸ καύματος ἐπισκιάζων. καὶ πάλιν τὴν ἐρυθρὰν θάλασσαν διαρρήξας ὡς διὰ ξηρᾶς αὐτοὺς διήγαγεν ἀπὸ τῶν ἐχθρῶν διασώσας καὶ τοὺς Αἰγυπτίους κατεπόντισεν ἐν τοῖς ὕδασι, δι' αὐτοὺς ὕδατα πικρὰ εἰς γλυκέα μετέβαλε, μάννα ἐξ οὐρανοῦ ἐπὶ τεσσαράκοντα ἔτεσιν ὤμβρει αὐτοῖς ὑποδήματα καὶ ἐνδύματα αὐτῶν οὐκ ἐτρίβησαν ἔτεσι τοσούτοις, νόμον δακτύλῳ θεοῦ γεγραμμένον λαβεῖν ἠξιώθησαν καὶ τῆς ἱερατείας τὸ ἀξίωμα καὶ προφητείας ἐδωρήσατο τῷ ἔθνει αὐτῶν, καὶ πάσας τὰς λοιπὰς χάριτας τῶν εὐεργεσιῶν, ἃς τάχα οὐδὲ ἀριθμῆσαι εὐχερές, ἔλαβον πρὸ τοῦ τι αὐτοὺς τῶν εὐεργεσιῶν ἐκείνων ἄξιον ἐπιδείξασθαι. καὶ μετὰ τὰς δωρεὰς καὶ χάριτας τὰς πολλὰς ἐκείνας δοκιμασθέντες καὶ τὸν καρπὸν καὶ τὴν ἀντίδοσιν τῆς ἐκ προαιρέσεως αὐτῶν ἀγάπης πρὸς κύριον ἐπιζητηθέντες εὑρέθησαν διάκονοι ἀπὸ τῆς πρὸς αὐτὸν ἐν πολλῇ ἀγάπῃ λατρείας. 31.3.3 τέλος γὰρ ἐν εἰδώλοις καὶ πορνείαις καὶ πάσαις ἀσεβείαις ἐξετράπησαν, ὡς καὶ ἐν τῷ Ἰεζεκιὴλ τὸ πνεῦμα τὸ ἅγιον ὀνειδίζει αὐτούς, πόσας εὐεργεσίας παρέσχετο αὐτοῖς, καὶ οὗτοι οὐδὲν ἄξιον τῶν εἰς αὐτοὺς γεγενημένων χαρισμάτων ἐπεδείξαντο καὶ γὰρ πρὸς αὐτούς ἐστιν ὁ λόγος ὁ λέγων· «εὗρον σε ἐν τῇ ἐρήμῳ γυμνὴν καὶ ἀσχημονοῦσαν, καὶ ἔπλυνά σε ἐκ τοῦ αἵματος τῆς μελανίας σου, καὶ ἐκόσμησά σε κόσμῳ καὶ περιέθηκά σοι ψέλλια ἐν ταῖς χερσὶ καὶ βηρύλλιον τῷ μετώπῳ σου καὶ διάδημα ἐπὶ τῆς κεφαλῆς, σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἔφαγες, καὶ ἐγένου ὀνομαστὴ ἐν πᾶσι τοῖς ἔθνεσι. καὶ μετὰ ταῦτα ἐκτραπεῖσα ἀπῆλθες ἐν ταῖς πορνείαις σου ὀπίσω τῶν ἐραστῶν σου». κόσμησις γὰρ αὐτῆς καὶ διατροφὴ καὶ καλλωπισμὸς ἐκεῖναι πᾶσαι αἱ εὐεργεσίαι ἦσαν «καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία» καὶ ἡ ἱερατεία καὶ ἡ προφητεία καὶ πᾶσα 31.3.4 ἐκείνη ἡ ἐν τῇ προτέρᾳ διαθήκῃ κατάστασις. καὶ πόσοις χρόνοις καὶ καιροῖς ἐμακροθύμησεν ἐπ' αὐτοῖς ὁ θεός, ἐκδεχόμενος τὴν ἐπιστροφὴν αὐτῶν καὶ τὸν καρπὸν τῆς ἀνταποδόσεως τῶν πολλῶν ἐκείνων καὶ ἀρρήτων εὐεργεσιῶν καὶ ἁμαρτανόντων αὐτῶν οὐκ ἀφίστατο ἀπ' αὐτῶν ἡ τοῦ πνεύματος χάρις, ἀλλὰ καὶ προφητεία παρ' αὐτοῖς ἦν καὶ ἡ ἱερατεία καὶ πᾶσα ἡ νομικὴ λατρεία, ἕως ἔσχατον κατὰ πολλὴν φιλανθρωπίαν τοῦ θεοῦ καὶ πατρὸς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ εἰς σωτηρίαν αὐτῶν ἀποστείλαντος πάσαις ταῖς ἀνομίαις αὐτῶν προσέθεντο καὶ τὴν τοῦ μονογενοῦς υἱοῦ ἀναίρεσιν, καὶ τότε λοιπὸν λόγον ποιήσας καὶ ἀπαριθμησάμενος αὐτῶν τὰ πολλὰ ἀνομήματα καὶ ὑπερπλεονάζοντα εὑρὼν αὐτὰ καὶ ἀναξίους κρίνας αὐτοὺς τῆς σωτηρίας. διὰ τὸ ἀναισθήτῳ καρδίᾳ μὴ ἐπιστρέψαι πρὸς αὐτὸν καὶ τῶν πολλῶν εὐεργεσιῶν μὴ αἰσθέσθαι, εἰς τέλος κατέλιπε πανταχόθεν αὐτοὺς γυμνώσας καὶ ἐν τοῖς ἔθνεσι διασπείρας. 31.3.5 Πάσης οὖν διακοσμήσεως καὶ καλλωπισμοῦ καὶ δόξης ἐγύμνωσε τὴν συναγωγὴν αὐτῶν (τουτέστι προφητείας,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἱερατείας, ἱεροῦ, βασιλέων) καὶ διὰ τὴν ἀναισθησίαν αὐτῆς ἐν τῇ ἀρχαίᾳ ἀκαθαρσίᾳ καὶ ἀτιμίᾳ κατέλιπεν αὐτήν, λαβὼν ἀπ' αὐτῆς ἅπερ δέδωκε δόματα καὶ χαρίσματα καὶ εὐεργεσίας διὰ τὴν πολλὴν αὐτῆς ἄγνοιαν καὶ ἐπὶ τὸ χεῖρον ὁρμήν, καὶ ἀναξίας τῆς διακοσμήσεως καὶ τῶν δομάτων ἐκείνων κριθείσης ἤρθη ἀπ' αὐτῆς «ἡ βασιλεία», καθώς φησιν ὁ κύριος, καὶ ἐδόθη 31.3.6 «ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς». ταῦτα δέ μοι νόει καὶ ἐπὶ ψυχῆς, ἥτις 31.3.6 τάχιον ἀξιοῦται τῆς ἐπουρανίου δωρεᾶς καὶ τῆς χάριτος τοῦ πνεύματος εὐχερῶς καὶ εὐκόλως πρὸ τοῦ τι ἐνδείξασθαι ἀρετῆς καὶ πόνων καὶ ἀγώνων ἐπιτυγχάνει. ἐὰν γὰρ μὴ αἴσθηται τῆς εὐεργεσίας καὶ τῆς εὐκόλως αὐτῇ ἀπαντησάσης χάριτος καὶ δωρεᾶς ἐπουρανίου καὶ κατ' ἀναλογίαν ἀξίους καρποὺς μὴ ἐπιδεικνύῃ πάντοτε καὶ τὴν πρὸς κύριον ὁρμὴν καὶ πόνον ἀγῶνος πάσῃ σπουδῇ καὶ προθυμίᾳ μὴ ἐνδείξηται καὶ τὴν ἀγάπην αὐτῆς ὅλην μὴ κενώσῃ τῇ εὐαρεστήσει τῇ πρὸς τὸν θεόν, ἐν μηδεμιᾷ παρεκτροπῇ τὴν χάριν λυποῦσα, κἂν σὺν αὐτῇ ᾖ τὸ τοῦ πνεύματος χάρισμα καὶ αἴσθηται αὐτοῦ συνόντος, αὐτὴ δὲ τὰς κατ' ἀξίαν ἀνταποδόσεις τῆς ἀμώμου καὶ ἐξ ὅλης προαιρέσεως καὶ θελήματος λατρείας μὴ ἀνταποδῷ συνενουμένη καὶ προσκολλωμένη πάντοτε τῷ πνεύματι τῆς ἀρρήτου εὐεργεσίας καὶ ποιοῦσα τὴν ἀνταπόδοσιν καὶ ἀναλογίαν τῆς κατ' ἀξίαν ἀγάπης καὶ σπουδῆς καὶ πάσης ἀρετῆς, ἕως ἔστιν ἐν σώματι, μακροθυμεῖ ἐπ' αὐτῇ διὰ πολλὴν χρηστότητα, ἐκδεχόμενος τὴν ἐξ ὅλης καρδίας ἐπιστροφὴν καὶ μετάνοιαν αὐτῆς καὶ τῶν ἁμαρτιῶν καὶ τῆς ἀμελείας καὶ καταφρονήσεως 31.3.7 ἀνεχόμενος. εἰ δὲ ἔτι εἰς τέλος ἀναίσθητος τῶν εὐεργεσιῶν μείνῃ, καθυβρίσασα τὰ δόματα καὶ τὴν χάριν τοῦ πνεύματος καὶ τῇ ἀγνοίᾳ καὶ ἀναισθησίᾳ ἀκολουθήσασα, καὶ τὸ μέτρον τῆς ἀγάπης μὴ ἀνταποδῶ, ἐν τῷ ἐξέρχεσθαι τοῦ σώματος λόγος πρὸς αὐτὴν γίνεται· καὶ τῶν παραπτωμάτων καὶ τῆς ἀμελείας καὶ τῆς καταφρονήσεως δι' ἀναισθησίαν καὶ ἄγνοιαν ὑπερπλεονασάντων μηδὲν ἄξιον τῆς χάριτος καὶ εὐεργεσίας ἀνταποδοῦσα ἐξ ἰδίου θελήματος καὶ προαιρέσεως εὑρεθεῖσα μηδὲ τὸ τάλαντον καὶ τὴν μνᾶν διπλασίονα ἐπιδειξαμένη εἰς ἀτιμίαν καὶ ἀφανισμὸν καὶ φθορὰν καὶ κόλασιν τοῖς πνεύμασι τῆς πονηρίας εἰς τέλος παραδίδοται, εἰς ὀδύνην καὶ θλῖψιν αἰώνιον, ὅτι οὐκ ᾔσθετο τῶν χαρισμάτων καὶ τῶν εὐεργεσιῶν τοῦ θεοῦ, εὐχερῶς καὶ εὐκόλως διὰ φιλανθρωπίαν αὐτοῦ εἰς προτροπὴν καὶ βοήθειαν καὶ ἀντίληψιν αὐτῆς τάχιον ἀπαντησάντων, μηδὲν ἄξιον καὶ πρέπον ἐπιδειξαμένη, ἀλλὰ πάντοτε τοῖς ἰδίοις θελήμασιν 31.3.8 ἐξακολουθήσασα· διὸ καὶ τέλους τοιούτου τετύχηκε. μέτρα γὰρ καὶ ὅροι καὶ σταθμοὶ τῆς ἐκ προαιρέσεως τοῦ ἀνθρώπου σπουδῆς καὶ ἀγῶνος καὶ ἀγάπης καὶ πόνου καὶ πίστεως καὶ πάσης ἀρετῆς παρὰ θεῷ τυγχάνουσι. 31.4.1 Δίκαιος γάρ ἐστιν ὁ θεὸς καὶ δίκαια τὰ κρίματα αὐτοῦ καὶ «προσωποληψία παρ' αὐτῷ οὐκ ἔστιν», ἀλλὰ κατὰ ἀναλογίαν τῶν εὐεργεσιῶν ἢ γνώσεως ἢ συνέσεως ἢ διακρίσεως ἢ φύσεως ἕκαστον κρινεῖ καὶ τὰ κατ' ἀξίαν ἀποδώσει ἐν ἡμέρᾳ κρίσεως. «δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται καὶ ὁ ἐλάχιστος συγγνωστὸς ἔσται ἐλέους» καὶ ὁ κύριος λέγει· «ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας δαρήσεται πολλάς· καὶ ὁ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. καὶ ᾧ πολὺ παρέθεντο περισ31.4.2 σότερον ἀπαιτήσουσιν αὐτόν». τὴν δὲ γνῶσιν διαφόρως νόει ἤτοι κατὰ χάριν καὶ δόμα ἐπουράνιον ἤτοι κατὰ ἀκοὴν τῶν γραφῶν ἤτοι κατὰ σύνεσιν καὶ διάκρισιν καὶ νόησιν. ἕκαστος γὰρ κατὰ ἀναλογίαν τοὺς καρποὺς τῆς ἀρετῆς ἀπαιτηθήσεται καὶ τὴν ἐμπορίαν τοῦ ταλάντου καὶ τὴν αἴσθησιν τῶν εὐεργεσιῶν. ἀναπολόγητος τοίνυν πᾶς ἄνθρωπος ἔσται παρὰ θεῷ ἐν ἡμέρᾳ κρίσεως. 31.4.3 ἕκαστος γὰρ καθὸ ἔγνω τὴν πίστιν καὶ τὴν ἀγάπην καὶ τοὺς καρποὺς τῆς ἀρετῆς καὶ τὴν ἀνταπόδοσιν τῆς πρὸς θεὸν ἐκ προαιρέσεως ἀγάπης ἀπαιτηθήσεται ἤτοι δι' ἀκοῆς μόνον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔσχε τὸν κύριον ἢ διὰ μαθήσεως γραφῶν ἤτοι κατὰ τὴν νόησιν καὶ σύνεσιν καὶ διάκρισιν αὐτοῦ ἤτοι κατὰ ἀληθινὴν ἐπίγνωσιν καὶ ἐπίσκεψιν καὶ αἴσθησιν τοῦ πνεύματος καὶ τῶν μελλόντων ἀγαθῶν πληροφορίαν διὰ τῆς ἐπουρανίου γλυκύτητος καὶ ἀποκάλυψιν τοῦ πνεύματος. κατὰ τὸ μέτρον οὖν ἕκαστος τὸ κατ' ἀξίαν τὴν σπουδὴν τῆς πρὸς αὐτὸν ἀγάπης καὶ λατρείας καὶ πίστεως καὶ πάσης ἀρετῆς ἐπιτήδευσιν ἀπαιτηθήσεται. 31.5.1 Καὶ ὁ μηδέποτε δὲ λόγον θεοῦ ἀκούσας μήτε Χριστιανοῖς ἢ φοβουμένοις τὸν θεὸν ἀπαντήσας, ἀλλ' ἐν πλάνῃ εἰδωλολατρείας ἀναστραφεὶς εἰς τέλος δικαίως καὶ οὗτος κατακριθήσεταιδικαίως γὰρ κρινεῖ ὁ θεὸς πάντας, διότι οὐκ ἔγνω ὁ τοιοῦτος ἀπὸ τῆς διακοσμήσεως τοῦ κάλλους τοῦ κόσμου, ὅτι ἔστι τις ὁ ταῦτα δημιουργήσας καὶ ἀπὸ τῆς πάντοτε διαφόρως καὶ ποικίλως γινομένης κινήσεως τῶν κτισμάτων, ὅπως τε πλήθη πολλὰ ποταμῶν οὔτε ὅθεν προέρχονται ἐπιλείπουσι κενούμενα οὔτε ὅποι καταντῶσιν ἐπικλύζουσι πλη31.5.2 ρούμενα καὶ ὑπερχυνόμενα· τοῦτο δὲ καὶ ἀπὸ τῆς κινήσεως τῶν ἄστρων καὶ ἡλίου καὶ σελήνης, ὅτι ταῦτα οὐκ ἂν ἀφ' ἑαυτῶν τοιαύτην διακόσμησιν καὶ κάλλος ἔσχον καὶ κίνησιν ἄπαυστον, ἄρρητον τὴν ἐξεύρεσιν καὶ τὰς ὁδοὺς ἔχοντα, ἀλλ' ἔστι τις ὁ διακοσμήσας αὐτὰ καὶ κινῶν ἀκόπως καὶ ἀπαύστως, τοῦτο δὲ ἀπὸ τῆς τῶν ἀέρων τροπῆς καὶ τῆς τῶν καιρῶν ἐναλλαγῆς ἀρρήτως παραχωρούντων ἀλλήλοιςχειμὼν γὰρ παραχωρεῖ ἔαρι καὶ ἔαρ θέρει καὶ θέρος φθινοπώρῳ. καὶ πάλιν θεωρῶν τὴν τῶν ὄμβρων ἐπίχυσιν καὶ τὰς φοβερὰς φωνὰς τῶν βροντῶν καὶ τῶν ἀστραπῶν τὴν στιλπνότητα καὶ τὸ τῆς λαμπρότητος θάμβος ὤφειλεν ἐννοεῖν, ὅτι ταῦτα οὐκ ἂν ἀφ' ἑαυτῶν οὕτως ἐγίνοντο καὶ ἐκινοῦντο ἐν τοιαύτῃ εὐταξίᾳ καὶ ἀληθείᾳ καὶ ὅρῳ, εἰ μὴ ἦν τις ὁ τούτων δημιουργός. εἰς πᾶσαν γὰρ τὴν κατάστασιν τῆς εὐπρεπείας τὴν φαινομένην ὁ ἀποσκοπήσας εὐχερῶς νοήσει εἶναί τινα τὸν ταύτης τῆς κτίσεως δημι31.5.3 ουργὸν καὶ διακοσμητήν. πᾶς τοίνυν ἀναπολόγητός ἐστι παρὰ θεῷ καὶ δικαίως κριθήσεται καὶ ἀπαιτηθήσεται τὴν πρὸς θεὸν ἀγάπην καὶ ἀρετῆς κατάστασιν κατὰ τὴν ἀναλογίαν τῆς ἐπιγνώσεως καὶ τῶν εὐεργεσιῶν καὶ τῆς συνέσεως καὶ νοήσεως. ἥξει, γάρ φησι, καὶ «ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ». δίκαιος γάρ ἐστιν ὁ θεὸς καὶ δίκαια τὰ ἔργα αὐτοῦ καὶ «τὰ κρίματα καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ». ναὶ δίκαιαι καὶ ὅσιαι αἱ κρίσεις αὐτοῦ. 31.5.4 οὐχ ὥς τινες τὴν ἐκλογὴν καὶ πρόγνωσιν ἀνοήτως ὁριζόμενοι ἀδικίαν εἰσφέρουσι κατὰ τοῦ θεοῦ, εἰς ὃν μὲν βούλεται σῶσαι ἐκλέγεται, ὃν δὲ ἀπολέσαι ἀλογίστως ἀφίησι φέρεσθαι, ἀλλὰ δίκαιος ὢν προέγνω ὡς θεὸς τοὺς μέλλοντας αὐτὸν ἀγαπᾶν καὶ ἐκλέγεσθαι τὰς ὁδοὺς αὐτοῦ ἐκ θελήματος καὶ προαιρέσεως, καὶ τούτους προώρισε καὶ ἐξελέξατο εἰς ζωὴν αἰώνιον κατὰ δικαίαν κρίσιν. 31.5.5 Εἰ δὲ καὶ παράδοξα πολλὰ ποιεῖ μὴ ἐγνωσμένα τῷ γένει τῶν ἀνθρώπων ὡς θεός, σὺ εἰς τὰ παράδοξα αὐτοῦ μὴ ἀποσκόπει, ἐπειδὴ τὴν σοφίαν αὐτοῦ καταλαβεῖν οὐ δύνασαι, ἀλλ' εἰς τὴν ὁδόν, ἣν ἔθετο ὁδεύειν τοὺς δούλους αὐτοῦ, βλέπε κατὰ τὰς γραφὰς τὰς θεοπνεύστους ἐν ὁποίαις θλίψεσι καὶ ἐν ὁποίοις βαδίζουσιν ἀγῶσι καὶ πόνῳ καὶ σπουδῇ καὶ ἀθλήσει καὶ δρόμῳ. προσέχων δὲ τῇ ὡρισμένῃ ἀθλήσει ὑπὸ θεοῦ πάντοτε ἕτοιμος καὶ ὀξὺς καὶ πρόθυμος ἔσῃ 31.5.6 εἰς τὴν ὁδὸν τῆς δικαιοσύνης. εἰ δὲ εἰς τὰ παράδοξα αὐτοῦ μόνον ἀποσκοπεῖς, ὅτι ἐὰν θέλῃ με σῶσαι, ἕως ἐγὼ ἐν χαυνότητί εἰμι καὶ ὕπτιος ἀνάκειμαι καὶ τοῖς θελήμασί μου ἀκολουθῶ, δύναται ὡς θεός· οὐδὲν γὰρ δύναμαι ποιῆσαι ἐκ τοῦ θελήματός μου, ἀλλὰ τῇ χάριτι αὐτοῦ. εἰ θέλει, σώσει με ἐὰν ἐν τούτοις τοῖς λογισμοῖς τοῖς δῆθεν εὐλογοφανέσιν ἀκολουθῇς ὢν ὀκνηρὸς καὶ χαῦνος καὶ ἀμελὴς καὶ καταφρονητής, καὶ οὐ σπουδάζεις καὶ κάμνεις καὶ πονεῖς ὅση σοι δύναμις φανερῶς καὶ κρυπτῶς καὶ ἐν πάσαις ἀρεταῖς ἐκ θελήματος καὶ προαιρέσεως καὶ τότε τῇ χάριτι αὐτοῦ ἐλπίσεις, σωθῆναι μὴ ἐπὶ τῷ σῷ δρόμῳ πεποιθώς, ἅτε μηδὲν ἄξιον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς βασιλείας καὶ δωρεᾶς τοῦ θεοῦ ποιῆσαι δυνάμενος, οὐκ ἄν σε ἀποδέξηται ὁ θεὸς οὐδὲ ἐπὶ σοὶ χαρήσεται ὡς μὴ ἀρνησαμένῳ ἑαυτὸν καὶ ὅλον ἐξ ὅλου ἑαυτὸν ἐκδεδωκότι, σῶμα, νοῦν, προαίρεσιν καὶ θέλημα εἰς τὴν πρὸς αὐτὸν λατρείαν καὶ εὐαρέστησιν καὶ μηδὲν ἄξιον ἡγούμενον ποιεῖν τῆς μελλούσης δίδοσθαι χάριτος καὶ τῆς αἰωνίου ζωῆς, ἵνα ὡς ἐνδεὴς διαμένων εἰς ἀρετὴν μηδέποτε δοκῇς πληροφορεῖσθαι ὡς μήπω ἀρξάμενος εὐαρεστεῖν 31.5.7 θεῷ, καίπερ ἐν πολλῇ σπουδῇ καὶ ἀγῶνι τυγχάνων. ἐπὶ τῇ τοιαύτῃ γὰρ προαιρέσει ὁ θεὸς χαίρει καὶ ἥδεται τῇ πόνον ἐχούσῃ καὶ σπουδὴν πολλὴν εἰς πάντα τὰ καλὰ καὶ εἰς πᾶσαν ἀρετὴν καὶ πάντοτε ὡς ἐνδεὴς τυγχανούσῃ, ὡς μηδέπω ἀρξαμένῃ τρέχειν ἢ ἀγαθόν τι ποιεῖν, ἀλλὰ ὡς σήμερον μελλούσῃ 31.5.8 ἄρχεσθαι τοῦ ἀγῶνος καὶ δρόμου. πιστεύουσα γὰρ ἡ πιστὴ καὶ εὐλαβὴς ψυχὴ εἰς τὰ ἀποκείμενα τοῖς δικαίοις ἀγαθὰ αἰώνια καὶ εἰς τὴν εὐεργεσίαν τῆς μελλούσης ἐπιφοιτᾶν θείας χάριτος ἀναξίαν ἑαυτὴν καὶ τὴν σπουδὴν αὐτῆς καὶ τὸν πόνον καὶ κάματον ἥγηται πρὸς τὰς ἐπαγγελίας τὰς ἀρρήτους, ὥς φησιν ὁ μακάριος Παῦλος· «οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». οὗτός ἐστιν ὁ πτωχὸς τῷ πνεύματι, οὗτός ἐστιν ὁ πεινῶν καὶ διψῶν τὴν δικαιοσύνην, οὗτός ἐστιν ὁ συνετριμμένην ἔχων τὴν καρδίαν. οἱ τοιαύτην προαίρεσιν ἔχοντες καὶ σπουδὴν καὶ πόνον καὶ πόθον τῆς ἀρετῆς καὶ ἕως τέλους διαμείνοντες τῆς αἰωνίου ζωῆς καὶ σωτηρίας ἐπιτυχεῖν ἐξ ἀληθείας δυνήσονται. 31.6.1 Μὴ τοίνυν τις τῶν ἀδελφῶν τινος κατεπαιρέσθω καὶ εἰς οἴησιν προκοπτέτω, ὡς ὅτι "1ἐγὼ ἔχω χάριν θεοῦ, ἐκεῖνος δὲ οὐ κέκτηται."2 οὐκ ἐξὸν γάρ ἐστιν ἐννοεῖν ταῦτα Χριστιανούς. τί γὰρ ποιεῖ αὔριον ὁ θεὸς, οὐκ οἶδας. καὶ ποῖον τὸ τέλος ἐκείνου ὃν ὡς οὐδὲν ἥγησαι γίνεται καὶ ποῖον τὸ σόν, ἀγνοεῖς. ἀλλ' ἕκαστος προσεχέτω ἑαυτῷ καὶ ἀνακρινέτω ἑαυτὸν πάντοτε δοκιμάζων τὸ ἔργον αὐτοῦ, ὁποίαν τε σπουδὴν ὁ νοῦς αὐτοῦ ἔχει καὶ ἀγάπην πρὸς θεὸν καὶ εἰς τὸ τέλειον τῆς τοῦ πνεύματος χάριτος μέτρον ἀποσκοπῶν ἀκαταπαύστως τρεχέτω 31.6.2 καὶ ἀόκνως, τῶν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος ὁσημέραι προκοπὴν εἰς τὴν χάριν τοῦ θεοῦ κτώμενος καὶ εἰς τὰ κρίματα αὐτοῦ ἀφορῶν καὶ ἑαυτὸν δοκιμάζων πάντοτε καὶ ἀνακρίνων, εἰ καθὼς ἐποίησεν ὁ θεὸς κατὰ τὸ μέτρον ἑκάστου τῆς κλήσεως καὶ ἐπιγνώσεως καὶ εὐεργεσίας, καὶ ἡμεῖς τὴν ἀναλογίαν αὐτῆς ἀναπληροῦμεν, ἵνα μὴ λόγον ἀραμένου μεθ' ἡμῶν τοῦ δεσπότου ὑστερήσαντες πρὸς τὴν ἀντίδοσιν τῶν ἀγαθῶν ἐκ τῆς προαιρέσεως καὶ τοῦ θελήματος ἡμῶν ἀτιμασθῶμεν καὶ ἀποστερηθῶμεν καὶ ἀποβληθῶμεν τῆς ζωῆς· ἵν' οὕτω πάντοτε ἀγωνιζόμενοι καὶ πονοῦντες καὶ τῇ σπουδῇ ἀεὶ εἰς τὸ ἀγαθὸν προκόπτοντες «μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι» δυνηθείημεν εἰς τέλος ἐν ἀγαθοῖς εὑρεθέντες τῆς αἰωνίου σωτηρίας ἐπιτυχεῖν καὶ σύμπασιν ἁγίοις ἅμα τὴν τῶν οὐρανῶν βασι31.6.3 λείαν κληρονομῆσαι. ἐπειδὴ γὰρ ζῇ τὸ θέλημα τοῦ ἀνθρώπου εἰς τὴν φύσιν αὐτοῦ καὶ ἔχει τὸ ἐκ θελήματος ἐπιστρέψαι, διὰ τοῦτο αἰτοῦσι παρ' αὐτοῦ τὴν ἀμοιβὴν τῶν εὐεργεσιῶν καὶ τῆς χάριτος τὴν αἴσθησιν, ὅπερ ἐστὶν ἡ εἰς τὸν κύριον ἐντελὴς ἐκ προαιρέσεως ἀγάπη καὶ εἰς πᾶσαν ἀρετῆς κατάστασιν. «ᾧ, 31.6.4 γάρ φησιν, διδόασι πολύ, περισσότερον αἰτήσουσιν αὐτόν». διόπερ, ἀγαπητοί, μέτρῳ καὶ ὅρῳ καὶ σταθμῷ καὶ κανόνι καὶ ζυγῷ πάσης τῆς ἡμετέρας εἰς αὐτὸν σπουδῆς καὶ ἀγάπης σταθμιζομένης τὴν ἀναλογίαν τῶν εὐεργεσιῶν διαφόρως κατὰ τὸ μέτρον ἑκάστου ἀπαιτούμενοι σπουδάσωμεν ἕτοιμοι εἶναι εἰς τὸ ἀγαθὸν καὶ ὑπομείνωμεν ἐν μακροθυμίᾳ, τὴν ἡμετέραν σπουδὴν καὶ πείναν καὶ δίψαν ὁσημέραι ἐπαύξοντες πάντοτε, καὶ ἐν πάσαις ταῖς ἀρεταῖς κοσμεῖν ἑαυτοὺς σπουδάσωμεν, προσδοκῶντες πάντοτε τὴν φανέρωσιν τῆς χάριτος αὐτοῦ καὶ διὰ τῆς ἀναστάσεως πολλῷ πλέον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιθυμοῦντες, καὶ αὐτὸς οὐκ ἀθετεῖ μὴ γένοιτο, ἀλλὰ μακροθυμεῖ δοκιμάζων τὴν ὑπομονὴν ἡμῶν· μόνον ἡμεῖς ἕως τέλους εὑρεθῶμεν ἀπερικακήτως ἐν τῇ θύρᾳ ἀναιδείᾳ ἀπλήστῳ καὶ ὀξέως ἐν πάσῃ ὑπομονῇ κρούοντες, καὶ αὐτὸς ἀληθῶς ποιεῖ ὁτεδήποτε τὴν ἀπολύτρωσιν καὶ τὴν τοῦ καλύμματος περιαίρεσιν τοῦ ἁγίου καὶ ἐπουρανίου φωτὸς αὐτοῦ, τὴν ἔλλαμψιν καὶ τὴν καθαρότητα τῆς καρδίας ἀπεργαζόμενος. 31.6.5 οἷς μὲν γὰρ ὀψὲ παραγίνεται ὁ δεσπότης, οἷς δὲ μεσονυκτίου, οἷς δὲ ἀλεκτοροφωνίας, οἷς δὲ πρωΐ, καθὼς αὐτὸς εἶπε· μόνον τις ἀδιάλειπτον τὴν προσδοκίαν καὶ τὴν γρηγόρησιν ἐχέτω καὶ ἑτοιμασίαν, μήπως ἀπελπίσας ἢ ἀπιστήσας ἢ ὀλιγωρήσας, ὅτι οὐκ ἔρχεται ὁ δεσπότης, ἀποκοιμηθῇ ἢ ἀναχωρήσῃ, καὶ ἐλθὼν ὁ κύριος οὐχ εὕρῃ αὐτὸν ἕτοιμον ὡς αὐτὸς εἶπε· «ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι» καὶ τὰ ἑξῆς. εἰ δὲ τάχιον ἐδεξάμεθα καὶ κατηξιώθημεν τῆς χάριτος αὐτοῦ, εὐχαριστήσωμεν καὶ ἀξίαν τὴν σπουδὴν τῶν κατορθωμάτων καὶ καρποὺς ἀρετῆς ἐπιδειξώμεθα, καὶ αἰσθόμεθα τῆς εὐεργεσίας αὐτοῦ καὶ ἀντιλήψεως καὶ βοηθείας τῆς ταχέως γεγενημένης ἡμῖν, 31.6.6 ὡς οὐκ ἐκοπιάσαμεν. καὶ ἀναλόγως σπεύσωμεν ὅλους ἑαυτοὺς ἀναρτῆσαι τῷ κυρίῳ συνενούμενοι τῇ χάριτι αὐτοῦ, καὶ οὕτω τῆς ἡμετέρας προαιρέσεως ἐκ θελήματος τὴν σπουδὴν ἐπιδειξάμενοι, ἔχοντες καὶ τὴν ἀπὸ τοῦ κυρίου βοήθειαν εἰς ἐπικουφισμὸν τῶν πόνων ἡμῶν καὶ εἰς προκοπὴν ἀγαθὴν πάντοτε ἐρχόμενοι καὶ ἐν μηδενὶ τὴν δωρεὰν τοῦ θεοῦ ἐνυβρίσαντες καὶ ἕως τέλους ἐν τοιαύταις σπουδαῖς εὑρεθέντες τῆς αἰωνίου ζωῆς ἄξιοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 32.τ.1 ΛΟΓΟΣ ΛΒʹ.

32.1.1 Ἐρώτησις. Εἰ ἆρα ἐν τῇ ἀναστάσει ὅλα τὰ σώματα ἀνίστανται; Ἀπόκρισις. Τῷ θεῷ πάντα εὔκολά ἐστι, καὶ οὕτως ἐπηγγείλατο, ἀνθρωπίνῃ δὲ ἀσθενείᾳ καὶ λογισμῷ ἀδύνατον τοῦτο καταφαίνεται. ὥσπερ γὰρ ἀπὸ τοῦ χοὸς καὶ τῆς γῆς λαβὼν ὀλίγον ἄλλην τινὰ φύσιν κατεσκεύασε τὴν τοῦ σώματος, μὴ ἐοικυῖαν τῇ γῇ, καὶ γένη πολλὰ ἐποίησεν οἷον τρίχας καὶ δέρματα καὶ ὀστέα καὶ νεῦρα, οὕτω πάλιν ἀπὸ τῆς γῆς ἀναστήσει πάντα. ὃν δὲ τρόπον ῥαφὶς βαλλομένη εἰς πῦρ ἀλλάσσει τὴν χρόαν καὶ γίνεται πῦρ· οὐ μέντοι δὲ ἡ φύσις τοῦ σιδήρου ἀνελύθη, ἀλλ' ὑφέστηκεν, οὕτω καὶ ἐν τῇ ἀναστάσει ὅλα τὰ μέλη ἀνίστανται καὶ θρὶξ οὐκ ἀπόλλυται, καθὼς γέγραπται, καὶ ὅλα γίνεται φωτοειδῆ, ὅλα εἰς πῦρ καὶ φῶς βάπτεται καὶ μεταβάλλεται· ἀλλ' οὐχ, ὥς τινες λέγουσιν, ἀναλύεται καὶ γίνεται πῦρ καὶ οὐκέτι ὑφέστηκεν ἡ φύσις. Πέτρος γὰρ Πέτρος ἐστὶ καὶ Παῦλος Παῦλος καὶ Φίλιππος Φίλιππος, ἕκαστος ἐν τῇ ἰδίᾳ ὑποστάσει μένων καὶ πεπληρωμένος ἐν τῷ πνεύματι. κακῶς δὲ λέγεις, ὅτι ἀνελύθη ἡ φύσις, οὐκέτι Παῦλος ἢ Πέτρος, ἀλλὰ πάντα καὶ πανταχοῦ θεός, καὶ οὔτε οἱ ἐν γεέννῃ ἀπερχόμενοι αἰσθάνονται τῆς κολάσεως οὔτε οἱ 32.1.2 εἰς τὴν βασιλείαν αἰσθάνονται τῆς εὐεργεσίας. ὥσπερ γὰρ ἵνα ᾖ παράδεισος ἔχων παντοῖα δένδρα καρποφόρα καὶ ᾖ ἐκεῖ ἄπιον ἢ μῆλον καὶ ἄμπελος ἔχουσα τὸν καρπὸν καὶ τὰ φύλλα, συμβῇ δὲ τὸν παράδεισον καὶ ὅλα τὰ δένδρα καὶ τὰ φύλλα μεταβληθῆναι καὶ ἀλλαγῆναι εἰς ἄλλην φύσιν καὶ γενέσθαι ὅλα φωτοειδῆ, οὕτω καὶ οἱ ἄνθρωποι ἀλλάσσονται ἐν τῇ ἀναστάσει καὶ γίγνονται τὰ μέλη αὐτῶν ἅγια καὶ φωτοειδῆ.. 32.2.1 Οἱ οὖν τοῦ θεοῦ ἄνθρωποι ὀφείλουσιν εὐτρεπίσαι ἑαυτοὺς εἰς ἀγῶνα καὶ ἄθλησιν. καὶ ὥσπερ γενναῖος νεανίας τὰς ἐπιφερομένας πληγὰς καὶ τὴν πάλην βαστάζει καὶ ἀντιπίπτει, οὕτω καὶ οἱ Χριστιανοὶ ὀφείλουσι φέρειν τὰς θλίψεις τὰς ἔξωθεν καὶ τοὺς ἔνδοθεν πολέμους, ἵνα διὰ τῆς ὑπομονῆς δερόμενοι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νική32.2.2 σωσιν· ἡ γὰρ ὁδὸς τοῦ Χριστιανισμοῦ οὕτως ἐστίν. ὅπου γάρ ἐστι τὸ πνεῦμα τὸ ἅγιον καὶ ἡ ἀλήθεια, ἐκεῖ ἐπακολουθεῖ ὁ διωγμὸς καὶ ἡ πάλη. ὁρᾷς τοὺς προφήτας, πῶς ἐδιώκοντο ὑπὸ τῶν ὁμοφύλων, ὅτι εἰς αὐτοὺς ἐνήργει τὸ πνεῦμα. ὁρᾷς πῶς ὁ κύριος, ὅστις ἐστὶν ὁδὸς καὶ ἀλήθεια, οὐχ ὑπὸ ἄλλου ἔθνους, ἀλλ' ὑπὸ τῆς ἰδίας φυλῆς τοῦ Ἰσραὴλ ἐδιώχθη καὶ ἐσταυρώθη, ὁμοίως δὲ καὶ οἱ ἀπόστολοι. ἐξ οὗ γὰρ ὁ σταυρὸς ἦλθε καὶ τὸ πνεῦμα τὸ παράκλητον ἐχώρησεν εἰς τοὺς Χριστιανούς, λοιπὸν οὐδεὶς Ἰουδαῖος ἐδιώχθη, ἀλλὰ Χριστιανοὶ ἐμαρτύρησαν. οὐκ ὀφείλουσιν οὖν τινες ξενίζεσθαι· ἀνάγκη γὰρ διώκεσθαι τὴν ἀλήθειαν. 32.3.1 Ἐρώτησις. Τινὲς λέγουσιν ὅτι ἔξωθεν ἐπεισέρχεται τὸ κακὸν καί, ἐὰν θέλῃ ὁ ἄνθρωπος, οὐ δέχεται, ἀλλ' ἀποπέμπεται. Ἀπόκρισις. Καὶ ὥσπερ ὁ ὄφις ἔξωθεν λαλήσας τῇ Εὔᾳ διὰ τὴν ὑπακοὴν ἔνδον εἰσῆλθεν, οὕτω καὶ νῦν διὰ τῆς ὑπακοῆς ἐπεισέρχεται ἡ ἁμαρτία ἔξω οὖσα. Ἀπόκρισις. ἔχει νομὴν καὶ παρρησίαν καὶ δύναμιν τοῦ εἰσέρχεσθαι ἡ ἁμαρτία εἰς τὴν καρδίαν· παρακεχώρηται γὰρ κατ' οἰκονομίαν. οἱ γὰρ λογισμοὶ ποῦ εἰσιν, ἐξώτεροί σου ἢ ἐσώτεροί σου; λέγει γὰρ ὁ ἀπόστολος· «βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἄνευ ὀργῆς καὶ διαλογισμῶν». εἰσὶν οὖν διαλογισμοὶ ἐξερχόμενοι ἐκ τῆς καρδίας κατὰ τὸ εὐαγγέλιον. ἄπελθε εἰς εὐχὴν καὶ ἐπίσκεψαί σου τὴν καρδίαν καὶ τὸν νοῦν καὶ θέλησον τὴν εὐχὴν καθαρῶς ἀναπέμψαι τῷ θεῷ· βλέπε, ὅτι ἐκεῖ οὐδέν ἐστι τὸ ἐμποδίζον, γίνεται δὲ ἐκεῖ εὐχὴ καθαρά, ὅτι ἠσχόληταί σου ὁ νοῦς πρὸς τὸν κύριον, ὃν τρόπον τοῦ γεωργοῦ περὶ τὴν γεωργίαν, τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, τοῦ ἐμπoροῦ πρὸς τὴν ἐμπορίαν. πάλιν κλίνεις τὰ γόνατα εἰς εὐχήν, καὶ τοὺς λογισμούς σου ἄλλοι διαρπάζουσιν. 32.3.2 Ἀλλὰ λέγεις, ὅτι ὁ κύριος ἐλθὼν διὰ τοῦ σταυροῦ «κατέκρινε τὴν ἁμαρτίαν» καὶ οὐκέτι ἐστὶν ἔσω. ὥσπερ ἵνα ᾖ στρατιώτης καὶ θῇ αὐτοῦ τὸ σκουτάριον ἔσω εἰς τὸν οἶκον, καὶ ὅτε θέλει ἔχει νομὴν εἰσέρχεσθαι καὶ ἐξέρχεσθαι, οὕτω καὶ ἡ ἁμαρτία ἔχει παρρησίαν διαλογίζεσθαι εἰς τὴν καρδίαν. γέγραπται γάρ· «εἰσῆλθεν ὁ σατανᾶς εἰς τὴν καρδίαν Ἰούδα». εἰ δὲ λέγεις, ὅτι διὰ τῆς ἐλεύσεως τοῦ κυρίου κατεκρίθη ἡ ἁμαρτία καὶ μετὰ τὸ βάπτισμα οὐκέτι ἔχει νομὴν τὸ κακὸν τοῦ διαλογίζεσθαι ἐν τῇ καρδίᾳ, σκόπησον ἐκ τῆς παρουσίας τοῦ κυρίου μέχρι τοῦ νῦν ὅσοι ἐβαπτίσθησαν· οὐκέτι διελογίσαντο πονηρά; οὐκ εἰς κενοδοξίαν ἢ πορνείαν ἢ γαστριμαργίαν ἐτράπησαν; ἀλλὰ καὶ ὅλοι οἱ κοινωνοῦντες τῇ ἐκκλησίᾳ κοσμικοὶ ἄμωμον καὶ καθαρὰν ἔχουσι τὴν καρδίαν; ἢ εὑρίσκομεν, ὅτι καὶ μετὰ τὸ βάπτισμα πολλαὶ ἁμαρτίαι γίνονται καὶ πολλοὶ ἁμαρτάνουσιν; ἔχει οὖν νομὴν καὶ μετὰ τὸ βάπτισμα εἰσελθεῖν ὁ λῃστὴς καὶ πράττειν ἃ θέλει. γέγραπται δέ· «ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου». 32.3.3 ἐπίσκεψαι σεαυτόν, εἰ ἀγαπᾷς τὸν θεὸν ἐξ ὅλης καρδίας. ἀλλὰ λέγεις, ὅτι "1ἀγαπῶ καὶ ἔχω πνεῦμα ἅγιον."2 ἔχεις τὴν μνήμην καὶ τὸν ἔρωτα καὶ τὴν καῦσιν πρὸς τὸν κύριον; ἐσθίεις καὶ πίνεις τὰς ἐντολὰς αὐτοῦ; νυκτὸς καὶ ἡμέρας ἐκεῖ ἀποδέδεσαι; εἰ μὲν ἔχεις τοιαύτην ἀγάπην, καθαρὸς εἶ; εἰ δὲ οὐκ ἔχεις, ζήτησον, καὶ τότε ὅταν ἔλθωσιν οἱ οὐράνιοι λογισμοὶ τοῦ θεοῦ καὶ ἐνεργήσωσιν ἐν πάσῃ αἰσθήσει τῇ ψυχῇ, ἀποσπῶσι καὶ ἀπομερίζουσιν αὐτὴν ἀπὸ τῶν γηΐνων πραγμάτων καὶ ἀπὸ τῶν αἰσχρῶν καὶ πονηρῶν διαλογισμῶν καὶ ὅλην εἰς ἀγάπην καὶ πόθον θεοῦ ἄγουσι τὴν ψυχήν. οἱ γὰρ λογισμοὶ τοῦ σκότους κατασπῶσι τὸν νοῦν εἰς τὰ ἐπίγεια καὶ φθαρτά, οὐ ποιοῦσιν ἀγαπῆσαι θεὸν ἢ μνημονεῦσαι τοῦ κυρίου. 32.4.1 Καὶ πολλάκις ἀπέρχεται εἰς εὐχὴν καὶ κλίνει τὸ γόνυ ὁ ἰδιώτης, καὶ εἰσέρχεται ὁ νοῦς αὐτοῦ εἰς ἀνάπαυσιν, καὶ ὅσῳ σκάπτει καὶ βαθύνει, ῥήσσεται τὸ τεῖχος τῆς κακίας τὸ ἀνθιστάμενον αὐτῷ, καὶ εἰσέρχεται εἰς ὁράσεις καὶ σοφίαν, ὅπου οὐ φθάνουσι δυνάσται ἢ σοφοὶ ἢ ῥήτορες, καὶ καταλαμβάνει γνῶναι τὴν λεπτότητα τοῦ νοὸς αὐτοῦ, ἐπειδὴ ἀσχολεῖται εἰς θεῖα μυστήρια. καὶ γὰρ ἄπειρος τοῦ δοκιμάζειν μαργαρίτας οὐκ οἶδε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διατιμήσασθαι διὰ τὸ ἄπειρον αὐτὸν εἶναι. οἱ οὖν Χριστιανοὶ τὰ ἔνδοξα τῆς γῆς βδελύσσονται καὶ ὁρῶσιν ὡς σκύβαλα πρὸς ἐκείνην τὴν σύγκρισιν τῆς μεγαλειότητος τῆς ἐνεργούσης αὐτοῖς. Ἐρώτησις. Εἰ δύναται πεσεῖν ἄνθρωπος ἔχων χάρισμα θεῖον; Ἀπόκρισις. Ἐὰν ἀμελήσῃ, πίπτει. ἐπειδὴ οἱ πολέμιοι οὐδέπω ἀργοῦσιν, οὐδὲ σὺ ὀφείλεις παύσασθαι ἀπὸ τῆς ζητήσεως τῆς πρὸς τὸν θεόν. πολλὴ γάρ σοι ζημία γίνεται ἀμελοῦντός σου, εἰ καὶ ἐν αὐτῷ τῷ μυστηρίῳ τῆς χάριτος ἐξετάζῃ. Ἐρώτησις. Εἰ παραμένει ἡ χάρις μετὰ τὸ πεσεῖν; Ἀπόκρισις. Ὁ θεὸς κατὰ πολὺ θέλει τὸν ἄνθρωπον εἰς ζωὴν ἀγαγεῖν καὶ προτρέπεται ἐπὶ τὸ πάλιν προσκλαῦσαι καὶ μετανοῆσαι τὸν ἄνθρωπον. ἔτι οὖν παραμένει, ἵνα σε ποιήσῃ ἀσφαλῆ ἐργάτην μετανοοῦντα ἐφ' οἷς πρότερον ἐπλημμέλησας. Ἐρώτησις. Εἰ ἔτι τοῖς τελείοις ἐπίκειται πόλεμος ἢ θλῖψις ἢ τὸ ὅλον ἀμέριμνοί εἰσιν; Ἀπόκρισις. Ὁ πόλεμος κατ' οὐδενὸς παύεται. Ὁ σατανᾶς γὰρ ἄσπλαγχνός ἐστι καὶ μισάνθρωπος καὶ πάντοτε πολεμεῖ, ἀλλ' οὐκ ἐν τοῖς αὐτοῖς μέτροις. καὶ γὰρ καὶ ἔπαρχοι καὶ κόμητες φόρους διδόασι τῷ βασιλεῖ, ἀλλὰ οὗτος θαρρῶν τῷ πλούτῳ αὐτοῦ καὶ τῷ χρυσῷ καὶ τῷ ἀργυρίῳ ὡς ἐκ τῶν περισσευμάτων αὐτοῦ ποιεῖ τὰς συντελείας, μὴ ἡγούμενος ζημίαν, ἀλλὰ καὶ πλείονα τούτων εἰς ἐλεημοσύνας σκορπίζει καὶ οὐ μέλει αὐτῷ· ὡς ἐκ παρέργου γὰρ ταῦτα ἡγεῖται. καὶ ἔστιν ἄλλος πτωχὸς λειπόμενος ἔχων ἀγρὸν ἕνα. οὗτος μαστίζεται καὶ βασανίζεται μὴ δυνάμενος αὐτοῦ ἐκείνου τὴν συντέλειαν ἀποπληρῶσαι. ἔστι τις ὃς ξέεται καὶ βασανίζεται χαλεπῶς καὶ οὐκ ἀποθνήσκει, 32.7.2 καὶ ἔστιν ἄλλος καὶ ἀπὸ μιᾶς πληγῆς ἀπόλλυται. οὕτω καὶ εἰς τοὺς Χριστιανούς· εἰσὶν ἰσχυρῶς πολεμούμενοι, ξεόμενοι ὑπὸ τῆς ἁμαρτίας, καὶ ἔτι εἰς τοὺς πολέμους στερεοῦνται καὶ σοφίζονται καταφρονοῦντες τῆς ἐναντίας δυνάμεως. οἱ τοιοῦτοι οὐκ ἔχουσι κίνδυνον ἐν τούτῳ τῷ μέρει, ὅτι ἄπτωτοί εἰσι καὶ ἀσφαλεῖς περὶ τῆς ἑαυτῶν σωτηρίας, διὰ τὸ πολλάκις γεγυμνάσθαι αὐτοὺς ἐν τῷ πολέμῳ τῆς κακίας καὶ ἐμπείρους γεγενῆσθαι, ἔχοντας τὸν θεὸν μεθ' ἑαυτῶν ἐνεργοῦντα καὶ ἀναπαύοντα. ἄλλοι δὲ οἱ μήπω γυμνασθέντες ἀρχάριοι, μία θλῖψις αὐτοῖς ἐὰν ἀπαντήσῃ καὶ ἐπικινηθῇ πόλεμος, εὐθέως καταπίπτουσιν εἰς ὄλεθρον καὶ εἰς ἀπώλειαν. 32.8.1 Οἱ διοδεύοντες ἐν πόλει θέλοντες εἰσελθεῖν πρὸς τοὺς ἀγαπητοὺς πολλοῖς συναντῶσιν ἐν ταῖς ἀγοραῖς καὶ οὐκ ἐμποδίζονται ὑπ' αὐτῶνἔχουσι γὰρ σκοπὸν τοῦ συντυχεῖν τοῖς φίλοις, καὶ ὅταν ἔξωθεν κρούσῃ τις αὐτῶν τὴν θύραν καὶ καλέσῃ, χαίρουσιν οἱ ἔσωθεν ἀγαπητοὶ αὐτοῦ. εἰ δὲ ἀπομείνῃ ἐν τῇ πόλει καὶ χλευάζεται ἤτοι ἐπέχεται ὑπὸ τῶν ἀπαντώντων, ἀποκλείεται ἡ θύρα καὶ οὐδεὶς αὐτῷ ἀνοίγει, οὕτω καὶ οἱ πρὸς τὸν δεσπότην ἡμῶν Χριστὸν τὸν ὄντως ἀγαπητὸν ἐπειγόμενοι φθάσαι τῶν ἄλλων ἁπάντων ὀφείλουσι καταφρονεῖν καὶ ὑπερορᾶν. 32.8.2 Πάλιν οἱ εἰσερχόμενοι πρὸς τὸ παλάτιον εἰς τὸν βασιλέα κόμητες ἢ ἔπαρχοι ὑπὸ φόβον πολύν εἰσι, πῶς τὰς ἀποκρίσεις δώσουσι, καὶ μὴ ἐν τῇ ἀπολογίᾳ πταίσωσιν εἰς λόγον καὶ τιμωρίᾳ ὑποβληθῶσιν· οἱ χωρικοὶ δὲ καὶ ἰδιῶται οἱ μηδέποτε θεασάμενοι ἄρχοντα ἐν ἀμεριμνίᾳ διάγουσι καὶ ὁ κόσμος οὗτος ἀπὸ βασιλέως ἕως πτωχῶν τὴν μέριμναν ὑποκάτω τοῦ οὐρανοῦ ἔχει καὶ οὐ μέμνηται τῆς ἡμέρας τῆς κρίσεως. οἱ δὲ εἰσερχόμενοι εἰς τὸν θρόνον τοῦ βήματος τοῦ Χριστοῦ κατέναντι αὐτοῦ ὄντες πάντοτε ὑπὸ φόβον καὶ τρόμον εἰσίν. 32.8.3 Οἱ πλούσιοι τῆς γῆς ὅταν πολλοὺς καρποὺς εἰσενέγκωσιν εἰς τὰς ἀποθήκας, πάλιν ὀφείλουσιν ἐργάσασθαι καθ' ἑκάστην ἡμέραν, ἵνα ἐπευπορήσωσιν. ἐὰν δὲ θαρροῦντες τῷ πλούτῳ τῷ ἐν ταῖς ἀποθήκαις ἀποκειμένῳ ἀμελήσωσιν, οὗτοι εἰς πενίαν καὶ ταλαιπωρίαν ἔρχονται· ὅθεν προσοδευόμενοι καὶ εἰσφέροντες ὀφείλουσι κάμνειν καὶ ἐμπονεῖν. 32.8.4 Ὁ Χριστιανισμὸς οὗτός ἐστι, τὸ γεύσασθαί τινα τῆς χάριτος τοῦ θεοῦ. γέγραπται γάρ· «γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ κύριος». ἔστιν οὖν γεῦσις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐνεργητικὴ ἐν πληροφορίᾳ δύναμις πνεύματος διακονοῦσα ἐν τῇ καρδίᾳ. ὅσοι γὰρ υἱοί εἰσι τοῦ φωτὸς καὶ τῆς βασιλείας καὶ διάκονοι τῆς καινῆς διαθήκης τῆς ἐν πνεύματι, οὗτοι παρὰ ἀνθρώπων οὐ μανθάνουσι· θεοδίδακτοι γάρ εἰσιν. οὐκ ὀφείλουσι γὰρ εἰς τὰς γραφὰς μόνον τὰς διὰ μέλανος γεγραμμένας πληροφορεῖσθαι, ἀλλ' εἰς τὰς πλάκας τῆς καρδίας ἡ χάρις τοῦ θεοῦ τοὺς νόμους τοῦ πνεύματος καὶ τὰ ἐπουράνια μυστήρια ἐνέγραψεν. 32.8.5 Ἡ καρδία γὰρ ἡγεμονεύει καὶ βασιλεύει ὅλου τοῦ ὀργάνου, καὶ ἐπὰν κατάσχῃ τὰς νομὰς τῆς καρδίας ἡ χάρις, βασιλεύει ὅλων τῶν λογισμῶν καὶ τῶν μελῶνἐπεὶ γάρ ἐστιν ὁ νοῦς καὶ ὅλοι οἱ λογισμοὶ τῆς ψυχῆςκαὶ διέρχεται εἰς ὅλα τὰ μέλη οὕτως πάλιν ὅσοι εἰσὶν υἱοὶ τοῦ σκότους, βασιλεύει τῆς καρδίας ἡ ἁμαρτία καὶ διέρχεται εἰς ὅλα τὰ μέλη»ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται πονηροὶ διαλογισμοί»καὶ οὕτως ὑπερχυνομένη σκοτίζει τὸν ἄνθρωπον. 32.8.6 Οἱ δὲ μὴ λέγοντες εἶναι τὸ κακὸν σύντροφον καὶ συναυξάνον τῷ ἀνθρώπῳ μὴ μεριμνήσωσι περὶ τῆς αὔριον μηδὲ ἐπιθυμήσωσιν. ἐν καιρῷ γάρ τινι ἐπαύσατο ἡ ἐπιθυμία εἴς τινα, ὥστε αὐτὸν δύνασθαι ἐν ὅρκῳ διαβεβαιοῦσθαι, ὅτι "1οὐκέτι ἐπανίσταταί μοι τὸ τοιοῦτον πάθος."2 καὶ μετ' ὀλίγον καιρὸν κατεκαύθη τῇ ἐπιθυμίᾳ, ὥστε εὑρεθῆναι αὐτὸν πρὸς ἐπὶ τούτοις καὶ ἐπίορκον. ὥσπερ δι' ὀχετοῦ διέρχεται τὸ ὕδωρ, οὕτω διὰ τῆς καρδίας καὶ τῶν λογισμῶν ἡ ἁμαρτία. ὅσοι γὰρ τοῦτο ἀρνοῦνται, αὐτὴ ἡ ἁμαρτία χλευάζει αὐτοὺς μὴ θέλουσα θριαμβευθῆναι· σπουδάζει γὰρ τὸ κακὸν λανθάνειν καὶ κρύπτεσθαι εἰς τὸν νοῦν. 32.8.7 Εἰ οὖν ἀγαπᾷ τις τὸν θεόν, καὶ αὐτὸς συγκιρνᾷ τὴν ἑαυτοῦ ἀγάπην. εἰ πιστεύεις εἰς αὐτόν, προστιθεῖ σοι τὴν ἐπουράνιον πίστιν, καὶ γίνεται διπλοῦς ὁ ἄνθρωπος. ὅσα γὰρ σὺ ἐκ τῶν μελῶν σου προσφέρεις αὐτῷ, καὶ αὐτὸς ἐκ τῶν ἰδίων ὁμοιομελῆ συγκιρνᾷ τῇ ψυχῇ σου, ἵνα ᾖς πάντα καθαρῶς ποιῶν καὶ ἀγαπῶν καὶ προσευχόμενος. 32.8.8 Μεγάλου γὰρ ἀξιώματός ἐστιν ὁ ἄνθρωπος. ἴδε πόσος ἐστὶν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ κύριος, εἰ μὴ ἐν τῷ ἀνθρώπῳ μόνῳ ἐπαναπαύεται. τιμιώτερος οὖν ἐστιν ὑπὲρ πάντα τὰ δημιουργήματα, τάχα δὲ τολμήσω εἰπεῖν καὶ τῶν ἀοράτων καὶ λειτουργικῶν πνευμάτων. οὐ γὰρ περὶ Γαβριὴλ ἢ Μιχαὴλ τῶν ἀρχαγγέλων εἶπε. «ποιήσωμεν κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν», ἀλλὰ περὶ τῆς νοερᾶς οὐσίας τοῦ ἀνθρώπου τῆς ἀθανάτου ψυχῆς, καὶ γέγραπται, ὅτι «παρεμβολαὶ ἀγγέλων κύκλῳ τῶν φοβουμένων αὐτόν». 32.8.9 Τὰ γὰρ κτίσματα τὰ φαινόμενα φύσει τινὶ ἀμεταβλήτῳ δέδεται. ὁ οὐρανὸς ἅπαξ τέταται, ἡ γῆ, ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ ἄλλο τι, παρ' ὃ ἐκτίσθησαν μετατραπῆναι οὐ δύνανται οὔτε ἔχουσι θέλημα. σὺ δὲ διὰ τοῦτο εἶ «κατ' εἰκόνα καὶ ὁμοίωσιν» θεοῦ, ἐπειδὴ ὥσπερ ὁ θεὸς αὐτεξούσιός ἐστι καὶ ποιεῖ εἴ τι θέλει κατὰ τὴν ἐξουσίαν αὐτοῦ καὶ πέμπει τοὺς μὴ δικαίους εἰς γεένναν καὶ τοὺς ἁμαρτωλοὺς εἰς βασιλείαν· ἀλλ' οὐχ αἱρεῖται οὐδὲ καταδέχεται τοῦτο· δικαιοκρίτης γάρ ἐστιν ὁ κύριοςοὕτω καὶ σὺ αὐτεξούσιος εἶ τρεπτῆς φύσεως. εἰ θέλεις βλασφημῆσαι ἢ ποιῆσαι φάρμακα καὶ ἀποκτεῖναί τινα, οὐδεὶς ὁ κωλύων. εἰ δὲ θέλει τις, ὑποτάσσεται τῷ θεῷ, καὶ διοδεύει τὴν ὁδὸν τῆς δικαιοσύνης καὶ κρατεῖ τῶν ἐπιθυμιῶν. ὁ γὰρ νοῦς οὗτος ἀντίπαλός ἐστιν, ἐπικρατεῖν δυνάμενος ἐρρωμένῳ λογισμῷ τὰς τῆς κακίας ὁρμὰς καὶ ἐπιθυμίας αἰσχράς. Εἰ γὰρ ἐν οἰκίᾳ μεγάλῃ, ὅπου εἰσὶ χρυσώματα ἢ ἀργυρώματα καὶ ἐσθὴς καὶ χρυσός, νεανίσκοι καὶ νεάνιδες διὰ τὴν σύνοικον ἁμαρτίαν πάντων ἐπιθυμοῦσι καὶ διὰ τὸν ἀνθρώπινον φόβον τῶν δεσπότων ἄγχουσι τὸν νοῦν ἑαυτῶν καὶ ἐπέχουσι τὰς ὁρμὰς τῶν ἐπιθυμιῶν, πόσῳ μᾶλλον, ὅπου φόβος θεοῦ ἐστιν, ἀντιμάχεσθαι καὶ ἀντιπράττειν δύνανται τῇ συνούσῃ κακίᾳ. τὰ γὰρ δυνατά σοι ὁ θεὸς ἐπέταξεν. ἡ τῶν ἀλόγων ζῴων φύσις δετή ἐστιν. ἡ τοῦ ὄφεως φύσις πικρά ἐστι καὶ ἰοβόλος· ὅλοι οἱ ὄφεις τοιοῦτοι εἰσίν. ὁ λύκος ἁρπάζειν εἴωθεν· ὅλοι οἱ λύκοι τῆς αὐτῆς εἰσι φύσεως. τὸ ἀρνίον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀφελὲς ὂν ἁρπάζεται· ὅλα τὰ ἀρνία τῆς αὐτῆς εἰσι φύσεως. ἡ περιστερὰ ἄδολός ἐστι καὶ ἀκεραία· ὅλαι αἱ περιστεραὶ τῆς αὐτῆς εἰσι φύσεως. ὁ δὲ ἄνθρωπος οὐχ οὕτως ἐστίν. εἷς ἔστιν ὡς λύκος ἁρπάζων καὶ εἷς ὡς ἀρνίον ἁρπάζεται. ἐκ τοῦ αὐτοῦ δὲ γένους τῆς ἀνθρωπότητος ἀμφότεροι συνεστήκασιν. ἔστι τις μὴ ἀρκούμενος τῇ ἰδίᾳ γυναικί, ἀλλὰ πορνεύων, καὶ ἔστιν ἄλλος, ὃς οὐκ ἐᾷ οὐδὲ ἐπιθυμίαν ἐλθεῖν εἰς τὴν καρδίαν αὐτοῦ. ἔστι τις διαρπάζων τὰ τοῦ πλησίον, καὶ ἔστιν ἄλλος διὰ θεοσέβειαν καὶ τὰ ἴδια διδούς. ὁρᾷς, πῶς τρεπτὴ καὶ αὐτή ἐστιν ἡ φύσις τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. προτρεπτικὴ δὲ καὶ ἡ θεία χάρις καὶ ἡ ἐναντία δύναμις, ἀλλ' οὐκ ἀναγκαστική. 32.8.10 Ἐπειδὴ τὸ πρὶν ὁ αὐτὸς Ἀδὰμ ἐν καθαρότητι ὢν ἐβασίλευε τῶν λογισμῶν αὐτοῦ, ἀφ' οὗ δὲ παρέβη τὴν ἐντολήν, ὄρη δυσβάστακτα ἐπίκεινται τῷ νῷ, καὶ οἱ τῆς κακίας διαλογισμοὶ παραμιγέντες ὅλοι ὡς ἴδιοι αὐτοῦ ἐγένοντο καὶ οὐδὲ εἷς αὐτοῦ ἐστιν ἴδιος, ἐπειδὴ κατέχεται ὑπὸ τῆς κακίας. λοιπὸν ζητῆσαι ὀφείλεις λύχνον, ἵνα ἁφθῇ καὶ εὕρῃς τοὺς καθαροὺς καὶ φυσικοὺς λογισμούς. 32.8.11 Οἱ ἀνατραφέντες εἰς θάλασσαν ἔμαθον κολυμβᾶν, καὶ ὅταν ἐπαναστῶσι κλύδωνες καὶ κύματα, οὐ ξενίζονται· οἱ δὲ ἀσυνήθεις, μικρὰ ζάλη ἐὰν ἐπέλθῃ, δειλαίνονται καὶ καταποντίζονται. οὕτως εἰσὶ καὶ οἱ Χριστιανοί. 32.8.12 Ὥσπερ δὲ νοῦς τριετοῦς παιδίου οὐ δύναται χωρῆσαι ἢ καταλαβεῖν νοῦν τελείου σοφιστοῦ, ἐπειδὴ ἐν μέσῳ πολύ τί ἐστιν, οὕτως οἱ Χριστιανοὶ ὡς βρέφη νήπια τὸν κόσμον καταμανθάνουσιν ἀφορῶντες εἰς τὸ μέτρον τῆς χάριτος. ξένοι γάρ εἰσι τοῦ αἰῶνος τούτου. ἡ γὰρ πόλις αὐτῶν καὶ ἡ ἀνάπαυσις ἄλλη ἐστίν. 32.8.13 Ἔχουσι δὲ οἱ Χριστιανοὶ τὴν παράκλησιν τῆς χάριτος, δάκρυα καὶ πένθος, καὶ αὐτὰ τὰ δάκρυα τρυφὴ αὐτοῖς ἐστιν. ἔχουσι δὲ καὶ φόβον ἐν χαρᾷ καὶ ἀγαλλιάσει, καὶ οὕτως εἰσὶν ὡς ἄνθρωποι βαστάζοντες εἰς τὰς χεῖρας αὐτῶν τὸ αἷμα αὐτῶν, μὴ θαρροῦντες ἑαυτοῖς μηδὲ οἰόμενοί τι εἶναι, ἀλλ' ὄντες ἐξουδενωμένοι καὶ ἀποδεδοκιμασμένοι παρὰ πάντας ἀνθρώπους. 32.8.14 Ὥσπερ ἵνα ᾖ βασιλεὺς καὶ πτωχῷ τινι παραθῇ τὸν θησαυρὸν αὐτοῦ· ὁ παραλαβὼν ἐπὶ τὸ φυλάξαι οὐκ ἔχει αὐτὸν ὡς ἴδιον, ἀλλ' ὁμολογεῖ πάντοτε τὴν πτωχείαν αὐτοῦ, μὴ τολμῶν διασκορπίσαι ἐκ τοῦ θησαυροῦ. τοῦτο γὰρ λέγει· "1ὁ βασιλεύς μοι παρέθετο αὐτὸν καί, ὅτε θέλει, λαμβάνει αὐτὸν ἀπ' ἐμοῦ."2 οὕτως ὀφείλουσιν ἑαυτοὺς ἡγεῖσθαι καὶ οἱ ἔχοντες τὴν χάριν τοῦ θεοῦ, ταπεινοφρονεῖν καὶ ὁμολογεῖν τὴν πτωχείαν καὶ λέγειν ὅτι τὸ δοθέν μοι οὐκ ἔστιν ἐμόν. βασιλεύς μοι παρέθετο τὸν θησαυρὸν καί, ὅτε θέλει, λαμβάνει αὐτὸν ἀπ' ἐμοῦ. 32.8.15 Ἀλλ' οἱ πολλοὶ καίτοι συνούσης τῆς χάριτος κλεπτόμενοι ὑπὸ τῆς ἁμαρτίας οὐκ οἴδασιν. ὥσπερ ἐὰν ᾖ νεωτέρα ἐν οἴκῳ τινὶ καὶ νεώτερος, λοιπὸν ἐὰν κολακευομένη αὐτὴ συνθῆται, μοιχᾶται καὶ ἀπόβλητός ἐστιν. οὕτω καὶ ὁ δεινὸς ὄφις σύνεστι τῇ ψυχῇ γαργαλίζων καὶ προτρεπόμενος, καὶ ἐὰν συνθῆται, κοινωνεῖ ἡ ἀσώματος ψυχὴ τῇ ἀσωμάτῳ φύσει τοῦ ὄφεως (τουτέστι πνεῦμα πνεύματι κοινωνεῖ) καὶ μοιχεύει ἐν τῇ καρδίᾳ. τὸ οὖν μέτρον τοῦ ἀγῶνός σου τοῦτό ἐστι, ἵνα μὴ μοιχεύσῃς ἐν τοῖς λογισμοῖς, ἀλλ' ἵνα ἀντιστῇς τῷ νῷ καὶ ἔσωθεν ποιήσῃ πόλεμον καὶ ἀγῶνα καὶ μὴ ὑπακούσῃς μηδὲ συνθῇς τῇ κακίᾳ ἐν τοῖς λογισμοῖς. καὶ ἐὰν ταύτην τὴν ἑτοιμασίαν τῆς καρδίας εὕρῃ ὁ κύριος, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ παραλαμβάνει σε ἐν τῇ βασιλείᾳ. 32.8.16 Ἔστι γάρ τινα πράγματα, ἃ οἰκονομεῖ ὁ κύριος ἵνα μὴ ἀμάρτυρον ἑαυτὸν ποιήσῃ τῆς θείας χάριτος καὶ τῆς παρακλήσεως· καὶ ἔστιν τινὰ πράγματα, ἃ οὕτως οἰκονομεῖ κατὰ παραχώρησιν, ἵνα δοκιμασθῇ καὶ γυμνασθῇ ὁ ἄνθρωπος, ἵνα ἀποδείξῃ τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου. οἱ γὰρ ἐν θλίψεσι καὶ πειρασμοῖς ὄντες ἐὰν ὑπομείνωσιν, οὐκ ἀποτυγχάνουσι τῆς βασιλείας τῶν οὐρανῶν. οἱ δὲ Χριστιανοὶ οὔτε ἐν τοῖς θλιβεροῖς πράγμασιν ἄχθονται ἢ λυποῦνται, ἐὰν ἐν πενίᾳ καὶ κακουχίᾳ καὶ κινδύνῳ ἐξετασθῶσιν, οὐκ ὀφείλουσι ξενίζεσθαι, ἀλλὰ μᾶλλον


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνήδεσθαι τῇ πενίᾳ ἀντὶ πλούτου, τῇ νηστείᾳ ἀντὶ τρυφῆς, τῇ ἀτιμίᾳ καὶ ἀδοξίᾳ ἀντὶ δόξης. πάλιν δὲ ἐὰν ἐμπέσωσιν εἰς πράγματα ἔνδοξα καὶ τρυφηλὰ ὡς ἐν τῷ βίῳ τούτῳ, ἅπερ προτρέπεται αὐτοὺς εἰς ἀνάπαυσιν σαρκικήν, ἢ πλοῦτον ἢ δόξαν ἢ τρυφήν, ἀηδίζεσθαι ὀφείλει καὶ ἀποφεύγειν ὡς ἀπὸ πυρός. 32.8.17 Εἰς τὸ φαινόμενον ἐὰν ἐλάχιστον ἔθνος ἐπικινηθῇ τῷ βασιλεῖ εἰς πόλεμον, οὐ κάμνει αὐτός, ἀλλ' ἀποστέλλει στρατηλάτας. ἐὰν δὲ ἔθνος μέγιστον δυνάμενον πολεμῆσαι τῇ βασιλείᾳ αὐτοῦ ἐπικινηθῇ, ἀναγκάζεται αὐτὸς ὁ βασιλεὺς σὺν τῷ παλατίῳ καὶ τῷ στρατοπέδῳ αὐτοῦ ἀπελθεῖν καὶ συμβαλεῖν τῷ πολέμῳ. βλέπε οὖν σου τὸ ἀξίωμα, ὅτι ὁ θεὸς ἐκινήθη μετὰ τοῦ ἰδίου στρατοῦ, τῶν ἀγγέλων λέγω καὶ τῶν ἁγίων πνευμάτων, εἰς σὴν πρεσβείαν δι' ἑαυτοῦ ἐλθών, ἵνα σε λυτρώσηται ἐκ τοῦ θανάτου. ἀσφάλισαι οὖν ἑαυτὸν ἐννοούμενος, ὁποία πρόνοια διὰ σὲ γεγένηται. 32.8.18 Ὑποδείγματι δὲ βιωτικῷ κεχρήμεθα, ὡς ἐν βίῳ. ὥσπερ ἵνα ᾖ βασιλεὺς καὶ εὕρῃ τινὰ ἐνδεῆ ἔχοντα πάθη καὶ μὴ ἐπαισχυνθῇ αὐτόν, ἀλλὰ φαρμάκοις ἰατρικοῖς ἀποθεραπεύσῃ αὐτοῦ τὰ τραύματα καὶ ἀπενέγκῃ αὐτὸν εἰς τὸ παλάτιον καὶ δῷ πορφύραν καὶ τὸ διάδημα καὶ ποιήσῃ αὐτὸν κοινωνὸν τῆς τραπέζης αὐτοῦ· οὕτως ὁ ἐπουράνιος βασιλεὺς Χριστὸς ἐλθὼν πρὸς τὸν ἄνθρωπον ἔχοντα πάθη ἰάσατο καὶ ἐποίησεν αὐτὸν κοινωνὸν βασιλικῆς τραπέζης, καὶ τοῦτο οὐ βιαζόμενος τὸ θέλημα αὐτοῦ, ἀλλὰ προτρεπόμενος αὐτὸν εἰς τὴν τοιαύτην ἑστίασιν. καὶ γὰρ ἐν τῷ εὐαγγελίῳ γέγραπται, ὅτι ἀπέστειλεν τοὺς ἑαυτοῦ δούλους ὁ κύριος, καλῶν τοὺς θέλοντας ὅτι «τὸ ἄριστον ἡτοίμασται», αὐτοὶ δὲ οἱ κεκλημένοι παρῃτήσαντο λέγοντες, ὁ μὲν «ἠγόρασα ζεύγη βοῶν», ἄλλος γυναῖκα ἥρμοσμαι. ὁρᾷς, ὅτι ὁ κλήτωρ ἕτοιμος, οἱ δὲ κληθέντες ἀντεῖπον. αὐτοὶ οὖν ἑαυτοῖς αἴτιοι γεγόνασι. τοσοῦτον οὖν ἐστι τὸ ἀξίωμα τῶν Χριστιανῶν, ὅτι ὁ κύριος ἡτοίμασε βασιλείαν καὶ καλεῖ αὐτοὺς εἰσελθεῖν, καὶ οὐ θέλουσι. 32.8.19 Πρὸς τὸ δόμα οὖν, ὃ μέλλουσι κληρονομεῖν, εἰ ἠγωνίζετο ἕκαστος, ἀφ' οὗ ὁ Ἀδὰμ ἐκτίσθη, καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος καὶ ἐποίει πόλεμον πρὸς τὸν σατανᾶν καὶ ὑπέμενε τὰς θλίψεις, οὐδὲν μέγα ἐποίει πρὸς τὴν δόξαν, ἣν μέλλει κληρονομεῖν. συμβασιλεύει γὰρ εἰς τοὺς ἀπεράντους αἰῶνας μετὰ τοῦ Χριστοῦ καὶ δόξα τῷ οὕτως ἀγαπήσαντι τὴν ψυχὴν ταύτην, ὅτι αὐτὸς ἑαυτὸν ἔδωκε καὶ τὴν φύσιν αὐτοῦ καὶ ἐνεπίστευσεν αὐτῇ. Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 33.τ.1 ΛΟΓΟΣ ΛΓʹ.

33.1.1 Κατὰ τὰ φαινόμενα πράγματα ἰδοὺ πάντες οἱ καθεζόμενοι ἄνθρωποι εἰκόνα μίαν ἔχομεν καὶ ἓν πρόσωπον τοῦ Ἀδάμ. ἆρα καὶ εἰς τὸ κρυπτὸν καὶ εἰς τὰ ἐνδότατα πράγματα μία ἐστὶ προαίρεσις πάντων καὶ μία ἆρα καρδία; πάντες ἐσμὲν ἀγαθοὶ καὶ θεοσεβεῖς; ἢ ἆρα εἰσὶν ἐξ ἡμῶν οἱ μὲν κοινωνοῦντες τῷ Χριστῷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, οἱ δὲ τῷ σατανᾷ καὶ τοῖς δαίμοσι, εἰ καὶ ὅλοι εἰς τὸ φαινόμενον ὁμοῦ καθεζόμεθα ἓν πρόσωπον τοῦ Ἀδὰμ ἔχοντες; ὁρᾷς πῶς ἄλλο τί ἐστιν ἡ νοερὰ οὐσία, ὁ ἔσω ἄνθρωπος παρὰ τὸν ἔξω, ὅτι εἷς φαινόμεθα οἱ πάντες καὶ οἱ μὲν μετὰ τοῦ Χριστοῦ καὶ τῶν ἀγγέλων εἰσίν, οἱ 33.1.2 δὲ μετὰ τοῦ σατανᾶ καὶ τῶν ἀκαθάρτων πνευμάτων. ἡ οὖν καρδία βάθος τι ἔχει ἀπέραντον. ἐκεῖ εἰσι τρίκλινοι καὶ κοιτῶνες καὶ κουβούκλια, θύραι ἢ καὶ πρόθυρα, διακονίαι πολλαὶ καὶ ἔξοδοι. ἐκεῖ ἐστι τὸ ἐργαστήριον τῆς δικαιοσύνης καὶ ἀδικίας. ἐκεῖ ἐστιν ὁ θάνατος κἀκεῖ ἐστιν ἡ ζωή. ἐκεῖ ἐστιν ἡ ἀγαθὴ ἐμπορία. 33.1.3 Ὥσπερ ἵνα ᾖ παλάτιον μέγιστον καὶ τοῦτο ἐρημωθῇ καὶ πληρωθῇ δυσωδίας πάσης καὶ νεκρωμάτων πολλῶν, οὕτω καὶ τὸ παλάτιον τοῦ κυρίου ἡ καρδία ἐστί· γέμει πάσης ἀκαθαρσίας καὶ ὄχλων πονηρῶν πνευμάτων. χρὴ οὖν τοῦτο


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνακτισθῆναι καὶ ἀνοικοδομηθῆναι καὶ εὐτρεπισθῆναι τὰ ταμιεῖα καὶ τὰ κουβούκλια καὶ τοὺς τρικλίνους καὶ τὰ πρόθυρα τῆς καρδίας. μὴ γὰρ ἁπλῶς ὡς μικρῷ σκεύει καὶ εὐκαταφρονήτῳ πρόσχῃς τῇ καρδίᾳ. ἐπεῖ γὰρ ὁ βασιλεὺς Χριστὸς μετὰ τῶν ἀγγέλων καὶ τῶν ἁγίων πνευμάτων ἔρχεται ἐπαναπαυθῆναι καὶ οἰκῆσαι καὶ ἐμπεριπατῆσαι καὶ θεῖναι τὴν ἑαυτοῦ βασιλείαν. 33.1.4 Ὥσπερ ἵνα ᾖ πλοῖον ἔχον πολλὴν κατασκευὴν καὶ τοὺς ἐπιβάτας, λοιπὸν ὁ κυβερνήτης διοικεῖ τοὺς πάντας καὶ οἰκονομεῖ, τοὺς μὲν ἐπιπλήσσων, ἄλλους ὁδηγῶν, οὕτως ἐστὶν ἡ καρδία ἔχουσα τὸν νοῦν κυβερνήτην, συνείδησιν ἐλέγχουσαν, λογισμοὺς τοὺς κατηγοροῦντας καὶ ἀπολογουμένους «μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων καὶ ἀπολογουμένων». ὁρᾷς ὅτι ἡ συνείδησις οὐ συγκρύβει τοὺς λοιποὺς λογισμοὺς τοὺς ὑπακούοντας τῇ ἁμαρτίᾳ, ἀλλ' εὐθὺς ἐλέγχειοὐ ψεύδεται γάρ, ἐπιτιμᾷ, ἐνώπιον τοῦ θεοῦ ἐν κρίσει μαρτύρεται ὡς πάντοτε ἐλέγχουσα. 33.1.5 Ὥσπερ ἐὰν ᾖ ἅρμα, καὶ αἱ ἡνίαι καὶ τὰ ζῷα καὶ πᾶσα ἡ κατασκευὴ ὑπὸ ἕνα ἡνίοχόν ἐστι, καὶ λοιπόν, ὅτε θέλει, ὀξυτάτῃ ὁρμῇ φέρεται καὶ πάλιν ἐπέχεται, καὶ ὅπου θελήσει μεταστρέψαι, ἐκεῖ συνέρχεται ὅλον τὸ ἅρμα· ἐν τῇ ἐξουσίᾳ γὰρ τοῦ ἡνιόχου κεῖται, οὕτω καὶ ἡ καρδία ἔχει πολλοὺς λογισμοὺς τοὺς φυσικοὺς συνδεδεμένους αὐτῇ, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις ἐπιτιμῶσα καὶ κατευθύνουσα καὶ διϋπνίζουσα τοὺς φυσικοὺς λογισμοὺς βρύοντας ἐν τῇ καρδίᾳ. μέλη γὰρ πολλὰ ἔχει ἡ ψυχὴ καὶ ὅλη ἐστὶ μία. 33.1.6 Ἀφ' οὗ γὰρ παρέβη ὁ ἄνθρωπος τὴν ἐντολήν, ἐπεισελθὼν ὁ ὄφις, ὁ διάβολος, ὡς δεσπότης γέγονε τοῦ οἴκου καὶ ὡς ψυχὴ ἐν ἑνὶ μέρει μετὰ τῆς ψυχῆς. ὁ γὰρ κύριος ἐν τῷ εὐαγγελίῳ λέγει· «πᾶς ὅστις οὐκ ἀρνεῖται τὴν ἑαυτοῦ ψυχὴν καὶ οὐ μισεῖ ἑαυτόν, οὐκ ἔστι μου μαθητής», ἐπειδὴ ἡ ἁμαρτία ἐπεισελθοῦσα τῇ ψυχῇ ὡς μέλος γέγονεν αὐτῇ, καὶ βρύουσι πολλοὶ λογισμοὶ ἀκάθαρτοι ἐν τῇ καρδίᾳ. ὁ οὖν ποιῶν τὰ θελήματα τῆς ψυχῆς αὐτοῦ τὰ θελήματα 33.1.7 τῆς ἁμαρτίας ποιεῖ, ἐπειδὴ συμπέπλεκται μετὰ τῆς ψυχῆς. ὁ δὲ ὑποτάσσων τὴν ψυχὴν αὐτοῦ τῷ πνεύματι καὶ ὀργιζόμενος ἑαυτῷ καὶ ταῖς συνούσαις αὐτῷ ἐπιθυμίαις, οὗτος ἐστὶν ὁ ὑποτάσσων πόλιν ἐχθρῶν αὐτοῦ καὶ οὗτος καταξιοῦται ἐλθεῖν εἰς μέτρα μεγάλα πνευματικὰ καὶ ἀπολαμβάνει διὰ τῆς θείας δυνάμεως τὸν καθαρὸν ἄνθρωπον καὶ γίνεται ἐν αὐτῷ μείζων· ἀποθεοῦται γὰρ ὁ τοιοῦτος καὶ γίνεται υἱὸς θεοῦ, λαμβάνων τὸ οὐράνιον σίγνον ἐν τῇ ψυχῇ. οἱ γὰρ ἐκλεκτοὶ αὐτοῦ χρίονται τὸ ἁγιαστικὸν ἔλαιον καὶ γίνονται 33.1.8 ἀξιωματικοὶ καὶ βασιλεῖς. ἔχει γὰρ τὴν ἐλευθερίαν ὁ ἄνθρωπος ταύτην καὶ ὢν ἐν βάθει τῆς κακίας καὶ δουλεύων τῇ ἁμαρτίᾳ τοῦ τραπῆναι αὐτὸν ἐπὶ τὸ ἀγαθόν, καὶ δεδεμένος πνεύματι ἁγίῳ καὶ αἰχμαλωτὸς καὶ μεμεθυσμένος 33.1.9 εἰς τὰ ἐπουράνια ὁμοίως ἔχει τοῦ τραπῆναι αὐτὸν ἐπὶ τὸ κακόν. γυνὴ ῥάκη ἐνδεδυμένη, λιμώττουσα καὶ ἐρρυπωμένη, εἰ μετὰ πολλοῦ καμάτου ἔλθῃ εἰς ἀξίωμα βασιλικὸν καὶ ἐνδύσηται στέφανον καὶ πορφύραν καὶ γένηται νύμφη βασιλέως, μέμνηται μὲν τῆς προτέρας ῥυπαρίας καὶ ἔχει θέλημα, ἀλλ' οὐ βούλεται ἐπανελθεῖν εἰς τὴν ἀρχαίαν αἰσχύνην, ἐπειδὴ μωρόν ἐστι τοῦτο. αὐτοὶ δὲ οἱ γευσάμενοι τῆς χάριτος τοῦ θεοῦ καὶ μέτοχοι ὄντες τοῦ πνεύματος, ἐὰν μὴ ἀσφαλίσωνται, κατασβέννυνται καὶ γίνονται χείρονες, οὗ ἦσαν ὅτε ἦσαν κοσμικοί. 33.2.1 Ἐρώτησις. Οὐκοῦν ὁ θεὸς τρεπτός ἐστιν ἢ ἀσθενής, ὅτι τὸ πνεῦμα σβέννυται; Ἀπόκρισις. Αὐτοὶ οἱ ἄνθρωποι οὐ συμφωνοῦσι τῇ χάριτι, ἀλλ' ἐκτρέπονται καὶ πίπτουσιν εἰς μυρία κακά. τοῖς γὰρ γευσαμένοις ἐκείνης τῆς δωρεᾶς τὰ ἀμφότερα σύνεστι, χαρὰ καὶ παράκλησις, τρόμος καὶ φόβος καὶ πένθος. πενθοῦσι γὰρ ἑαυτοὺς καὶ ὅλον τὸν Ἀδάμ, ἐπειδὴ μία ἐστὶ φύσις ἀνθρώπων, καὶ τὰ δάκρυα τῶν τοιούτων ἄρτος ἐστὶ καὶ τὸ πένθος γλυκύτης 33.2.2 καὶ ἀνάπαυσις. ἐὰν ἴδῃς τινὰ ἐπαιρόμενον καὶ τυφούμενον ὡς μέτοχον χάριτος, οὗτος ἐὰν καὶ σημεῖα ποιήσῃ καὶ νεκροὺς ἐγείρῃ, μὴ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἔχῃ δὲ τὴν ψυχὴν αὐτοῦ ἄτιμον καὶ ἐξουδενωμένην καὶ ᾖ πτωχὸς τῷ πνεύματι καὶ βδελυκτὸς παρ' ἑαυτῷ, κλέπτεται ὑπὸ τῆς κακίας καὶ οὐκ οἶδε, καὶ εἰ σημεῖα ποιεῖ, οὐκ 33.2.3 ἔστιν αὐτῷ πιστεῦσαι. τὸ γὰρ σημεῖον τοῦ Χριστιανισμοῦ τοῦτό ἐστι, τὸ ὄντα τινὰ μέγαν καὶ δόκιμον παρὰ θεῷ σπουδάζει λανθάνειν τοὺς ἀνθρώπους καί, εἰ ἔχει ὅλους τοὺς θησαυροὺς τοῦ βασιλέως, κρύπτειν ἑαυτὸν καὶ λέγειν, ὅτι "1οὐκ εἰσὶν ἐμοί, ἄλλος μοι παρέθετο τὸν θησαυρόν, ἐγὼ πτωχός εἰμι, ὅτε 33.2.4 θέλουσι λαμβάνουσιν αὐτὸν ἀπ' ἐμοῦ."2 εἰ δέ τις λέγει· "1πλούσιός εἰμι, ἀρκεῖ, ἐκτησάμην, οὐ χρῄζω"2, οὗτος οὐκ ἔστι Χριστιανός, ἀλλὰ σκεῦος ἐστι τῆς πλάνης καὶ τοῦ διαβόλου. ὁ γὰρ θεὸς ἀκόρεστός ἐστι καὶ ὅσῳ ἐσθίει τις αὐτόν, ἔκπεινος γίνεται καὶ ἔκδιψος καὶ τὴν καῦσιν καὶ τὸν ἔρωτα ἀκατάσχετον ἔχει. οἱ τοιοῦτοι ἕως ὅτε ζῶσι σπουδάζουσιν εἰς αὐτὸ προκόπτειν καὶ ἔτι πορίζουσιν καὶ ἑαυτοὺς ποιοῦσιν ὡς πτωχούς, ὡς ἐνδεεῖς, μηδὲν κεκτημένους. τοῦτο γὰρ λέγουσιν, ὅτι "1οὔκ ἐσμεν ἄξιοι, ἵνα ὁ ἥλιος οὗτος ἐπιλάμψῃ ἡμῖν."2 τοῦτό ἐστι τὸ σημεῖον τοῦ Χριστιανισμοῦ, αὕτη ἐστὶν ἡ ἀληθινὴ ταπείνωσις. εἰ δέ τις λέγει, ὅτι "1ἀρκοῦμαι καὶ πεπλήρωμαι"2, καὶ οὗτος πλάνος ἐστὶ καὶ ψεύστης. 33.3.1 Δύο εἰσὶ βασιλεῖαι, βασιλεία φωτὸς καὶ βασιλεία σκότους. σὺ οὖν ποίου εἶ βασιλέως, ἐπίσκεψαι σεαυτόν. ὅπου γὰρ ἂν φυλάξῃς καὶ συνθήκας ποιῇς, ἐκείνου εἶ κοινωνός, γέγραπται γάρ· «τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν». ἔχεις ἴδιον θέλημα καὶ ὅπου τὴν ὁρμὴν καὶ τὴν ὑπακοὴν δῷς, ἐκείνου γίνῃ κτῆμα καὶ υἱὸς καὶ φίλος. εἰ ἀγαπᾷς καὶ ἐνηδύνῃ τοῖς τῆς κακίας θελήμασιν, εὐθέως συνεργοῦσι σοι καὶ προσκολλῶνται. εὐπερίσπαστος γάρ ἐστιν ἡ ἁμαρτία καὶ ἐν σπουδῇ παραγίνεται· ἄρχων γάρ ἐστιν ἐπὶ κακουχίᾳ ἀνθρώπων χαίρων. ὁμοίως πάλιν εἰ ἀγαπᾷς καὶ ἐνηδύνῃ τῷ ἀγαθῷ, πάλιν καὶ αὐτὸ παραγίνεται καὶ βοηθεῖ. ἀλλὰ ὧδε μετὰ ἀγῶνος πολλοῦ, ἐπειδὴ βασιλεία ἐστὶ μὴ ἔχουσα τέλος· διὰ τοῦτο τὸ τίμιον σπάνιόν ἐστι καὶ τὸ δυσχερῶς κατορθούμενον ἔνδοξον, ὅθεν καὶ ἀΐδιον, ἐπεὶ ἀκαμάτως πάντες θέλουσιν εἰσελθεῖν καὶ γενέσθαι τοῦ ἀγαθοῦ, ἀλλὰ ἀνὰ μέσον δρόμος πολὺς καὶ ἀγὼν πρό33.3.2 κειται καὶ ἀπὸ πολλῶν ὀλίγοι ἐξειλοῦσιν. οἱ οὖν νικήσαντες κατήντησαν πρὸς ἡγεμόνα καὶ βασιλέα εἰρηνικὸν καὶ ἥμερον, ἐπὶ εὐεργεσίᾳ ἀνθρώπων χαίροντα, τοιοῦτοι ἀπὸ τοῦ νῦν κληρονομοῦσι τὴν γῆν τῆς ἐπαγγελίας καὶ ἔρχονται εἰς λιμένα ἀναπαύσεως καὶ εἰς τὴν πόλιν τὴν ἁγίαν καὶ «εἰς τὴν κατάπαυσιν». ὥσπερ γάρ ἐστιν οὐρανὸς φαινόμενος, ὃς ἐπικαλεῖται στερέωμα, οὕτως ἐστὶν ἐπάνω τούτου ἄλλος οὐρανὸς φωτοειδής, ἔνθα παρεμβολαὶ τῶν ἀγγέλων 33.3.3 (καὶ τὰ μάλιστα ὁ θεὸς καὶ οἱ ἄγγελοι), ἐκεῖ ἐστι σκηνὴ ἀχειροποίητος. ταῦτα οὖν πάντα θεῖά ἐστι καὶ ἄρρητα καὶ φωτεινά, ἐπειδὴ πνευματικά ἐστι καὶ ὑποστατικά, μὴ ὄντα τοῦ αἰῶνος τούτου, ἀλλὰ ἄλλου κόσμου, ὅπου οὔκ ἐστι σκότος ἢ νὺξ ἢ πόλεμος ἢ γέεννα. ἐπειδὴ γὰρ οὐκ ἐνεχωρεῖ τῷ ἔξω ὀφθαλμῷ κατανοεῖν ἐκεῖνα τὰ ἐπουράνια, διὰ τοῦτο ὡς παραπέτασμα ἐκτίσθη τοῦτο τὸ στερέωμα, ἵνα μὴ δόξῃ τίς ἁπλῶς καθορᾶν εἰ μὴ οἱ καθαροὶ τὴν καρδίαν καὶ τὸν νοῦν ἡγιασμένοι, οἱ συμπολῖται καὶ συμμύσται τῶν ἁγίων. καὶ ὅταν συσταλῇ 33.3.4 τοῦτο, ἐκεῖνα τότε τὰ μὴ φαινόμενα ὑποδέχεται τοὺς ἐκλεκτούς. πολλοὶ γὰρ τοῦ ἀγαθοῦ μέρους ὄντες καὶ ἐνεργούμενοι ὑπὸ τοῦ ἀγαθοῦ πνεύματος ἐνόμισαν τετελειῶσθαι καὶ μετὰ ταῦτα ἔφοδον ὑπὸ τῶν πονηρῶν πνευμάτων καὶ ἐπιβουλὴν ἔπαθον, ὡς ἂν στρατιῶται νομίσαντες νενικηκέναι τοὺς ἐχθρούς, καὶ λοιπὸν ῥίψαντες τὰ ὅπλα καὶ ἐν ἀμεριμνίᾳ ὄντες, ἔγκρυμμα ποιήσαντες καὶ ἄφνω ἐπιστάντες οἱ ἐχθροί, τοὺς μὲν φονεύσωσιν, τοὺς δὲ δήσαντες αἰχμαλώτους λάβωσιν. οὕτως οὖν καὶ ἡ ἁμαρτία ἐπικινηθεῖσα παρεχρήσατο, τοὺς μὲν ἔδησεν εἰς τὸν ἴδιον βυθὸν καὶ βρόχον τῆς κακίας, τοὺς δὲ ᾐχμαλώτευσεν εἰς τὰ πάθη 33.3.5 τῆς ἀτιμίας. πάντες οὖν οἱ ἄνθρωποι εἴτε δίκαιοι εἴτε ἁμαρτωλοί, εἰ μὴ διὰ τοῦ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νόμου τοῦ πνεύματος (τουτέστιν εἰ μὴ διὰ Ἰησοῦ Χριστοῦ), οὐ δύνανται ἐλευθερωθῆναι τῶν κακῶν καὶ ἐξειλῆσαι ἐκ τῆς δυναστείας τοῦ διαβόλου. λέγει γὰρ Παῦλος διαγράφων τὴν πτῶσιν τοῦ ἀνθρώπου· «ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ θανάτου; εὐχαριστῶ τῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ», ὅτι «ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἐκ τοῦ θανάτου». 33.3.6 Ὥσπερ γὰρ πηγῆς βρυούσης ὅσοι ἂν πίνωσιν οὐδὲν ἐνδέει, οὕτως οἱ ἔχοντες τὰς προσόδους καὶ τοὺς θησαυροὺς τοῦ πνεύματος ἔνδοθεν ἐν τῷ νῷ ὅσα ἂν λαλήσωσιν, τοὺς μὲν ἀκούοντας πίστει ὠφελοῦσιν, αὐτοὶ δὲ μένουσιν οἷοι καὶ τὸ πρὶν ἦσαν. τοῖς γὰρ πνευματικοῖς ἀπὸ τοῦ νῦν κτίζονται παλάτια καὶ τρίκλινοι καὶ οἶκοι ὑπερμεγέθεις ὑπὸ τοῦ πνεύματος, κατασκευάζεται δὲ καὶ ἐσθὴς διάφορος καὶ ἔνδοξος, ὅταν οὖν ἀναλύσωσι πρὸς τὸν Χριστόν, μετὰ πολλῆς χαρᾶς προσδέχονται αὐτοὺς οἱ ἴδιοι, τὰ πνεύματα τῶν δικαίων καὶ ὅλη ἡ ἐπουράνιος βασιλεία. λέγει γὰρ αὐτοῖς ὁ κύριος. «εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου». πολλοὶ γὰρ τῶν ἀδελφῶν λαμβάνοντες χάριν καὶ συμφωνοῦντες ὁσημέραι εἰς αὔξησιν καὶ προκοπὴν εἰς μέτρα μεγάλα προχωροῦσιν· ἄλλοι, ὅτε λαμβάνουσι δωρεὰν ἐκ τοῦ θεοῦ, καίτοι συνούσης τῆς χάριτος ἐκτρέπονται εἰς ἀταξίας καὶ εἰς κακὰ πολλά. 33.4.1 Ἐρώτησις. Καὶ ὅτε ἐκπίπτουσιν εἰς ἁμαρτήματα, παραμένει ἡ χάρις ἢ εὐθὺς ἀφίσταται; Ἀπόκρισις. Συμβαίνει, ὅτι καὶ πλημμελήσαντος αὐτοῦ τοῦ ἀνθρώπου διὰ τὸ φιλάνθρωπον ἕως ὅτε ἐστὶν ἐν σαρκὶ παραμένει, ὅταν δὲ χωρισθῇ τοῦ σώματος ἡ ψυχή, τότε καὶ ἡ χάρις ἀφίσταται καὶ ἡ ψυχὴ χωρεῖ εἰς 33.4.2 τὸ ἴδιον μέρος παραδιδομένης τῆς ψυχῆς τοῖς πονηροῖς πνεύμασιν. οἱ γὰρ δύο νόμοι ἐν τῷ ἀνθρώπῳ εἰσίν, ὁ νόμος τῆς κακίας κλέπτων εἰς τὸ ἴδιον μέρος καὶ ὁ νόμος τῆς χάριτος ἕλκων εἰς τὰ ἐπουράνια· καὶ ὅσον εἰσέρχεται εἰς τὰ πειρατήρια, στερεοῦται καὶ θεμελιοῦται καὶ γίνεται πέτρα ἄπτωτος. καὶ ὁ τοιοῦτος νοῦς, στήκων εἰς τὴν θύραν καὶ μὴ διδοὺς νῶτα τῷ πολεμίῳ ἀλλ' ἀνθιστάμενος, ἐν τῇ ἐξόδῳ τοῦ σώματος παραλαμβάνεται μετὰ τῆς ψυχῆς ὑπὸ τῶν δεξιῶν ἀγγέλων εἰς τὸ μέρος τῆς βασιλείας καὶ χωρεῖ εἰς τὴν ἀΐδιον ζωήν. 33.4.3 ὥσπερ ἐν τοῖς φαινομένοις ἵνα ᾖ βασιλεὺς διδοὺς χαρίσματα τοῖς διακόνοις αὐτοῦ, καὶ οἱ μὲν λαμβάνοντες εἰς πορνείας καὶ ἀσελγείας καὶ γαστριμαργίας ἀναλίσκουσιν, ἄλλοι δὲ λαμβάνοντες συντηροῦσι καὶ προσκτῶνται ἑαυτοῖς σκεύη τίμια, οὗτοί εἰσιν ἔνδοξοι πάντως οἱ πολυπλασιάσαντες ἐκ τῶν δοθέντων αὐτοῖς χαρισμάτων. 33.4.4 Ἐξ ἀληθείας γὰρ οἱ γευσάμενοι ἐκείνης τῆς γλυκύτητος βλέποντες βασιλέα φαινόμενον ἠμφιεσμένον πορφύραν καὶ ἀξιώματα καὶ θησαυροὺς ἔχοντα, ὥσπερ δυσωδίαν ἡγοῦνται καὶ βδελυκτὰ καὶ ταπεινὰ αὐτοῖς καταφαίνεται, ἐπειδὴ εἰσῆλθαν εἰς βασιλικοὺς καὶ οὐρανίους οἴκους τοῦ Χριστοῦ καὶ ἀνεῴχθησαν αὐτοῖς οἶκοι ἐπουράνιοι καὶ ἐκληρονόμησαν ἄλλον πλοῦτον, γενόμενοι υἱοὶ φωτὸς ἐπουρανίου, αἰῶνος ἀπεράντου. συγκρίνοντες οὖν τὰ ἐπίγεια τοῖς ἐπουρανίοις τότε γινώσκουσι τὸ χάος ἐν μέσῳ καὶ τὴν διαφοράν. 33.4.5 Ὥσπερ γὰρ ἵνα ᾖ τις συνεχόμενος ὑπὸ πυρετοῦ, ἔτι ἀκμαζούσης τῆς κακώσεως ἐὰν προσενέγκῃς τῷ τοιούτῳ ἐδέσματα διάφορα ἢ γλυκύσματα ἢ ἑτέραν τροφήν, σικχαίνεται καὶ ἀηδίζεται, κεκορεσμένος ὢν καὶ μεμεθυσμένος ἐκ τοῦ πυρετοῦ καὶ ὥσπερ τροφὴν αὐτὸν ἔχων. οὕτω καὶ οἱ πνευματικοὶ ἔχοντες τὴν καῦσιν τῆς ἐπουρανίου ἀγάπης καὶ τοῦ θείου πυρός, ὅσα ἂν αὐτοῖς προσενέγκῃ τις φαινόμενα τοῦ κόσμου τούτου, εἴτε ἀξιώματα εἴτε βασιλείαν εἴτε πλοῦτον εἴτε δόξαν, σικχαίνονται. 33.4.6 Ὥσπερ τις ἀηδίζεται διοδεύων ἔνθα ᾖ νεκριμαῖα καὶ δυσωδία πολλή. τὸν αὐτὸν δὲ πάλιν τρόπον καὶ οἱ μεμεστωμένοι τῆς ἐναντίας δυνάμεως καὶ ὄντες τοῦ πνεύματος τοῦ κόσμου, λαλουμένου λόγου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνευματικοῦ περὶ φωτός, περὶ βασιλείας, περὶ αἰῶνος ἄλλου καὶ δυνάμεως θείας, ὥσπερ ἀηδίζονται καὶ ἀκηδιῶσι μὴ δυνάμενοι χωρῆσαι τὸν λόγον τοῦ θεοῦ. 33.4.7 Ἐξ ἀληθείας γὰρ οὗτοί εἰσι σοφοὶ καὶ ἀνδρεῖοι. οὗτοι πολεμισταὶ οἱ ἄνω ἔχοντες τὸν ἑαυτῶν νοῦν καὶ ὀργιζόμενοι ταῖς συνούσαις αὐτοῖς ἐπιθυμίαις καὶ ἡδοναῖς καὶ ἀντιπράττοντες τῷ νῷ τῆς κακίας καὶ ὑπήκοοι γινόμενοι καὶ συνηδόμενοι «τῷ νόμῳ τοῦ θεοῦ». τί οὖν ὁ ῥήτωρ ἢ φιλόσοφος; ἐπανίσταται αὐτῷ ἐπιθυμία καὶ μοιχεύει καὶ ἐπὶ πλεονεξίαν ἁρπάζεται καὶ ἐλαύνεται ὁ νοῦς ὑπὸ τῶν πνευμάτων τῶν πονηρῶν, καὶ ποῦ αὐτῶν ἡ σοφία ἡ πολλή;

34.τ.1 ΛΟΓΟΣ ΛΔ΄.

34.1.1 Οἱ τὸ σῶμα ἐνδεδυμένοι Χριστιανοὶ τοσαύτην ἔχουσι χαρὰν καὶ ἀγάπην ἐν ἑαυτοῖς καὶ ἐλπίδα πρός τε τὸν θεὸν καὶ τοὺς ἀδελφούς, ὥστε μὴ δύνασθαι στόματι ἀνθρώπων καὶ τῇ γλώσσῃ ταύτην ἐκφράζεσθαι. καὶ οἱ τοιοῦτοι ἀπὸ τοῦ νῦν ὄντες ἐν σώματι προγινώσκουσι καὶ ὥσπερ κατοπτρίζονται τὴν ἐκεῖθεν ἀνάπαυσιν καὶ τὸ φῶς τὸ αἰώνιον καὶ ἀγαλλίασιν τεταμιευμένην. εἰ οὖν ἐνταῦθα οὕτως, πόσῳ μᾶλλον ὅταν ἀναλύσῃ πρὸς τὸν Χριστὸν εἰς ἐκεῖνον τὸν αἰῶνα χαίρει ἡ ψυχὴ συνοῦσα τῷ κυρίῳ καὶ τοῖς ἀποστόλοις. Ὥσπερ ἐὰν ᾖ ὀφθαλμὸς πεπληγμένος, ἀδυνάτως ἔχει ἰδεῖν τὰς ἀκτίνας τοῦ ἡλίου, οὕτω καὶ ὁ σατανᾶς καὶ αἱ δυνάμεις τοῦ σκότους οὐ δύνανται τὸ φῶς τὸ ἐνεργοῦν ἐν τῷ ἁγίῳ ἰδεῖν ἢ προσεγγίσαι, ἐπειδὴ ἐλέγχεται καὶ καίεται. καὶ γὰρ ἐπὶ τοῦ κυρίου «ἔκραζον λέγοντες· τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; τί πρὸ καιροῦ ἦλθες βασανίσαι ἡμᾶς»; Ὥσπερ ἵνα συλληφθῇ ληστὴς ἢ κατάδικος δεσμεῖται ἐν σκοτεινοῖς τόποις φρουρούμενος, οὔπω δέ ἐστιν ἀπόφασις κατ' αὐτοῦ καυθῆναι ἢ ἀναιρεθῆναι, οὕτως εἰσὶ καὶ αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν· κατέχονται ὑπὸ τῶν πονηρῶν πνευμάτων καὶ τῶν ἀγγέλων τῶν ἀριστερῶν καὶ τέως εἰς σκοτεινοὺς τόπους τετηρημέναι εἰσὶ καὶ δεδεμέναι ἕως τῆς ἡμέρας τῆς κρίσεως τοῦ Χριστοῦ. οἱ γὰρ ὑπεύθυνοι ἁμαρτίαις θέλουσιν ἀνελθεῖν εἰς τοὺς οὐρανοὺς καὶ κατασπῶνται ὑπὸ τῶν πονηρῶν πνευμάτων ὡς ὑπήκοοι καὶ δοῦλοι γενόμενοι τῆς ἁμαρτίας, ἔτι ὄντες ἐν σαρκί. ἔστι δὲ καὶ ἀποκάλυψις λέγουσα, ὅτι δύο ἄγγελοι παρέπονται τῷ ἀνθρώπῳ, εἷς ἀγαθὸς καὶ εἷς πονηρός. καὶ ἐν τῷ μέλλειν χωρίζεσθαι τοῦ σώματος τὸν ἄνθρωπον σύγκρισις γίνεται τῆς δικαιοσύνης καὶ τῶν ἁμαρτημάτων, καὶ οἷον μέρος βαρήσει, ἐκεῖ κατέχεται ἢ εἰς τὸ δεξιὸν ἢ εἰς τὸ ἀριστερόν. ὅσοι δὲ ἀπεντεῦθεν τὸ σίγνον καὶ τὴν βασιλικὴν εἰκόνα ἐδέξαντο ἐν ταῖς ψυχαῖς καὶ τὸ πῦρ τὸ θεῖον καὶ ἐπουράνιον, τούτοις ἐν τῷ χωρίζεσθαι τοῦ σώματος οὐ τολμῶσι προσεγγίσαι οἱ δαίμονες. εἰ δὲ καὶ θέλουσιν οἱ ἄρχοντες αὐτῶν αὐστηροτέρως προσελθεῖν, καίονται ὑπὸ τοῦ πυρός. γέγραπται γάρ· «καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ». Εἰ γὰρ ἐπετέτραπτο τῷ σατανᾷ ποιεῖν ὃ θέλει, ὥς ἐστιν ἡ φύσις αὐτοῦ ἀγρία καὶ δυνατή, ἐν ῥοπῇ ἂν ὡς ῥᾷστα πάντα κατέστρεψε καὶ ἐβύθισεν. ἀλλὰ διὰ τοῦτο ὁ διάβολος κρατεῖται ὑπὸ θείας δυνάμεως, οὐ μόνον τῶν Χριστιανῶν ἀντιλαμβανομένης, ἀλλὰ καὶ ὅλου τοῦ Ἀδάμ, καὶ ἁμαρτωλῶν καὶ εἰδωλολάτρων· ἀναμένει γάρ, εἰ τέκνα αὐτῶν ἢ συγγενεῖς μέλλουσιν ἐπιστρέφειν καὶ δουλεύειν τῷ θεῷ. τοῦτο γάρ ἐστιν «ὅτι οὓς ἔγνω, καὶ προώρισεν». ὅσους γὰρ ἐπίσταται, ὅτι ἀπὸ αὐτεξουσίου προαιρέσεως μέλλουσιν ὑπήκοοι γενέσθαι τῶν ἐντολῶν αὐτοῦ καὶ αἱρήσεσθαι τὸ ἀγαθόν, τούτους προώρισε καὶ ἐκλεκτοὺς ἔχει. ὅσοι δέ εἰσι χαυνότεροι καὶ εἰσελθόντες εἰς ἀγῶνα ἔδωκαν νῶτα, οὗτοί εἰσι νεκροὶ τὸν ἔσω ἄνθρωπον· ἔστι γὰρ τεθανατωμένος καὶ νεκρὸς τὸ ὅλον ὡς βεβασιλευμένος ὑπὸ τῆς κακίας. τίνι νόμος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐδόθη; τίνι λέγει ὁ κύριος· «δεῦτε οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς». τίσι λέγει· «δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων». καὶ πάλιν· «ἡ πίστις σου σέσωκέ σε» πάντως τοῖς αὐτεξουσίοις. φαμὲν γὰρ ἔχειν τὸν ἄνθρωπον τὸ αὐτεξούσιον καὶ τὴν ἐλευθερίαν τοῦ ἰδίου θελήματος, τοῦ τραπῆναι αὐτὸν ἢ ἐπὶ τὸ καλὸν ἢ ἐπὶ τὸ κακόν. αὐτὴ γὰρ ἡ φύσις οὕτως ἐκτίσθη δεκτικὴ καλοῦ καὶ κακοῦ, ἐπιτηδείως ἔχουσα νεῦσαι πρὸς ἃς βούλεται πράξεις. διὰ τοῦτο καὶ ὁ ἀπόστολος λέγει· «ᾧ ἂν δῶτε τὴν ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπηκούσατε». «παραστήσατε οὖν τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν» καὶ πάλιν· «ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε». καὶ ὁ ψαλμὸς λέγει, ὅτι «ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ». ἀντίπαλος οὖν ἐστιν ὁ νοῦς καὶ ἰσοδύναμος εἰς τὸ καλὸν καὶ κακὸν καὶ ἔχων τὸ ἰσόρροπον καὶ ἰσόζυγον πρὸς τὴν κακίαν τοῦ δύνασθαι καὶ ἀντιμάχεσθαι καὶ ἀντιπίπτειν καὶ ὀργίζεσθαι ταῖς ἐπιθυμίαις. Πολλοῖς σύνεστι χάρις λεληθότως καὶ πολυτρόπως, καίτοι μὴ ἀκούουσι τὸν λόγον, καὶ ἔστιν εἰς αὐτὴν τὴν καρδίαν καὶ τὸν νοῦν ὁδηγοῦσα καὶ ποιμαίνουσα καὶ αὐτοὶ οὐκ οἴδασιν. ἀλλὰ μετὰ χρόνον ὅταν ἔλθωσιν εἰς γνῶσιν, τότε αὐτὴ ἡ χάρις ὑπομιμνήσκει, ὅτι ἐν τῷδε τῷ καίρῳ, ἐν τῇδε τῇ συμφορᾷ ἐβοήθησά σοι καὶ τὴν ὑπὲρ σοῦ οἰκονομίαν εἰργασάμην, ὁμοίως καὶ ἐν ἄλλαις πολλαῖς προφάσεσι κρυπτῶς ἐβοήθησα. ὁμοίως δὲ καὶ αὐτὴ ἡ κακία ποιμαίνουσα τὸν νοῦν αἰχμαλωτίζει καὶ κλέπτει, καὶ οὐκ οἴδασι. ὅτι τὸ τὸν Ἰωσὴφ τοὺς ἀδελφοὺς πωλῆσαι ἡ ἁμαρτία αὐτοῖς ὑπέβαλε, καὶ τὸ τὴν γυναῖκα τοῦ Αἰγυπτίου ἐρασθῆναι αὐτοῦ τῆς ἁμαρτίας ἐστὶν ὑποβολή. πάλιν δὲ ὅτι τὸ ὅραμα ἔκρινεν Ἰωσὴφ καὶ ἐπέτυχε τοῦτο, ὁδηγηθεὶς κρυπτῶς ὑπὸ χάριτος εἶπεν. ὁμοίως δὲ καὶ τὸ μὴ ὑπακοῦσαι τῇ ἐπιθυμίᾳ, ἀλλὰ σωφρονῆσαι τῆς χάριτός ἐστι λεληθότως βοηθούσης. ὁ Δαβὶδ μικρότερος ὢν τῶν λοιπῶν ἀδελφῶν, καταλιπὼν τὰ ποίμνια ἀπῆλθε θεάσασθαι τὸν πόλεμον καὶ εἶπε· "1δότε μοι ὅπλα, κἀγὼ πολεμῶ τῷ ἀλλοφύλῳ."2 ἄνθρωπος εἰς τὸ φαινόμενον μικρὸς καὶ εὐτελὴς πρὸς τοιοῦτον γενναῖον πόθεν ἐθάρρησε; δῆλον ὅτι ὑπὸ θείας δυνάμεως καὶ χάριτος ἀοράτως ὁδηγούμενος παρεγένετο εἰς τὸν πόλεμον καὶ οὐκ ἐδειλίασε τῷ ἀλλοφύλῳ Γολιὰδ συμβαλεῖν· ὅθεν τὸ περιγενέσθαι αὐτοῦ τῆς χάριτος ἦν ἔργον, ἀλλ' αὐτὸς σαφῶς οὐκ ἔγνω διακρῖναι. πάλιν δὲ ὁ βασιλεὺς τοῦ Ἰσραὴλ βλέπων τὸν Δαβὶδ μικρὸν καὶ εὐτελῆ οὐκ ἐπίστευσεν αὐτῷ δυναμένῳ συμβαλεῖν τῷ πολεμιστῇ ἡ δὲ χάρις συνεχώρησεν, ὥστε μὴ κωλῦσαι αὐτόν, ἀλλὰ καὶ προτρέψασθαι τοῦτον καὶ πιστεῦσαι αὐτῷ. εἰσὶν οὖν δίκαιοι, οἷς ἡ ἁμαρτία ἀοράτως καὶ κλεπτῶς ἕως κεραίας μιᾶς ὑποβάλλει τινὰ πράττειν ἀνακολούθως, καί εἰσιν ἁμαρτωλοί, οἷς δι' οἰκονομίας τινὰς ἡ χάρις ὑποτίθεται, ὡς οὐκ οἴδασι οἱ ἄνθρωποι, χρήσιμά τινα καὶ ψυχωφελῆ πρᾶξαι, καὶ ἀπέρχονται εἰς ζωήν. ὁρᾷς ὅτι καὶ ἁμαρτωλοῖς πολλοῖς σύνεστιν ἡ χάρις, κατ' οἰκονομίας τινὰς ψυχωφελεῖς ὑποβάλλουσα τὰ χρήσιμα, καὶ δικαίοις αὖθις σύνεστιν ἁμαρτία. Πολλάκις δὲ ἔχει τις κεραίαν τινὰ χάριτος, καὶ αὐτὸ ἐκεῖνο αὐξάνει καὶ γίνεται πλάτος καὶ μῆκος ἄπειρον καὶ ἀμέτρητον. ἐγὼ γὰρ ἔγνων ἀδελφὸν ἔχοντα πρόσωπον χάριτος· καὶ αὐτὸ ἐκεῖνο ἐπεφάνη τῷ τοιούτῳ ἀνθρώπῳ λεπτῶς ὡς κόκκος σινάπεως. καὶ ἄφνω ἐκεῖνο τὸ μικρὸν ηὐξήθη καὶ ἐμεγαλύνθη, ὡς τιμιώτερον αὐτὸ εὑρεθῆναι πάσης δημιουργίας ὁρατῆς καὶ ἀοράτου. κατέβη γὰρ εἰς τὰς ἀβύσσους καὶ ὑποκάτω αὐτῆς, καὶ ὑψηλὸν ἐγένετο καὶ ἀνῆλθεν ἕως τῶν ὑψίστων οὐρανῶν, εἰς ἄπειρον αἰῶνα, ὥστε πάντῃ καὶ πανταχοῦ περιέχειν τὰ δημιουργήματα καὶ πάντων πλατυτέραν καὶ βαθυτέραν φαίνεσθαι ἐκείνην τὴν μικρὰν κεραίαν, ἣ ἦν ὡς κόκκος σινάπεως. ὁρᾷς, ὁ κύριος συστέλλει ἑαυτόν, ὅτε θέλει, μικρὸς φαινόμενος· ὅτε δὲ θέλει, πλατύνεται καὶ μεγαλύνεται εἰς ὃ θέλει μῆκος καὶ πλάτος καὶ ὕψος καὶ βάθος. Καὶ οἱ πόλεμοι οὖν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διάφοροί εἰσι καὶ πολυτρόπως ἐνεργοῦσι, καὶ αὐτὴ ἡ χάρις πολυτρόπως μεταμορφοῦται. ἔστιν οὖν μεῖζον μέτρον χάριτος, ὅταν κατὰ βάθος ἐνεργήσῃ ἐν τῇ καρδίᾳ. ὅθεν ἐν τῇ Ἰνδικῇ ἀπὸ τοσούτου διαστήματος μόνον ἀκούσαντες βάρβαροι περὶ Ἰησοῦ, ὅτι ἐν τῇ Παλαιστίνῃ ἐπεφάνη ἐν σώματι ἀνθρώπου, καὶ ἐποίησε σημεῖα σταυρωθεὶς καὶ ἀναστάς, ἐκ τῆς φήμης ἐπίστευσαν τοσοῦτον, ὅτι θεός ἐστιν, ὥστε καὶ εἰς μαρτυρίαν καὶ καῦσιν τὰ σώματα αὐτῶν παραδοῦναι. ὁρᾷς ἐκεῖ ἐνέργειαν χάριτος· εἰ γὰρ μὴ ἦν ἐνέργεια ἐν αὐτοῖς, πῶς βάρβαροι ἄνθρωποι παρέδοσαν ἑαυτοὺς εἰς θάνατον ὑπὲρ τοῦ ὀνόματος Ἰησοῦ; πάλιν δέ ἐστι μεῖζον τὸ πάντοτε ἐν τῇ καρδίᾳ ὡς πηγήν τινα βρύειν ἐν ὑποστάσει καὶ πάσῃ αἰσθήσει καὶ πληροφορίᾳ. τοῦτο τὸ μέτρον ἀσφαλὲς καὶ βέβαιόν ἐστι τοῖς ἐνεργουμένοις. Ὥσπερ ἵνα ᾖ πόλις καὶ εἰσελθόντες Ἰνδοὶ καὶ Σαρακηνοὶ κατάσχωσιν αὐτήν, ἔλθῃ δὲ ὁ βασιλεύς, οὗ ἐστιν ἡ πόλις, καὶ ἐκβάλῃ αὐτοὺς καὶ δώῃ αὐτῇ ἰδίαν βασιλείαν καὶ ἰδίαν στρατιάν, ὥστε εἶναι ἐκείνην τὴν πόλιν ἐν χαρᾷ καὶ εἰρήνῃ βαθυτάτῃ, ἔχουσαν ἥμερον βασιλέα. οὕτω καὶ ἐπὶ τοῦ ἀνθρώπου. καὶ αὐτὸ γὰρ τὸ σῶμα συναγιαζόμενον ἀγαλλιᾷ τῇ ψυχῇ καὶ χαίρει, ὃν τρόπον ἐνεργουμένης τῆς ψυχῆς ὑπὸ τῆς ἁμαρτίας καὶ αὐτὸ τὸ σῶμα συμβαρύνεται καὶ συνθλίβεται. ὥσπερ οὖν εἰς τὰ κακὰ συμπάσχει, οὕτω καὶ εἰς τὸν ἁγιασμὸν καὶ εἰς τὴν χάριν συναναπαύεται μετὰ τῆς ψυχῆς τὸ σῶμα καὶ συνδοξάζεται εἰς τοὺς αἰῶνας. Εἰς τὸ φαινόμενον στρατιώτης λαβὼν βέλη κατὰ τοῦ νώτου ἐκ δευτέρου ὀκνεῖ ἀπελθεῖν καὶ συμβαλεῖν τοῖς ἐχθροῖς· ὁμοίως καὶ ὁ ἔμπορος ὅταν πολὺν πλοῦτον συναγάγῃ, ὀκνεῖ ἀποδημεῖν καὶ καμάτους ὑφίστασθαι, καὶ ὁ γεωργὸς ὅταν πολλοὺς καρποὺς εἰσενέγκῃ, ὀκνεῖ ὑλοτομῆσαι. εἰς δὲ τὸ πνευματικὸν οὐχ οὕτως ἐστίν, ἀλλ' ὅστις γεύσεται ἐκείνης τῆς ἡδύτητος καὶ τῆς χρηστοτάτης τροφῆς, ἔτι ζεστῶς καὶ ἀκορέστως προσέρχεται. καὶ ὅσῳ ἐργάζῃ τὴν γῆν τῆς καρδίας σου καὶ βαθύνεις, τὸ συνόν σοι ἀγαθὸν οὐκ ἀφίησί σε ἀμελῆσαι, ἀλλὰ μᾶλλον ἐπείγεται ἐπὶ πλεῖον βαθῦναι τὴν γῆν τῆς καρδίας, ὥστε ἐκεῖ φυτευθῆναι τὸν παγκάλλιστον παράδεισον τῆς ψυχῆς. ἐπειδὴ οὖν ἄρρητός ἐστιν ἐκείνη ἡ δόξα, ὅσα ἂν θησαυρίσῃς, ποιοῦσί σε ὡς πτωχόν. Εἰς τὸ φαινόμενον ἐάν τις ἀπὸ πενήτων ἔλθῃ εἰς πλοῦτον τῇ ἰδίᾳ ἀνδρείᾳ καὶ γοργότητι, πάλιν σπουδάζει τοὺς πλουσιωτέρους αὐτοῦ καταλαβεῖν καὶ τούτους σπουδάζει ὑπερβῆναι. οὕτω καὶ εἰς τὸ πνευματικόν· ὅσῳ τις πλουτεῖ ἀεὶ τρέχει ἐπὶ τὰ μείζονα καὶ ἀνώτερα καὶ οὐκέτι δύνασαι τὸν τοιοῦτον παῦσαι ἀπὸ τῆς ἐργασίας καὶ τῆς εὐχῆς. ἐπειδὴ ἐν αὐτῇ τῇ εὐχῇ ὁρᾷ τὸν κύριον ἀναπαύοντα αὐτόν, ἐπειδὴ αὐτός ἐστιν ἡ ἀνάπαυσις αὐτοῦ. εἰσὶ δέ τινες ἰδιῶται λέγοντες, ὅτι "1ἐκτησάμην, πλούσιός εἰμι, οὐκέτι χρῄζω."2 οὗτοι κλέπτονται καὶ ἀπατῶνται ὑπὸ τοῦ σατανᾶ. τὸ γὰρ ἀγαθὸν πλέον ἐκκαίει εἰς ἐπιθυμίανἀκόρεστον γάρ ἐστι καὶ ἄπαυστονκαὶ πᾶσαν ἡδύτητα καὶ γλυκύτητα ὑπερβαίνει ἡ γλυκύτης ἐκείνη. καὶ τίς ποτε κοινωνῶν τοιούτου πράγματος λέγει, ὅτι ἀρκεῖ; ἐὰν δέ τις τὸ πρᾶγμα τοῦτο ἐν μιᾷ ὥρᾳ ἢ μιᾷ ἡμέρᾳ ἀργήσῃ, ἐκκόπτεται καὶ βλάπτεται καὶ τὸ μέρος τῆς ἁμαρτίας αὐστερῶς ἐπεγείρεται. καὶ γὰρ πῦρ ἐὰν ἐπιλείψῃ ξύλα σβέννυται, καὶ λύχνος ἁπτόμενος σφοδρῶς ἐὰν ἐπιλείψῃ ἔλαιον σβέννυται, καὶ πλῆθος ὑδάτων ἐὰν περιλάβῃ τινὰ ἢ ἐν ποταμῷ ἢ ἐν θαλάσσῃ, ἕως ὅτε ἄνω νεύει ἡ κεφαλή, ἔχει ἐλπίδα ζωῆς, ἐὰν δὲ καλύψῃ αὐτήν, ἀπόλλυται. ὥσπερ ἵνα ὦσι δύο ἶσον ἔχοντες τὸ μέτρον τοῦ δρόμου καὶ διώξωσιν ἀλλήλους· ὁ ἔμπροσθεν τρέχων μικρὸν ἐὰν ὑποστείλῃ τὸν τόνον καὶ βραδύτερος γένηται εἰς τὸν δρόμον, ὑπὸ τοῦ καταλαβόντος αὐτὸν ὀπίσω ἀναιρεῖται. εἰς πᾶσαν δὲ τέχνην τὸ αὐτὸ εὑρίσκεται. οἱ σπουδαῖοι καὶ γεγυμνασμένοι περὶ τοὺς λόγους ὀλίγον ἐὰν ἀμελήσωσιν, αἰσθάνονται τῆς βλάβης, καὶ ἕκαστος τεχνίτης ἀμελῶν ἐπιλανθάνεται τοῦ ἔργου, εἰς δὲ τὸ πνευματικὸν ἐὰν ἀμελήσῃς ὀλίγον, εὐθέως οἱ ἐχθροί σου, ἐπειδὴ οὐδέποτε ἀργοῦσι τὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκάθαρτα πνεύματα, ἐπιτηροῦντες λαμβάνουσι νομὴν κατὰ σοῦ καὶ συμπνίγουσι τὴν ψυχὴν καὶ συλαγωγοῦσι καὶ ἀποπλανῶσιν ἀπὸ τοῦ θεοῦ. ἄοκνοι γάρ εἰσιν ἑτοίμως ἐκχέοντες αἷμα. Εἰσί τινες τῶν βασιλέων, οἵτινες ἐὰν νικήσωσι δύο ἔθνη, Περσῶν ἢ Γότθων, ἀρκοῦνται. ἄλλοι δὲ βασιλεῖς ἄπληστον καὶ τολμηρὸν νοῦν ἔχοντες σπουδάζουσιν ὅλα τὰ ἔθνη ὑποτάξαι καὶ ἔχειν ὑπὸ τὴν ἰδίαν ἐξουσίαν καὶ ἔχειν αὐτοὺς ὑποχειρίους καὶ εἶναι ἐπάνω ὅλων τῶν ἐθνῶν. Οὐδεὶς τῶν ἀκροτάτων τεχνιτῶν ἴσχυσε τὰ τέλη τῆς τέχνης καταλαβέσθαι. οὔτε ὁ τέλειος σοφιστὴς δύναται καυχήσασθαι ὡς καταλαβὼν τὸ τέλος τῶν λόγωνἀκατάληπτος γάρ ἐστιν ἡ φαινομένη σοφίαοὔτε ὁ ἄκρος φιλόσοφος ἠδυνήθη τὰ τέλη καταλαβεῖν, οὔτε ὁ ἀρχιτέκτων δύναται ἐξειπεῖν ὡς ἔφθασεν ὅλα τὰ βάθη τῆς ἐπιστήμης ἢ ἐγνώρισεν, οὔτε ὁ ἰατρὸς ὅλου τοῦ δόγματος περιγενέσθαι καὶ ὅλα τὰ τραύματα καὶ τὰ πάθη ἰάσασθαι. εἰ οὖν τὰ φαινόμενα τὰ ἐπὶ τῆς γῆς οὐ δύναταί τις καταλαβεῖν, πόσῳ μᾶλλον ἡ σοφία ἐκείνη ἡ πολυποίκιλος τοῦ θεοῦ ἄφραστός ἐστι καὶ ἀκατάληπτος. Ἔστι πόλις ἁγίων ἔχουσα ἀνάπαυσιν. οἱ οὖν διοδεύοντες ἐν τῇ πόλει ἄρχονται κόπτειν τὰ πάθη τῆς ψυχῆς δυνάμει θεοῦ, οἷον νικῶσι θυμόν, κενοδοξίαν, γαστριμαργίαν, ἐπιθυμίαν κακήν, ζῆλον, φιλαργυρίαν ψεῦδος καὶ τὰ ὅμοια. τούτων δὲ οὐδὲν οὐδαμῶς ἐκκόψαι δύνανται οἱ τοιοῦτοι, εἰ μὴ διὰ τῆς χάριτος τοῦ κυρίου ὁδεύοιεν· αὐτὸς γάρ ἐστιν ὁ εἰπών· «ἐγώ εἰμι ἡ ὁδός». ἐγγίζει τις τῇ πόλει ἐκείνῃ καὶ εἴς τινα βαθμὸν ἔτι ἐλλείπεται, ἐὰν μὴ ἀσφαλίσηται, ἀλλ' ἐκτραπῇ ἀπώλεσε τὰ πάντα καὶ ἠλλοτριώθη τῆς ἀναπαύσεως. εἰσὶ δὲ ἄλλοι βοηθούμενοι ὑπὸ τοῦ κυρίου καὶ κατὰ μικρὸν μικρὸν νικῶντες οὐ παρεξέρχονται τῆς ὁδοῦ, ἀλλ' εἰ καὶ μήπω ἔφθασαν εἰς τὴν πόλιν τέως διοδεύουσιν. ἔστιν αὐτὴ ἡ ψυχὴ ἔχουσα μέλη πολλὰ καὶ πάλιν αὐτὴ ἡ ἁμαρτία μέλη πολλὰ ἔχουσα. ἐνέσπειρε δὲ ἐκεῖ πολλὰ κακά, ἔπαρσιν, μῖσος, ψεῦδος, κακοήθειαν, δόλον, ὑπόκρισιν. ὁ οὖν κύριος παραγίνεται, φύσις τις ἡδυτάτη καὶ γλυκεῖα, ὥσπερ ἡ φύσις τοῦ μέλιτος γλυκεῖα καὶ ἡ τοῦ πυρὸς θερμαντική. Καὶ οἱ ἄνθρωποι ἐνεργούμενοι ὑπὸ τῆς θείας χάριτος νομίζουσιν, ὅτι καὶ τῶν ἐπισκόπων καὶ ὅλων τῶν διακόνων καλλίους ἐσμέν· πάσχουσι δὲ τοῦτο, ἐπειδὴ αὐτὸ ἐκεῖνο, ὃ ἐδέξαντο, οὐκ ἔστιν ὑπὸ τὸν οὐρανόν, ἐπειδὴ καινότερόν ἐστι καὶ ξένον καὶ ἀλλότριον τοῦ κόσμου τούτου· καὶ μὴ εἰδότες διακρῖναι τὰ πράγματα, φαντάζονται ὑπὸ τῆς ἁμαρτίας. αὐτὴ γὰρ ἡ ἁμαρτία καὶ συνούσης τῆς χάριτος κατέχει τὰς νομὰς τῆς ψυχῆς καὶ ὅλων τῶν μελῶν, καὶ κλεπτόμενοι ὑπὸ τοῦ κακοῦ οὐκ οἴδασιν· εἰς τύπον γὰρ τῆς χάριτος ἡ κακία πολεμεῖ αὐτούς. χρὴ οὖν ἐκεῖνο τὸ μικρὸν ζυμωθῆναι εἰς ὅλα τὰ μέλη καὶ ἀρτυθῆναι τῷ ἅλατι τῷ ἐπουρανίῳ ὅλον τὸν νοῦν, καὶ οὕτω κατὰ μικρὸν ἐξυδαροῦται καὶ λεπτύνεται καὶ διϋλίζεται τὸ κακὸν καὶ τὸ ὅλον νεκτὸν γίνεται. ὅταν γὰρ παχυνθῇ τὸ σκότος, ταχέως ἐργάζεται τὰ κακά. αὐτὴ γὰρ ἡ ἁμαρτία μήτηρ ἐστὶ τῶν ἁμαρτιῶν καὶ τῶν ἀνομιῶν. ὥσπερ τις ἐν ὀνείρῳ εὑρὼν τριάκοντα τυχὸν ὁλοκοτίνους φαντάζεται ὅτι ὃ οὐκ εἶχεν εὗρεν, οὕτως ἐμπαίζονται οἱ ἄνθρωποι ὑπὸ τῆς κακίας. Ὥσπερ ἵνα ᾖ θάλασσα ἁλμυρὰ καὶ πικρὰ καὶ ἔχῃ ἀπὸ διαστήματος πολλοῦ κόλπους τινάς, ἐν οἷς ὕδωρ γλυκὺ ἀπὸ διαφόρων τόπων, οὕτω καὶ ἐκ τῆς θαλάσσης τῆς οἰκουμένης ὀλίγοι εὑρίσκονται οἱ ἔχοντες τὴν γλυκεῖαν πηγὴν βρύουσαν ἐν ταῖς καρδίαις αὐτῶν. Ὅσοι προφῆται ἀνέστησαν συμφωνοῦντες τῷ Μωϋσῇ, ἐπειδὴ αὐτὸς πρῶτος αὐτῶν ἐστιν, οὗτοί εἰσιν οἱ ἀληθεῖς κοινωνοί· καὶ ὅσοι εἰσὶν ἐπίσκοποι ἢ διάκονοι τὸν κύριον ἔχοντες καὶ λαλοῦντες σύμφωνα τῶν εὐαγγελίων καὶ τοῖς ἀποστόλοις, οὗτοί εἰσιν ὡς εἰπεῖν ἓν οἰκοδόμημα· ἐποικοδομοῦσι γὰρ τῷ θεμελίῳ. εἰ δὲ ἀσυμφωνοῦσι, ψευδαπόστολοί εἰσι, ψευδοπροφῆταί εἰσιν. Οἱ ἄκροι τεχνῖται δύνανται δοκιμάσαι τὸ χάραγμα τοῦ νομίσματος. συμβαίνει γὰρ εἶναι τὸ νόμισμα εὔρυζον, λεπτῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τι παρακεχάρακται, ὃ εἰ μὴ οἱ ἔμπειροι οἱ ἄπειροι οὐ δύνανται διακρῖναι, οὕτω καὶ εἰς τὸ πνευματικόν. πολλοὶ δίκαιοι φαινόμενοι νομίζονται εἶναι Χριστιανοί· τεχνιτῶν δέ ἐστι καὶ πεπειραμένων τὸ δοκιμάσαι, εἰ ἐξ ἀληθείας ἔχουσι τὸ σίγνον καὶ τὴν εἰκόνα τοῦ βασιλέως, εἰ μὴ ἐν αὐτοῖς τι παρακεχάρακταιτεχνιτῶν γὰρ ἔργα θαυμάζουσι τεχνῖται. εἰ δὲ μὴ ὦσι τεχνῖται, οὐ δύνανται δοκιμάσαι τοὺς ἐργάτας τοὺς δολίους, ἐπειδὴ καὶ αὐτοὶ σχῆμα ἐπιφέρονται μοναζόντων ἤτοι Χριστιανῶν. καὶ γὰρ οἱ ψευδαπόστολοι ἔπασχον ὑπὲρ τοῦ Χριστοῦ καὶ αὐτοὶ εὐηγγελίζοντο βασιλείαν οὐρανῶν. διὰ τοῦτο λέγει ὁ ἀπόστολος· «ἐν κινδύνοις μᾶλλον ἐγώ, ἐν θλίψεσιν ὑπερβαλλόντως», θέλων δεῖξαι, ὅτι πλέον αὐτῶν ἔπαθε. Χρυσὸς εὐχερῶς εὑρίσκεται, μαργαρῖται δὲ καὶ λίθοι τίμιοι προχωροῦντες εἰς διάδημα βασιλέως σπανίως· πολλάκις γὰρ καὶ ἐξ αὐτῶν οὐχ εὑρίσκονται προχωροῦντες εἰς τὸν στέφανον τοῦ Χριστοῦ, καὶ οἱ Χριστιανοὶ ἐποικοδομοῦσιν εἰς τὸν στέφανον τοῦ Χριστοῦ καὶ κοινωνὸς τῶν ἁγίων γίνεται ἡ ψυχὴ ἐκείνη. Δόξα τῷ ἀγαπήσαντι αὐτὴν καὶ ὑπὲρ αὐτῆς παθόντι καὶ ἀναστήσαντι αὐτὴν ἐκ τῆς νεκρώσεως αὐτῆς. Δόξα τῇ μεγαλειότητι αὐτοῦ. Ὥσπερ γὰρ ἐπὶ Μωϋσέως κάλυμμα ἐτίθεσαν ἐπὶ τὸ πρόσωπον αὐτοῦ διὰ τὸ μὴ δύνασθαι προσέχειν τῷ προσώπῳ αὐτοῦ τὸν λαόν, οὕτω καὶ σήμερον ἐπίκειται ἐπὶ τὴν καρδίαν σου κάλυμμα, ἵνα μὴ προσχῇς εἰς τὴν δόξαν ἐκείνην, ἣν εἶχεν εἰς τὸ πρόσωπον Μωϋσῆς. ὅταν δὲ περιαιρεθῇ τοῖς Χριστιανοῖς καὶ τοῖς ἀγαπῶσιν αὐτὸν τὸν Χριστὸν καὶ τοῖς ζητοῦσιν αὐτὸν κατ' ἀλήθειαν, τούτοις ἐπιφαίνεται καὶ ἐμφανίζει ἑαυτὸν καθὼς τὸ εὐαγγέλιον εἶπεν· «ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν», καὶ πάλιν λέγει ὁ κύριος· «καὶ μονὴν παρ' αὐτῷ ποιήσω». ὁρᾷς, ἀδελφέ, τὴν προτροπὴν τοῦ Χριστοῦ, πῶς ἡμᾶς καλεῖ εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. προκειμένης οὖν βασιλείας σπουδάσωμεν προσελθεῖν ἐξ ὅλης καρδίας πρὸς τὸν ἀψευδῆ, ἵνα τύχωμεν τῆς ἐπαγγελίας καὶ τῆς καινῆς διαθήκης, ἣν ἐνεκαίνισεν ὁ κύριος διὰ τοῦ θανάτου καὶ τοῦ σταυροῦ, κατέλθων καὶ διαρρήξας πύλας τοῦ ᾅδου καὶ ἐξαγαγὼν τὰς ψυχὰς τὰς πιστὰς καὶ δοὺς αὐταῖς ἔνδον παράκλητον καὶ ἀνενέγκων αὐτὰς εἰς τὴν ἡτοιμασμένην βασιλείαν αὐτοῦ, εἰς τὸν αἰῶνα τὸν ἐκεῖ, εἰς τὴν πόλιν τὴν Ἱερουσαλήμ, εἰς τὴν ἐκκλησίαν τὴν ἐπουράνιον, εἰς τὸν χορὸν τῶν ἁγίων ἀγγέλων. Δόξα τῇ μεγαλειότητι αὐτοῦ τοῦ οὕτως ἀγαπήσαντος ἡμᾶς. Ἀμήν.

## ΛΟΓΟΣ ΛΕʹ.

35.1.1 Ὁ τῶν ἁπάντων δεσπότης, ὁ φιλάνθρωπος θεός, πανταχοῦ καὶ ἐν πᾶσι κτίσμασίν ἐστι καὶ πάντα τὰ κτίσματα τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια καὶ τὰ καταχθόνια ἐν αὐτῷ εἰσι καὶ ἐν αὐτῷ συνεστήκασι, καθὼς ὁ Παῦλος εἶπεν· «ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα» καὶ «οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον 35.1.2 αὐτοῦ.» ἐν πᾶσιν οὖν ἐστι καὶ πανταχοῦ ἐστι, καὶ διὰ ποίαν αἰτίαν οὐ θεωροῦσιν αὐτὸν αἱ ψυχαὶ πάντων ἀνθρώπων, ἀλλὰ ἀφανὴς τυγχάνει ἐνταῦθα ὤν; τί τὸ ἐν μέσῳ ὂν καὶ τί τὸ ἐμποδίζον; ἀλλὰ τοῦτο δῆλον. καὶ γὰρ τὸ πνεῦμα διὰ τῶν γραφῶν ἀνήγγειλεν ἡμῖν, ὅτι ἀπὸ τῆς παραβάσεως Ἀδάμ, τοῦ πρώτου ἀνθρώπου τοῦ παραβάντος τὴν ἐντολὴν τοῦ θεοῦ, εἰσελθοῦσα «ἡ ἁμαρτία εἰς τὸν κόσμον», τὸ πνεῦμα τῆς πονηρίας, «ὁ ὄφις ὁ ἀρχαῖος, ὁ καλούμενος διάβολος», ὁ ἀπατήσας τὸν Ἀδὰμ καὶ κατασπάσας αὐτὸν ἀπὸ τῆς αὐτοῦ δόξης ὑπὸ τὴν ἑαυτοῦ ἐξουσίαν καὶ δοῦλον καὶ ὑποχείριον αὐτὸν λαβὼν καὶ πάντα τὰ 35.1.3 αὐτοῦ τέκνα, οὗτος αὐτὸς τῷ ἑαυτοῦ σκότει ἐκάλυψε τὴν ψυχὴν τοῦ μὴ ἐνορᾶν τῷ ποιήσαντι αὐτήν, τοῦ μὴ ἀπολαύειν τοῦ φωτὸς αὐτοῦ. αὕτη ἐστὶν ἡ αἰτία καὶ ἡ συμφορὰ ἡ ἐξ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀρχῆς γενομένη τῷ ἀνθρώπῳ, τοῦ μὴ βλέπειν τὸν δεσπότην αὐτοῦ καὶ τὰ ἀρεστὰ αὐτῷ ποιεῖν, ἀλλ' εἶναι ἐν τῷ σκότει τῆς ἁμαρτίας καὶ τὰ θελήματα τῆς ἁμαρτίας ἐργάζεσθαι τῆς εἰσελθούσης εἰς τὸν ἄνθρωπον καὶ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς τυφλωσάσης. πρὸ γὰρ τοῦ παραβῆναι τὸν Ἀδὰμ καθαρὸς ὢν ἀπὸ ἁμαρτίας ἑώρα τὸν δεσπότην αὐτοῦ καὶ ὁμιλίας κατηξιοῦτο δεσποτικῆς καὶ μετὰ ἀγγέλων ἠγαλλιᾶτο. ἐξ οὗ δὲ ᾐχμαλωτίσθη ὑπὸ τῆς πονηρίας, ἔκτοτε οἱ ὀφθαλμοὶ τῆς ψυχῆς ἐτυφλώθησαν, καὶ οὐκέτι ὁρᾷ τὸν κύριον αὐτῆς ἐνταῦθα ὄντα, ἄλλ' ἀφανὴς αὐτῇ καθέστηκεν. ἐν πᾶσι τοίνυν καὶ πανταχοῦ τυγχάνει ὁ θεός, ἀλλὰ διὰ τὸ κάλυμμα τοῦ σκότους τὸ ἐπικείμενον τῇ ψυχῇ ὡς μακρὰν ἀπὸ τῆς ψυχῆς ἐστιν. 35.1.4 Ὥσπερ γὰρ οἱ κατὰ σῶμα τυφλοὶ τὸν ἥλιον πανταχοῦ λάμποντα καὶ εἰς τοὺς ὀφθαλμοὺς αὐτῶν ὄντα οὐχ ὁρῶσι παρὰ τὸ τετυφλῶσθαι αὐτούς, καὶ ὥσπερ ὁ κωφὸς τὰς φωνὰς καὶ τὰς λαλιὰς οὐκ ἀκούει τὰς ἐγγὺς αὐτοῦ καὶ εἰς αὐτὸν γινομένας παρὰ τὸ κεκωφῶσθαι αὐτόν, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ τυφλωθεῖσα ὑπὸ τῆς ἁμαρτίας τῆς εἰσελθούσης εἰς αὐτὴν καὶ σκότει πονηρίας καλυφθεῖσα οὔτε βλέπει τὸν ἥλιον τῆς δικαιοσύνης οὔτε ἀκούει τῆς 35.1.5 φωνῆς τῆς ζώσης καὶ θείας καὶ πανταχοῦ οὔσης. καὶ ὥσπερ νεκρὸς οὐκ ἀναπνεῖ τὸν ἔγγιστα ἀέρα ἐν ᾧ ἐστι διὰ τὸ μὴ ἔχειν αὐτὸν ψυχήν, καὶ ἰδοὺ κλαίουσιν ἐπ' αὐτῷ πάντες οἱ ἀγαπητοὶ αὐτοῦ καὶ οἱ γείτονες, ὁ δὲ οὐκ ἀκούει οὕτως ἡ ψυχὴ νεκρωθεῖσα ἀπὸ τοῦ θεοῦ καὶ τὸ πνεῦμα τὸ ἅγιον μὴ ἔχουσα τὸν ἀέρα ἐκεῖνον τῆς βασιλείας τῆς θεότητος οὐκ ἀναπνεῖ ἐνταῦθα ὄνταὥς φησιν ὁ κύριος· «ἡ βασιλεία τοῦ θεοῦ χαμαὶ ἥπλωται καὶ οἱ ἄνθρωποι οὐκ ἐμβλέπουσιν αὐτήν», καὶ πάλιν· «ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστι»καὶ κλαίει ἐπ' αὐτῇ ὁ κύριος καὶ τὸ πνεῦμα τὸ ἅγιον καὶ πάντες οἱ ἄγγελοι διὰ 35.1.6 τὴν ἀπώλειαν καὶ τὴν νέκρωσιν αὐτῆς, ἡ δὲ οὐκ ἀκούει οὐδὲ ὁρᾷ. ὥσπερ πάλιν ἐπὶ τῇ μετανοούσῃ καὶ ζῳοποιουμένῃ ψυχῇ χαίρουσι· καὶ γάρ φησιν· «χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι». ὥσπερ οὖν ἐγγύς ἐστιν ἡ ψυχὴ τοῦ ἀνθρώπου ἐν τῷ ἀνθρώπῳ, ὁ δὲ νοῦς πόρρω καὶ μακρὰν δύναται εἶναι, οὕτως ὁ θεὸς ἐγγὺς τῆς ψυχῆς ὢν μακρὰν ἀπὸ τῆς σῆς διανοίας ἐστίν, ἀλλὰ καὶ ἐγγύς ἐστι καὶ μακράν ἐστι. 35.1.7 Πιστεῦσαι τοίνυν χρὴ ἐξ ὅλης καρδίας καὶ ἀγάπης καὶ ζητῆσαι τὸν κύριον καὶ παρακαλέσαι, ἵνα φανερωθῇ καὶ ἐμφανίσῃ καὶ ἐνεργήσῃ ἐν ταῖς ψυχαῖς 35.1.8 ἡμῶν ὁ ἐνταῦθα ὢν καὶ ἐν ἡμῖν ὤν. εἰ γὰρ ἡ τοῦ ἡλίου ἐνέργεια καὶ θερμότης ἕως ἔνδον τοῦ σώματος χωρεῖ, ὁμοίως καὶ ἡ τοῦ κρύους ψυχρότης ἕως ἔνδον τοῦ σώματος διήκει καὶ ἐνεργεῖ, καὶ εἰ ἡ τοῦ πυρὸς θερμότης καὶ ἐνέργεια ἕως ἔνδον τῶν λεβήτων εἴσεισιν, ἕψουσα τὸ κρέας χρήσιμον τοῖς ἀνθρώποις γινόμενον, πόσῳ μᾶλλον ὁ τούτων ποιητὴς καὶ κτίστης, ἡ τοῦ θείου πνεύματος δύναμις, ἐπὰν τῇ ἑαυτοῦ εὐδοκίᾳ φανερωθῇ καὶ ἐνεργήσῃ εἰς τὴν ψυχήν, τῷ ἑαυτοῦ φωτὶ φωτίσει καὶ τῷ ἑαυτοῦ θείῳ πυρὶ τῆς θερμότητος ἑψήσει ἐκ τῆς ὠμότητος τῆς ἁμαρτίας καὶ οὕτως ἡδὺ καὶ χρήσιμον καὶ βρώσιμον εἰς 35.1.9 τὴν ἐπουράνιον τράπεζαν τῷ ἐπουρανίῳ πατρὶ ἀποκαταστήσει. εἰ γὰρ ὁ ἀὴρ οὗτος ἐν τῷδε τῷ βίῳ πανταχοῦ τυγχάνει, καὶ εἰ τὸ σκότος τῆς νυκτὸς πανταχοῦ ἐστι καὶ ἐν πᾶσι κτίσμασι, πόσῳ μᾶλλον ὁ τούτων κτίστης καὶ δημιουργός. ἐνταῦθα τοίνυν ἐστὶν ὁ κύριος καὶ ἐγγὺς ἡμῶν τυγχάνει, ἀλλὰ τοῖς πιστεύουσιν αὐτῷ καὶ ἀγαπῶσιν αὐτὸν καὶ προσδοκῶσιν ἀποκαλύπτεται καὶ φανεροῦται κατὰ τὸν τοῦ κυρίου λόγον· «ὁ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν», καὶ πάλιν· «ἐλευσόμεθαἐγὼ καὶ ὁ πατήρ μουκαὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». 35.1.10 Χρὴ τοίνυν τὸν προσερχόμενον τῷ κυρίῳ καὶ αἰτοῦντα ζωὴν αἰώνιον μετὰ πολλῆς πίστεως καὶ πεποιθήσεως προσέρχεσθαι καὶ πεποιθέναι ἐν τούτῳ, ὅτι διὰ τοὺς ἁμαρτωλοὺς καὶ αἰχμαλώτους καὶ τοὺς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συντετριμμένους τῇ καρδίᾳ καὶ χωλοὺς καὶ τυφλοὺς καὶ κωφοὺς τῇ ψυχῇ ἦλθεν ὁ κύριος καὶ ἐσταυρώθη καὶ ἀπέθανεν, ἵνα ἀναστήσῃ καὶ ἰάσηται τὰς πάντων ψυχάς. διὰ γὰρ Ἠσαΐου τὸ πνεῦμα προεφήτευσε περὶ τῆς ἐλεύσεως τοῦ κυρίου, πῶς μέλλει ἰᾶσθαι τὰς ψυχάς· «πνεῦμα κυρίου, φησίν, ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, παρακαλέσαι τοὺς πενθοῦντας, δοῦναι τοῖς πενθοῦσιν ἀντὶ σποδοῦ ἄλειμμα εὐφροσύνης, καὶ καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας». τῷ δὲ θεῷ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 36.τ.1 ΛΟΓΟΣ Λϛ΄.

20Περὶ παραδείσου καὶ νόμου πνευματικοῦ20 36.1.1 Ὥσπερ ἐκ τῶν φανερῶν ἔργων ἔστι νοῆσαι τὰ κεκρυμμένα νοήματα, οὕτω καὶ τὰ τῆς ψυχῆς πράγματα ἔστι συνιέναι ἀπὸ τῶν τῆς γραφῆς διηγημάτων. τοῦτο δὲ οὐ πάντες, ἀλλ' ὅσοι διὰ κακουχίας μερικῶς ἀπάθειαν ἐκτήσαντο. 36.1.2 ὥσπερ γὰρ τὰ μέλλοντα ἡ γραφὴ διηγεῖται, οὕτω καὶ τὰ τῆς ψυχῆς πράγματα. τὰ γὰρ μέλλοντα πάντα εἰς αὐτὴν πνευματικῶς ἐγκέκρυπται καὶ ὧν τις μετέχει 36.1.3 ἀπεντεῦθεν τούτων κἀκεῖ μέτοχος τυγχάνει. ὅταν οὖν ἀκούσῃς τῆς γραφῆς διηγουμένης τὰ τοῦ παραδείσου καὶ τὰ τοῦ Ἀδὰμ καὶ τὰ τοῦ ὄφεως, προσέχε ἀκριβῶς τῇ καρδίᾳ σου, καὶ εὑρήσεις παράδεισον μὲν τὸν τοῦ κυρίου λόγον, τὴν δὲ ἐν αὐτῷ ἀπόλαυσιν τὴν μετοχὴν τοῦ ἁγίου πνεύματος, ὄφιν δὲ τὴν προσελισσομένην ἡδυπάθειαν, διὰ τῆς συντροφίας προσέρπουσαν καὶ ἀπατῶσαν ἡμᾶς τοῦ γεύσασθαι τοῦ ξύλου (τουτέστι μερίμνης βιωτικῆς) καὶ ἀποκτένωντα διὰ τῆς παρακοῆς· μὴ μεριμνήσητε γὰρ περὶ τῆς αὔριον. τὰ συναμφότερα δὲ ὁ αὐτὸς θεὸς ἔφη, καὶ τὸ εἰρήμενον· «ᾗ δ' ἂν ἡμέρᾳ φάγητε τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε» καὶ τό· «βλέπετε μὴ βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ». θανατοῖ γὰρ τὴν ψυχὴν τὸ ἐκ τῆς μερίμνης καὶ κραιπάλης ἐπιγινόμενον σκότος, ἐκβάλλον αὐτὴν ἐκ τοῦ πνευματικοῦ λόγου καὶ στεροῦν 36.1.4 αὐτὴν τῆς θείας ἐνεργείας. τούτου οὖν τοῦ ξύλου ὁ κύριος ἡμᾶς ἀπείργει λέγων· μηδὲν μεριμνᾶτε πλὴν τῆς βασιλείας. ὅσοι γὰρ εἰσῆλθον εἰς τὸν τοῦ θεοῦ παράδεισον καὶ ἐφύλαξαν τὴν ἐντολὴν ταύτην, οὐκ ἐξεβλήθησαν, ἀλλ' ὅσον τῶν γηΐνων ἀπέσχοντο, τῶν πνευματικῶν ἑκατονταπλασίως ἀπήλαυσαν, ἐνερ36.1.5 γῶς καὶ ὁμοιοτρόπως τῆς χάριτος παρακαλούσης. εὐξώμεθα τοίνυν καὶ ἡμεῖς φυλάξαι αὐτήν, ἵνα ἐμμείναντες εἰς τὸν τοῦ κυρίου λόγον ἀπολαύσωμεν τῆς τοῦ πνεύματος τρυφῆς καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι. ὥσπερ γὰρ ἐκβάλλεται Ἀδὰμ ἀπογευσάμενος τοῦ ξύλου τῆς γνώσεως, οὕτως οὐ δύνανται μένειν εἰς τὸν τοῦ Χριστοῦ λόγον οἱ τὰ γήϊνα φρονοῦντες. 36.2.1 Κατὰ τὸ γεγραμμένον, ὅτι «ἡ φιλία τοῦ κόσμου τούτου ἔχθρα τοῦ θεοῦ ἐστι». διὸ ἡ γραφὴ κελεύει «πάσῃ φυλακῇ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν», ἵνα τις ὡς παράδεισον φυλάσσων τὸν αὐτοῦ λόγον ἀπολαύῃ τῆς χάριτος, μὴ ἀκούων τοῦ ἔνδον εἰλισσομένου ὄφεως συμβουλεύοντος τὰ πρὸς ἡδονήν, δι' ἧς γεννᾶται θυμὸς ἀδελφοκτόνος καὶ ἀποθνῄσκει ψυχὴ ἡ τίκτουσα, ἀλλ' ἀκούων τοῦ κυρίου κελεύοντος ἐπιμελεῖσθαι πίστεως καὶ ἐλπίδος, δι' ὧν γεννᾶται ἡ φιλόθεος καὶ 36.2.2 φιλάνθρωπος ἀγάπη, τὴν αἰώνιον ζωὴν παρέχουσα. εἰς τοῦτον τὸν παράδεισον εἰσηνέχθη Νῶε, τὴν ἐντολὴν φυλάσσων καὶ ἐργαζόμενος, καὶ διὰ τῆς ἀγάπης ἐλυτρώθη τῆς ὀργῆς. τοῦτον φυλάσσων Ἀβραὰμ φωνῆς θεοῦ ἤκουε. τοῦτον φυλάσσων Μωϋσῆς δόξαν ἐπὶ τοῦ προσώπου ἐλάμβανε καὶ τὴν κτίσιν μετέβαλλεν. ὁμοίως Δαβὶδ τοῦτον φυλάσσων εἰργάζετο, ὅθεν τῶν ἐχθρῶν κατεκυρίευσεν. ἀλλὰ καὶ Σαούλ, ἕως ἐφύλασσε τὴν καρδίαν εὐωδοῦτο. ὅτε δὲ εἰς τέλος παρέβη, τότε εἰς τέλος παρελήφθη. ἐν μέτρῳ γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κατ' ἀναλογίαν μετέρχεται ἕκαστον ὁ λόγος τοῦ κυρίου. ὅσον ἐπικρατεῖ τις αὐτοῦ, τοσοῦτον ἐπικρατεῖται, καὶ ὅσον φυλάσσει, φυλάσσεται τοσοῦτον. 36.2.3 Διὰ τοῦτο πᾶς ὁ χορὸς τῶν ἁγίων προφητῶν, ἀποστόλων, μαρτύρων τὸν λόγον ἐν ταῖς καρδίαις αὐτῶν ἐφύλασσον, μηδὲν ἕτερον μεριμνῶντες, ἀλλὰ τοῦ γηΐνου πνεύματος τὸ φιλόθεον προκρίνοντες, οὐ μόνον λόγῳ ἢ γνώσει ψιλῇ, ἀλλ' ἐν λόγῳ καὶ ἔργῳ δι' αὐτῶν τῶν πραγμάτων. ἀντὶ πλούτου ἑλόμενοι πτωχείαν, ἀντὶ δόξης ἀτιμίαν, ἀντὶ ἀπολαύσεως κακουχίαν, ὅθεν καὶ ἀντὶ θυμοῦ ἀγάπην. μισοῦντες γὰρ τὰ ἡδέα τοῦ βίου τοὺς ἀφαιρουμένους αὐτὰ μᾶλλον ἠγάπων ὡς συνεργοῦντας αὐτοῖς πρὸς τὸν σκοπόν, ἀπεχόμενοι τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. οὐδὲ γὰρ τοὺς ἀγαθοὺς ᾑροῦντο, τοὺς δὲ κακοὺς ᾐτιῶντο, πάντας ἀποκρισιαρίους τῆς δεσποτικῆς οἰκονομίας ἡγούμενοι. πρὸς πάντας οὖν 36.2.4 εἶχον ἐνδιάθετον εὔνοιαν. ὅταν γὰρ ἤκουον τοῦ κυρίου λέγοντος· «ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν», τότε τοὺς ἀδικοῦντας εὐεργέτας ἐλογίζοντο εἰς ἄφεσιν ἔχοντες τὰς παρ' αὐτῶν ἀφορμάς. ὅτε δὲ πάλιν ἤκουον λέγοντος· «καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε ὁμοίως», τότε καὶ τοὺς ἀγαθοὺς κατὰ συνείδησιν ἠγάπων. ἀφέντες γὰρ τὴν δικαιοσύνην τὴν ἑαυτῶν καὶ τὴν τοῦ θεοῦ δικαιοσύνην ζητοῦντες εὗρον ἀκολούθως καὶ τὴν ἀγάπην ἐν 36.2.5 αὐτῇ κατὰ φύσιν ἐγκεκρυμμένην. καὶ γὰρ ὁ κύριος, πολλὰ περὶ τῆς ἀγάπης ἐντειλάμενος, «τὴν δικαιοσύνην» ἐκέλευσε ζητεῖν «τοῦ θεοῦ»· οἶδε γὰρ αὐτὴν μητέρα τῆς ἀγάπης ὑπάρχουσαν. οὐκ ἔστι γὰρ ἄλλως σωθῆναι, εἰ μὴ διὰ τοῦ πλησίον καθὼς ὁ κύριος, ἐνετείλατο εἰπών· «ἄφετε καὶ ἀφεθήσεται ὑμῖν». οὗτός ἐστιν ὁ τοῦ πνεύματος νόμος, ὁ ἐν καρδίαις πισταῖς ἐγγραφόμενος, τὸ πλήρωμα τοῦ πρώτου νόμου· «οὐκ ἦλθον, γάρ φησι, καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι». πῶς δὲ πληροῦται, μάθε. 36.2.6 Ὁ πρῶτος νόμος διὰ τῆς εὐλόγου ἀφορμῆς τοῦ ἁμαρτήσαντος κατέκρινεν περισσοτέρως τὸν ἀδικηθέντα· «ἐν ᾧ γὰρ κρίνει τις τὸν ἕτερον, ἑαυτὸν κατακρίνει», ἐν ᾧ δὲ ἀφίησιν ἀφεθήσεται αὐτῷ. οὕτω γὰρ καὶ ὁ νόμος λέγει· «ἀνὰ 36.2.7 μέσον κρίσεως κρίσις καὶ ἀνὰ μέσον ἀφῆς ἀφή». πλήρωμα οὖν νόμου ἡ ἄφεσις τυγχάνει. πρῶτον δὲ νόμον εἰρήκαμεν, οὐχ ὅτι ὁ θεὸς δύο νόμους παρέθετο τοῖς ἀνθρώποις, ἀλλ' ἕνα· πνευματικὸν μὲν κατὰ φύσιν, κατὰ δὲ τὴν ἐκδίκησιν δικαίαν ἐπιφέροντα ἑκάστῳ τὴν ψῆφον. τῷ ἀφίεντι ἀφήσει καὶ τῷ παραζητοῦντι παραζητήσει. φησὶ γάρ· «μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ καὶ μετὰ στρεβλοῦ διαστρέψεις». διὰ τοῦτο οἱ πνευματικῶς αὐτὸν τὸν νόμον ἐκτελοῦντες καὶ ἀναλόγως τῆς χάριτος μετέχοντες, οὐ μόνον τοὺς εὐεργετοῦντας, ἀλλὰ καὶ τοὺς ὀνειδίζοντας καὶ διώκοντας ἠγάπων, τὴν πνευματικὴν ἀνταπόδοσιν ἐκδεχόμενοι τῶν ἀγαθῶν. οὐχ ὅτι τὰ ἀδικήματα συνεχώρησαν, ἀλλ' ὅτι καὶ τὰς ψυχὰς τῶν ἀδικούντων εὐηργέτησαν· οὕτω γὰρ αὐτοὺς παρετίθεντο τῷ θεῷ, ὡς δι' αὐτῶν τοῦ μακαρισμοῦ τυγχάνειν, ὥς φησι· «μακάριοί ἐστε, ὅταν διώξωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν». ὑπὸ δὲ τοῦ πνευματικοῦ νόμου οὕτω φρονεῖν ἐδιδάσκοντο. 36.2.8 Ὑπομενόντων γὰρ αὐτῶν καὶ τὴν νοερὰν πραΰτητα τηρούντων ὁ κύριος, βλέπων τὴν ὑπομονὴν τῆς καρδίας πολεμουμένης καὶ τῆς ἀγάπης μὴ ἐξισταμένης, διέρρηξε «τὸ μεσότοιχον τοῦ φραγμοῦ», καὶ τέως τὴν ἔχθραν ἀπέβαλε, καὶ οὐκέτι μετὰ βίας, ἀλλὰ μετὰ βοηθείας εἶχον τὴν ἀγάπην. ὁ κύριος λοιπὸν κατήργει τὴν στρεφομένην ῥομφαίαν, τὴν κινοῦσαν τοὺς λογισμούς, καὶ εἰσήρχοντο «εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν ὁ κύριος», καὶ ἐνετρύφων τοῖς καρποῖς τοῦ πνεύματος, καὶ τὰ μέλλοντα ἐν βεβαιότητι καρδίας θεασάμενοι κατὰ τὸν ἀπόστολον ὡς ἐν ἐσόπτρῳ ἐν αἰνίγματι ἔλεγον, «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅσα ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». 36.3.1 Ἀλλὰ ἐγὼ τοῦτο τὸ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θαυμαστὸν ἐπερωτήσω· εἰ «ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη», ὑμεῖς αὐτὰ πῶς οἴδατε, μάλιστα ἐν ταῖς Πράξεσιν ὁμολογήσαντες «ὁμοιοπαθεῖς» ἡμῶν εἶναι ἄνθρωποι; Ἀλλ' ἄκουε, τί ἀποκρίνεται πρὸς ταῦτα ὁ μακάριος ἀπόστολος· «ἡμῖν δέ, φησίν, ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ». ἀλλ' ἵνα μή τις εἴπῃ, ὅτι αὐτοῖς ἐδόθη τὸ πνεῦμα τὸ ἅγιον ὡς ἀποστόλοις, ἡμῖν δὲ κατὰ φύσιν ἀχώρητον τοῦτο, διὰ τοῦτο λέγει ἐπευχόμενος· «ὁ θεὸς δώῃ ὑμῖν δυνάμει κραταιωθῆναι εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν», «ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία», καὶ πάλιν λέγει· «εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ». 36.3.2 Εὐξώμεθα τοίνυν καὶ ἡμεῖς ἐν πάσῃ πληροφορίᾳ καὶ αἰσθήσει λαβεῖν τὴν χάριν τοῦ ἁγίου πνεύματος καὶ εἰσελθεῖν ὅθεν ἐξεβλήθημεν καὶ τοῦ λοιποῦ ἀποστραφῆναι τὸν θυμοτόκον ὄφιν καὶ κενόδοξον σύμβουλον, τὸ πνεῦμα τῆς μερίμνης καὶ κραιπάλης, ὅπως βεβαίως πιστεύσαντες τὰς ἐντολὰς διὰ τοῦ κυρίου φυλάξωμεν καὶ αὐξηθῶμεν ἐν αὐτῷ «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας», τοῦ μηκέτι κατακυριευθῆναι ὑπὸ τῆς ἀπάτης τοῦ αἰῶνος τούτου, ἀλλ' εἶναι ἐν πληροφορίᾳ τοῦ πνεύματος καὶ μὴ ἀπιστεῖν, ὅτι καὶ εἰς ἁμαρτωλοὺς μετα36.3.3 νοοῦντας ἡ χάρις τοῦ θεοῦ εὐδοκεῖ. τὸ γὰρ κατὰ χάριν δωρούμενον οὐκέτι ἐν παρεικασμῷ τῆς προλαβούσης ἀσθενείας μετρεῖται, «ἐπεὶ ἡ χάρις οὐκέτι χάρις», ἀλλὰ τῷ παντοδυνάμῳ θεῷ πιστεύσαντες ἁπλῇ καὶ ἀπεριέργῳ καρδίᾳ προσέλθωμεν τῷ διὰ πίστεως τοῦ πνεύματος τὴν μετουσίαν χαριζομένῳ καὶ οὐ διὰ παρεικασμοῦ φύσεως ἔργων· φησὶ γάρ· «οὐκ ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἀλλ' ἐξ ἀκοῆς πίστεως». 36.4.1 Ἐρώτησις. Εἶπας, ὅτι πάντα εἰς τὴν ψυχὴν πνευματικῶς ἐγκέκρυπται. τί οὖν ἐστι· «θέλω πέντε λόγους ἐν ἐκκλησίᾳ διὰ τοῦ νοός μου λαλῆσαι»; Ἀπόκρισις. Καὶ ἡ ἐκκλησία ἐν δυσὶ προσώποις νοεῖται, ἐν τῷ συστήματι τῶν πιστῶν καὶ ἐν τῷ συγκρίματι τῆς ψυχῆς. ὅταν οὖν πνευματικῶς εἰς τὸν ἄνθρωπον λαμβάνηται, ἐκκλησία μέν ἐστιν ὅλον τὸ σύγκριμα αὐτοῦ· πέντε δὲ λόγοι εἰσὶ περιεκτικαὶ ἀρεταί, ὅλον τὸν ἄνθρωπον οἰκοδομοῦσαι, πολυτρόπως διαιρούμεναι. ὥσπερ γὰρ ὁ λαλῶν ἐν κυρίῳ διὰ πέντε λόγων πᾶσαν σοφίαν περιέλαβεν, οὕτως ὁ ἀκολουθῶν τῷ κυρίῳ διὰ πέντε ἀρετῶν οἰκοδομεῖ τὴν εὐσέβειαν. πέντε γὰρ οὖσαι πάσας περιέχουσι· πρώτη εὐχή, λοιπὸν ἐγκράτεια, ἐλεημοσύνη, πτωχεία, μακροθυμία. ταῦτα πόθῳ καὶ προαιρέσει ἐπιτελούμενα λόγοι εἰσὶ τῆς ψυχῆς ὑπὸ κυρίου λαλούμενοι καὶ ὑπὸ καρδίας ἀκουόμενοι. ὁ γὰρ κύριος ἐνεργεῖ καὶ τὸ πνεῦμα τότε νοερῶς λαλεῖ, καὶ ἡ καρδία ὅσον ἐπιποθεῖ τοσοῦτον καὶ φανερῶς ἐπιτελεῖ. αἱ δὲ ἀρεταί, ὥσπερ εἰσὶ περιεκτικαὶ πασῶν, οὕτω καὶ ἀλλήλων γεννητικαί. τῆς πρώτης γὰρ ἀπολειπομένης ἀναιροῦνται πᾶ36.4.2 σαι, ὁμοίως δὲ καὶ τῆς δευτέρας αἱ ἀκόλουθοι καὶ ὡσαύτως καθεξῆς. πῶς γὰρ εὔξεταί τις μὴ ὑπὸ τοῦ πνεύματος ἐνεργηθείς; καὶ μαρτυρεῖ ἡ γραφὴ λέγουσα· «οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ». πῶς δὲ ὑπομείνῃ ὁ χωρὶς εὐχῆς ἐγκρατευόμενος ἀβοηθήτως; ὁ δὲ ἐν παντὶ μὴ ἐγκρατευόμενος πῶς ἐλεήσει τὸν πεινῶντα ἢ τὸν ἀδικούμενον; ὁ δὲ οὐκ ἐλεῶν οὐδὲ πτωχεύειν ἑκουσίως καταδέχεται. πάλιν δὲ τῆς τῶν χρημάτων ἐπιθυμίας 36.4.3 ὁ θυμὸς σύντροφος, κἂν ἔχῃ χρήματα κἂν μὴ ἔχῃ. ἡ δὲ ἐνάρετος ψυχὴ οὕτω προσοικοδομεῖται τῇ ἐκκλησίᾳ, οὐχ ὅτι ἐποίησεν, ἀλλ' ὅτι ἐπόθησεν· οὐ γὰρ τὸ ἴδιον ἔργον σῴζει τὸν ἄνθρωπον, ἀλλ' ὁ χαρισάμενος τῷ ἀνθρώπῳ τὴν δύναμιν. εἰ οὖν ὑπομένει τις τὰ στίγματα τοῦ δεσπότου, μὴ οἰηθῇ ἔν τινι, κἂν τὸ τυχὸν οἴκοθεν πεποιηκέναι, καὶ ἐπιτηδεύειν πρὸς τὰς εὐεργεσίας. μὴ οὖν δόξῃς ποτὲ ἐν ἀρετῇ προειληφέναι τὸν κύριον κατὰ τὸν λέγοντα, ὅτι αὐτός ἐστιν «ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας». 36.5.1 Ἐρώτησις. Τί οὖν ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

γραφὴ παντὶ ἀνθρώπῳ παραγγέλλει τοῦτο ποιεῖν; Ἀπόκρισις. Προείπομεν, ὅτι τὴν ἐπιτηδειότητα ὁ ἄνθρωπος ἔχει κατὰ φύσιν, καὶ ταύτην ὁ θεὸς ἐπιζητεῖ. παραγγέλλει οὖν, ἵνα πρῶτον νοήσῃ καὶ νοήσας ἀγαπήσῃ καὶ θελήματι ἐπιτηδεύσῃ. τὸ δὲ ἐνεργηθῆναι τὸν νοῦν ἢ ὑπομεῖναι τὸν κόπον ἢ τελειῶσαι τὸ ἔργον ἡ χάρις τοῦ κυρίου παρέχει τῷ θελήσαντι καὶ πιστεύσαντι. τὸ οὖν θέλημα τοῦ ἀνθρώπου ὡς παράστασις ὑποστατική· μὴ παρόντος δὲ τοῦ θελήματος οὐδὲ αὐτὸς ποιεῖ, καίπερ δυνάμενος ὡς θεός, ἀλλὰ διὰ τὸ αὐτεξούσιον. ἡ οὖν τελεσιουργία τοῦ θεοῦ, τὸ δὲ θέλημα τοῦ ἀνθρώπου, πλὴν ἐὰν ὅλον τὸ θέλημα δῶμεν, ὅλον τὸ ἔργον ἡμῖν ἐπιγράφει. θαυμαστὸς ὁ θεὸς ἐν πᾶσι καὶ ἀπερινόητος, ἄνθρωποι δὲ μέρος τι τῶν θαυμασίων αὐτοῦ λαλεῖν ἐπιχειροῦμεν, τῇ γραφῇ ἐπερειδόμενοι, μᾶλλον δὲ ὑπ' αὐτῆς συνετιζόμενοι. «τίς, γάρ φησιν, ἔγνω νοῦν κυρίου;» αὐτὸς δέ φησι· «ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε». ὡς ἐκ τούτου πιστεύειν, ὅτι αὐτὸς ἡμᾶς ἐπισυνάγει, ἡμῶν δὲ παραζητεῖ μόνον τὸ θέλημα. τίς δὲ ἡ φανέρωσις τοῦ θελήματος· πόνος ἑκούσιος. 36.5.2 Ὥσπερ γὰρ ὁ σίδηρος πρίζων, κόπτων, γεωργῶν, καταφυτεύων, αὐτὸς μὲν ὑποθλιβόμενος ἐνδίδωσι, πλὴν ἄλλος ἐστὶν ὁ κινῶν καὶ ἐπάγων, καὶ ἐν τῷ συντριβῆναι πυρῶν καὶ ἀνακαινίζων, οὕτω καὶ ὁ ἄνθρωπος κἂν θλίβηται καὶ κοπιᾷ ἐργαζόμενος τὸ ἀγαθόν, πλὴν ὁ κύριος λανθανόντως ἐν αὐτῷ ἐργάζεται, καὶ ἐν τῷ κοπιάσαι καὶ συντριβῆναι τὴν καρδίαν παρακαλῶν καὶ ἀνα36.1.4 θεοῦ παράδεισον καὶ ἐφύλαξαν τὴν ἐντολὴν ταύτην, οὐκ ἐξεβλήθησαν, ἀλλ' ὅσον τῶν γηΐνων ἀπέσχοντο, τῶν πνευματικῶν ἑκατονταπλασίως ἀπήλαυσαν, ἐνερ36.1.5 γῶς καὶ ὁμοιοτρόπως τῆς χάριτος παρακαλούσης. εὐξώμεθα τοίνυν καὶ ἡμεῖς φυλάξαι αὐτήν, ἵνα ἐμμείναντες εἰς τὸν τοῦ κυρίου λόγον ἀπολαύσωμεν τῆς τοῦ πνεύματος τρυφῆς καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι. ὥσπερ γὰρ ἐκβάλλεται Ἀδὰμ ἀπογευσάμενος τοῦ ξύλου τῆς γνώσεως, οὕτως οὐ δύνανται μένειν εἰς τὸν τοῦ Χριστοῦ λόγον οἱ τὰ γήϊνα φρονοῦντες. 36.2.1 Κατὰ τὸ γεγραμμένον, ὅτι «ἡ φιλία τοῦ κόσμου τούτου ἔχθρα τοῦ θεοῦ ἐστι». διὸ ἡ γραφὴ κελεύει «πάσῃ φυλακῇ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν», ἵνα τις ὡς παράδεισον φυλάσσων τὸν αὐτοῦ λόγον ἀπολαύῃ τῆς χάριτος, μὴ ἀκούων τοῦ ἔνδον εἱλισσομένου ὄφεως συμβουλεύοντος τὰ πρὸς ἡδονήν, δι' ἧς γεννᾶται θυμὸς ἀδελφοκτόνος καὶ ἀποθνῄσκει ψυχὴ ἡ τίκτουσα, ἀλλ' ἀκούων τοῦ κυρίου κελεύοντος ἐπιμελεῖσθαι πίστεως καὶ ἐλπίδος, δι' ὧν γεννᾶται ἡ φιλόθεος καὶ 36.2.2 φιλάνθρωπος ἀγάπη, τὴν αἰώνιον ζωὴν παρέχουσα. εἰς τοῦτον τὸν παράδεισον εἰσηνέχθη Νῶε, τὴν ἐντολὴν φυλάσσων καὶ ἐργαζόμενος, καὶ διὰ τῆς ἀγάπης ἐλυτρώθη τῆς ὀργῆς. τοῦτον φυλάσσων Ἀβραὰμ φωνῆς θεοῦ ἤκουε. τοῦτον φυλάσσων Μωϋσῆς δόξαν ἐπὶ τοῦ προσώπου ἐλάμβανε καὶ τὴν κτίσιν μετέβαλλεν. ὁμοίως Δαβὶδ τοῦτον φυλάσσων εἰργάζετο, ὅθεν τῶν ἐχθρῶν κατεκυρίευσεν. ἀλλὰ καὶ Σαούλ, ἕως ἐφύλασσε τὴν καρδίαν εὐωδοῦτο. ὅτε δὲ εἰς τέλος παρέβη, τότε εἰς τέλος παρελήφθη. ἐν μέτρῳ γὰρ κατ' ἀναλογίαν μετέρχεται ἕκαστον ὁ λόγος τοῦ κυρίου. ὅσον ἐπικρατεῖ τις αὐτοῦ, τοσοῦτον ἐπικρατεῖται, καὶ ὅσον φυλάσσει, φυλάσσεται τοσοῦτον. 36.2.3 Διὰ τοῦτο πᾶς ὁ χορὸς τῶν ἁγίων προφητῶν, ἀποστόλων, μαρτύρων τὸν λόγον ἐν ταῖς καρδίαις αὐτῶν ἐφύλασσον, μηδὲν ἕτερον μεριμνῶντες, ἀλλὰ τοῦ γηΐνου πνεύματος τὸ φιλόθεον προκρίνοντες, οὐ μόνον λόγῳ ἢ γνώσει ψιλῇ, ἀλλ' ἐν λόγῳ καὶ ἔργῳ δι' αὐτῶν τῶν πραγμάτων. ἀντὶ πλούτου ἑλόμενοι πτωχείαν, ἀντὶ δόξης ἀτιμίαν, ἀντὶ ἀπολαύσεως κακουχίαν, ὅθεν καὶ ἀντὶ θυμοῦ ἀγάπην. μισοῦντες γὰρ τὰ ἡδέα τοῦ βίου τοὺς ἀφαιρουμένους αὐτὰ μᾶλλον ἠγάπων ὡς συνεργοῦντας αὐτοῖς πρὸς τὸν σκοπόν, ἀπεχόμενοι τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. οὐδὲ γὰρ τοὺς ἀγαθοὺς ᾑροῦντο, τοὺς δὲ κακοὺς ᾐτιῶντο, πάντας ἀποκρισιαρίους τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δεσποτικῆς οἰκονομίας ἡγούμενοι. πρὸς πάντας οὖν 36.2.4 εἶχον ἐνδιάθετον εὔνοιαν. ὅταν γὰρ ἤκουον τοῦ κυρίου λέγοντος· «ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν», τότε τοὺς ἀδικοῦντας εὐεργέτας ἐλογίζοντο εἰς ἄφεσιν ἔχοντες τὰς παρ' αὐτῶν ἀφορμάς. ὅτε δὲ πάλιν ἤκουον λέγοντος· «καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε ὁμοίως», τότε καὶ τοὺς ἀγαθοὺς κατὰ συνείδησιν ἠγάπων. ἀφέντες γὰρ τὴν δικαιοσύνην τὴν ἑαυτῶν καὶ τὴν τοῦ θεοῦ δικαιοσύνην ζητοῦντες εὗρον ἀκολούθως καὶ τὴν ἀγάπην ἐν 36.2.5 αὐτῇ κατὰ φύσιν ἐγκεκρυμμένην. καὶ γὰρ ὁ κύριος, πολλὰ περὶ τῆς ἀγάπης ἐντειλάμενος, «τὴν δικαιοσύνην» ἐκέλευσε ζητεῖν «τοῦ θεοῦ»· οἶδε γὰρ αὐτὴν μητέρα τῆς ἀγάπης ὑπάρχουσαν. οὐκ ἔστι γὰρ ἄλλως σωθῆναι, εἰ μὴ διὰ τοῦ πλησίον καθὼς ὁ κύριος, ἐνετείλατο εἰπών· «ἄφετε καὶ ἀφεθήσεται ὑμῖν». οὗτός ἐστιν ὁ τοῦ πνεύματος νόμος, ὁ ἐν καρδίαις πισταῖς ἐγγραφόμενος, τὸ πλήρωμα τοῦ πρώτου νόμου· «οὐκ ἦλθον, γάρ φησι, καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι». πῶς δὲ πληροῦται, μάθε. 36.2.6 Ὁ πρῶτος νόμος διὰ τῆς εὐλόγου ἀφορμῆς τοῦ ἁμαρτήσαντος κατέκρινεν περισσοτέρως τὸν ἀδικηθέντα· «ἐν ᾧ γὰρ κρίνει τις τὸν ἕτερον, ἑαυτὸν κατακρίνει», ἐν ᾧ δὲ ἀφίησιν ἀφεθήσεται αὐτῷ. οὕτω γὰρ καὶ ὁ νόμος λέγει· «ἀνὰ 36.2.7 μέσον κρίσεως κρίσις καὶ ἀνὰ μέσον ἀφῆς ἀφή». πλήρωμα οὖν νόμου ἡ ἄφεσις τυγχάνει. πρῶτον δὲ νόμον εἰρήκαμεν, οὐχ ὅτι ὁ θεὸς δύο νόμους παρέθετο τοῖς ἀνθρώποις, ἀλλ' ἕνα· πνευματικὸν μὲν κατὰ φύσιν, κατὰ δὲ τὴν ἐκδίκησιν δικαίαν ἐπιφέροντα ἑκάστῳ τὴν ψῆφον. τῷ ἀφίεντι ἀφήσει καὶ τῷ παραζητοῦντι παραζητήσει. φησὶ γάρ· «μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ καὶ μετὰ στρεβλοῦ διαστρέψεις». διὰ τοῦτο οἱ πνευματικῶς αὐτὸν τὸν νόμον ἐκτελοῦντες καὶ ἀναλόγως τῆς χάριτος μετέχοντες, οὐ μόνον τοὺς εὐεργετοῦντας, ἀλλὰ καὶ τοὺς ὀνειδίζοντας καὶ διώκοντας ἠγάπων, τὴν πνευματικὴν ἀνταπόδοσιν ἐκδεχόμενοι τῶν ἀγαθῶν. οὐχ ὅτι τὰ ἀδικήματα συνεχώρησαν, ἀλλ' ὅτι καὶ τὰς ψυχὰς τῶν ἀδικούντων εὐηργέτησαν· οὕτω γὰρ αὐτοὺς παρετίθεντο τῷ θεῷ, ὡς δι' αὐτῶν τοῦ μακαρισμοῦ τυγχάνειν, ὥς φησι· «μακάριοί ἐστε, ὅταν διώξωσιν ὑμᾶς καὶ ὀνειδίσωσιν». ὑπὸ δὲ τοῦ πνευματικοῦ νόμου οὕτω φρονεῖν ἐδιδάσκοντο. 36.2.8 Ὑπομενόντων γὰρ αὐτῶν καὶ τὴν νοερὰν πραΰτητα τηρούντων ὁ κύριος, βλέπων τὴν ὑπομονὴν τῆς καρδίας πολεμουμένης καὶ τῆς ἀγάπης μὴ ἐξισταμένης, διέρρηξε «τὸ μεσότοιχον τοῦ φραγμοῦ», καὶ τέως τὴν ἔχθραν ἀπέβαλε, καὶ οὐκέτι μετὰ βίας, ἀλλὰ μετὰ βοηθείας εἶχον τὴν ἀγάπην. ὁ κύριος λοιπὸν κατήργει τὴν στρεφομένην ῥομφαίαν, τὴν κινοῦσαν τοὺς λογισμούς, καὶ εἰσήρχοντο «εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν ὁ κύριος», καὶ ἐνετρύφων τοῖς καρποῖς τοῦ πνεύματος, καὶ τὰ μέλλοντα ἐν βεβαιότητι καρδίας θεασάμενοι κατὰ τὸν ἀπόστολον ὡς ἐν ἐσόπτρῳ ἐν αἰνίγματι ἔλεγον, «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ὅσα ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». 36.3.1 Ἀλλὰ ἐγὼ τοῦτο τὸ θαυμαστὸν ἐπερωτήσω· εἰ «ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη», ὑμεῖς αὐτὰ πῶς οἴδατε, μάλιστα ἐν ταῖς Πράξεσιν ὁμολογήσαντες «ὁμοιοπαθεῖς» ἡμῶν εἶναι ἄνθρωποι; Ἀλλ' ἄκουε, τί ἀποκρίνεται πρὸς ταῦτα ὁ μακάριος ἀπόστολος· «ἡμῖν δέ, φησίν, ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ». ἀλλ' ἵνα μή τις εἴπῃ, ὅτι αὐτοῖς ἐδόθη τὸ πνεῦμα τὸ ἅγιον ὡς ἀποστόλοις, ἡμῖν δὲ κατὰ φύσιν ἀχώρητον τοῦτο, διὰ τοῦτο λέγει ἐπευχόμενος· «ὁ θεὸς δῴη ὑμῖν δυνάμει κραταιωθῆναι εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν ἐν ταῖς καρδίαις ὑμῶν», «ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν· οὗ δὲ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία», καὶ πάλιν λέγει· «εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ». 36.3.2 Εὐξώμεθα τοίνυν καὶ ἡμεῖς ἐν πάσῃ πληροφορίᾳ καὶ αἰσθήσει λαβεῖν τὴν χάριν τοῦ ἁγίου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πνεύματος καὶ εἰσελθεῖν ὅθεν ἐξεβλήθημεν καὶ τοῦ λοιποῦ ἀποστραφῆναι τὸν θυμοτόκον ὄφιν καὶ κενόδοξον σύμβουλον, τὸ πνεῦμα τῆς μερίμνης καὶ κραιπάλης, ὅπως βεβαίως πιστεύσαντες τὰς ἐντολὰς διὰ τοῦ κυρίου φυλάξωμεν καὶ αὐξηθῶμεν ἐν αὐτῷ «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας», τοῦ μηκέτι κατακυριευθῆναι ὑπὸ τῆς ἀπάτης τοῦ αἰῶνος τούτου, ἀλλ' εἶναι ἐν πληροφορίᾳ τοῦ πνεύματος καὶ μὴ ἀπιστεῖν, ὅτι καὶ εἰς ἁμαρτωλοὺς μετα36.3.3 νοοῦντας ἡ χάρις τοῦ θεοῦ εὐδοκεῖ. τὸ γὰρ κατὰ χάριν δωρούμενον οὐκέτι ἐν παρεικασμῷ τῆς προλαβούσης ἀσθενείας μετρεῖται, «ἐπεὶ ἡ χάρις οὐκέτι χάρις», ἀλλὰ τῷ παντοδυνάμῳ θεῷ πιστεύσαντες ἁπλῇ καὶ ἀπεριέργῳ καρδίᾳ προσέλθωμεν τῷ διὰ πίστεως τοῦ πνεύματος τὴν μετουσίαν χαριζομένῳ καὶ οὐ διὰ παρεικασμοῦ φύσεως ἔργων· φησὶ γάρ· «οὐκ ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἀλλ' ἐξ ἀκοῆς πίστεως». 36.4.1 Ἐρώτησις. Εἶπας, ὅτι πάντα εἰς τὴν ψυχὴν πνευματικῶς ἐγκέκρυπται. τί οὖν ἐστι· «θέλω πέντε λόγους ἐν ἐκκλησίᾳ διὰ τοῦ νοός μου λαλῆσαι»; Ἀπόκρισις. Καὶ ἡ ἐκκλησία ἐν δυσὶ προσώποις νοεῖται, ἐν τῷ συστήματι τῶν πιστῶν καὶ ἐν τῷ συγκρίματι τῆς ψυχῆς. ὅταν οὖν πνευματικῶς εἰς τὸν ἄνθρωπον λαμβάνηται, ἐκκλησία μέν ἐστιν ὅλον τὸ σύγκριμα αὐτοῦ· πέντε δὲ λόγοι εἰσὶ περιεκτικαὶ ἀρεταί, ὅλον τὸν ἄνθρωπον οἰκοδομοῦσαι, πολυτρόπως διαιρούμεναι. ὥσπερ γὰρ ὁ λαλῶν ἐν κυρίῳ διὰ πέντε λόγων πᾶσαν σοφίαν περιέλαβεν, οὕτως ὁ ἀκολουθῶν τῷ κυρίῳ διὰ πέντε ἀρετῶν οἰκοδομεῖ τὴν εὐσέβειαν. πέντε γὰρ οὖσαι πάσας περιέχουσι· πρώτη εὐχή, λοιπὸν ἐγκράτεια, ἐλεημοσύνη, πτωχεία, μακροθυμία. ταῦτα πόθῳ καὶ προαιρέσει ἐπιτελούμενα λόγοι εἰσὶ τῆς ψυχῆς ὑπὸ κυρίου λαλούμενοι καὶ ὑπὸ καρδίας ἀκουόμενοι. ὁ γὰρ κύριος ἐνεργεῖ καὶ τὸ πνεῦμα τότε νοερῶς λαλεῖ, καὶ ἡ καρδία ὅσον ἐπιποθεῖ τοσοῦτον καὶ φανερῶς ἐπιτελεῖ. αἱ δὲ ἀρεταί, ὥσπερ εἰσὶ περιεκτικαὶ πασῶν, οὕτω καὶ ἀλλήλων γεννητικαί. τῆς πρώτης γὰρ ἀπολειπομένης ἀναιροῦνται πᾶ36.4.2 σαι, ὁμοίως δὲ καὶ τῆς δευτέρας αἱ ἀκόλουθοι καὶ ὡσαύτως καθεξῆς. πῶς γὰρ εὔξεταί τις μὴ ὑπὸ τοῦ πνεύματος ἐνεργηθείς; καὶ μαρτυρεῖ ἡ γραφὴ λέγουσα· «οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν εἰ μὴ ἐν πνεύματι ἁγίῳ». πῶς δὲ ὑπομείνῃ ὁ χωρὶς εὐχῆς ἐγκρατευόμενος ἀβοηθήτως; ὁ δὲ ἐν παντὶ μὴ ἐγκρατευόμενος πῶς ἐλεήσει τὸν πεινῶντα ἢ τὸν ἀδικούμενον; ὁ δὲ οὐκ ἐλεῶν οὐδὲ πτωχεύειν ἑκουσίως καταδέχεται. πάλιν δὲ τῆς τῶν χρημάτων ἐπιθυμίας 36.4.3 ὁ θυμὸς σύντροφος, κἂν ἔχῃ χρήματα κἂν μὴ ἔχῃ. ἡ δὲ ἐνάρετος ψυχὴ οὕτω προσοικοδομεῖται τῇ ἐκκλησίᾳ, οὐχ ὅτι ἐποίησεν, ἀλλ' ὅτι ἐπόθησεν· οὐ γὰρ τὸ ἴδιον ἔργον σῴζει τὸν ἄνθρωπον, ἀλλ' ὁ χαρισάμενος τῷ ἀνθρώπῳ τὴν δύναμιν. εἰ οὖν ὑπομένει τις τὰ στίγματα τοῦ δεσπότου, μὴ οἰηθῇ ἔν τινι, κἂν τὸ τυχὸν οἴκοθεν πεποιηκέναι, καὶ ἐπιτηδεύειν πρὸς τὰς εὐεργεσίας. μὴ οὖν δόξῃς ποτὲ ἐν ἀρετῇ προειληφέναι τὸν κύριον κατὰ τὸν λέγοντα, ὅτι αὐτός ἐστιν «ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας». 36.5.1 Ἐρώτησις. Τί οὖν ἡ γραφὴ παντὶ ἀνθρώπῳ παραγγέλλει τοῦτο ποιεῖν; Ἀπόκρισις. Προείπομεν, ὅτι τὴν ἐπιτηδειότητα ὁ ἄνθρωπος ἔχει κατὰ φύσιν, καὶ ταύτην ὁ θεὸς ἐπιζητεῖ. παραγγέλλει οὖν, ἵνα πρῶτον νοήσῃ καὶ νοήσας ἀγαπήσῃ καὶ θελήματι ἐπιτηδεύσῃ. τὸ δὲ ἐνεργηθῆναι τὸν νοῦν ἢ ὑπομεῖναι τὸν κόπον ἢ τελειῶσαι τὸ ἔργον ἡ χάρις τοῦ κυρίου παρέχει τῷ θελήσαντι καὶ πιστεύσαντι. τὸ οὖν θέλημα τοῦ ἀνθρώπου ὡς παράστασις ὑποστατική· μὴ παρόντος δὲ τοῦ θελήματος οὐδὲ αὐτὸς ποιεῖ, καίπερ δυνάμενος ὡς θεός, ἀλλὰ διὰ τὸ αὐτεξούσιον. ἡ οὖν τελεσιουργία τοῦ θεοῦ, τὸ δὲ θέλημα τοῦ ἀνθρώπου, πλὴν ἐὰν ὅλον τὸ θέλημα δῶμεν, ὅλον τὸ ἔργον ἡμῖν ἐπιγράφει. θαυμαστὸς ὁ θεὸς ἐν πᾶσι καὶ ἀπερινόητος, ἄνθρωποι δὲ μέρος τι τῶν θαυμασίων αὐτοῦ λαλεῖν ἐπιχειροῦμεν, τῇ γραφῇ ἐπερειδόμενοι, μᾶλλον δὲ ὑπ' αὐτῆς συνετιζόμενοι. «τίς, γὰρ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φησιν, ἔγνω νοῦν κυρίου;» αὐτὸς δέ φησι· «ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε». ὡς ἐκ τούτου πιστεύειν, ὅτι αὐτὸς ἡμᾶς ἐπισυνάγει, ἡμῶν δὲ παραζητεῖ μόνον τὸ θέλημα. τίς δὲ ἡ φανέρωσις τοῦ θελήματος· πόνος ἑκούσιος. 36.5.2 Ὥσπερ γὰρ ὁ σίδηρος πρίζων, κόπτων, γεωργῶν, καταφυτεύων, αὐτὸς μὲν ὑποθλιβόμενος ἐνδίδωσι, πλὴν ἄλλος ἐστὶν ὁ κινῶν καὶ ἐπάγων, καὶ ἐν τῷ συντριβῆναι πυρῶν καὶ ἀνακαινίζων, οὕτω καὶ ὁ ἄνθρωπος κἂν θλίβηται καὶ κοπιᾷ ἐργαζόμενος τὸ ἀγαθόν, πλὴν ὁ κύριος λανθανόντως ἐν αὐτῷ ἐργάζεται, καὶ ἐν τῷ κοπιάσαι καὶ συντριβῆναι τὴν καρδίαν παρακαλῶν καὶ ἀνακαινίζων καθὼς ὁ προφήτης λέγει· «μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτον36.5.3 τος; ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος»; οὕτω δέ ἐστι καὶ εἰς τὸ κακόν. ὅτε ὁ ἄνθρωπος ὑπακούει καὶ ἑτοιμάζεται, τότε ὁ σατανᾶς ἑτοιμάζει. καὶ παροξύνει, ὡς ὁ λῃστὴς τὸ ξίφος. σιδήρῳ δὲ παρεικάσαμεν τὴν καρδίαν διὰ τὴν ἀναισθησίαν τῶν πραγμάτων καὶ πολλὴν σκληρότητα. οὐκ ἔδει δὲ ἡμᾶς ἀγνοεῖν τὸν κρατοῦντα ὡς ὁ ἀναίσθητος σίδηροςἐπεὶ ταχέως ἀπὸ τοῦ γεωργοῦ λόγου εἰς τὸν τοῦ πολεμίου λογισμὸν μεταπίπτομεν, ἀλλὰ μᾶλλον ὡς βοῦς καὶ ὄνος εἰδέναι τὸν ἐλαύνοντα καὶ ὁδηγοῦντα κατὰ διάνοιαν· φησὶ γάρ· «ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω». Εὐξώμεθα τοίνυν δέξασθαι γνῶσιν θεοῦ, καὶ διὰ πνευματικοῦ παιδευθῆναι νόμου εἰς ὑπουργίαν τῶν αὐτοῦ ἐντολῶν. Ἀμήν.

### 37.τ.1 ΛΟΓΟΣ ΛΖʹ.

37.1.1 Ὁ κύριος εἰπὼν «γενηθήτω σοι ὡς ἐπίστευσας», οὐχ ὅτε εἶπε τότε μόνον παρέσχεν, ἀλλὰ ἀπὸ κτίσεως κόσμου καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος ἕκαστον κατὰ τὴν πίστιν εὐεργετεῖ καὶ κατὰ τὴν εὐεργεσίαν δοκιμάζει. μεγάλως εὐεργετεῖ τοὺς μεγάλως πιστεύοντας, μικρῶς δὲ τοὺς μικρῶς καὶ ἡ δοκιμασία ὁμοίως κατὰ τὴν ἀναλογίαν. οὐδένα πειράζει, ἀλλὰ προκόπτειν παρασκευάζει καὶ κατὰ τὸ μέτρον τῆς εὐεργεσίας παραχωρεῖ. εὐεργεσίαν δὲ λέγομεν θεοῦ γνῶσιν πνευματικὴν τὴν μετὰ χάριτος ἡνωμένην καὶ περὶ δοκιμασίας δὲ μερικῶς ἐροῦμεν· 37.1.2 τὸν Νῶε διὰ μὲν τῶν ἀποκαλύψεων εὐεργέτησεν, ἐδοκίμασε δὲ διὰ τῆς παρατάσεως τοῦ χρόνου ἐν τῇ κατασκευῇ τῆς κιβωτοῦ. τὸν Ἀβραὰμ διὰ τῆς σφαγῆς τοῦ υἱοῦ αὐτοῦ, τὸν Λὼτ διὰ τῆς παροικίας τῶν Σοδομιτῶν, τὸν Ἰωσὴφ διὰ τῆς Αἰγυπτίας, τὸν λαὸν διὰ τῆς ἐρήμου, τὸν Μωϋσῆν διὰ τῆς ἀντιλογίας, τὸν Δαβὶδ διὰ τοῦ Σαοὺλ τοῖς δέουσι χρόνοις, τοῖς προσήκουσι πράγμασι. πρὸς δὲ τὰς εὐεργεσίας αὐτὸς συμμεταβαλλόμενος ἦν. οὕτω πρὸς τὰ νῦν, οὕτω πρὸς τὰ ἀπ' ἀρχῆς «κατὰ τὴν ἀναλογίαν τῆς πίστεως»ἡ μετοχὴ τῆς χάριτος καὶ 37.1.3 κατὰ τὴν μετοχὴν ἡ δοκιμασία. «γενηθήτω» γάρ «σοι ὡς ἐπίστευσας» τῷ λόγῳ τοῦ θεοῦ. περί τινος; περὶ τῆς δυνάμεως αὐτοῦ ὅτι αὐτός ἐστιν ἡ ἄναρχος βουλὴ τοῦ πατρός, ἡ παντοδύναμος σοφία, θεὸς ἐκ θεοῦ, ἄχραντος, ἀναλλοίωτος, ἀκατάληπτος, ἐν δικαιοσύνῃ ἀπαράλλακτος, ἐν γνώσει ἀλάθητος, ἐν δυνάμει ἀνίκητος, ἐν παντὶ ἀνεφεύρετος καιρῷ καὶ γνώσει καὶ πράγματι πάντα τῇ εὐσεβείᾳ δουλώσας καὶ δι' αὐτῆς πάλιν τῷ ἀνθρώπῳ ὑποτάξας, ἵνα καὶ ἡμεῖς πολυπλασίως διὰ πάντων ὑποταγῶμεν. χαρισάμενος γὰρ ἡμῖν γνῶσιν εὐσεβείας, ᾗ τὰ πάντα ὑποτέτακται, προσέθηκε σύνεσιν, δι' ἧς γινώσκομεν ὅτι χρὴ πᾶσαν ἡμῶν ἐργασίαν κατὰ σκοπὸν τῆς εὐσεβείας ἐπιτελεῖν. 37.1.4 Ἐπειδὴ τοιγαροῦν ταύτης ὁ ἄνθρωπος ἐπελάθετο, διὰ τοῦτο αὐτὸς ἐλθὼν ἀνεπλήρωσεν ὑπὲρ ἡμῶν πᾶν τὸ τῆς εὐσεβείας ἔλλειμμα, ἵνα ὁ ἐναντίος ἐντραπῇ. διὰ τοῦτο ἔρχεται ἐν ποικιλίᾳ, ποτὲ διὰ πυρός, ποτὲ διὰ νεφέλης, διὰ εἴδους,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διὰ τεράτων, διὰ προφητῶν, εἶτα σαρκωθεὶς διὰ παρθένου, διὰ ὁμοτροφίας, διὰ αἰκισμῶν, διὰ ὀνειδισμῶν, εἶτα διὰ θανάτου καὶ ἀναστάσεως καὶ ἀναλήψεως. πάντα ποιεῖ πρὸς τὸ δέον τοῖς χρόνοις καὶ πρὸς τὸ ἁρμόζον τοῖς ἀνθρώποις. καὶ πάλιν ἄρτι διὰ τοῦ αὐτοῦ πνεύματος τοῖς πιστοῖς ἐνεργεῖ, διὰ συνειδήσεως, διὰ φύσεως, καὶ τοῖς σοφοῖς θαυμασίοις πείθει τοὺς ὑπηκόους καὶ τοῖς μυστηρίοις τοὺς ταπεινόφρονας, καθολικῶς δὲ διὰ τοῦ οἰκείου θανάτου πάντας ζῳο37.1.5 ποιεῖ ἐν τῇ ἁμαρτίᾳ ἀποθανόντας. ὅταν οὖν Χριστὸν Ἰησοῦν υἱὸν θεοῦ 37.1.5 ἀκούσῃς, νόει θεὸν ἐκ θεοῦ γεννηθέντα, οὐ ποιηθέντα, ἀχρόνως καὶ ἀδιαστάτως κατὰ τὴν ἄκτιστον τοῦ γεννήσαντος φύσιν, περιεκτικῶς ὑπ' οὐδενὸς καταλαμβανομένην, μερικῶς δὲ διὰ τῆς χάριτος θεοπρεπῶς νοουμένην καὶ φανερουμένην. ἐν δὲ τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ δείκνυσιν ἐν ἑαυτῷ τὰ πάντα τοῖς υἱοῖς τοῦ πνεύματος· «ὅτι ἐν αὐτῷ ηὐδόκησε κατοικῆσαι πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς». ἐν αὐτῷ οὖν ὁρῶσι τὴν θεότητα, τὴν δύναμιν, τὸν πατέρα, τὸν υἱόν, τὸ ἅγιον πνεῦμα, τὸν καθαρὸν ἄνθρωπον, τὴν ὑποταγήν, τὴν εὐσέβειαν, ὁμοίως τὴν ὑπομονήν, τὴν λύτρωσιν, τὴν δούλην κτίσιν, τὴν μὲν ἀρχαίαν φύσιν φανερώσας, τὰ δὲ παρὰ φύσιν παραχωρίσας, φέρει «τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ». 37.1.6 Ὁ μὲν οὖν διάβολος ἔσχεν ὑποχείριον τὸν ἄνθρωπον καὶ κρατῶν τὸ δικαίωμα τῆς παρακοῆς ἐγαυρίασεν ὡς κατακυριεύσας τῆς δεσποτικῆς εἰκόνος, θαρρῶν καὶ λέγων, ὅτι κἂν ὁ θεὸς θέλῃ ῥύσασθαι αὐτόν, ὑπὸ τῆς ἑαυτοῦ δικαιοσύνης κωλυθήσεται, οὐκ εἰδὼς, ὅτι παντοδύναμός ἐστιν ὁ θεός, δυνάμενος καὶ τὸ δίκαιον φυλάξαι καὶ τὸν ἄνθρωπον ῥύσασθαι, ὃ καὶ πεποίηκε πᾶν χρέος ὑπὲρ ἡμῶν ἀποτίσας. πρῶτον μὲν διὰ τῆς οἰκείας ὑπακοῆς ἔσχισε τὸ τῆς παρακοῆς χειρόγραφον, εἶτα δι' εὐσεβείας κατέλυσε τὴν δυσσέβειαν. ἡμεῖς ἄξιοι θανάτου, ἀλλ' ὑπὲρ ἡμῶν ἀπέθανεν. ἡμεῖς καὶ ἄλλους ἀπωλέσαμεν, ἀλλ' αὐτὸς πάντας ἔσωσεν. ὢ θαυμάσια δεσπότου· δυνάμενος πάντα λόγῳ συγχωρῆσαι, τοῦτο οὐ ποιεῖ, ἀλλὰ πρῶτον τὰ ἐγκλήματα ὑποφέρει τὰ ἡμῶν καὶ ἔργῳ τὴν ἁμαρτίαν παραλύει, ἵνα καὶ τὴν ἀλήθειαν στήσῃ καὶ τὸ ἔλεος ἐν ἑαυτῷ φανε37.1.7 ρώσῃ, καθώς φησιν· «ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει»; ἀλλ' ἐρεῖ τις· "1εἰ τοὺς κινδύνους πάντων εἰς ἑαυτὸν ἀντικατήλλαξε, τίς ἔτι κολασθήσεται;"2 προείπομεν δέ, ὅτι αὐτὸς εἶπε· «γενηθήτω σοι ὡς ἐπίστευσας». δῆλον οὖν, ὅτι οἱ ἀπιστοῦντες κατὰ τὸ μέτρον τῆς ἀπιστίας κολάζονται. πιστὸν δὲ καὶ ἄπιστον αἱ ἐντολαὶ διακρίνουσι· πολλοὶ γὰρ δοκοῦμεν πιστεύειν μηδόλως τὰς ἐντολὰς ποιήσαντες καὶ ἔνθεν ἐλεγχόμεθα, λόγῳ μὲν τὴν πίστιν, ἔργῳ δὲ τὴν ἀπιστίαν ἐπανῃρημένοι. 37.1.8 Εὐξώμεθα οὖν, ἀδελφοί, ἔργῳ καὶ λόγῳ τὰς ἐντολὰς ὅση δύναμις ἐν πίστει καὶ πληροφορίᾳ τελείᾳ ποιεῖν τὰς τοῦ κυρίου, ὅτι αὐτῷ πρέπει δόξα καὶ τιμὴ εἰς τοὺς αἰῶνας. Ἀμήν.

38.τ.1 ΛΟΓΟΣ ΛΗʹ.

38.1.1 Ἐρώτησις. Τί ἐστι τὸ εἰρήμενον· «ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ»; Ἀπόκρισις. Αὐτοὶ οἱ δαίμονες πονηροὶ ὄντες κατὰ τὴν οἰκείαν κακίαν ἐπελθεῖν τοῖς ἀνθρώποις ἀδυνατοῦσι· πεπεδημένοι γάρ εἰσι, τὴν δικαιοσύνην τοῦ θεοῦ ὑπερβῆναι μὴ δυνάμενοι. ὅθεν πρῶτον παραδεικνύουσι τὰς ἡδονάς, ἵνα μόνον τὸ αὐτεξούσιον εἰς ἐπιθυμίαν κινήσωσι διὰ τῶν λογισμῶν, καὶ λοιπὸν δικαίως τοῖς ἀκολουθοῦσι χρήσωνται. διὰ τοῦτο πρῶτον κατὰ διάνοιαν δόξας ἀνθρώπων ἐπαγορεύουσιν, εἶτα λοιπὸν καὶ αὐτὸν τὸν ἰδικὸν ἔπαινον ἐπάγουσι παρὰ τῶν ἔξωθεν καὶ κέρδη τινά, καὶ ὅταν ἡδυπαθῶς καὶ ἀνθρωπίνως αὐτὰ καταδεξώμεθα, τῷ δεδωκότι μᾶλλον πᾶσαν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποκρινόμενοι τὴν εὐεργεσίαν ἢ παρὰ τοῦ θεοῦ, τότε λοιπὸν ἀποχρώμενοι τῷ δικαίῳ ἐπιφέρουσι τὸ ἐναντίον (ἐναντίον δὲ δόξης ἀτιμία καὶ κέρδους ζημία), καὶ οὕτως ὑπευθύνους ἡμᾶς ἐκ τῆς προσπαθείας τῆς προλαβούσης ἔχοντες ὕστερον διὰ τῶν ἐναντίων ταράττουσι, τοῦ προκρατοῦντος πάθους ἰσόμετρον τὴν ταραχὴν ἐκφέροντος. ὅταν γὰρ εὕρωσιν ἐκ δικαίου τὴν ἀφορμήν, οὐ συγχωροῦσιν, ἕως πᾶσαν ἐξελκύσωσι· ἀφαιρουμένου γὰρ πάθους ὁ πόνος καὶ ἴσος συμβαίνει καὶ ἄφευκτος διὰ τὸ δίκαιον τῆς φύσεως. 38.1.2 Χρὴ οὖν ἅμα παρὰ τὰς ἀρχὰς ταῖς σωματικαῖς εὐεργεσίαις μὴ προσπάσχειν μηδὲ ταῖς δόξαις ἡδύνεσθαι, ἵνα μὴ ὕστερον πειραζόμενοι κινώμεθα, ἀλλ' ὧδε ζητητέον, διὰ τί θέλομεν εἶναι καλοὶ καὶ οὐ δυνάμεθα. βούλεται γὰρ ἕκαστος ἀποκλεῖσαι τὴν προσβολὴν καὶ οὐκ ἰσχύει. πόθεν δὲ τοῦτο, εἰ μὴ καθὼς εἶπεν ὁ ἀπόστολος ἐκ τῆς ἐνοικούσης ἁμαρτίας, ἥτις ἐστὶ ῥίζα τῶν παθῶν καὶ νομὴ 38.1.3 τῶν δαιμόνων. περὶ τούτου εὔχεσθαι χρὴ νυκτὸς καὶ ἡμέρας, ὅπως ἐνοικήσῃ ἐν ἡμῖν καὶ ἐμπεριπατήσῃ «ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου», ὃς κρυπτῶς μὲν ἐν ἡμῖν καὶ μερικῶς ἐστιν, ἐμφανῶς δὲ ὅταν ἔλθῃ ἐν καρδίᾳ καθαρίζων τὸν ἄνθρωπον. «ὁ θεὸς γὰρ ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσηται». 38.2.1 Ἐρώτησις. Τί ἐστιν ὃ εἶπε «χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν»; Ἀπόκρισις. Τοῦτο εἴρηκε διὰ τὴν εὐσεβῆ μνήμην, ὥστε ἀκρίτως ἐπιτηδεύειν πᾶν πρᾶγμα, ἀλλὰ πρῶτον αὐτοῦ δέεσθαι καὶ πάντα δι' αὐτοῦ πειρᾶσθαι ποιεῖν. ἐν ἐκείνοις γὰρ εὐοδούμεθα, ἐν οἷς αὐτὸν ἐπικαλούμεθα, ἐν ἐκείνοις ὀδυνώμεθα, ἐν οἷς αὐτοῦ ἐπιλανθανόμεθα. οὐ χρὴ οὖν ἀβοηθήτως τὶ ποιεῖν ἢ λαλεῖν ἢ πολεμεῖν ἢ ταράσσεσθαι πρὸς τὰ πράγματα, ἐπειδὴ πλεῖον ἑαυτοὺς καταβάλλομεν, πρῶτον μὴ ζητήσαντες τὸν ἔχοντα τὴν ἐξουσίαν. μόνος γὰρ αὐτὸς κατευθύνει τὸν ἄνθρωπον, πάντα προφθάνων ἐν τοῖς θαυμασίοις τοῦ 38.2.2 πνεύματος. ἐπιτελέσαι θέλεις τι ἔργον; αὐτῷ πρόσευξαι. λαλῆσαι θέλεις; αὐτοῦ μνημόνευσον. θέλεις ῥυσθῆναι τῶν κακῶν; τὸν κύριον ἐπικάλεσαι. ἀφανίζει σε ἁμαρτία; «ἀμνός» ἐστιν «ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν». φοβεῖ σε ἄνθρωπος; «πύργος» ἐστὶν «ἰσχῦος ἀπὸ προσώπου ἐχθροῦ». θροοῦσι δαίμονες; ἐπιτιμᾷ καὶ ἀφανίζονται. κρατεῖ ἀφροσύνη; «ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις». κατέχει δειλία; αὐτὸς δίδωσι θάρσος. ἐνεργεῖ λύπη; ἡ μνήμη αὐτοῦ ἐμποιεῖ χαράν. οὐχ εὑρίσκεις ἔξοδον τῶν διαλογισμῶν; «ἐγώ εἰμι, φησίν, ἡ θύρα τῶν προβάτων». πάντα ἐν αὐτῷ ἐστι, καθὼς εἶπεν· ὅτι «πάντα 38.2.3 μοι παρεδόθη ὑπὸ τοῦ πατρός». σὺ οὖν ἐν πᾶσιν αὐτῷ πίστευε καὶ θάρσει ἐπ' αὐτῷ. τοῦτο δὲ μόνον φοβοῦ καὶ παρακάλει, μήποτε αὐτοῦ ἐπιλάθῃ πλανηθεὶς ὑπὸ τῶν πνευμάτων. ὅταν δέ σε ἀφελκύσωσι, σὺ μὴ προσομιλήσῃς, μηδὲ τῷ πράγματι μηδὲ τῷ πνεύματι, χωρὶς εὐχῆς. ἀλλὰ «ἀποκάλυψον πρὸς κύριον τὴν ὁδόν σου καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει». 38.2.4 Ὥστε οὖν οὐδὲν ἕτερον παρ' ἡμῶν ἐπιζητεῖ ἢ τὴν εἰς αὐτὸν ἐλπίδα περὶ παντὸς πράγματος, καὶ μέντοι κατὰ τὸ μέτρον τῆς ἐλπίδος, οὕτω καὶ ἡ ἀντίληψις γίνεται. ὁ δὲ ἐλπίζων οὐκέτι μεριμνᾷ, περὶ ὧν ἤλπισε, πίστει καὶ διακρίσει παραλογιζόμενος· καὶ γὰρ τὸ «μέτρον τῆς πίστεως» ἐντεῦθεν γνωσθήσεται ἐκ τῆς ἰσοτιμίας τοῦ παραλογισθέντος πράγματος. διὰ τοῦτο λέγει· «τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν»· θλίβεται γὰρ ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων καὶ στενοῦται διὰ τῶν πειρασμῶν ψυχὴ ἡ ζητοῦσα τὸν κύριον, ἕως οὗ εὕρῃ, καὶ τότε κραταιωθήσεται ἐν τῷ ἁγίῳ 38.2.5 πνεύματι, καθὼς καὶ λέγει· «ζητήσατε τὸν κύριον καὶ κραταιώθητε». ὅσοι δὲ λέγουσι τὴν βασιλείαν ζητεῖν διὰ τῆς εὐχῆς καὶ τὴν φιληδονίαν οὐ φεύγουσιν, ὑπὸ ταύτης αὐτῆς δελεαζόμενοι ἐπιλανθάνονται τοῦ κυρίου. ἀδύνατον γὰρ τὸν κύριον ἢ τὸν πλησίον ἀγαπῆσαι, εἰ μὴ πρότερον ἡδονὰς καὶ δόξας μισήσωμεν. «οὐ δύνασθε, γάρ φησι, δυσὶ κυρίοις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δουλεύειν», «θεῷ καὶ μαμωνᾷ». «ᾧ γάρ 38.2.6 τις ἥττηται, τούτῳ καὶ δεδούλωται». δεῖ γὰρ «τὰ πνευματικὰ τῆς πονηρίας» παρελθεῖν κατὰ τὸν ἀπόστολον, καὶ οὕτως εἰς τὴν βασιλείαν εἰσελθεῖν. βασιλεία δὲ οὐρανῶν ἐστι τὸ φιλάνθρωπον πνεῦμα Χριστοῦ, ἀπάθειαν καὶ πίστιν ἐνεργοῦν τῇ ψυχῇ καὶ παρέχον, οὐ τὸν ἀρραβῶνα ἐλάβομεν κατὰ τὴν γραφήν. «πνευματικὰ» δὲ «τῆς πονηρίας» εἰσὶν αἱ τοῦ διαβόλου ὑποθέσεις, οἱ τῆς ἀπιστίας καὶ κραιπάλης λογισμοί, καθὼς λέγει· «τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς 38.2.7 καθαιροῦντα», ἕως οὗ γένηται πόλεμος τοῦ ἀντιλέγειν τοῖς λογισμοῖς. ὁ γὰρ ἐχθρὸς κατέχει τὸν νοῦν καὶ δολερῶς ὑποδεικνύει τὰς ἔξω δόξας καὶ ἡδονάς, ἐξ ὧν γεννᾶται τὸ μῖσος, ὅ ἐστι κάλυμμα τῆς ψυχῆς, ὅθεν οὐ δυνάμεθα βλέπειν, οὐδὲ τὴν ἐκείνου κακίαν οὐδὲ τὴν τοῦ κυρίου βοήθειαν, καὶ οὕτως οὐκ οἴδαμεν πῶς οἰκεῖ ὁ Χριστὸς ἐν ἀνθρώπῳ καὶ πῶς δεσμεῖ τὸν ἰσχυρὸν καὶ τὰ σκεύη 38.2.8 αὐτοῦ διαρπάζει, ἅπερ ἐκεῖνος τοῦ ἀνθρώπου ἀφήρπασεν. οὐ λέγομεν δὲ ὅτι ἡ βασιλεία τῶν οὐρανῶν ὧδε τέλος ἔχει, ὡς ἀποκλείοντες τὰ μέλλοντα, ἀλλ' ὅτι ἀπεντεῦθεν ἔστι κοινωνῆσαι τῷ ἁγίῳ πνεύματι καὶ ἐνεργῶς πιστεῦσαι περὶ τῆς αἰωνίου ζωῆς διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως κατὰ τὸ εἰρημένον· «εἰ γὰρ τὸ πνεῦμα Χριστοῦ ἐνοικεῖ ἐν ὑμῖν ὁ ἐγείρας ἐκ νεκρῶν Ἰησοῦν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἡμῖν». ταῦτα δὲ οὐκ ἔστιν ἀτεκμάρτου πίστεως τὸ εἰπεῖν· «ἑαυτοὺς δοκιμάζετε», «εἴ ἐστε ἐν τῇ πίστει», «ἢ οὐκ ἐπιγινώσκετε ἑαυτούς»; «εἰ μήτι ἄρα ἀδόκιμοί ἐστε» διὰ τοῦτο μηδὲν σωματικὸν μεριμνᾶν κελεύει πρὸς τὸ ἀπερισπάστῳ μνήμῃ τὴν ἐλπίδα κρατεῖν. οὕτω γὰρ κατοικήσει τὸ πνεῦμα αὐτοῦ ἐν ἡμῖν. ὑποδεικνύει δὲ δι' αὐτῶν τῶν πραγμάτων, ὅτι αὐτός ἐστιν ἡ παρὰ τοῦ ἁγίου πνεύματος λύτρωσις. 38.2.9 Ὅσοις οὖν πόνος περὶ σωτηρίας, δεηθῶμεν πρῶτον μὴ ἐπιλανθάνεσθαι τῆς αὐτοῦ προνοίας τοῦ ὑποφέρειν πόνον καὶ ὀνειδισμόν, ἔχοντες τὴν βοήθειαν καὶ «κατὰ σκοπὸν» τρέχοντες «ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως», ἕως «καταντήσωμεν» «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ», διὰ τῆς ἐπιχορηγίας τοῦ πνεύματος, οὗ καὶ «τὴν ἀπαρχὴν» ἐλάβομεν οἱ δι' ἀκοῆς πιστεύσαντες ἐπ' ἐλπίδι τῆς τελείας καὶ ἐνεργοῦς πίστεως. οὐ γὰρ περὶ ψιλῆς γνώσεως λαλοῦμεν, ἀλλὰ γνώσεως ἀληθείας ἐν μυστηρίοις θεοῦ. ἡ μὲν γὰρ ἔξωθεν γνῶσις διὰ τῶν συμβάσεων καὶ τῆς περὶ τῶν φανερῶν ἐλπίδος προσγίνεται καὶ ὑποδεικνύει τὴν τοῦ θεοῦ δικαιοσύνην καὶ ἐκ τῶν ἔξωθεν μερικῶς τὴν πεῖραν τῶν κεκρυμμένων λαμβάνει. ὁ δὲ τὰ γήϊνα ὑπερβὰς οὐ μόνον ἔργῳ, ἀλλὰ καὶ ἐννοίᾳ, οὗτος ἀπερισπάστῳ νοῒ παραμένει τῇ πνευματικῇ θύρᾳ καὶ παρακαλεῖ τὸν κύριον τοῦ εἰσελθεῖν, καὶ ὅταν ἀκουσθῇ, οὐκέτι ἐν γνώσει ἢ 38.2.10 σημειώσει τῶν ἔξωθεν, ἀλλ' ἐνεργὴς ἡ πληροφορία γίνεται τῷ τοιούτῳ. καὶ ἡ γνῶσις μὲν τῆς αὐτῆς ἐστι δωρεᾶς, ἀλλ' οὐκ ἀναλογεῖ πρὸς τὴν ὠφέλειαν οὐδὲ γὰρ τὸν κάματον ἴσον ἔχει. ἄλλως γὰρ ἀγωνιᾷ ὁ κατὰ χεῖρα πολεμῶν καὶ ἄλλως ὁ ἀφ' ὑψηλοῦ βλέπων τὸν πόλεμον, ἄλλος ἐστὶν ὁ ἀθλῶν καὶ τυπτόμενος καὶ ἄλλος ὁ βλέπων καὶ τερπόμενος. ὁ μὲν γὰρ κατέρχεται τῇ θεωρίᾳ πεφυσιωμένος, ὁ δὲ παρὰ τοῦ ἀγωνοθέτου πεπλουτισμένος. οὕτω καὶ εἰς τὸ νοερόν· «ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ»· κατὰ ἀναλογίαν δὲ τῆς ἐλπίδος οὕτως ἡ ἡσυχία καὶ κατὰ τὴν νοερὰν ἡσυχίαν ἡ παράκλησις. καθὼς (φησί) «περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω περισσεύει καὶ ἡ παράκλησις ἡμῶν». μέτρα γάρ εἰσι τῆς ἑκάστου πολιτείας καὶ ἐν αὐτοῖς βραβεύει ἡ τοῦ θεοῦ δικαιοσύνη καὶ ὅσον τις ἀποθνῄσκει τῷ πνεύματι τοῦ κόσμου, τοσοῦτον ζῇ τῷ πνεύματι τοῦ κυρίου. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

39.τ.1 ΛΟΓΟΣ ΛΘ΄.

39.1.1 Τρεῖς εἰσιν ἀρεταὶ πολύτροποι προηγούμεναι τῆς καθαρότητος· ἀλήθεια παντοδαπή, ἐγκράτεια καὶ τῶν ἐπερχομένων ὑπομονή. ταύτας δὲ ἄλλως οὐ λαμβάνει τις, εἰ μὴ διὰ νηστείας καὶ προσευχῆς, μὴ τὰς θλίψεις τῆς μακροθυμίας μισῶν, ἀλλὰ ὑπομονὴν αἰτῶνμὴ φέρων γὰρ τὸν πόνον προσφέρεις τὸν λόγον. τότε δὲ γίνεται παράμονον τὸ ἀγαθόν, ὅταν μετὰ πόνου καρδίας συνά39.1.2 γηται· τὰ γὰρ ἀναλγήτως συναγόμενα εὐαφαίρετα τυγχάνει. χωρὶς οὖν θλίψεως ἑκουσίου ἀδύνατον ἀκολουθῆσαι Χριστῷ καὶ ἐνεργῶς νοῆσαι περὶ βασιλείας καὶ γεέννης. διὰ τοῦτο λέγει· «ἐγώ εἰμι ἡ θύρα· καὶ ὁ εἰσερχόμενος δι' ἐμοῦ εἰσελεύσεται καὶ ἐξελεύσεται» καὶ πάλιν· «μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός 39.1.3 εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ». ὁ οὖν πραΰτητι καρδίας ταπεινούμενος εἰσέρχεται εἰς τὴν πύλην αὐτήν, ὅπου πρώτη ἀλήθεια προτιμᾶται καὶ συνείδησις κατηγορεῖ, αἱ πράξεις τῶν ὑποκριτῶν ὁμολογοῦνται καὶ ὁ φόβος τοῦ θεοῦ φανεροῦται. τότε καὶ ἡ ψυχὴ διὰ τοῦ φόβου φωτισθεῖσα εἶδεν ἐνδότερον τὴν λογικὴν αὐτῆς φύσιν ἑστῶσαν εὐτάκτως, ἡσύχιον, ἤρεμον, ἀτάραχον, ἀμετεώριστον, θεοφιλῆ, εὐσεβῆ, εὔελπιν, εἰς πίστιν καθαράν, μονοδέσποτον, φωτό39.1.4 κτιστον, αὐτεξούσιον, ἰδιότρεπτον, ἑτοιμολάτριν. τότε βλέπει καὶ τὸ ἴδιον σκότος, καὶ μαθοῦσα πόσον ἀπέχει τῆς φύσεως χωρεῖ λοιπὸν εἰς ἀληθινὴν μετάνοιαν καὶ τούτου τυχεῖν θέλει· τὸ γὰρ φῶς πρὸς τὸ ἰδεῖν μόνον περιέλαμψεν, ὅθεν ἐμπόνως δέεται τοῦ δεσπότου καὶ ὁμολογεῖ σφόδρα ἡμαρτηκέναι καὶ συντίθεται πόνον καὶ αἰσχύνην ὑπὲρ ἀληθείας καταδέξασθαι, μόνον ἵνα ἃ εἶδε καταλάβῃ πάντα διὰ τῆς χάριτος τοῦ Χριστοῦ, τοῦ καὶ ὧδε τὴν ἀπαρχὴν διδόντος κατὰ τὸν ἀπόστολον καὶ τὰ ἐκεῖ ἀγαθὰ ὡς ἐν ἐσόπτρῳ προδεικνύοντος, ἵνα βεβαίως πιστεύσαντες μὴ ἐκκακῶμεν καθημέραν ὑπὲρ τῆς ζωῆς ἀποθνῄσκειν. 39.1.5 Ὁ δὲ μὴ θέλων ἑαυτὸν κατὰ συνείδησιν ἐλέγχειν, μηδὲ παρ' ἑτέρου ἀκούειν, πῶς παρακληθήσεται; τὰ τῆς δικαιοσύνης φάρμακα εὐχαρίστως μὴ καταδεχόμενος οἰηματικοὺς ἐπίσταται λογισμοὺς ὁ τοιοῦτος, δόξας καὶ ἐπαίνους ἀνθρώπων θηρεύων λοιπόν. ἕκαστος δὲ διὰ τῆς ἑαυτοῦ καρδίας εἰδέναι δύναται ποίας ἐστὶν ἄξιος ἑτοιμασίας. ἰδέτω τοίνυν ἕκαστος ἑαυτόν, ποίῳ πνεύματι 39.1.6 μᾶλλον περιέχεται· δεῖ γὰρ τὰ δύο ἐνεργεῖν πρὸ τῆς ἀπαλλαγῆς. μὴ οὖν χαιρέτω ὁ ἄνθρωπος, ὅτι μεμύηται τοῦ ἀγαθοῦ, ἀλλ' εἰ ὑπερέβαλε τὴν κακίαν, εἰ ἐπάνω γέγονε τοῦ ἀντιπάλου, εἰ ὑπερέχει τῷ μέτρῳ διὰ τῆς θλίψεως, εἰ προφθάνει τῇ νοερᾷ αἰσθήσει διὰ τῆς πραότητος, εἰ καθημέραν προκόπτει, εἰ οὐκέτι τῆς ὑπομονῆς ἐκβάλλεται καὶ οὕτω ζητεῖν ὀφείλει τὸν προειρημένον φόβον τοῦ θεοῦ πρὸς φωτισμὸν τῆς γνώσεως. μήποτε ἡ κακία ἔκρυψε τὰ κακὰ τῆς ψυχῆς βουλομένη μονομερῶς δεῖξαι τὰ καλά, ἵνα μόνον τὴν οἴησιν ἐπενέγκῃ καὶ βεβαιώσασα τὸν νοῦν δι' αὐτῆς πάντα συλήσῃ· ἀναιρετικὴ γὰρ πάντων τῶν 39.1.7 καλῶν ἡ οἴησις τυγχάνει. διὰ τοῦτο ὀφείλει ἕκαστος ἡμῶν τὸ μὲν ἀγαθὸν ποιεῖν, περὶ δὲ τῶν κακῶν καθημέραν ἑαυτὸν κατὰ συνείδησιν ἐλέγχειν ἢ καὶ τοὺς ἐλέγχους ἀγαπᾶν, μὴ καταλέγων ἑαυτοῦ ψευδῶς προφάσει ταπεινοφροσύνης, ἐπεὶ καὶ ἐντεῦθεν λαβὰς εὑρίσκει ὁ ἐχθρός. μάθετε γὰρ αὐτοῦ τὴν κακοτεχνίαν· τὰ ὄντα φαῦλα κρύπτει ὡς μηδὲν ὄντα· καὶ τὰ μὴ ὄντα ἑαυτοῦ καταλέγειν παρασκευάζει, ἵνα ὕστερον εἴπῃ· "1μακάριος εἰ, ὅτι οὐκ εἶ τοιοῦτος."2 καὶ οὕτως εἰς τὴν ταπεινοφροσύνην τὴν ὑψηλοφροσύνην ἐγκρύψας θανατοῖ τὸν μὴ 39.1.8 τηροῦντα τὴν ἀλήθειαν. ἀρξώμεθα τοιγαροῦν τῆς ἀληθείας· ἐρασθῶμεν τῶν ὑπὲρ αὐτῆς θλίψεων ὁδηγουσῶν εἰς τὴν καθαρότητα τῆς ψυχῆς· μὴ καταδεξώμεθα ψευδῆ λογισμόν. λάβωμεν πεῖραν μελλόντων ἀγαθῶν, κτησώμεθα πίστιν βεβαίαν. ἡ γὰρ βεβαία πίστις διὰ τῆς πείρας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐγγίνεται, ἡ δὲ πεῖρα διὰ καθαρισμοῦ καρδίας, ὁ δὲ καθαρισμὸς διὰ μακροθυμίας, ἡ δὲ μακροθυμία διὰ νηστείας καὶ προσευχῆς. 39.2.1 Ἐρώτησις. Τί οὖν· μηδὲ ποσῶς εἰς τὴν καρδίαν εἰσελθόντες, πῶς ἀρξώμεθα; Ἀπόκρισις. Προείπομεν, ὅτι διὰ νηστείας καὶ προσευχῆς ἔξω ἑστῶτες κρούομεν, καθὼς αὐτὸς ἐκέλευσεν εἰπών· «κρούετε καὶ ἀνοιγήσεται ὑμῖν». μακάριοι οὖν οἱ εἰσελθόντες καὶ παραμείναντες εἰς τέλος καὶ καρδίαν καθαρὰν κτησάμενοι· καθαρὰν δὲ καρδίαν λέγομεν οὐχ ὡς ἀπαράδεκτον κακίας· οὐ γὰρ ἀναιρεῖταί ποτε τὸ αὐτεξούσιον, ἀλλὰ χάριτι μὲν καθαριζομένην, ἔχουσαν δὲ τὸ κατὰ φύσιν ἰδιότρεπτον, ὡς καὶ ὁ κύριος εἶπεν· «ἴδε ἐκαθαρίσθης· μηκέτι ἁμάρτανε», δεικνύς, ὅτι καὶ μετὰ τὴν χάριν ἕκαστος ἡμῶν ἔχει τὸ θέλημα. τῶν γὰρ μαθητῶν αὐτοῦ λεγόντων· «πρόσθες ἡμῖν πίστιν», ἔφη αὐτοῖς· «ἐὰν εἴχητε πίστιν ὅσον κόκκον σινάπεως, ἐλέγετε τῷ ὄρει τούτῳ· μετάβηθι καὶ εἴσελθε εἰς τὴν θάλασσαν, καὶ ἐγίνετο». τοῦτο δὲ ἔλεγε σημαίνων τὴν δι' ἐνεργείας πίστιν οὖσαν δυσκατάληπτον· οὔπω γὰρ βεβαία τῷ διὰ καρδίας τὰ πράγματα θεασαμένῳ, ἔνθεν διὰ παρακοῆς ἐκβαλλόμεθα καὶ ἔνθεν δι' ὑπακοῆς εἰσαγόμεθα καὶ ἐφ' ἑκάστῳ, ὅπου ῥέψει τὸ θέλημα. Ἐρώτησις. Εἶπας, ὅτι χρὴ ἑαυτὸν ἐπὶ θεοῦ κατὰ συνείδησιν ἐλέγχειν· καὶ πῶς δύναμαι, ὅτι τὰ πλείονα ἀγνοῶ· ἡ γὰρ ἁμαρτία ἐκάλυψέ με; Ἀπόκρισις. Ὁ ἄνθρωπος ἀγνοεῖ, ἀλλὰ πιστεύειν ὀφείλει, ὅτι ἡ χάρις ἀλάθητός ἐστι· καὶ ὅταν εὕρῃ κεκαλυμμένα τῆς ψυχῆς τραύματα, τότε τοῖς ἔξωθεν θλιβεροῖς ἁρμοδίως παραχωρεῖ σε· καὶ ἐὰν φέρῃς διὰ τῆς ὑπομονῆς, τὰ κεκρυμμένα θεραπεύει καὶ ἐκ τῆς ὁμοιοτρόπου ἐπιφορᾶς δεικνύει σοι τὸ κεκρυμμένον ἁμάρτημα. ὁ δὲ μὴ ὑπομένων τὰ ἐπερχόμενα οὐδὲ βλέπει τὰ κεκρυμμένα πάθη οὐδὲ τῆς θεραπείας τυγχάνει. μὴ τοίνυν ἐπὶ συμφορᾷ ταραχθῇς κατὰ τοῦ πλησίον, ἀλλ' ἴσος γίνου ἐπὶ πάσῃ συμβάσει, καὶ οὐκ ἔσται σοι τραῦμα κεκρυμμένον ἢ ἀνίατον. ὥσπερ γὰρ τῷ πυρέττοντι ἐπιβλαβὲς τὸ χρίεσθαι ἐλαίῳ, οὕτως ἀδικουμένῳ ἁμαρτωλῷ ἐκζητεῖν τὸ δίκαιον· καθὼς γὰρ ἐκεῖνος ἀλειφεὶς ἀκαίρως μᾶλλον ἐβλάβη, ὁμοίως οὗτος ἐκδικηθεὶς ἀδεῶς μᾶλλον κατεκρίθη. τῷ δὲ θεῷ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

## ΛΟΓΟΣ Μ΄.

40.1.1 Γινώσκειν βούλομαι τὴν σύνεσίν σου ὅτι χρὴ τὸν τέλειον ἐν Χριστῷ ἄνδρα ἀφιερωμένον τυγχάνοντα μὴ μόνον αὐτὸν ἐν θεῷ εἶναι, ἀλλὰ καὶ τὸν θεὸν ἐν αὐτῷ οἰκεῖν, καθώς φησιν ὁ κύριος· «ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ». δεῖ γὰρ τὸν τοῦ θεοῦ ἄνθρωπον καὶ παροικῆσαι ἐν τῷ σκηνώματι τῷ θεϊκῷ καὶ κατασκηνῶσαι ἐν τῷ ἁγίῳ ὄρει τῆς ἀχράντου θεότητος, ἵνα μὴ μόνον περιέχων ᾖ, ἀλλὰ καὶ περιεχόμενος ὑπὸ τῆς δόξης τοῦ μὴ συγχωροῦντος καταδυναστεύεσθαι ὑπὸ τῆς τοῦ σκότους ἐνεργείας τῶν παθῶν. ἁγιασμοῦ γὰρ χάριν καὶ τῆς οἰκείας ἀπαθείας ἐνοικεῖ τοῖς ἀξίοις ὁ σωτήρ, ἵνα, καθὼς αὐτὸς ἀπαθὴς τυγχάνει, καὶ τοὺς δεξαμένους αὐτὸν ἀπαθεῖς κατασκευάσῃ, μηκέτι 40.1.2 κλυδωνιζομένους καὶ περιφερομένους ὑπὸ παντὸς ἀνέμου. εἰσὶ γάρ τινες οἱ οὐ μόνον αὐτοὶ πόρρωθεν τῶν τοῦ Χριστοῦ στιγμάτων τυγχάνοντες, ἀλλὰ καὶ τοὺς πλησίον ποτίζοντες ἀνατροπὴν θολεράν, οἵτινες «τὴν ἀλήθειαν τοῦ θεοῦ ἐν ἀδικίᾳ» κατέχουσιν, «ἐν οἷς (φησι) τὸ γνωστὸν τοῦ θεοῦ φανερόν ἐστι». ματαιωθέντες γὰρ «τοῖς λογισμοῖς αὐτῶν» καὶ σκοτισθέντες κατὰ τὴν ἀσύνετον αὐτῶν καρδίαν φάσκουσι φυσικὰ εἶναι καὶ ἐκ θεοῦ γεγενῆσθαι τὰ «πάθη τῆς ἀτιμίας», ἡδονὴν λέγω φθορᾶς καὶ θυμὸν ἄδικον, ὀργήν τε καὶ λύπην μὴ κατὰ 40.1.3 θεὸν γινομένην καὶ ὅσα τοιαῦτα. ἡμεῖς τοίνυν αὐτούς τε καὶ τὰς σφῶν αὐτῶν ἐκτροπὰς ἐάσαντες ἐπιγνῶμεν τὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δοθεῖσαν ἡμῖν τῆς ἐλευθερίας αὐτεξουσιότητα παρὰ τοῦ κτίσαντος ἡμᾶς, ἵνα ἐφ' ἡμῖν ᾖ τὸ καὶ τῶν κρειττόνων ὀρέγεσθαι καὶ τῶν χειρόνων ἀπέχεσθαι. οὐ γὰρ ἂν ὁ δίκαιος κριτὴς ἐκόλαζεν ἡμᾶς, εἴπερ ἦν αὐτῶν τῶν κακῶν αὐτὸς ποιητής. ἄπαγε, παρακαλῶ, ἄπαγε, μηδὲ εἰς ἔννοιαν ἔλθῃ τῆς σῆς εὐλαβοῦς διανοίας τὸ ἄτοπον τοῦτο καὶ εὔηθες ῥῆμα. καθαρῶν γὰρ καὶ λίαν καλῶν φύσεων δημιουργὸς ὁ θεός, καθὼς διαγορεύει τὸ ἅγιον πνεῦμα ἐν τῇ κοσμοποιΐᾳ· «ἰδού, γάρ φησι, πάντα καλὰ λίαν». 40.1.4 Ἰερεμίας δὲ ὀδυρόμενος καὶ ἀμφισβητῶν περὶ τῆς τῶν παθῶν αἰτίας «κύριος, φησί, οὐκ εἶπε· τίς οὕτως εἶπε, καὶ ἐγενήθη; κύριος οὐκ ἐνετείλατο ἐκ στόματος ὑψίστου οὐκ ἐξελεύσεται τὰ κακά, ἀλλὰ τὰ ἀγαθά». καὶ αὖθις ἡ ἐν τῷ εὐαγγελίῳ πρὸς τὸν κύριον ἐπερώτησις τῶν λογικῶν δυνάμεων· «κύριε, φησίν, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ; πόθεν τοῦτο τὸ ζιζάνιον;» ἑτέρωθι δὲ αὐτὸς ὁ σωτὴρ περὶ τῶν αὐτῶν φησι· «πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται». ὅτι γὰρ πᾶσα ἡ ἐκ θεοῦ φυτεία καλή, 40.1.5 μαρτυρεῖ Παῦλος (ἐν ᾧ Χριστὸς λαλεῖ)· «ὅτι πᾶν κτίσμα θεοῦ καλόν». γίνωσκε τοίνυν μὴ ἡμέτερα εἶναι τὰ ἐναποκεκρυμμένα ἐν ἡμῖν πάθη, ἀλλὰ ἀλλότρια· «ἐκ τῶν κρυφίων μου, γάρ φησι, καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φείσαι τοῦ δούλου σου», καί· «ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου», καί· «δίκασον, κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με». τί οὖν τὰ κρύφια ἢ τίνες οἱ ἀδικοῦντες καὶ πολεμοῦντες ἢ τίνες οἱ ἀλλότριοι, εἰ μὴ τὰ τῆς πονηρίας πνεύματα τὰ ἀντικείμενα ταῖς Χριστοῦ ἀρεταῖς; 40.1.6 Πρόσεχε ἀκριβῶς, ὅπως καὶ ὁ νόμος μαρτυρεῖ καὶ βοᾷ περὶ τῆς κατὰ τὸν ἔσω ἄνθρωπον καθαρότητος· «οὐ λήψῃ, φησί, τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσει κύριος τὴν καρδίαν τοῦ λαμβάνοντος τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ». διὸ καὶ ὁ ἀπόστολος παραινεῖ φάσκων· «καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ», οὐ μόνον σαρκός, ἀλλὰ καὶ πνεύματος, καὶ ἑτέρωθί φησι· «ἐρραντισμένοι (φησίν) ἀπὸ συνειδήσεως πονηρᾶς τὴν καρδίαν», καὶ πάλιν· «ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως 40.1.7 διαφυλαχθείη», καί· «ἵνα γένησθε τέκνα θεοῦ ἀμώμητα». ὅσοι τοίνυν βούλονται τῆς υἱοθεσίας καταξιωθῆναι, οὐ τὸ σῶμα μόνον ἁγνὸν φυλάττουσιν, ἀλλὰ καὶ τὴν ψυχὴν κατὰ τὸν λέγοντα· «γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ». οἱ μὲν γὰρ ὑπὸ νόμον τὰ τῆς σαρκὸς δικαιώματα ἐπιτελοῦντες μόνον τὴν ἐκτὸς φυλάττουσι καθαρότητα, οἱ δὲ ὑπὸ χάριν καὶ τῆς ἔνδον ἐν ἁγιασμῷ εἰρήνης ὀρέγονται, πεισθέντες τῷ εἰρηκότι· «ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ 40.1.8 Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». οἱ γὰρ Φαρισαῖοι τυφλωθέντες τὴν διάνοιαν «τὰ ἔξω τοῦ ποτηρίου» πλύνουσιν, ὡς καὶ νῦν οἱ κατ' αὐτοὺς νέοι Φαρισαῖοι τὸν ἔξω ἄνθρωπον ἐν ἐπιτηδευτῷ νοῒ σχηματίζοντες ἑαυτοὺς δικαιοῦσι, μὴ συμμαρτυροῦντος τοῦ ἁγίου πνεύματος τῷ πνεύματι αὐτῶν, ἵνα ὦσι τέκνα θεοῦ κατὰ τὸν λέγοντα ἀπόστολον· «αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα θεοῦ»καὶ μὴ βουλόμενοι γνωρίσαι τὴν ἐν ἁγιασμῷ αὔξησιν τοῦ ἔσω ἀνθρώπου, ἀλλὰ πληροφορούμενοι ἐν τοῖς τῆς σαρκὸς κατορθώμασι, μὴ γνόντες, ὅτι «πᾶσα ἡ δόξα τῆς θυγατρὸς 40.1.9 τοῦ βασιλέως ἔσωθεν». ἔστι γάρ τισώς ἔοικεν ἕκαστος ἡμῶννοητὴ 40.1.9 συκῆ, παρ' ἧς ὁ κύριος τὸν ἔνδον καρπὸν ἐπιζητεῖ καὶ οὐ τὸν ἐκ τῶν φύλλων ἐπικείμενον σχηματισμόν. 40.1.10 Ὁ τοίνυν συνηγορῶν τοῖς πάθεσι τῆς ἀτιμίας ὡς φυσικοῖς καὶ οὐχ ὡς συμβεβηκόσι μετήλλαξε «τὴν τοῦ θεοῦ ἀλήθειαν ἐν τῷ οἰκείῳ ψεύδει». ὡς γὰρ προέφημεν, ὁ ἄχραντος καὶ καθαρὸς καὶ τὴν εἰκόνα αὐτοῦ ὁμοίαν ἑαυτοῦ κατε40.1.11 σκεύασε, «φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν». ἐπειδὴ τοίνυν τὸ τῶν ἀνθρώπων γένος ἐν ἀνομίαις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κισσηθὲν καὶ ἐν ἁμαρτίαις γεννηθὲν ἀπηλλοτριώθη ἀπὸ μήτρας καὶ ἐπλανήθη ἀπὸ γαστρός, βασιλευσάσης τῆς ἁμαρτίας ἀπὸ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας, ἦλθεν ἱλασθεὶς «ὁ ἀμνὸς τοῦ θεοῦ ἆραι τὴν ἁμαρτίαν τοῦ κόσμου», διὰ τῆς οἰκείας αὐτοῦ δυνάμεως δήσας τὸν ἰσχυρόν, καὶ οὕτω διαρπάσας τὰ ᾐχμαλωτισμένα αὐτοῦ σκεύη ἡμᾶς, κατὰ τὸ εἰρημένον· «ᾐχμαλώτευσεν αἰχμα40.1.12 λωσίαν». εἰ οὖν ἔστιν ἡμῖν φροντὶς ἀνακληθῆναι ἀπὸ τῆς αἰχμαλωσίας καὶ φορέσαι «τὴν εἰκόνα τοῦ ἐπουρανίου» καὶ παραστῆσαι τὰ μέλη ἡμῶν δοῦλα τῇ δικαιοσύνῃ καὶ τῷ ἁγιασμῷ, καθὼς παρεστήσαμεν τῇ ἁμαρτίᾳ, πιστεύσωμεν, ὅτι χρὴ ἡμᾶς ἐν τῷ φωτὶ περιπατοῦντας ἀπροσκόπως ὁρᾶν τὰ τοῦ θεοῦ θαυμάσια κατὰ τὸν φήσαντα· «ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμά40.1.13 σια ἐκ τοῦ νόμου σου». ὡς γὰρ κατὰ τὸ αἰσθητὸν ὁ ἐν τῷ φωτὶ περιπατῶν οὐ προσκόπτει, οὕτω καὶ κατὰ τὸ νοητὸν ὁ ἐν τελείῳ ἁγιασμῷ ὑπάρχων οὐκ ἐνθυμεῖται πονηρά, οὐ λογίζεται φαῦλα. οὐ τίς «γὰρ κοινωνία φωτὶ πρὸς σκότος, οὐδὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων». ὡς οὖν ναὸς θεοῦ ἐπίγνωθι σεαυτόν, ἀποδιδράσκων τὴν τῶν ἐν καρδίᾳ νοημάτων εἰδώλων ἀποτύπωσιν. πᾶν γὰρ πάθος ἐνεργοῦν τῇ ψυχῇ εἴδωλόν ἐστιν, ὅθεν καλῶς εἴρηται· «ᾧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται». εἰ δὲ τοῖς τῆς σαρκὸς πάθεσι δεδουλώμεθα, δηλονότι τῷ ἁγίῳ 40.1.14 καὶ ἀπαθεῖ πνεύματι οὐ δεδουλώμεθα. οὐ γὰρ δύναταί τις «δυσὶ κυρίοις δουλεύειν». «οὐ δύνασθε, φησί, θεῷ δουλεύειν καὶ μαμωνᾷ». «ὁ γὰρ ναὸς τοῦ θεοῦ ἅγιός ἐστι», μὴ ἔχων «σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων». διότι «ἅγιον πνεῦμα φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων» καὶ «εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία». 40.2.1 Πιστεύσαντες οὖν ὅτι πᾶς ὁ ἡμῶν νόμος «δακτύλῳ θεοῦ» ἐν καρδίᾳ γράφεται, «οὐ μέλανι, ἀλλὰ πνεύματι» θείῳ, δεξώμεθα τὴν ἀλήθειαν τοῦ νομοθέτου τοῦ εἰπόντος· «ἐγώ εἰμι ἡ ἀλήθεια», τοῦ καὶ τὴν τῆς καρδίας περιτομὴν ποιουμένου καὶ ἐπιγράφοντος ἐπὶ τὰς καρδίας τῶν ἀξίων τὸν τῆς χρηστότητος αὐτοῦ νόμον, ὥς φησιν ἐν τῷ προφήτῃ· «διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, 40.2.2 καὶ ἐπὶ τὰς διανοίας αὐτῶν ἐπιγράψω αὐτούς». αὐτίκα γοῦν ὅσοις φροντίς ἐστιν εἰς «γένος ἔκλεκτον» φθάσαι, εἰς «βασίλειον ἱεράτευμα», εἰς «ἔθνος ἅγιον», εἰς «λαὸν περιούσιον», ῥᾳδίως δέχονται τὴν τοῦ ζωοποιοῦ πνεύματος ἐνέργειαν. διόπερ παρακλήθητι εὔχεσθαι, ὅπως καταξιωθῶμενκἂν γοῦν 40.2.3 βραχέωςσυνιέναι τὴν μονότροπον τῆς ἐν Χριστῷ πολιτείας εὐθύτητα. ἡ γὰρ τοιαύτη ψυχή, ἀποθεμένη τὴν τοῦ προσώπου αἰσχύνην καὶ μηκέτι κατακυριευομένη ὑπὸ τῆς αἰσχρότητος τῶν λογισμῶν καὶ μὴ μοιχευομένη ὑπὸ τοῦ πονηροῦ, μόνῳ δηλαδὴ τῷ ἐπουρανίῳ νυμφίῳ κοινωνεῖ ὡς ἅτε μονότροπος. τετρωμένη γὰρ τῇ εἰς αὐτὸν ἀγάπῃ ἐπιποθεῖ καὶ ἐκλείπει ἵνα τολμήσας εἴπω τὴν πρὸς αὐτὸν ὡς κόρη νοητὴν καὶ μυστικὴν συνουσίαν κατὰ τὴν ἄφθαρτον 40.2.4 συνάφειαν τῆς ἐν ἁγιασμῷ ἑνώσεως. μακαρία ὡς ἀληθῶς ἡ τοιαύτη ψυχή, ἥτις ἡττηθεῖσα τῷ πνευματικῷ ἔρωτι ἀξίως ἐνυμφεύθη τῷ θεῷ λόγῳ. λεγέτω τοίνυν αὐτή· «ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης περιέθηκέ με ὡς νυμφίῳ μίτραν καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ». ταύτης γὰρ τοῦ κάλλους ἐπιθυμήσας ὁ βασιλεὺς τῆς δόξης κατηξίωσε χρηματίζεσθαι οὐ μόνον ναὸν θεοῦ, ἀλλὰ καὶ θυγατέρα βασιλέως καὶ βασιλίδα· ναὸν μὲν θεοῦ ὡς οἰκειωθεῖσαν τῷ ἁγίῳ πνεύματι, θυγατέρα δὲ βασιλέως ὡς τεκνοποιηθεῖσαν «παρὰ τοῦ πατρὸς τῶν φώτων» καὶ βασιλίδα ὡς συναφθεῖσαν τῇ θεότητι τῆς δόξης τοῦ μονογενοῦς. 40.2.5 Καθ' ὃν γὰρ τρόπον ὁ κύριος ἡμῶν, εἷς ὢν κατ' οὐσίαν, πολυώνυμος γέγονε κατὰ τροπολογίαν ἕνεκεν τῆς ἐν οἰκονομίᾳ σωτηρίας τῶν ἀνθρώπωνπῇ μὲν πέτρα ὀνομασθεὶς καὶ θύρα, πῇ δὲ ἀξίνη καὶ ὁδός, καὶ αὖθις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄμπελος καὶ ἄρτοςπέτρα μὲν διὰ τὸ τῆς ῥώμης αὐτοῦ ἄσειστόν τε καὶ ἀπρόσιτον, θύρα δὲ διὰ τὸ αὐτὸν εἶναι εἴσοδον τῆς αἰωνίου ζωῆς, ἀξίνη δὲ διὰ τὸ ἐκκόπτειν αὐτὸν τὰς τῆς κακίας ῥίζας, καὶ ὁδὸς διὰ τὸ ἄγειν αὐτὸν τοὺς ἀξίους ἐπὶ τὴν τῆς ἀληθείας γνῶσιν, καὶ ἄμπελος, ὅτι ἐξ αὐτοῦ ὁ εὐφραίνων καρδίαν ἀνθρώπου οἶνος καρποφορεῖται, ὁμοίως δὲ καὶ ἄρτος οἷα στηρίζων καρδίαν λογικοῦ ζῴου, τὸν αὐτὸν τρόπον καὶ ἡ οἰκειωθεῖσα τῷ τοῦ θεοῦ λόγῳ ἄμωμος ψυχὴ μονότροπος τυγχάνουσα κατὰ τὰς πολλὰς προκοπὰς τῶν πνευματικῶν ἀρετῶν πλεί40.2.6 στων καὶ τῶν δωρεῶν ἀξιωθήσεται. εἴρηται δέ μοι ταῦτα ἕνεκεν τοῦ οὐ μόνον τριχῇ νοεῖσθαι τὸν χρηματισμὸν τῆς νύμφης, ἀλλὰ καὶ πολλαχῶς. γίνωσκε δὲ τοῦτο ὅτι κόπος ἐστὶν ἐνώπιον ἡμῶν, ἕως οὗ εἰσέλθωμεν «εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ, πρὸς τὸν θεὸν τὸν εὐφραίνοντα τὴν νεότητα» ἡμῶν. βούλεται γὰρ ἡμᾶς ὁ σωτὴρ ἐν σαρκὶ ὄντας καὶ τῆς ἀπαθείας αὐτοῦ καταξιωθῆναι καὶ τοῦ ἁγιασμοῦ πληρωθῆναι, ἵνα θαρροῦντες λέγωμεν· «ἐν σαρκὶ περιπατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα, τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαι40.2.7 ροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ». χρὴ τοίνυν ἀπεντεῦθεν ἤδη προσηλῶσαι ἡμᾶς τῷ σταυρῷ τὰ πάθη τῆς ἁμαρτίας, κατὰ τὴν τοῦ προφήτου εὐχήν· «καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου». σὰρξ γὰρ καὶ αἷμα, περὶ ὧν λέγει μὴ δύνασθαι βασιλείαν θεοῦ κληρονομῆσαι ὁ ἀπόστολος, οὐ τοῦτό ἐστι τὸ ὁρώμενον σῶμα, τοῦτο γὰρ ὑπὸ θεοῦ ἐπλάσθη, ἀλλὰ τὸ φρόνημα τῆς σαρκὸς τὸ κινούμενον ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας τῶν ἐνεργούντων «ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας». οὐ γὰρ «πρὸς αἷμα καὶ σάρκα» τοῖς ἐν Χριστῷ τελείοις ἀγωνισταῖς «ἡ πάλη», «ἀλλὰ πρὸς τοὺς 40.2.8 κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας». εἰ οὖν ὁμολογοῦμεν μὴ φυσικὴν εἶναι τὴν ἐνέργειαν ταύτην, ἀλλ' ἐκ τῶν ἀντικειμένων δυνάμεων, δυνησόμεθα κατ' αὐτῶν ἀναλαβόντες τὴν Χριστοῦ πανοπλίαν ἀντιστῆναι ταῖς μεθοδείαις αὐτῶν, δωρουμένου ἡμῖν δύναμιν τοῦ σωτῆρος πρὸς τὸ πατεῖν ἡμᾶς ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἀντικειμένου, ἵνα θαρρῶμεν λέγειν ἐν σαρκὶ ὄντες· «ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω κύριος», καί· «ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα», τουτέστιν ἄνευ πάθους τινὸς σαρκικοῦ τὴν ἐν οὐρανοῖς πολιτείαν ῥᾳδίως βαίνων κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως. 40.2.9 παντὸς γὰρ πάθους ἀλλοτριωθέντες τολμήσωμεν λέγειν· "1οὐ μόνον τὴν πίστιν τετηρήκαμεν, ἀλλὰ καὶ τὸν δρόμον τετελέκαμεν."2 οὐ γὰρ πιστεύειν δεῖ Χριστῷ μόνον, ἀλλὰ καὶ συμπάσχειν αὐτῷ κατὰ τὸ εἰρημένον· «ὑμῖν γὰρ ἐχαρίσθη οὐ μόνον τὸ εἰς Χριστὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν». τὸ γὰρ μόνον πιστεύειν θεῷ τῶν τὰ ἐπίγεια φρονούντων ἐστίν, ἵνα μὴ λέγω ὅτι καὶ τῶν ἀκαθάρτων πνευμάτων τῶν λεγόντων· «οἴδαμεν τίς εἶ, υἱὲ τοῦ θεοῦ». ἑκάτερα γὰρ τὰ μέτρα ἐχθρὰ ὑπάρχει τοῦ θεοῦ, μᾶλλον δὲ τοῦ σταυροῦ, καθώς φησιν ὁ ἀπόστολος· «οἱ ἐχθροὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, 40.2.10 καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες». ὁρᾷς ὅτι οὐ μόνον αἱ ἀποστατικαὶ δυνάμεις ἐχθραὶ τοῦ σταυροῦ τυγχάνουσιν, ἀλλὰ καὶ «οἱ τὰ ἐπίγεια φρονοῦντες», διότι ἐξ αὐτῶν τούτων ἐνεργοῦνται. τὸ πιστεύειν εἰς Χριστὸν κοινὸν πάσῃ κτίσει καὶ προαιρέσει ἀγαθῇ καὶ φαύλῃ, τὸ δὲ συμπάσχειν Χριστῷ καὶ συνδοξάζεσθαι μόνον τῶν ἑαυτοὺς σταυρωσάντων τῷ κόσμῳ τούτῳ καὶ «τὰ Χριστοῦ στίγματα» ἐν τοῖς οἰκείοις σώμασι βαστασάντων. 40.3.1 Παθεῖν τοίνυν ἡμᾶς δεῖ ὡς καὶ τὸν Χριστόν, ἵνα τυθέντες κατὰ τὸν χοϊκὸν ζωοποιηθῶμεν κατὰ τὸν ἐπουράνιον. ἐὰν γὰρ μὴ φθαρῇ τὸ κατὰ τὸν χοϊκὸν φρόνημα ἐν τῷ φανερῷ, οὐκ ἀνακαινίζεται ὁ ἐν τῷ κρυπτῷ κατὰ τὸ πνευματικὸν φρόνημα, περὶ οὗ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁ ἀπόστολός φησιν· «ἀνακαινοῦσθε δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα», καὶ αὖθις· «καθ' ὅσον ὁ ἔξω φθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται». τίς ὁ ἔξω, ἢ τάχα περὶ οὗ ὁ Δαβὶδ λέγει· «τοῦτον ταπεινοῖ»; τίς ὁ ἔσω, περὶ οὗ ὁ αὐτός· «τοῦτον ὑψοῖ». ὁμοίως γὰρ καὶ ὁ ἀπόστολος· «ὅτε ἀσθενῶ κατὰ τὸ φρόνημα τῆς σαρκός»; δυνατός εἰμι κατὰ «τὸ φρόνημα τοῦ πνεύματος»· ἡ γὰρ δύναμις 40.3.2 τοῦ κυρίου ἐν τῇ κατὰ τὸν χοϊκὸν ἄνθρωπον ἀσθενείᾳ τελειοῦται. χρὴ μέντοι, ὡς προεῖπον, ἐντεῦθεν ἤδη ἐν σαρκὶ ἡμᾶς ὄντας ἀπεκδύσασθαι τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, εἰθ' οὕτως καταξιωθῆναι τῆς τελείας ἀνακλήσεως τοῦ πνεύματος. προηγουμένης γὰρ τῆς καθάρσεως ἕπεται καὶ ὁ ἁγιασμός. καὶ ἐν ἑτέρῳ γάρ φησι· «καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου» καὶ τὰ ἑξῆς, καὶ αὖθις· «τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφα40.3.3 νοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς». ἀναλύσαντες γὰρ ἀπὸ τοῦδε τοῦ μοχθηροῦ βίου ἄνευ τῆς καθάρσεως καὶ τοῦ ἁγιασμοῦ ἐσόμεθα κενοὶ καὶ ὡς οὐχ ὑπάρξαντες. διὰ τοῦτο φησίν· «ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι οὐ μὴ ὑπάρξω». πρόδηλον γὰρ ὅτι οὐκ ἔστιν ἐν τῷ ᾅδῃ ἐξομολόγησις. διό φησιν ὁ αὐτὸς προφήτης· «μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;» καὶ ὁ Ἠσαΐας φησίν· «οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν», καὶ ὁ Ἐζεκίας· «οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε, οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου. οἱ ζῶντες εὐλογήσουσί σε, ὃν τρόπον κἀγώ». καὶ ὁ Ἰώβ φησιν· 40.3.4 «ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκέτι οὐ μὴ ἀναβῇ». βεβαίως οὖν νεκροὶ οἱ διὰ τὸ σαρκικοὶ εἶναι ἀνάξιοι εὑρεθέντες τῆς ἐνοικήσεως τοῦ ζωοποιοῦ πνεύματος, καὶ ᾅδης κυριεύων ὁ τῆς ματαιότητος χῶρος, ἐν ᾧ τὸ σκάμμα τῆς ἁμαρτίας. ἐντεῦθεν οὖν ἔστι τὸ τοῦ Χριστοῦ στάδιον, ἐν ᾧ μὴ νομίμως τις ἀθλήσας οὐ στεφανοῦται. 40.3.5 Διὰ τοῦτο τοίνυν ἀγωνισώμεθα, ἵνα τύχωμεν θείου πνεύματος ἔτι ἐν τῷ βίῳ ὄντες, εἰδότες ὅτι «εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ». οὕτω διώξωμεν, ἵνα καταλάβωμεν, οὕτω δράμωμεν «ὡς οὐκ ἀδήλως», ἀλλ' ὡς πεισθέντες τῷ εἰρηκότι, ὅτι «ἡ βασιλεία ἐντὸς ὑμῶν ἐστι». τίς δέ ἐστιν αὕτη 40.3.6 ἡ βασιλεία, εἰ μὴ τὸ ἐν ταῖς ψυχαῖς πλήρωμα τοῦ θείου πνεύματος; τούτου ἀπεντεῦθεν ἤδη χρὴ ἀξιωθῆναι τοὺς τοῦ Χριστοῦ ἀθλητάς, μηδενὸς ἑτέρου ὑπολειπομένου αὐτοῖς ἢ μόνον τῆς ἐν τῇ ἀναστάσει ἀπολυτρώσεως τῶν σωμάτων, ἧς ἕνεκεν ὁ ἀπόστολος ἔφασκε· «συμμορφούμενος τῷ θανάτῳ αὐτοῦ, εἰ πῶς καταντήσωμεν εἰς τὴν ἐξανάστασιν τὴν ἐκ τῶν νεκρῶν». οὐδενὸς γὰρ ἐνέδει ὁ Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα καὶ τὰ ὑστερήματα αὐτοῦ ἐληλυθὼς ἀποπληρῶσαι ἢ μόνον, ὡς προεῖπον, τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ σώματος, περὶ ἧς ἔλεγεν· «οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι». οὐ γὰρ ὡς ἀτελὴς ἔλεγεν, 40.3.7 ὅτι «ὅσοι τέλειοι, τοῦτο φρονοῦμεν». ἡμεῖς γοῦν ἀρνησώμεθα «τὸν ἕτερον νόμον τὸν ἐν τοῖς μέλεσιν ἡμῶν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοὸς ἡμῶν καὶ αἰχμαλωτίζοντα ἡμᾶς τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσιν ἡμῶν» καὶ δεξώμεθα τὸν τοῦ θεοῦ πνευματικὸν νόμον ἐν ἑαυτοῖς, ὅπως μὴ ὑποσκελίζηται ἡμῖν τὰ τῆς ψυχῆς διαβήματα κατὰ τὸν λέγοντα· «ὁ νόμος τοῦ θεοῦ ἐν 40.3.8 καρδίαις αὐτῶν, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτῶν». καὶ ταῦτα ἡμεῖς μὲν γράφομεν, ὑμεῖς δὲ πράττετε. πιστεύω γάρ σε θεοδίδακτον ὄντα ἀπεκδύσασθαι πᾶσαν ἐνέργειαν ῥυπαρίας πονηρῶν λογισμῶν καὶ ἐνθυμήσεων αἰσχρῶν καὶ ἀνειληφέναι τὴν τοῦ κυρίου πανοπλίαν ἐν τῷ ἀγαθῷ φρονήματι τοῦ πνεύματος. εὖξαι τοίνυν καὶ ἡμᾶς φθάσαι εἰς τὸν «τέλειον ἄνδρα», εἰς τὸ «μέτρον τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν Χριστῷ ἡλικίας», ὅπως προσοικειωθέντες τῇ θείᾳ δυνάμει, ἔνθα τὸ ἁγιαστήριον τοῦ θεοῦ, ἀδεῶς παραστῶμεν τῷ βήματι αὐτοῦ ἐν τῇ μεγάλῃ ἡμέρᾳ τῆς ἐνδόξου αὐτοῦ παρουσίας. Ἀμήν.

41.τ.1 ΛΟΓΟΣ ΜΑ΄.

41.1.1 Ἠκούσατε τῆς γραφῆς λεγούσης, ὅτι ἀφῆκαν τὸν κύριον «πηγὴν ὕδατος ζῶντος καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν». τοῦτο δὲ περὶ τῶν λογισμῶν εἴρηκεν, ὅτι ἀφίεμεν τὴν ζήτησιν τῆς μετουσίας τοῦ κυρίου, ἥτις δι' ἡσυχίας καὶ ἐλπίδος εὑρίσκεται, καὶ τὰ φθαρτὰ καὶ ἐπιβλαβῆ ἐννοοῦμεν, τοῦ κυρίου εἰπόντος· «ζητεῖτε τὴν βασιλείαν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». τὸ δὲ «προστεθήσεται» τί ἐστιν; οὐχ ἵνα μερι41.1.2 μνῶμεν, ἀλλ' ἵνα ἐλπίζωμεν, καὶ οὐχ ὡς ἡμεῖς θέλομεν, ἀλλ' ὡς αὐτός. τί γὰρ ὠφέλιμον; τῶν ἐπιθυμιῶν ἐμπλησθῆναι ἢ καθαρισθέντας μὴ ἐπιθυμῆσαι; καὶ πάλιν τί συμφέρον; τοῦ ἐχθροῦ ἀνθρώπου κατακυριεῦσαι ἢ μᾶλλον ἀγαπῆσαι; καὶ τί βέλτιον; διαλογίζεσθαι καὶ μεριμνᾶν καὶ συνεχῶς ἀποτυγχάνειν ἢ πιστεύειν καὶ ἐλπίζειν καὶ εὐοδοῦσθαι; γίνεται γάρ, ὅτι πρᾶγμά τι βιαίως ἢ ἀλόγως ἀφέλκει ἡμᾶς τῆς εὐχῆς καὶ τῆς νοερᾶς ἡσυχίας καὶ ἀφέντες τὴν ἐλπίδα ἐπεξερχόμεθα γυμνῇ τῇ διακρίσει καὶ οὐ νοοῦμεν τὰ μεγάλα ζημιούμενοι. ὁ δὲ πρὸ πάντων τὴν βασιλείαν προκρίνων καὶ πιστεύων τῷ κυρίῳ τὰ παρ' αὐτοῦ οἰκονομούμενα ὑπομονητικῶς καταδέχεται. οἶδε γάρ, ὅτι τῷ ἐλπίζοντι τὰ πεμπόμενα εἰς τὸ συμφέρον εἰσί, μόνον μὴ ἡμεῖς αὐτὰ τῇ ἀπιστίᾳ μεταβάλωμεν. κἂν γὰρ πρὸς παρὸν λυπηρὰ εἶναι δοκῇ, ὕστερον διὰ τῆς ὑπομονῆς σωτηρίους καρποὺς ἀποκυΐσκει. ὅταν δὴ οὖν λέγωμεν "1κύριε ὁ θεὸς ἡμῶν"2, ἵνα πιστεύωμεν τῇ δυνάμει τοῦ ὀνόματος, ὅτι αὐτός ἐστι πάντων κύριος ὡς οὐρανοῦ καὶ γῆς, ὡς ζωῆς καὶ θανάτου, ὡς ψυχῆς καὶ σώματος, ὡς φανερῶν καὶ κρυφίων, ἐν πᾶσι δὲ τούτοις διὰ καρδίας γνωρίζεται. «μακάριοι» γὰρ 41.1.3 «οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται». χαρισάμενος γὰρ ἡμῖν τὸ νοερὸν καὶ αὐτεξούσιον εἶπεν ἐν αὐτῷ ζητεῖν τὴν κεκρυμμένην βασιλείαν τοῦ μὴ τοῖς ἔξωθεν ἐρχομένοις ἔξωθεν προστρέχειν· ἡ γὰρ αἰτία αὐτῶν ἔσωθέν ἐστι. καὶ ἡ ῥίζα παντὸς αἰσθητοῦ τὸ νοερὸν τυγχάνει. καὶ ὅσον γίνεται ἔλλειμμα τῆς εὐσεβείας τοσοῦτον καὶ ἡ ἐπαγωγὴ τῶν κακῶν ἐπέρχεται, ἣν οὐδεὶς δύναται ἀποστρέψαι εἰς τέλος, εἰ μὴ τὸν κύριον παρακαλέσει. αὐτὸς γάρ ἐστιν ὁ τὴν σωτηρίαν ἡμῶν κατεργαζόμενος· οὐ γὰρ εἰς ὀργὴν ἔθετο τὰς ἐπαγωγὰς ἀλλ' εἰς μετάνοιαν καθὼς γέγραπται· «μακάριος ὃν ἤλεγξε κύριος 41.1.4 ἐπὶ τῆς γῆς». Μὴ οὖν τὰ ἔξωθεν ἀπωθώμεθα παρὰ φύσιν αὐτὰ ἡγούμενοι, ἀλλὰ μᾶλλον διὰ τῆς εὐχῆς νικῶμεν. ὅταν γὰρ αὐτὰ τῷ δοκεῖν σωματικῶς ἀποβάλλωμεν χαλεπώτεροι ἡμῖν ἐπιφέρονται κίνδυνοι. ὅσοι οὖν τῆς περὶ τῶν αἰωνίων ἀμελοῦμεν εὐχῆς, καὶ τὸν ἐπὶ γῆς κίνδυνον τὸν ἐκ τῆς ἀμελείας συμβαίνοντα φοβηθῶμεν. οὐδαμοῦ γὰρ ἀκίνδυνος ἄνθρωπος μὴ φυλασσόμενος τῷ κυριακῷ πνεύματι. οὐχὶ παντὸς πόνου ὀδυνωτέρα ἐστὶ στενοχωρία πνεύματος καὶ πόνος καρδίας; καθὼς λέγει· «πᾶς πόνος καὶ μὴ πόνος καρδίας», 41.1.5 καὶ πάλιν φησίν· «ἐν στενοχωρίᾳ πνεύματος κεκράξεται». ἔχοντι τοίνυν καρδίαν καὶ πνεῦμα σαρκὶ συνδεδεμένον, ποῖος σοι τόπος λοιπὸν πρὸς ἀφοβίαν; διὰ τοῦτο αὐτὸν φοβοῦ μετ' εὐχῆς καὶ οὐδὲν φοβηθῇς. ὅταν δὲ νοῦς ἐπιλάθηται τῆς νοερᾶς καὶ εὐσεβοῦς θλίψεως, τότε καὶ τῶν ἐντολῶν ἐπελάθετο, καὶ ὅθεν ἂν δοκῇ τρέχειν, παρεκτρέπεται τῆς λείας καὶ σκολιάζων πορεύεται· διὰ τοῦτο συναντᾷ θηρίοις. εἰ γὰρ μὴ τὸν τῆς εὐχῆς καὶ ἐλπίδος πόνον ἐκκόπτομεν, οὐκ ἂν ἐπλημμελήσαμεν καὶ τοῖς ὑπὲρ δύναμιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πειρασμοῖς περιεπέσαμεν, τοῖς μὲν γὰρ περὶ ψυχῆς θλιβομένοις λέγει· «πιστὸς ὁ θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε»· ἀπαιδεύτοις δὲ συναντήσει κακά. 41.1.6 Σπουδάσωμεν τοίνυν δι' εὐχῆς ποιεῖν, ὅσα ἡμῖν αὐτὸς κελεύει καὶ μὴ ὡς ἡμεῖς φιλονεικοῦμεν. αὐτὸς γὰρ ἀκριβῶς οἶδε τὰ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ παρ' ἡμῶν θέλει τὴν ἐκ πίστεως ἐλπίδα. πάντα οὖν αὐτῷ ἀναθέμενοι μηδὲν μεριμνήσωμεν, εἰ μὴ τὴν μετουσίαν τοῦ ἁγίου πνεύματος. οὕτω γὰρ καὶ τοὺς πονηροὺς φύγωμεν δαίμονας καὶ τὰς συμβαινούσας θλίψεις ὑπομενοῦμεν καὶ ἐν κυρίῳ ὑπὸ τῆς χάριτος αὐτοῦ συνετιζόμενοι εὐχαριστῆσαι τῷ ἁγίῳ πνεύματι 41.1.7 δυνηθῶμεν, τῷ λυτρουμένῳ ἡμᾶς τῆς ἔνδον ἁμαρτίας. τὴν οὖν εὐχὴν περὶ τούτου πανταχῇ προσήκει φυλάσσειν. ἐντεῦθεν γὰρ φανούμεθα ἢ πιστεύοντες τῷ ἀποστολικῷ λόγῳ ἢ ἀπιστοῦντες. μὴ οὖν φοβηθῶμεν τοὺς ἐχθρούς, ἀλλὰ τὸν κύριον. οἱ γὰρ φαῦλοι λογισμοὶ τοὺς μὲν ἀγωνιστὰς θλίβοντες, μᾶλλον ἔτι προσφεύγειν τῷ κυρίῳ ἀναγκάζουσιν ὡς οὐ θέλουσι, τοὺς δὲ ἡδυπαθεῖς περιπλανῶντες εἰς λήθην καθέλκουσι. διὰ τοῦτο καὶ αἱ φανεραὶ θλίψεις ἐπέρχονται, ἵνα κἂν δι' αὐτῶν πάλιν ἐπὶ τὴν εὐσέβειαν ἐπιστρεφώμεθα. οἱ μὲν οὖν νήπιοι θεὸν ζητοῦσι φοβούμενοι τὸν ἐπὶ γῆς κίνδυνον, οἱ δὲ προκόψαντες τῷ πόθῳ κρατοῦνται· ἡ γὰρ «τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον». Ἀμήν.

### 42.τ.1 ΛΟΓΟΣ ΜΒ΄.

42.1.1 Ἡ τοῦ πονηροῦ δεινότης καὶ δύναμις ἄνευ τῆς συνεργίας τῆς προαιρέσεως τοῦ ἀνθρώπου νεκρὰ σχεδὸν καὶ ἄτονος τυγχάνει ἢ καὶ μόνον δόκησιν φόβου καὶ ἀπειλῆς ἔχει. ἐπὰν δὲ ἔχῃ τὴν προαίρεσιν τῷ βουλήματι αὐτοῦ συνεργοῦσαν καὶ ταῖς ὑποβολαῖς αὐτοῦ ἡδομένην, ὥσπερ ζῶν καὶ δυνατὸς ἄνθρωπος πολεμεῖ δι' αὐτοῦ αὐτόν. παραφυλακτέον οὖν καὶ σπουδαστέον παντὶ τρόπῳ ἀσύμφωνον καὶ ἀσυνδύαστον τὴν προαίρεσιν πάντοτε τῷ πονηρῷ εἶναι, ἵνα ἐξασθενῇ καθ' ἑαυτὸν καὶ νεκροῦται, μηδὲν δυνάμενος δι' ἡμῶν ἐργάσασθαι ὧνπερ ἐπιθυμεῖ. 42.1.2 αὕτη γάρ ἐστιν ἡ ἄθλησις τῶν Χριστιανῶν καὶ ὁ ἀγών, μὴ συνεργεῖν ταῖς κακαῖς αὐτοῦ ὑποσποραῖς, ἵνα μὴ ἰσχὺν καὶ νεῦρα δι' ἡμῶν λαμβάνῃ, ἀλλὰ καθ' ἑαυτὸν ἀσθενῶν καὶ μὴ δυνάμενος ποιεῖν δι' ἡμῶν ὃ βούλεται ἀποθάνῃ τελείως ἐξ ἡμῶν, τῆς χάριτος βασιλευούσης ἐν ἡμῖν. τὸ γὰρ ἐκ τῆς παραβάσεως τοῦ Ἀδὰμ ἐπισυμβεβηκὸς τῇ ψυχῇ τῆς ἁμαρτίας πάθος τὸ παρὰ ἀνθρώποις ἀνίατον μόνῳ θεῷ ἰᾶσθαι δυνατόν. διὸ καὶ ἡ τοῦ κυρίου ἐπιδημία γέγονεν· «ἴδε, γάρ φησιν, ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου». ἀδύνατον δὲ ἄλλως θεραπείαν ἐπιδέξασθαι μυρίοις τοῦ πνεύματος φαρμάκοις, ἐὰν μὴ τὸ αὐτεξούσιον καὶ προαιρετικὸν παύσηται τοῦ ἁμαρτάνειν συνδυάζον τῇ κακίᾳ. 42.1.3 Ὥσπερ γὰρ ἀκάνθης ἐν ποδὶ πεπηγμένης ἢ ἑτέρου τινὸς ἐν τῷ σώματι κειμένου ἀδύνατον θεραπευθῆναι τὸν πόνον μυρίοις φαρμάκοις, ἐὰν μὴ πρότερον ἐξέλῃ τις τὸ ἐν τῷ σώματι κείμενον, οὕτως εἰς πᾶν, ὃ ἔχει ἡ ψυχὴ ἐκ προαιρέσεως πάθος ἤτοι μῖσος πρὸς τὸν πλησίον ἢ φθόνον τινὰ ἢ ζῆλον ἢ χαύνωσιν ἢ ἑτέραν τινὰ προσπάθειαν ἢ δεσμόν τινα εὐλογοφανῆ, ἐὰν μὴ ἀποστραφῇ τελείως ἡ προαίρεσις ἀπὸ τῶν προλήψεων καὶ συνηθειῶν οὐ καλῶν καὶ παύσηται καὶ ἡσυχάσῃ ἀπ' αὐτῶν, ἀδύνατον τελείαν ἴασιν τῆς ψυχῆς γενέσθαι διὰ τῆς τοῦ πνεύματος δυνάμεως καὶ ἀποκατασταθῆναι εἰς τὴν προτέραν τῆς ἀρχαίας 42.1.4 καθαρότητος εὐγένειαν. τὸ γὰρ διὰ τῆς παραβάσεως τοῦ Ἀδὰμ εἰς πάντας διαδοθὲν κακόν, προτρεπτικὴν ἔχον δύναμιν οὐκ ἀναγκαστικήν, ὑπόθου μοι εἶναι οὐγκίαν μίαν ἑκάστῳ ἐξ ἴσου. ταύτην διαφόρως αἱ προαιρέσεις ἀπεργασάμεναι ἐν κακίας προθέσει αἱ μὲν δέκα οὐγκίας πρακτικῶς ἁμαρτιῶν εἰργάσαντο, αἱ δὲ ἑκατόν, αἱ δὲ χιλίας, καὶ οὕτω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

διαφορὰν ἐργασίας ἐκ συνηθείας κακῶν ἀνθρώπων τὰ κακὰ ποιεῖν ἔμαθεν, ὃ οὖν ὕστερον οἱῳδήποτε τρόπῳ ἐπολυπλασίασεν ἡ προαίρεσις, ἵν' οὕτως εἴπω, τῆς κακίας τὸ τάλαντον. τοῦτο χρὴ πάλιν ἀναλυθῆναι τῇ προαιρέσει διὰ τοῦ γενναίως ἀποστραφῆναι καὶ μισῆσαι πάσας τὰς προτέρας συνηθείας τὰς κακὰς καὶ προλήψεις οὐκ ὀρθάς, ὥσπερ 42.1.5 προαιρέσει προσεπηύξησε τὰ κακά. εἰς τοσοῦτον οὖν χρὴ νεκρῶσαι καὶ ἐλαττῶσαι τὰ πάθη, ἕως οὗ καταντήσῃ πάλιν εἰς τὴν οὐγκίαν τοῦ μέτρου τῆς κακίας κατὰ τὸ ῥηθὲν ὑπόδειγμα, παντελῶς τῆς προαιρέσεως ἀποστάσης τοῦ προθέσει ἁμαρτάνειν, καὶ τότε ὑπὸ τοῦ δικαίου κριτοῦ τελείως ἡ ἐκδίκησις κατὰ τῶν παθῶν γενήσεται τῆς καρδίας τελείως ὑπὸ τοῦ πνεύματος καθαριζομένης καὶ ἁγιαζομένης καὶ οὕτω τῆς βασιλείας καταξιουμένης. Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

43.τ.1 ΛΟΓΟΣ ΜΓ΄.

43.1.1 Πρὸς τοὺς λέγοντας· εἰ πιστὸν ἦν ὑμῖν τὸ βάπτισμα καὶ ἀληθές, οὐκ ἂν ἄλλο τι προσεδοκᾶτε ἐξ οὐρανοῦ λαμβάνειν· νῦν ἰδοὺ φανερόν ἐστιν, ὅτι λύεται αὐτὸ διὰ τὸ ἄλλο τι ἐκδέχεσθαι. 43.1.2 Ἀπόκρισις πρὸς ταῦτα: Τὴν ἀρχὴν τῆς ὑποστάσεως τοῦ πνεύματος καὶ τῆς σωτηρίας ἡμῶν ἐκεῖθεν λαμβάνομεν. φησὶ γὰρ ὁ ἀπόστολος· «ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως αὐτοῦ μέχρι τέλους βεβαίαν κατάσχωμεν» καὶ αὐτὸ ἐκεῖνο, ὅπερ ἐν τῷ βαπτίσματι ἐδεξάμεθα ἕκαστος, «κατὰ ἀναλογίαν τῆς πίστεως» ἐν τῇ ἀρετῇ προκοπτόντων καὶ ταῖς εὐχαῖς προσκαρτερούντων αὔξει ἐν τοῖς σπουδάζουσι καὶ πιστεύουσι καὶ ἕως αἰσθήσεως καὶ ἀποκαλύψεως προκοπτόντων καὶ ὀρθῶς διοδευόντων τὴν τελείωσιν τῆς καθαρότητος καὶ τῆς λυτρώσεως τῆς ἀπὸ τῶν παθῶν ἐξεργάζεται, τελείως τοῦ καλύμματος τοῦ σκότους περιαιρουμένου καὶ τὸ τῆς υἱοθεσίας πνεῦμα τὸ παράκλητον λαβεῖν καταξιούμεθα. ἀπὸ δὲ πολλῆς λεπτότητος τὴν ἀρχὴν λαμβάνει ὁ ἄνθρωπος ὁ πιστεύων τὴν μετουσίαν τοῦ πνεύματος κομίσασθαι ὡς ἀγνοεῖν τὴν ἐνέργειαν καὶ νεύματι χάριτος οἰκονομούμενος κατὰ βραχὺ εἰς αὔξησιν καὶ φανέρωσιν ἔρχεται. 43.1.3 Ὥσπερ γὰρ τὸ γεννώμενον παιδίον τὰ αὐτὰ μέλη καὶ σῶμα ἔχον καὶ βραχὺ 43.1.3 ὂν αὔξει ἕως τέλειος ἀνὴρ ἀποκατασταθῇ, καὶ ὥσπερ ὁ τοῦ σινάπεως κόκκος καθὼς ὁ κύριος εἶπε σπειρόμενος κατὰ βραχὺ εἰς αὔξησιν δένδρου ἀποκαθίσταται, ᾧ καὶ τὴν βασιλείαν τῶν οὐρανῶν παρείκασεν, οὕτως ἐν τῷ πιστεύοντι λέγομεν αὔξεσθαι τὴν τοῦ πνεύματος δωρεὰν καὶ τὸν ἀρραβῶνα τῆς κληρονομίας ἕως ὅλης τῆς κληρονομίας (τουτέστι τοῦ παρακλήτου πνεύματος τῆς υἱοθεσίας) διὰ πάσης ἀρετῆς καὶ σπουδῆς προκόπτων καὶ εὐθέως τρέχων τελείως καταξιωθῇ. ὡς καὶ ὁ ἀπόστολος ἐκ τῆς τῶν χαρισμάτων κατὰ μέρος τελειότητος ἀνάγων πρὸς τὴν τῆς ἀγάπης τελείωσιν ὥσπερ νηπίων αὐτῶν ὄντων. 43.1.4 «Ἔτι, φησί, καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ ἐὰν ἔχω πίστιν ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι». ὅρα τὸ «οὐδέν εἰμι» καὶ τὸ «οὐδὲν ὠφελοῦμαι» καὶ τὴν πρὸς τὸ τέλειον τῆς ἀγάπης σύγκρισιν ὥσπερ νηπίου τελείῳ ἀνδρὶ συγκρινομένου. ἐπείτοιγε πῶς ὁ αὐτὸς λέγει· 43.1.5 «θέλω δὲ ὑμᾶς πάντας λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε». οὕτως ἡ ἄφραστος σοφία τοῦ θεοῦ ᾠκονόμησε κατὰ βραχὺ τοῦ πνεύματος τοῦ ἁγίου ἐν ἀνθρώπῳ πιστεύοντι τὴν φανέρωσιν καὶ μετουσίαν γίνεσθαι πρὸς τὴν τοῦ αὐτεξουσίου θελήματος δοκιμασίαν καὶ τὸν ἀγῶνα, ἵνα φανεροὶ ὦσιν οἱ ὄντως ἕως τέλους θεὸν μόνον ὑπὲρ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάντα ἠγαπηκότες μικροὺς ἑαυτοὺς ἀνατιθέντες αὐτῷ καὶ ἐν παντὶ ἀγῶνι ὑπομείναντες ἕνεκεν τῆς βασιλείας, οἱ ὀκνηροὶ δὲ καὶ ῥᾴθυμοι καὶ δειλοὶ ἀποστραφέντες τῆς ὁδοῦ καὶ μὴ εἰς τέλος ὑπομείναντες τῆς βασιλείας ἀλλοτριούμενοι ἐλεγχθήσονται. 43.1.6 Ἀπὸ τοσαύτης τοίνυν λεπτότητος ἄρχεται ἡ θεία χάρις ἐν ἀνθρώπῳ γίνεσθαι, ὡς μὴ δὲ νοεῖν μηδὲ καταλαμβάνειν, καὶ ὥσπερ τοῖς βασιλευομένοις ὑπὸ τοῦ πνεύματος διὰ τὸ ὑπερπλεονάζον τοῦ πλούτου τῆς χάριτος καὶ τῆς ἀναστροφῆς τοῦ πνεύματος τὰς ποικιλότητας τῶν ἐνεργειῶν καὶ ἀρρήτων μυστηρίων ἀδύνατον καταλαμβάνειν ἢ διηγεῖσθαι διὰ «τὸ ὑπερβάλλον μέγεθος» καὶ «πλοῦτον» οὐράνιον «τῆς χάριτος», οὕτω καὶ τὴν λεπτότητα τῆς χάριτος καὶ τῆς τοῦ πνεύματος οἰκονομίας, ἐν οἷς γίνεται, ἀδύνατόν τινα καταλαβεῖν καὶ γνῶναι οὔτε τὴν λεπτότητα καὶ σμικρότητα οὔτε τὸ μέγεθος καὶ τὸν ἄρρητον τῆς δυνάμεως καὶ ἐπουράνιον πλοῦτον. ὥστε ἀληθὲς ἡμῖν καὶ βέβαιον τὸ βάπτισμα καὶ τὴν ζωὴν τοῦ πνεύματος ἐκεῖθεν λαμβάνομεν, καὶ ἐμμενόντων καὶ προκοπτόντων ἐν πάσαις ἀρεταῖς, ἐν πάσῃ σπουδῇ καὶ ἀγῶνι αὔξει καὶ φανεροῦται ἐν ἡμῖν τελειοῦν ἡμᾶς ἐν τῇ ἰδίᾳ χάριτι. Ἀμήν.

44.τ.1 ΛΟΓΟΣ ΜΔ΄.

44.1.1 «Ἐπηρώτησέ τις» τὸν κύριον «λέγων· διδάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;» ὁ δὲ κύριος ἀπεκρίθη αὐτῷ. «τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός.» ἆρα οὐκ ἦν ἀγαθὸς ὁ κύριος, οὐκ ἦν χρηστός; ἀλλὰ πρὸς ἐκεῖνον τὸν ἐπερωτήσαντα ἀπεκρίθη· ἐνόμιζε γὰρ αὐτὸν ἐκεῖνος ἄνθρωπον διδάσκαλον εἶναι ὅμοιον πάντων. ὁ δὲ κύριος ἑαυτὸν μετὰ τοῦ γένους Ἀδὰμ ἔθηκεν εἰπών· «οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός», τουτέστιν ὡς σὺ νομίζεις, οὐκ εἰμὶ ἀγαθός, ἀλλ' ὡς οὐκ οἶδας, οὕτως εἰμὶ ἀγαθός. ἀπὸ γὰρ τοῦ γένους Ἀδὰμ οὐδεὶς ἀγαθόςπάντες γὰρ ὑπὸ ἁμαρτίαν γεγόνασινεῖς δὲ ὁ θεὸς ἀναμάρτητος. οὗτος ἐλυτρώσατο τὸ γένος τοῦ Ἀδὰμ ἀπὸ τῆς κατε44.1.2 χούσης αὐτὸ «ἐξουσίας τοῦ σκότους» τοῦ διαβόλου. ἔχει δὲ πάλιν καὶ ἑτέρως νοήματα. «οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός», τουτέστι μόνος ὁ Ἰησοῦς ἀγαθός· χωρὶς γὰρ ἁμαρτίας ἐγεννήθη, ὥσπερ καὶ μόνος ἄνευ κοινωνίας ἀνδρὸς ἐγεννήθη. οὗτος μόνος ἐλεύθερος καὶ ἄπτωτος ἦλθεν εἰς τὸν κόσμον, ἵνα λυτρώσηται τῆς ἁμαρτίας. 44.2.1 Οὗτος γὰρ ἦν «ὁ λόγος» ὁ «ἐν ἀρχῇ», «καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος». «πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν», τουτέστι πᾶν «ὃ γέγονεν ἐν αὐτῷ» ζῇ καὶ κινεῖται, ὅτι πάντων θεός ἐστι καὶ πάντα ζῇ ἐκ τοῦ θεοῦ, καὶ ἕκαστον ἰδίαν ζωὴν κατὰ τὸ μέτρον αὐτοῦ καὶ τὴν ποσότητα ἔχει ἐκ τοῦ θεοῦ· οἷον τὰ πετεινὰ ἰδίαν ζωὴν κέκτηνται, τὰ θηρία, τὰ ἑρπετά, οἱ ἰχθύες, ἕκαστον τῶν ὄντων ζῇ, ἐκ τοῦ θεοῦ ἔχον ζωήν. ἀλλὰ καὶ τὰ κτίσματα, ὁ οὐρανὸς καὶ ἡ γῆ, φυτά, σπέρματα, ἀλλὰ καὶ τὰ ἀόρατα, λέγω δὴ οἱ ἄγγελοι, ἀρχαί, ἐξουσίαι ζῶσιν 44.2.2 ἐκ τοῦ θεοῦ. ὁ θεὸς γάρ ἐστιν ἡ ζωὴ τῶν πάντων. ὁ θεὸς «φῶς» ἐστι «τῶν ἀνθρώπων» καὶ ἐν φωτὶ ἀθανάτῳ ζῶσιν οἱ ἄνθρωποι γεννηθέντες ἄνωθεν ἐκ τοῦ θεοῦ καὶ τέκνα ὄντες θεοῦ. τοῦτο γὰρ τὸ φῶς ἀπὸ τοῦ νῦν ἐλλάμπει καὶ φωτίζει τὰς ψυχὰς τῶν τέκνων τοῦ φωτὸς τῶν ἐκ πνεύματος γεννηθέντων. τοῦτο τὸ φῶς ἐστιν αὐτοῖς ἀνάπαυσις, ζωή, βρῶσις, πόσις, τὰ ἐνδύματα, ὅπλα, τὸ νῖκος, ὁ στέφανος, ἡ χαρά. τοῦτο «τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε», τουτέστιν ἡ ἁμαρτία οὐκ ἔγνωκεν αὐτὸ οὔτε ἑώρακεν αὐτό, ἢ οἱ ὑπὸ κάλυμμα ὄντες ἄνθρωποι οὐ δύνανται γνῶναι ἢ ἰδεῖν «τὸ φῶς τὸ ἀληθινόν», ὅπερ ἐστὶν ὁ θεός. 44.2.3 Ὥσπερ γὰρ ὁ ἥλιος φαίνει καὶ ἐπὶ τοὺς τυφλοὺς καὶ ἐπὶ τοὺς βλέποντας, ἀλλ' οἱ τυφλοὶ παρὰ τὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τετυφλῶσθαι οὐχ ὁρῶσι τὸν εἰς αὐτοὺς φαίνοντα, οἱ δὲ βλέποντες καθαρῶς ὁρῶσι τὸ φῶς διὰ τὸ τοὺς ὀφθαλμοὺς αὐτῶν ἠνεῳγμένους εἶναι, οὕτω καὶ τὸ φῶς τοῦ θεοῦ πανταχοῦ φαίνει διὰ τὸ εἶναι αὐτὸ ἀπερίγραπτον, ἀλλὰ οἱ ὄντες ὑπὸ τὴν σκοτεινὴν νεφέλην τῆς ἁμαρτίας οὐ γινώσκουσιν αὐτὸ οὔτε ὁρῶσι διὰ τὸ τοὺς ὀφθαλμοὺς τῆς καρδίας τετυφλῶσθαι. οἷς δὲ ἐπέλαμψεν ἡ χάρις καὶ ἐγεννήθησαν ἄνωθεν ἐκ πνεύματος ἁγίου, οὗτοι γινώσκουσι καὶ ὁρῶσι «τὸ ἀληθινὸν φῶς» ἐν πάσῃ πληροφορίᾳ, ἐπειδὴ τὸ σκότος τῆς ἁμαρτίας ἐχωρίσθη ἀπ' αὐτῶν καὶ τὸ κάλυμμα περιῃρέθη ἀπὸ τῶν ὀφθαλμῶν τῆς ψυχῆς καὶ ὑπὸ τοῦ ἀληθινοῦ φωτὸς πεφωτισμένοι εἰσὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας. ἐν τούτῳ τῷ φωτὶ ζῶσι τὰ γεννώμενα τέκνα τοῦ θεοῦ. 44.2.4 Οὐαί, εἴ τινι οὐκ ἔλαμψε τοῦτο «τὸ φῶς τὸ ἀληθινὸν» εἰς τὴν καρδίαν. οὐαί, εἴ τινος οὐκ ἤρθη τὸ κάλυμμα. ὁ τοιοῦτος ἐν τῷ σκότει ἐστὶ τῆς ἁμαρτίας. τὸν δὲ ἐν τῷ σκότει ὄντα ἀνάγκη ὅτι τὸ σκότος διαδέχεται. 44.2.5 Ὁ δὲ γεννώμενος ἐν τῷ φωτὶ τῷ ἀληθινῷ καὶ ἀνεκλαλήτῳ «μεταβέβηκεν ἀπὸ θανάτου» αἰωνίου «εἰς ζωὴν» αἰώνιον. πάλιν δὲ ὁμοίως τὸ φῶς τὸ ὂν ἐν τῷ καταξιωθέντι ἀπὸ τοῦ νῦν διαδέχεται ἀνακαινούμενον ἡμέραν ἐξ ἡμέρας καὶ σὺν αὐτῷ ἀναλύει πρὸς τὸν ἐπουράνιον πατέρα. ὅπου γὰρ τὸ φῶς τοῦτο ἐλλάμψει καὶ ἐνεργήσει, τὸ σκότος τῆς ἁμαρτίας φεύγει ἀπὸ τῆς καρδίας καὶ γὰρ ἀπὸ φωτὸς ἡλίου τὸ σκότος φεύγει. καὶ ὁ ὁρῶν τοῦτο «τὸ φῶς τὸ ἀληθινὸν» καὶ ἔχων αὐτὸ ἐν ἑαυτῷ, ἀνάγκη ὅτι ὁρᾷ τὸ σκότος ἀφαντούμενον, κεκτημένος τοὺς καρποὺς τοῦ πνεύματος· τοῦτο γὰρ τὸ φῶς «ἀγάπη» ἐστὶν ἀνεκλάλητος, «μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις» καὶ τὰ λοιπὰ τῆς ἀρετῆς ἐνεργήματα. ταῦτα πάντα «τὸ φῶς» τοῦτό ἐστι «τὸ ἀληθινόν», ὅπερ ἐστὶν ὁ θεός, ὥς φησιν 44.2.6 Ἰωάννης ὁ ἀπόστολος· «ἡ δὲ ἀγάπη ἐστὶν ὁ θεός». ὥσπερ γὰρ τὸ πῦρ φύσιν ἔχει τοῦ εἶναι θερμὸν καὶ τὸ ὕδωρ τοῦ εἶναι ὑγρόν, οὕτω καὶ «τὸ φῶς τὸ ἀληθινόν», ὅπερ ἐστὶν ὁ θεός, φύσιν ἔχει τοῦ εἶναι ἀγάπην, χαράν, εἰρήνην, ἀγαθωσύνην ἄπειρον καὶ ἀμέτρητον, καθὼς γέγραπται· «κατὰ τὴν μεγαλωσύνην αὐτοῦ καὶ τὸ ἔλεος αὐτοῦ». εἰς ἣν δ' ἂν ψυχὴν ἐλλάμψῃ τοῦτο τὸ φῶς τὸ ἄρρητον, ἀδιάλειπτον ἐκεῖ ἐστι. 44.2.7 Παρακαλέσωμεν οὖν τὸν θεὸν νυκτὸς καὶ ἡμέρας, ἵνα ἀποκαλύψῃ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς ἡμῶν καὶ χωρίσῃ τὸ σκότος τῆς ἁμαρτίας ἐκ τῶν καρδιῶν ἡμῶν καὶ ἐλλάμψῃ ἡμῖν «τὸ φῶς αὐτοῦ τὸ ἀληθινὸν» καὶ κοινωνήσῃ τῇ ψυχῇ ἡμῶν κοινωνίαν ἄρρητον ὥσπερ ἰδίᾳ νύμφῃ, ἵνα συμμέτοχοι γενώμεθα τῆς ἀγαθότητος αὐτοῦ συγκερασθέντες αὐτῷ, καὶ ἄρῃ ἀφ' ἡμῶν πάντα μῶμον καὶ ῥυτίδα τῆς ψυχῆς, ἵν' οὕτως ἀπὸ τοῦ νῦν φωτισθέντων καὶ ἐχόντων τοῦτο «τὸ φῶς τὸ ἀληθινὸν» ἐν ταῖς καρδίαις ἡμῶν αὐτὸ τὸ φῶς δέξηται ἡμᾶς εἰς αἰώνιον ζωήν. ἀλλὰ καὶ ἐν τῇ ἀναστάσει ἀνίσταται τὰ σώματα ἡμῶν ὑπ' αὐτοῦ τοῦ φωτὸς δεδοξασμένα καὶ πεφωτισμένα τοῦ ἀπὸ τοῦ νῦν ἐν ἡμῖν ὄντος, καὶ οὕτω φῶς ὅλοι ψυχῇ καὶ σώματι γενόμενοι καὶ συγκερασθέντες τῷ τοῦ θεοῦ φωτὶ συμβασιλεύσωμεν αὐτῷ εἰς ἀπεράντους αἰῶνας. 44.3.1 Ὥσπερ δὲ ὁ ἥλιος διὰ θυρίδος φαίνων ἐν οἴκῳ εἰς ἓν μέρος τοῦ οἴκου ἐστίν, ἐν δὲ τῷ καθαρῷ ἀέρι καὶ ἐν τῇ γῇ ἔξωθεν τοῦ οἴκου ὅλον ἐξ ὅλου φῶς λάμπει ἀσκίαστον, οὕτω καὶ «τὸ φῶς ἀληθινόν», ἐπὰν λάμψῃ τῇ ψυχῇ, ὥσπερ ἐν μέρει ἐστὶ καὶ οὔπω ὅλη πεφώτισται, ἀλλ' ἔτι σκότος περίκειται. ἀρχὴν μὲν φωτισμοῦ ἔχει καὶ ἐπιγνώσεως θείας, οὔπω δὲ τελείως πεφώτισται. ἐπὰν δὲ σκότος ἐν αὐτῇ μηκέτι ᾖ, ἀλλὰ ἀδιαλείπτως ὅλη ἐξ ὅλου φωτισθῇ ὑπὸ τοῦ ἀληθινοῦ φωτὸς ὥσπερ γῆ ἐν αἰθερίῳ ἀέρι ὑπὸ τοῦ ἡλίου, τότε ὅλου τοῦ σκότους ὑποχωρήσαντος ἐν τῷ φωτὶ ἀϊδίως οὖσα τελειοῦται ἐν τῷ φωτὶ φῶς καὶ αὐτὴ ἡ ψυχὴ γενομένη. 44.3.2 Καὶ ὥσπερ ἥλιος τὰς μαρμαρυγὰς τῶν ἀκτίνων ἐξ ἑαυτοῦ ἔχει, αἵτινες εἰ καὶ μεμερισμέναι εἰσὶν ἀπ' ἀλλήλων, ἀλλ' ἐκ τοῦ ἑνὸς σώματος τοῦ ἡλίου εἰσὶ πᾶσαι, καὶ εἰ καὶ ἑτέρα τῆς ἑτέρας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κρείττων, ἀλλ' ἐκ μιᾶς δὴ φύσεως εἰσὶ πᾶσαι καὶ ἐκ τοῦ αὐτοῦ κύκλου τοῦ ἡλίου, οὕτω καὶ οἱ ἅγιοι οἱ γεννηθέντες ἐκ τοῦ θείου πνεύματος καὶ τέκνα ὄντες θεοῦ καὶ ἔχοντες τὸ φῶς τῆς θεότητος ἐν 44.3.3 ἑαυτοῖς ἐκ τοῦ αὐτοῦ πνεύματός εἰσιν. ὥσπερ δὲ αἱ ἀκτῖνες τοῦ ἡλίου κεχωρισμέναι εἰσὶν ἀπ' ἀλλήλων, οὕτω καὶ οἱ ἅγιοι κεχωρισμένοι εἰσὶ καὶ τὰ σώματα καὶ τὰς ψυχάς. Πέτρος γὰρ Πέτρος ἐστί, καὶ Παῦλος Παῦλος καὶ πάντες οἱ ἅγιοι ὁμοίως. ἕκαστος ἴδιον σῶμα ἔχει καὶ τὴν ψυχὴν ἔχει ἰδίαν, ἐν πᾶσι δὲ ὁ αὐτὸς θεὸς οἰκεῖ, καὶ αὐτοὶ πάντες ἐν τῷ θεῷ ἐνοικοῦσιν, ἕκαστος ἰδίαν ἀρετὴν καὶ κάλλος ἔχων τὸ τῆς ψυχῆς καὶ τοῦ σώματος διὰ τὴν τοῦ θεοῦ πολυποίκιλον σοφίαν καὶ τὴν τοῦ πνεύματος πολύτροπον χάριν καθὼς βούλεται εἰς αὐτοὺς ἐνεργεῖ. ἐκ τοῦ αὐτοῦ σώματος τῆς θεότητος, ἐκ τῆς αὐτῆς ὑποστάσεως, ἐκ τῆς αὐτῆς οὐσίας πάντες οἱ ἅγιοι μετέχουσι καὶ εἰσὶν ὥσπερ 44.3.4 ἀκτῖνες ἡλίου συνδεδεμένοι τῇ τοῦ θεοῦ δικαιοσύνῃ. ὅταν γὰρ ὁ αὐτὸς ἥλιος πρὸς δυσμὰς γένηται, πάσας τὰς ἀκτῖνας συστέλλει πρὸς ἑαυτὸν καὶ οὐδὲ μίαν ἀκτῖνα τῷ σκότει ἐπαφίησιν, οὕτω καὶ ὁ Χριστὸς ἐν τῇ συντελείᾳ τοῦ κόσμου ἐρχομένης τῆς κρίσεως καὶ τῆς γεέννης φανερουμένης πάσας τὰς ἀκτῖνας (τουτέστι τοὺς ἁγίους) ἐν οἷς ἐνήργησε καὶ οἷς μετέδωκε τοῦ πνεύματος αὐτοῦ, συνάγει πρὸς ἑαυτὸν εἰς τὰ ἴδια μέρη ἱστῶν αὐτούς, οὐδένα ἐάσας ἐν τῇ νυκτὶ καὶ τῷ σκότει, ἀλλὰ τοὺς πάντας εἰσδεχόμενος εἰς ἑαυτὸν ἐν τῇ αἰωνίᾳ αὐτοῦ βασιλείᾳ. Ἀμήν.

## 45.τ.1 ΛΟΓΟΣ ΜΕ΄.

45.1.1 Ὥσπερ ἵνα ᾖ τις ὑπὸ σφοδροτάτου πυρετοῦ κατεχόμενος καὶ ἔνδοθεν φλεγόμενοςκαὶ τούτῳ ἐὰν προσενέγκῃ ἰατρὸς τροφήν, ἀηδίζεται καὶ σικχαίνει, καὶ λοιπὸν ὁ ἰατρὸς παρακαλεῖ λέγων· "1ἀνάγκασον σεαυτόν."2 καὶ ὅταν μεταλάβῃ τροφῆς, κατὰ μικρὸν ἄρχεται ἡ γλυκασία τῆς τροφῆς καταπαύειν καὶ σβεννύειν τὴν ἔνδοθεν φλεγομένην τῆς πικρίας νόσον. ἀλλ' οὐκ ἀπὸ μιᾶς διαγωγῆς διϋλίζεται ὅλος ὁ πυρετός· πολλάκις γὰρ μεταλαμβάνει τῆς τροφῆς καὶ ἐνδυναμοῦται καὶ ὑγιαίνει καὶ περιπατεῖ, καὶ ἔτι ἡ χαυνότης καὶ ἀτονία καὶ ἀσθένεια περίκειται αὐτῷ. καὶ συμβαίνει τινὰ μέλη ἢ ὄψιν ἢ ὀφθαλμοὺς ἔχειν ὡραῖα, ἀλλ' ἔτι τὰ ὑπόλοιπα μέλη ἠφάνισται, ἔχει χεῖρα ὑγιῆ, ἀλλὰ τὸν πόδα ἠφάνισταιοὕτως ἐστὶ καὶ εἰς τὸ πνευματικόν· εἰσὶ μέλη πολλὰ τοῦ πνεύματος καὶ συμβαίνει ἔχειν τινὰ μέλη ἐξ αὐτῶν ὑγιῆ, καὶ παρὰ τοῦτο τέλειος οὐκ ἔστιν. ὁρᾷς πόσοι βαθμοί εἰσι τοῦ πνεύματος καὶ πῶς κατὰ μέρος διϋλίζεται 45.1.2 καὶ λεπτύνεται τὸ κακόν; καὶ οὐκ ἐφάπαξ. ὅλη γὰρ ἡ πρόνοια καὶ ἡ οἰκονομία τοῦ κυρίου (καὶ τὸ ἀνατέλλειν τὸν ἥλιον, καὶ πάντα τὰ δημιουργήματα) γέγονε διὰ τὴν βασιλείαν, ἣν μέλλουσι κληρονομεῖν οἱ ἐκλεκτοί, καὶ διὰ τὸ τὴν εἰρηνικὴν συστῆναι βασιλείαν. 45.1.3 Οἱ δὲ Χριστιανοὶ οὔτε πόρνην διακρίνουσι προεστῶσαν οὔτε ἁμαρτωλοὺς οὔτε ἀτάκτους, ἀλλὰ ἁπλουστάτῳ προαιρέσει καὶ καθαρῷ ὀφθαλμῷ κατανοοῦσι πάντας, ὥσπερ ἐὰν ᾖ τοῦτό τινι ὡς φυσικόν, ὡς πηκτόν, τὸ μηδένα ἐξουθενεῖν, μηδένα κρίνειν ἢ βδελύσσεσθαι καὶ γὰρ ἔχων αὐτοὺς ἐν διακρίσει καὶ τὸν μονόφθαλμον, εἰδὼς ὅτι οὕτως ἐστίν, ὡς ὑγιῆ αὐτὸν ὅρα, τὸν ἔχοντα κυλλὴν τὴν χεῖρα ὡς ὑγιαίνοντα. αὕτη γάρ ἐστιν ἡ καθαρότης τῆς καρδίας, ἵνα συγγνῷ τοῖς ἁμαρτωλοῖς καὶ συμπαθήσῃ καὶ σπλαγχνισθῇ. οἱ γὰρ ἅγιοι τοῦ θεοῦ συμβαίνει ὅτι καθέζονται εἰς θέατρον καὶ βλέπουσι τὸν κόσμον ἐν τῇ ἀπάτῃ τοῦ βίου, καὶ αὐτοὶ κατὰ τὸν ἔσω ἄνθρωπον λαλοῦσι μετὰ τοῦ θεοῦ. 45.1.4 Ἄλλην οὖν ἔχουσι προαίρεσιν οἱ κοσμικοὶ ἐνεργούμενοι ὑπὸ τοῦ πνεύματος τῆς πλάνης τοῦ φρονεῖν τὰ ἐπίγεια. καὶ οἱ Χριστιανοὶ ἄλλην ἔχουσι προαίρεσιν, ἄλλον νοῦν, ἄλλου αἰῶνός εἰσιν, ἄλλης πόλεως· πνεῦμα γὰρ θεοῦ κοινωνεῖ τῇ ψυχῇ αὐτῶν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταπατοῦσι τὸν ἀντικείμενον. γέγραπται γάρ· «ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος». οἱ γὰρ θεοσεβεῖς πάντων εἰσὶ δεσπόται, καὶ πυρὸς καταφρονοῦσι καὶ ξίφους καὶ ὑδάτων, καὶ δαιμόνων καὶ παθῶν εἰσι δεσπόται. πάλιν δὲ οἱ χαῦνοι καὶ ἁμαρτωλοὶ ὅλων εἰσὶ δοῦλοι, καὶ πῦρ αὐτοὺς καίει καὶ λίθος ἢ τὸ ξίφος ἀποκτείνεικαὶ δαίμονες κατακυριεύουσιν. 45.2.1 Ὥσπερ τὸ σῶμα τοῦ κυρίου ὅτε ἀνῆλθεν εἰς τὸ ὄρος καὶ μετεμορφώθη εἰς τὴν δόξαν τὴν θεϊκὴν καὶ εἰς τὸ φῶς τὸ ἄπειρον, οὕτω καὶ τὰ σώματα τῶν ἁγίων δοξάζεται καὶ ἐξαστράπτει. ἡ γὰρ ἔσωθεν οὖσα δόξα ἐφηπλώθη τότε τῷ σώματι τοῦ Χριστοῦ καὶ ἔλαμψε, τὸν αὐτὸν δὴ τρόπον καὶ εἰς τοὺς ἁγίους ἡ ἔσωθεν οὖσα τοῦ Χριστοῦ δύναμις ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἔξωθεν εἰς τὰ σώματα αὐτῶν ὑπερεκχύνεται, ἐπειδὴ γὰρ ἐκ τῆς αὐτοῦ οὐσίας καὶ φύσεως ἀπὸ τοῦ νῦν μετέχουσιν ἐν τῷ νῷ. γέγραπται γάρ· «ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνός» καί· «τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς». ὥσπερ ἀπὸ πυρὸς ἑνὸς ἅπτονται λύχνοι πολλοί, ἀνάγκη καὶ τὰ σώματα αὐτῶν, μέλη Χριστοῦ ὄντα, τὸ αὐτὸ γίνεσθαι ὅπερ ὁ Χριστός. Ἐρώτησις. Πῶς ἀνώτεροι γίνονται οἱ Χριστιανοὶ τοῦ πρώτου Ἀδάμ; ἀποθνῄσκει γὰρ αὐτῶν τὰ σώματα καὶ φθείρεται, ἐκεῖνος δὲ ὥσπερ ἀθάνατος ἦν κατὰ τὴν ψυχήν, οὕτω καὶ τὸ σῶμα ἄφθαρτος. Ἀπόκρισις. Ὁ ἀληθινὸς θάνατος ἔνδοθεν ἐν τῇ καρδίᾳ κέκρυπται καὶ ὁ ἄνθρωπος ἔσω νενέκρωται. εἴ τις οὖν «μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν», εἰς τὸ κρυπτόν, οὗτος ἀληθῶς εἰς τοὺς αἰῶνας ζῇ καὶ οὐκ ἀποθνῄσκει. ἀλλ' εἰ καὶ τὰ σώματα τῶν τοιούτων λύεται πρὸς καιρόν τινα, ἀλλ' οὖν ἡγιασμένα τέ εἰσι καὶ ἐγείρεται ἐν δόξῃ. διὸ ὕπνον λέγομεν τὴν κοίμησιν τῶν Χριστιανῶν. 45.3.2 οὐκ ἦν οὖν ἄφθαρτον τὸ σῶμα τοῦ Ἀδάμ, ἀλλὰ μέσον ἀφθαρσίας καὶ φθορᾶς. εἰ δέ, ὡς φῄς, ἀθάνατος ἦν ὁ ἄνθρωπος κατὰ τὸ σῶμα, ὅλος ὁ κόσμος βλέπων τὸ παράδοξον τοῦ πράγματος, ὅτι οὐ φθείρονται τὰ σώματα τῶν Χριστιανῶν, ἀνάγκῃ 45.3.3 λοιπὸν τινί, οὐχ ἑκουσίᾳ τῇ γνώμῃ ἔρχοντο ἐπὶ τὸ ἀγαθόν. ἀλλ' ἵνα διαμείνῃ καὶ φανῇ τὸ αὐτεξούσιον, ὅπερ ἐξ ἀρχῆς ἔδωκε τῷ ἀνθρώπῳ ὁ κύριος, τούτου ἕνεκεν οἰκονομικῶς τὰ πράγματα διοικεῖται καὶ γίνεται λύσις σώματος, ἵνα ᾖ τὸ θέλημα τοῦ ἀνθρώπου τοῦ τραπῆναι αὐτὸν ἐπὶ τὸ ἀγαθὸν καὶ ἐπὶ τὸ κακόν. ὁ γὰρ τέλειος εἰς τὸ κακὸν καὶ βαθὺς εἰς τὴν ἁμαρτίαν ἀνάγκῃ τινὶ οὐ δέδεται, καίτοι δὲ ὢν σκεῦος διαβόλου οὐ τὸ ὅλον κατακυριεύεται, ἀλλ' ἔχει τὴν ἐλευθερίαν τοῦ γενέσθαι σκεῦος ζωῆς· οὔτε λοιπὸν ὁ μεμεστωμένος εἰς τὸν θεὸν καὶ ὢν βαθὺς καὶ μεμεθυσμένος ἐν τῇ χάριτι ἀνάγκῃ τινὶ κεκράτηται, ἀλλὰ καίτοι ὢν πεπληρωμένος καὶ δεδεμένος πνεύματι ἁγίῳ ἔχει τὸ αὐτεξούσιον τοῦ τραπῆναι αὐτὸν καὶ ποιεῖν ἃ θέλει εἰς τὸν αἰῶνα τοῦτον. 45.4.1 Ἐρώτησις. Κατὰ μέρος λεπτύνεται τὸ κακὸν καὶ ἐκκρίνεται, καὶ προκόπτει εἰς τὴν χάριν ὁ ἄνθρωπος, ἢ εὐθέως, ὅταν τύχῃ ἐπισκοπῆς, ἐκριζοῦται τὸ κακόν; Ἀπόκρισις. Ὥσπερ τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ οὐκ εὐθέως πήγνυται εἰς ἄνθρωπον, ἀλλὰ κατὰ μέρος γίνεται εἰκὼν καὶ γεννᾶται καὶ ἤδη οὐκ ἔστι τέλειος ἄνθρωπος, ἀλλὰ αὐξάνει εἰς πολλὰ ἔτη, καὶ τότε γίνεται ἀνήρ, ἢ ὥσπερ τὰ σπέρματα τῶν κριθῶν ἢ τοῦ σίτου οὐκ εὐθέως βαλλόμενα εἰς τὴν γῆν ῥιζοῖ, ἀλλὰ παρέρχονται χειμῶνες ἄνεμοι καὶ τῷ δέοντι καιρῷ γίνεται ἄσταχυς, καὶ ὁ φυτεύων ἀμπελῶνα οὐκ εὐθέως μεταλαμβάνει τῶν καρπῶν, οὕτω μᾶλλον εἰς τὸ πνευματικόν, ὅπου τοσαύτη σοφία καὶ λεπτότης, κατὰ μικρὸν αὐξάνει καὶ γίνεται «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας» καὶ οὐχ ὥς τινες λέγουσιν· 45.4.2 "1ἔνδυσαι, ἔκδυσαι."2 ὥσπερ ὁ θέλων μαθεῖν γράμματα ἀπέρχεται καὶ μανθάνει τὰ σημεῖα, καὶ ὅταν γένηται ἐκεῖ πρῶτος, ἀπέρχεται εἰς τὴν σχολὴν τῶν Ῥωμαϊκῶν, κἀκεῖ ἐστιν ὅλων ἔσχατος. πάλιν ἐκεῖ ὅταν γένηται πρῶτος, ἀπέρχεται πρὸς τὸν γραμματικόν, καὶ ὅλων ἐστὶν ἔσχατος ἀρχάριος. εἶτα ὅταν γένηται σχολαστικός, ὅλων τῶν δικολόγων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐστὶν ἔσχατος ἀρχάριος. πάλιν ἐκεῖ ὅταν γένηται πρῶτος, τότε γίνεται ἡγεμῶν καὶ ὅταν γένηται ἄρχων, λαμβάνει ἑαυτῷ τὸν συγκάθεδρον βοηθόν. εἰ οὖν τὰ φαινόμενα τοσαύτας ἔχει προκοπάς, πόσῳ μᾶλλον τὰ ἐπουράνια μυστήρια ἔχει προκοπὰς καὶ βαθμοὺς πολλοὺς καὶ αὐξάνει, καὶ τότε διὰ πολλῆς γυμνασίας καὶ πολλῶν πειρατηρίων ἐξειλεῖ καὶ γίνεταί τις τέλειος. 45.4.3 Οἱ γὰρ Χριστιανοὶ οἱ γευσάμενοι ἐξ ἀληθείας τῆς χάριτος καὶ ἔχοντες τὸ σημεῖον τοῦ σταυροῦ ἐν τῷ νῷ καὶ τῇ καρδίᾳ, οὗτοι ἀπὸ βασιλέως καὶ τῶν κάτω σκύβαλα ἡγοῦνται καὶ οὗτοι δύνανται εἰδέναι, ὅτι ὅλος ὁ δρόμος ὁ γήϊνος καὶ οἱ θησαυροὶ τοῦ βασιλέως καὶ ὁ πλοῦτος καὶ ἡ δόξα καὶ οἱ λόγοι ἐν φαντασίᾳ τινί εἰσι, μὴ ἔχοντα στερεὰν βάσιν, ἀλλὰ παρερχόμενα, καὶ εἴ τί ἐστιν ἀπὸ τοῦ 45.4.4 οὐρανοῦ κάτω, αὐτοῖς ἐστιν εὐκαταφρόνητα. διὰ τί; ἐπειδὴ ξένον τι καὶ θαυμαστὸν τὸ ἐπάνω τοῦ οὐρανοῦ, τὸ μὴ ὂν μήτε εἰς θησαυροὺς βασιλέως μήτε εἰς σοφίαν λόγων μήτε εἰς δόξαν κοσμικὴν ἢ ἀξιώματα ἢ πλοῦτον ἐκεῖνο ἐκτήσαντο, αὐτὸν τὸν κύριον τὸν κτίστην πάντων ἔχοντες ἐν τῷ ἐνδοτάτῳ ἀνθρώπῳ, κτῆμα τὸ μὴ παρερχόμενον, ἀλλὰ παραμένον εἰς τοὺς αἰῶνας. Ἀμήν.

## 46.τ.1 ΛΟΓΟΣ Μϛ΄.

46.1.1 Πᾶσαι αἱ νοεραὶ οὐσίαι, λέγω δὴ ἀγγέλων καὶ ψυχῶν καὶ δαιμόνων, ἀκέραιαι καὶ ἁπλαῖ ὑπὸ τοῦ δημιουργοῦ ἐκτίσθησαν. τὸ δέ τινα αὐτῶν τραπῆναι εἰς τὸ κακὸν ἐκ τοῦ αὐτεξουσίου προσεγένετο αὐτοῖς, ἰδίῳ γὰρ θελήματι ἐξετράπησαν ἐκ τοῦ προσήκοντος λογισμοῦ. εἰ δέ φαμεν οὕτως ὑπὸ τοῦ δημιουργοῦ ἐκτίσθαι, ἄδικον κριτὴν λέγομεν τὸν θεὸν πέμποντα εἰς γέενναν τὸν σατανᾶν. εἰσὶ γάρ τινες τῶν αἱρετικῶν λέγοντες ὕλην ἄναρχον καὶ ὕλην ῥίζαν καὶ ῥίζαν δύναμιν 46.1.2 καὶ ἰσοδυναμίαν. πρὸς τοῦτο οὖν ἔχεις εὐλόγως ἀντιθεῖναι ὅτι, "1ποία ἐστὶν ἡ νικῶσα δύναμις;"2 ἀνάγκη δὲ εἰπεῖν, ὅτι "1ἡ τοῦ θεοῦ."2 ἀποκρίνου· "1λοιπόν, οὐκέτι ἐστὶν ἰσόχρονος ἢ ἰσοδύναμος ὁ ἡττώμενος, ὦ λέγοντες ἐν ὑποστάσει τὸ κακόν. θεῷ οὐδέν ἐστιν ἐνυπόστατον κακὸν κατὰ τὸ ἀπαθὲς αὐτοῦ καὶ θεϊκόν. ἡμῖν δέ ἐστιν ἐνυπόστατον κακὸν ἐνεργοῦν πάσῃ δυνάμει καὶ αἰσθήσει, πάσας ἐπιθυμίας ῥυπαρὰς ὑποβάλλον."2 οὐ συνεκράθη δὲ οὕτως, ὃν τρόπον τινὲς λέγουσι τὴν μῖξιν τοῦ οἴνου καὶ τοῦ ὕδατος, ἀλλ' ἔστιν ἐν μιᾷ χώρᾳ ὁ σῖτος καθ' ἑαυτὸν καὶ τὰ ζιζάνια καθ' ἑαυτά, ἔστιν ἐν ἑνὶ οἴκῳ ὁ λῃστὴς κατ' ἰδίαν καὶ ὁ οἰκοδεσπότης κατ' ἰδίαν. 46.1.3 Ἔστι πηγὴ ῥέουσα ὕδωρ καθαρὸν καὶ ὑπόκειται βόρβορος· ὅταν ταράξῃ τις τὸν βόρβορον, ὅλη ἡ πηγὴ θολοῦται. οὕτω καὶ ἡ ψυχὴ ὅτε ταράσσεται καὶ θολοῦται, κιρνᾶται καὶ ἕν τι γίνεται ὁ σατανᾶς μετὰ τῆς ψυχῆς (πνευμάτων ὄντων ἀμφοτέρων), οἷον κατὰ τὸν καιρὸν τῆς πορνείας ἢ τοῦ φόνου· διὰ τοῦτο «ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμα» γίνεται. πλὴν ἐν ἄλλῃ ὥρᾳ καθ' ἑαυτήν ἐστι τῆς ψυχῆς ἡ ὑπόστασις, μεταμελομένης ἐφ' οἷς ἔπραξε, καὶ κλαίει καὶ εὔχεται ἐφ' οἷς ἐπλημμέλησε καὶ μνημονεύει θεοῦ. εἰ γὰρ πάντοτε ἦν βεβυθισμένη εἰς τὸ κακόν, πῶς ἠδύνατο ταῦτα πράττειν, τοῦ σατανᾶ μηδέποτε θέλοντος 46.1.4 εἰς μετάνοιαν ἔρχεσθαι τοὺς ἀνθρώπους; ἄσπλαγχνος γὰρ ὑπάρχει. καὶ ἡ γυνὴ κατὰ τὸ συντίθεσθαι τῷ ἀνδρὶ ἕν τι γίνεται μετ' αὐτοῦ, ἄλλῃ δὲ ὥρᾳ κεχωρισμένοι εἰσίν, ὅτι πολλάκις καὶ εἷς αὐτῶν ἀποθνήσκει καὶ ἄλλος ζῇ. τοιοῦτόν τί ἐστι καὶ ἐπὶ τῆς κοινωνίας τοῦ ἁγίου πνεύματος. ἓν πνεῦμα γίνονται οἱ Χριστιανοὶ μετὰ τοῦ κυρίου, ἄλλῃ ὥρᾳ οὔκ εἰσιν ἕν, ἀλλὰ ἀμφότερα αἱ ὑποστάσεις διακεκριμέναι εἰσί. τότε δὲ ἓν γίνεται, ὅταν καταποθῇ ὁ ἄν46.1.5 θρωπος ἐν αὐτῇ τῇ χάριτι. εἰσὶ δέ τινες ἔχοντες γεῦσιν θεοῦ, ἔτι ἐνεργούμενοι ὑπὸ τοῦ ἀντικειμένου, καὶ ξενίζονται ἄπειροι ὄντες· πῶς (φησι) μετὰ τὴν ἐπίσκεψιν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ ἐνεργοῦσι λογισμοί. οἱ δὲ γεγυμνασμένοι εἰς τὰ μυστήρια τοῦ Χριστιανισμοῦ καὶ ἐν αὐτοῖς γηράσαντες οὐδὲν ξενίζονται. καθάπερ οἱ ἔμπειροι γεωργοὶ ἐκ τῆς πολλῆς συνηθείας, ὅταν γίνωνται εὐφορίαι, οὐ τελείως ἀμεριμνοῦσιν, ἀλλὰ ἐκδέχονται καὶ λιμὸν καὶ στενοχωρίαν, οὔτε δὲ πάλιν ὅταν καταλάβῃ αὐτοὺς λιμὸς ἢ στενοχωρία, ἐπὶ πολὺ ἀπελπίζουσι γνωρίζοντες τὴν μεταβολήν, οὕτω καὶ εἰς τὸ πνευματικόν. ὅταν πειρασμοῖς ποικίλοις περιπέσῃ ἡ ψυχή, οὐ ξενίζεται οὔτε ἀπελπίζει, ἐπειδὴ οἶδεν ὅτι κατὰ συγχώρησιν ἀφίεται ἡ ψυχὴ δοκιμασθῆναι καὶ παιδευθῆναι ὑπὸ τῆς χάριτος, οὔτε δὲ πάλιν ὅταν ἐν πλούτῳ πολλῷ ᾖ καὶ ἀναπαύσει ἀμεριμνεῖ, ἀλλ' ἐκδέχεται τὴν μετα46.1.6 βολήν. καὶ εἰ ὁ ἥλιος οὗτος, σῶμα ὢν καὶ κτίσμα, καταλάμπων εἰς τόπους δυσώδεις, ἔνθα εἰσὶ νεκρώματα καὶ βόρβορος, οὐδὲν βλάπτεται ἢ μολύνεται, πόσῳ μᾶλλον τὸ καθαρὸν καὶ ἅγιον πνεῦμα συνὸν τῇ ψυχῇ τῇ ἐνεργουμένῃ ὑπὸ τῆς ῥυπαρίας τοῦ πονηροῦ, οὐδὲν συμμεταλαμβάνει· καὶ γὰρ «τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε». 46.1.7 Καὶ ὅτε οὖν ἐν βάθει ἐστὶ καὶ πλουτεῖ τῇ χάριτι ὁ ἄνθρωπος, ἔστιν ἐκεῖ λείψανον τῆς κακίας, †ἔχων† τὸν ἀντιλήπτορα βοηθοῦντα αὐτῷ. ὅταν οὖν τις ἐν θλίψει ᾖ, οὐκ ὀφείλει ἀπευδοκῆσαι, ἐπεὶ πλέον παχύνεται ἡ ἁμαρτία καὶ ἐπεισέρχεται. ὅταν δὲ ἔχῃ τις πάντοτε τὴν ἐλπίδα τοῦ θεοῦ, ὥσπερ λεπτύνεται καὶ ἐξυδαροῦται τὸ κακόν. τὸ οὖν εἶναί τινας παραλελυμένους καὶ λελωβημένους, πυρέττοντας καὶ ἀσθενοῦντας καὶ πόνους ἔχοντας, τοῦτο ἐκ τῆς ἁμαρτίας προσεγένετο· αὕτη γὰρ ἡ ῥίζα πάντων ἐστὶ τούτων, καὶ τὰ πάθη δὲ τῆς ψυχῆς 46.1.8 (τῶν ἐπιθυμιῶν καὶ τῶν ἄλλων κακῶν διαλογισμῶν) ἐξ αὐτῆς ἐστιν. ὥσπερ ἵνα ᾖ πηγὴ ῥέουσα καὶ ἔχῃ τοὺς παρακειμένους τόπους διΰγρους καὶ νοτερούς, θέρμης γενομένης καὶ αὐτὴ ἡ πηγὴ καὶ οἱ ἔγγιστα τόποι ξηραίνονται, οὕτω καὶ εἰς τοὺς δούλους τοῦ θεοῦ, εἰς ὃν ἂν πλεονάσῃ ἡ χάρις, ξηραίνει τὴν τοῦ πονηροῦ ἐπιθυμίαν, ὁμοίως δὲ καὶ τὴν φυσικὴν καὶ τὴν καθαράν, ἐπειδὴ νῦν 46.1.9 οἱ ἄνθρωποι τοῦ θεοῦ μειζότεροι γίνονται τοῦ πρώτου Ἀδάμ. ὁ θεὸς ἀπερίγραπτός ἐστι καὶ ἀκατάληπτος, πανταχοῦ ἐπιφαινόμενος καὶ ἐν τοῖς ὄρεσι καὶ ἐν τῇ θαλάσσῃ καὶ ὑποκάτω τῆς ἀβύσσου καὶ οὐ καταβάσει ἐπιφαίνεται, ὃν τρόπον ὁ ἄγγελος κατερχόμενος ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς ἐστιν, ἐν οὐρανῷ δὲ οὔκ ἐστιν. ὁ δὲ θεὸς πανταχοῦ ἐστι καὶ ἄνω ἐστὶ μετεχόμενος ὑπὸ τῶν ἁγίων δυνάμεων καὶ ἐνταῦθα ἐν ἡμῖν ἐστι, καὶ πᾶν ποίημα καὶ κτίσμα ἐν τῇ χειρὶ αὐτοῦ περιδέδρακται, αὐτὸς ἀχώρητος ὤν. 46.1.10 Ἀλλ' ἐρεῖς μοι· «πῶς δύναται ὁ θεὸς ἐν τῷ σκότει εἶναι ἢ ἐν τῷ σατανᾷ ἢ ἐν τόποις, ὅπου ἐστὶ δυσωδία;» Ἀποκρίνομαί σοι κἀγώ, ὅτι ἀπαθὴς ὢν τὰ πάντα περιέχει· ἀπερίγραπτος γάρ ἐστι, καὶ ὁ σατανᾶς ὢν κτίσμα ὑπ' αὐτοῦ κρατεῖται καὶ δεσμεῖται. καὶ τὸ ἀγαθὸν οὐ ῥυπαροῦται οὐδὲ σκοτίζεται. εἰ δὲ οὐ λέγεις αὐτὸν περιέχειν τὰ πάντα καὶ τὴν γέενναν καὶ τὸν σατανᾶν, ποιεῖς αὐτὸν περίγραπτον, ἵνα ζητήσωμεν λοιπὸν ἀνώτερον αὐτοῦ ἄλλον. ἀνάγκη οὖν τὸν θεὸν ἁπανταχοῦ εἶναι καὶ τὰ μυστήρια τῆς θεότητος καὶ τὴν λεπτότητα ἐν αὐτῷ περιεχόμενα ὑπὸ τοῦ σκότους μὴ καταλαμβάνεσθαι. οὔτε γὰρ δύναται τὸ κακὸν μετασχεῖν τῆς καθαρότητος, εἰ καὶ ἐν αὐτῷ ἐστι. τῷ οὖν θεῷ οὐδὲν κακὸν ἐν ὑποστάσει, 46.1.11 ἐπειδὴ οὐδὲν ἀδικεῖται. ἡμῖν δέ ἐστι κακὸν διὰ τὸ οἰκεῖν ἐν τῇ καρδίᾳ καὶ ἐνεργεῖν, ὑποβάλλον λογισμοὺς ῥυπαροὺς καὶ μὴ συγχωροῦν καθαρῶς προσεύχεσθαι, ἀλλ' αἰχμαλωτίζον τὸν νοῦν εἰς τὸν αἰῶνα τοῦτον. ἐδέδυται οὖν τὰς ψυχάς, ἥψατο δὲ καὶ αὐτῶν τῶν ὀστέων καὶ τῶν μυελῶν. 46.2.1 Ὥσπερ οὖν ἐστιν εἰς τὸν ἀέρα ὁ σατανᾶς καὶ ὁ θεὸς παρὼν ἐκεῖ οὐδὲν ἀδικεῖται, οὕτω καὶ ἐν τῇ ψυχῇ ἐστιν ἡ ἁμαρτία, ὁμοίως δὲ καὶ ἡ χάρις τοῦ θεοῦ σύνεστι μηδὲν ἀδικουμένη. 46.2.2 Ὥσπερ ἵνα ᾖ δοῦλος ἐγγὺς τοῦ δεσπότου αὐτοῦ, οὗτος πάντοτε ἔγγιστα αὐτοῦ ὢν ὑπὸ φόβον ἐστί, μηδὲν ἄνευ αὐτοῦ διαπραττόμενος, οὕτω καὶ ἡμεῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῷ δεσπότῃ ἡμῶν Χριστῷ τῷ καρδιογνώστῃ τοὺς λογισμοὺς ἡμῶν ἀνατιθέναι καὶ φανεροῦν ὀφείλομεν, εἴτε ἐν κακοῖς ἐσμεν εἴτε ἐν ἀναπαύσει, καὶ ἔχειν τὴν ἐλπίδα καὶ τὴν πεποίθησιν ἐπ' αὐτῷ, ὅτι "1αὐτός μοῦ ἐστι πλοῦτος, αὐτός μοῦ ἐστι πατήρ, αὐτός μοῦ ἐστι δόξα."2 46.2.3 Πάντοτε οὖν τῇ συνειδήσει ὀφείλεις ἔχειν τὴν μέριμναν καὶ τὸν φόβον. ἐὰν δὲ καί τις μήπω ἔχῃ χάρισμα τοῦ θεοῦ πεφυτευμένον καὶ πεπηγμένον ἐν αὐτῷ, ἵνα νυκτὸς καὶ ἡμέρας ὡς φυσικὸν ᾖ προσκεκολλημένον τῇ ψυχῇ καθ' ὥραν ὁδηγοῦν αὐτὴν καὶ ὀρθοτομοῦν καὶ αἰχμαλωτίζον εἰς τὰ ἀγαθά, ὥστε ἔχειν τὴν μέριμναν, τὸν πόνον καὶ τὸν φόβον ὡς φυσικὸν καὶ ἄτρεπτον, τὸν συντριμμὸν τῆς καρδίας πάντοτε ἔχειν ὀφείλει πεπηγμένον. 46.2.4 Ὥσπερ δὲ ἵνα ᾖ μέλισσα κρυπτῶς ἐργαζομένη τὸ κηρίον ἐν τῷ κοσκίνῳ, οὕτω καὶ ἡ χάρις ἐργάζεται κρυπτῶς εἰς τὰς καρδίας τὴν ἑαυτῆς ἀγάπην καὶ μεταβάλλει ἀπὸ πικρίας εἰς γλυκύτητα, ἀπὸ τραχύτητος εἰς χρηστότητα. 46.2.5 Ἢ ὥσπερ ἵνα ᾖ ἀργυροκόπος ἢ ἀναγλυφάριος, ἀναγλύψας δίσκον κατὰ μέρος σκεπάζει ἅπερ γλύφει ζῴδια διάφορα, καὶ ἐπὰν τελέσῃ, τότε φανεροῖ αὐτὸν ἐξαστράπτοντα φωτί, οὕτω καὶ ὁ κύριος, ὁ ἀληθινὸς τεχνίτης, ἀναχωνεύει τὰς καρδίας ἡμῶν καὶ ἀνακαινίζει ἐν μυστηρίῳ, ἕως ὅτε ἐκδημοῦμεν τοῦ σώματος, καὶ τότε φαίνεται αὐτῆς τῆς ψυχῆς τὸ κάλλος. 46.2.6 Οἱ γὰρ θέλοντες σκεύη κατασκευάσει καὶ ἐνυφᾶναι ζῴδια πρῶτον κηροπλαστοῦσί τι, καὶ τότε ἐγχέουσι καθ' ὁμοίωμα ἐκείνου, ὥστε τὸ ἔργον κατ' ἐκεῖνο τὸ σχῆμα ἀποτελεσθῆναι, οὕτω καὶ ἡ ἁμαρτία πνεῦμα οὖσα, εἰκόνα ἔχει καὶ μεταβάλλεται εἰς μορφὰς πολλάς. 46.2.7 Ὁμοίως δὲ καὶ ὁ ἔσω ἄνθρωπος ζῷόν ἐστιν, ἔχον εἰκόνα καὶ μόρφωσιν· ὁμοίωμα γάρ ἐστι τοῦ ἔξω ἀνθρώπου ὁ ἔσω. μέγα γάρ ἐστι τὸ σκεῦος καὶ τίμιον, ἐπειδὴ ἀπὸ πάντων τῶν κτισμάτων ἐκεῖ εὐδόκησεν ὁ κύριος οἰκῆσαι. 46.2.8 Οἱ μὲν ἀγαθοὶ λογισμοὶ τῆς ψυχῆς ἐοίκασι λίθοις τιμίοις καὶ μαργαρίταις, οἱ δὲ ἀκάθαρτοι λογισμοὶ μεμεστωμένοι εἰσὶν «ὀστέων καὶ πάσης ἀκαθαρσίας». 46.2.9 Οἱ γὰρ Χριστιανοὶ ἄλλου αἰῶνός εἰσιν, υἱοὶ Ἀδὰμ τοῦ ἐπουρανίου, γέννημα καινόν, τέκνα πνεύματος ἁγίου, ἀδελφοὶ Χριστοῦ φωτεινοί, μεθ' ὧν καὶ ἡμεῖς ἀξιωθείημεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτηρὸς ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, τιμὴ καὶ μεγαλοπρέπεια εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

47.τ.1 ΛΟΓΟΣ ΜΖ΄.

47.1.1 Οἱ τὸν θεμέλιον ὥσπερ πέτραν οἰκοδομοῦντες, ἥτις ἐστὶν Ἰησοῦς Χριστός, καὶ ἐπὶ πολλῷ χρόνῳ γυμνασθέντες καὶ δοκιμασθέντες, οὗτοι «τοῖς πειραζομένοις βοηθῆσαι» δύνανται καὶ συμπαθῆσαι καὶ ἐλεῆσαι αὐτούς. 47.1.2 Τινὲς δὲ σφαλλόμενοι εἰς ἑαυτούς, χάριτος θεοῦ γενομένης ἐν αὐτοῖς ἐνεργηθέντες μεγάλως, οὕτως εὗρον τὰ μέλη αὐτῶν ἡγιασμένα, ὥστε λογίζεσθαι ὅτι "1οὐκ ἐγχωρεῖ εἰς Χριστιανὸν ἐπιθυμίαν εἶναι"2, ἀλλὰ κέκτηνται νοῦν σώφρονα καὶ ἁγνόν· καὶ ἔστιν ὁ ἔσω ἄνθρωπος μετέωρος εἰς τὰ θεῖα καὶ ἐπουράνια μυστήρια, ὥστε νομίσαι τὸν τοιοῦτον ἤδη εἰς τὰ τέλεια μέτρα ἐφθακέναι. 47.1.3 καὶ ὡς ἐνόμισε προσηγγικέναι τῷ λιμένι, ἐπανέστησαν αὐτῷ κλύδωνες, ὥστε πάλιν αὐτὸν εἰς τὸ μέσον τοῦ πελάγους εἰσενεχθῆναι, ὅπου μόνον οὐρανὸς καὶ θάλασσα καὶ θάνατος ἕτοιμοςἡ ἁμαρτία γὰρ ἐπεισελθοῦσα κατειργάσατο 47.1.4 ἐπιθυμίαν κακήνκαὶ νῦν οἱ αὐτοὶ ὥσπερ ἀπὸ ὅλου βυθοῦ τῆς θαλάσσης ψεκάδας τινὰς ἐδέξαντο καὶ εὑρίσκουσιν ἐκεῖνοι αὐτοὶ καθ' ὥραν καὶ καθ' ἡμέραν τοσαύτην θαυματουργίαν γινομένην, ὥστε τὸν ἐνεργούμενον ἐπὶ τῇ παραδόξῳ καὶ ξένῃ καὶ θεϊκῇ ἐργασίᾳ θαμβεῖσθαι καὶ ἐκπλήττεσθαι, πῶς σοφίζει, πῶς φωτίζει, εἰρηνεύει, ὁδηγεῖ, τὰ πάντα ἀγαθύνει, τὰ θεῖα καὶ ἐπουράνια διδάσκει, ὥστε τὸν τοιοῦτον πρὸς σύγκρισιν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκείνου τοῦ μυστηρίου τοὺς βασιλεῖς καὶ δυνάστας καὶ σοφοὺς καὶ ἀξιωματικοὺς ὡς ἐλαχίστους ἡγεῖσθαι. καὶ μετὰ καιροὺς καὶ ὥρας μεταβάλλεται τὰ πράγματα, ὥστε ἐξ ἀληθείας ἑαυτὸν ἡγεῖσ47.1.5 θαι ἁμαρτωλότερον ὅλων τῶν ἀνθρώπων καὶ ἔχειν ἑαυτὸν ὡς πηλόν, πάλιν ἄλλῃ ὥρᾳ ὁρᾷ ἑαυτὸν ὁ τοιοῦτος ὡς βασιλέα μέγιστον, ἐξαίσιον δυνάστην ἢ φίλον βασιλέως, πάλιν ἑαυτὸν ὁρᾷ πτωχὸν καὶ ἀσθενῆ. λοιπὸν εἰς ἀδημονίαν ἐμπίπτει ὁ νοῦς "1διὰ τί οὕτως καὶ οὕτως;"2 47.1.6 Ὁ κύριος οἰκονομικῶς σοι ἐμπιστεύει τὴν χάριν, κυβερνᾷ καὶ διοικεῖ· ἐπειδὴ γὰρ ἡ ἀνθρωπίνη φύσις ἀσθενὴς οὖσα ἐπαίρεται καὶ τυφοῦται, ἐὰν εὕρῃ ὀλίγην ἀνάπαυσιν καὶ χάριν τοῦ κυρίου καὶ τοὺς πολλοὺς κρίνει, διὰ τοῦτο παραχωρεῖ ἡ χάρις, ἵνα ᾖ πάντοτε ὁ ἄνθρωπος ὑπὸ κόνδυλον καὶ μέριμναν. οὕτω γὰρ αὐτῷ συμφέρει. ἄρχεται γὰρ πενθεῖν ἑαυτὸν καὶ ὀδύρεσθαι, καὶ ὁ κύριος χαίρει ἐπὶ τῇ τοιαύτῃ προαιρέσει· «καρδίαν» γὰρ «συντετριμμένην καὶ 47.1.7 τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει». ὥσπερ γὰρ ἵνα ἔχῃ δεσπότης δύο δούλους, ὧν ὁ εἷς λαβὼν παρρησίαν, ἄρχεται ἐπιτρεπτικῶς φέρεσθαι πρὸς τὸν δεσπότην, ὁ δ' ἄλλος ὑπὸ φόβον ἐστὶ καὶ πληγάς, καὶ εἴ τι αὐτῷ λέγεται ὑπὸ τοῦ δεσπότου, τρέμων ταχέως ὑπακούει, μήπως ἐὰν παρακούσῃ τυπτηθῇ. ὁ γοῦν δεσπότης ἐπὶ τῷ τοιούτῳ χαίρει, δηλονότι τῷ προθύμως ὑπουργοῦντι 47.1.8 καὶ ἐπιτελοῦντι τὰ λεγόμενα. οἱ ἐξερχόμενοι τῶν οἰκείων καὶ στήκοντες εἰς τὴν θύραν τοῦ κυρίου καλῶς στήκουσιν· ἐξερχόμενοι γὰρ τοῦ κόσμου ζητοῦσι κτήσασθαι καρποὺς ξένους τῆς φύσεως. πάντα γὰρ τὰ ἐπίγεια ἀλλότριά ἐστι τῶν οὐρανίων. ἡ δὲ σὴ φύσις χρῄζει τοῦ κυρίου, εἰς τὸ ἐλθεῖν τὸν κύριον καὶ συγκερασθῆναι τῷ σώματι καὶ τῇ ψυχῇ καὶ γενέσθαι ἓν σῶμα μετὰ τοῦ κυρίου καὶ κατοικῆσαι εἰς τὸν ἔσω ἄνθρωπον τὸν Χριστόν, τουτέστιν ἵνα γένηται εἷς ἄνθρωπος τέλειος τῆς ζωῆς καὶ τῆς βασιλείας τῶν αἰώνων. Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ. Ἀμήν.

48.τ.1 ΛΟΓΟΣ ΜΗʹ.

48.1.1 Ὁ τῶν Χριστιανῶν κόσμος ἕτερός ἐστι, καὶ ἀγωγὴ καὶ νοῦς καὶ λόγος καὶ πρᾶξις ἑτέρα τυγχάνει, καὶ ἡ τῶν ἀνθρώπων τοῦ κόσμου τούτου διαγωγὴ καὶ νοῦς καὶ λόγος καὶ πρᾶξις ἑτέρα. ἄλλο τί εἰσιν ἐκεῖνοι καὶ ἄλλο τί εἰσιν 48.1.2 οὗτοι, καὶ πολλὴ διάστασις μεταξὺ τούτων κἀκείνων. οἱ γὰρ τῆς γῆς κατοικήτορες καὶ τὰ τέκνα τοῦ αἰῶνος τούτου ἐοίκασι σίτῳ βεβλημένῳ ἐν σινίῳ τῆς γῆς ταύτης, σινιαζόμενοι ἐν ἀστάτοις λογισμοῖς τοῦ κόσμου, ἐν σάλῳ γηΐνων ἐπιθυμιῶν καὶ πολυπλόκων ἐννοιῶν ὑλικῶν τὰς ψυχάς, κλυδωνίζοντος τοῦ σινιάζοντος σατανᾶ διὰ τοῦ τῆς γῆς σινίου (τουτέστι τῶν γηΐνων πραγμάτων). 48.1.3 πᾶν γὰρ τὸ ἁμαρτωλὸν τῶν ἀνθρώπων γένος ἀπὸ τῆς τοῦ Ἀδὰμ ἐκπτώσεως, παραβάντος τὴν ἐντολήν, ὑπὸ τὸν ἄρχοντα τῆς πονηρίας ἐγένετο, λαβόντα κατὰ τοῦ Ἀδὰμ τὴν ἐξουσίαν καὶ λοιπὸν ἀπ' αὐτοῦ ἀπαύστοις λογισμοῖς ἀπάτης καὶ κλόνου σινιάζει καὶ προσκρούει τῷ σινίῳ τῆς γῆς πάντας τοὺς υἱοὺς τοῦ αἰῶνος τούτου. 48.1.4 Ὥσπερ γὰρ ἄλλος ἐστὶν ὁ σῖτος· καὶ ἄλλο τὸ σίνιον· καὶ ἄλλος ὁ σινιάζων διὰ τοῦ σινίου τὸν σῖτον, ἰδοὺ γὰρ ἐν τῷ σινίῳ ὁ σῖτος ὑπὸ τοῦ σινιάζοντος προσκόπτει καὶ ἐν αὐτῷ ἀστάτως σαλευόμενος ἐνστρέφεται, οὕτω διὰ τῶν γηΐνων πραγμάτων πάντας τοὺς ἀνθρώπους κατέχει ὁ τῆς πονηρίας ἄρχων καὶ δι' αὐτῶν σαλεύει καὶ κλονεῖ καὶ σείει καὶ προσκόπτειν ποιεῖ διαλογισμοῖς ματαίοις καὶ αἰσχροῖς καὶ ἐπιθυμίαις καὶ δεσμοῖς γηΐνοις καὶ κοσμικοῖς, ἀστάτως αἰχμαλωτίζων καὶ περικλονῶν καὶ δελεάζων· πᾶν τὸ ἁμαρτωλὸν γένος τοῦ Ἀδάμ, ὡς καὶ ὁ κύριος τοῖς ἀποστόλοις τὴν τοῦ πονηροῦ κατ' αὐτῶν ἐπανάστασιν μέλλουσαν ἔσεσθαι προέλεγεν·


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

«ἐξῃτήσατο ὑμᾶς ὁ σατανᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· ἀλλ' ἐγὼ ἐδεήθην τοῦ πατρός μου, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις 48.1.5 ὑμῶν». ὁ γὰρ τῷ Κάϊν ὑπὸ τοῦ δημιουργοῦ ῥηθεὶς λόγος καὶ ἀπόφασις εἰς τὸ προφανές· «στένων καὶ τρέμων καὶ σειόμενος ἔσῃ ἐπὶ τῆς γῆς», τύπος καὶ εἰκὼν πάντων τῶν ἁμαρτωλῶν τυγχάνει κατὰ τὸ κρυπτόν. οὕτω γὰρ ἐκπεσὸν τῆς ἐντολῆς τὸ γένος Ἀδὰμ καὶ ἁμαρτωλὸν καταστὰν ἐκείνην τὴν εἰκόνα κατὰ τὸ κρυπτὸν κέκτηται, σαλευόμενον ἀστάτοις λογισμοῖς δειλίας τε καὶ φόβου καὶ πάσης ταραχῆς, ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις καὶ παντοδαπαῖς τοῦ ἄρχοντος τοῦ κόσμου πᾶσαν ψυχὴν κλυδωνίζοντος τὴν μὴ γεγεννημένην ἐκ τοῦ θεοῦ καὶ ὡς σῖτον ἐν σινίῳ στρέφοντος καὶ ἀστάτως τοὺς τῶν ἀνθρώπων λογισμοὺς ποικίλως κλυδωνίζοντος, ἐν ἀπάταις κοσμικαῖς καὶ ἡδοναῖς σαρκικαῖς καὶ φόβοις καὶ ταραχαῖς πάντας σαλεύοντος καὶ δελεάζοντος. 48.1.6 Καὶ γὰρ ὁ κύριος τοὺς ταῖς ἀπάταις καὶ τοῖς θελήμασι τοῦ πονηροῦ ἐξακολουθοῦντας δεικνύων, ὅτι τὴν εἰκόνα τοῦ Κάϊν τῆς πονηρίας φοροῦσιν, ἐλέγχων ἔλεγεν· «ὑμεῖς (φησὶ) τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν τοῦ ἀνθρωποκτόνου· ἐκεῖνος ἀνθρωποκτόνος ἐστὶν ἐξ ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὔκ ἐστιν». 48.1.7 ὥστε πᾶν τὸ ἁμαρτωλὸν γένος τοῦ παλαιοῦ Ἀδάμ, στένοντες καὶ τρέμοντες ἐν τῷ σινίῳ τῆς γῆς ὑπὸ τοῦ σινιάζοντος σατανᾶ τὴν καταδίκην ἐκείνην κατὰ τὸ κρυπτὸν κέκτηται. ὥσπερ γὰρ ἐξ ἑνὸς Ἀδὰμ πᾶν τὸ γένος τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς ἡπλώθη, οὕτω μία τις κακία τῶν παθῶν εἰς πᾶν τὸ ἁμαρτωλὸν γένος τῶν ἀνθρώπων κατέλυσε, καὶ πάντας ὁ τῆς κακίας ἄρχων ἐν ἀστάτοις καὶ ὑλικοῖς καὶ ματαίοις καὶ ταραχώδεσι λογισμοῖς σινιάζειν 48.1.8 ἐπαρκεῖ. καὶ ὥσπερ εἷς ἄνεμος πάντα τὰ φυτὰ καὶ τὰ σπέρματα καὶ τὰ τῆς γῆς φύματα ἐπαρκεῖ κλονεῖν καὶ σείειν ἢ ὥσπερ ἓν σκότος τὸ τῆς νυκτὸς ἐπὶ πᾶσαν τὴν οἰκουμένην ἐφαπλοῦται, οὕτω καὶ ὁ τῆς πονηρίας ἄρχων, σκότος κακίας καὶ θανάτου ὑπάρχων, καὶ ἄνεμός τις δεινὸς καὶ κρυπτὸς καὶ ἄγριος τυγχάνων, πᾶν τὸ ἐπὶ γῆς ἀνθρώπων γένος κλυδωνίζει καὶ περιφέρει ἀστάτοις λογισμοῖς καὶ ἐπιθυμίαις κόσμου δελεάζων τὰς καρδίας τῶν ἀνθρώπων, καὶ σκότους ἀγνωσίας καὶ πωρώσεως καὶ λήθης ἐμπίπλησι πᾶσαν ψυχὴν τὴν μὴ ἄνωθεν γεγεννημένην καὶ τῷ φρονήματι καὶ τῷ νῷ εἰς ἄλλον κόσμον μεταβεβηκυῖαν, καθὼς εἴρηται· «ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει». 48.1.9 Ἐν τούτῳ γὰρ διαφέρουσιν οἱ ὄντως ἀληθινοὶ Χριστιανοὶ παντὸς τοῦ γένους τῶν ἀνθρώπων καὶ πολλὴ διάστασις μεταξὺ αὐτῶν καὶ τῶν τοῦ κόσμου ἀνθρώπων τυγχάνει, ὡς προελέγομεν, ἐν τῷ τὸν νοῦν καὶ τὴν διάνοιαν αὐτῶν πάντοτε τῷ οὐρανίῳ φρονήματι τυγχάνειν καὶ τὰ αἰώνια ἀγαθὰ ἐνοπτρίζεσθαι διὰ τὴν μετουσίαν καὶ μετοχὴν τοῦ πνεύματος τοῦ ἁγίου, ἐν τῷ ἄνωθεν αὐτοὺς ἐκ θεοῦ γεγεννῆσθαι καὶ τέκνα θεοῦ ἐν δυνάμει καὶ ἀληθείᾳ γενέσθαι κατηξιῶσθαι καὶ εἰς στάσιν καὶ ἑδραιότητα καὶ ἀταραξίαν καὶ κατάπαυσιν διὰ πολλῶν ἀγώνων καὶ κόπων καὶ πόνων καὶ χρόνων κατηντηκέναι, μηκέτι σινιαζομένους 48.1.10 καὶ κυμαινομένους ἐν ἀστάτοις καὶ ματαίοις λογισμοῖς κακίας. ἐν τούτῳ οὖν εἰσὶ μείζους καὶ κρείττους τοῦ κόσμου διὰ τὸ τὸν νοῦν αὐτῶν καὶ τὸ φρόνημα τῆς ψυχῆς ἐν τῇ τοῦ Χριστοῦ εἰρήνῃ καὶ ἐν τῇ τοῦ πνεύματος ἀγάπῃ τυγχάνειν, ὡς καὶ ὁ κύριος περὶ τῶν τοιούτων διεξερχόμενος ἔλεγε· «μεταβέβηκε (φησὶ) ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν». 48.2.1 Τοιγαροῦν οὐκ ἐν σχήμασι καὶ τύποις ἐξωτέροις ἡ ἀλλοίωσις τῶν Χριστιανῶν ὑπάρχει, ὡς οἱ πολλοὶ ἐν τούτῳ οἴονται εἶναι τὴν διαφορὰν καὶ τὴν διάκρισιν μεταξὺ τοῦ κόσμου καὶ αὐτῶν ἐν σχήμασι καὶ τύποις. καὶ ἰδοὺ καὶ τῷ νῷ καὶ τῇ διανοίᾳ ὅμοιοι τῷ κόσμῳ τυγχάνουσι, σεισμὸν καὶ ἀκαταστασίαν τῶν λογισμῶν καὶ ἀπιστίαν καὶ σύγχυσιν καὶ ταραχὴν καὶ δειλίαν ἔχοντες· καὶ τῷ μὲν σχήματι καὶ τῷ δοκεῖν τοῦ κόσμου διαφέρουσι ἢ καὶ τίσιν ἐξωτέροις κατορθώμασι, τῇ δὲ καρδίᾳ καὶ τῷ νῷ ἐν τῇ γῇ περισύρονται καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν τῷ κόσμῳ καὶ ἐν τοῖς γηΐνοις δεσμοῖς δέδενται, ἀνάπαυσιν καὶ εἰρήνην τὴν τοῦ πνεύματος οὐράνιον ἐν τῇ καρδίᾳ μὴ κεκτημένοι, ἐπεὶ οὐκ ἐζήτησαν παρὰ θεοῦ οὐδὲν καὶ 48.2.2 ἐπίστευσαν τούτων καταξιωθῆναι. ἐν γὰρ τῇ τοῦ νοὸς ἀνακαινίσει καὶ τῇ τῶν λογισμῶν εἰρήνῃ καὶ τῇ τοῦ κυρίου ἀγάπῃ καὶ οὐρανίῳ ἔρωτι ἡ «καινὴ κτίσις» τῶν Χριστιανῶν πάντων ἀνθρώπων τοῦ κόσμου διαφέρει· διὸ καὶ ἡ ἔλευσις τοῦ κυρίου γεγένηται, τούτων πνευματικῶν ἀγαθῶν καταξιῶσαι τοὺς ἀληθῶς πιστεύοντας εἰς αὐτόν. Χριστιανῶν γὰρ ἡ δόξα καὶ τὸ κάλλος καὶ ὁ πλοῦτος ὁ οὐράνιος ἀλάλητός ἐστι καὶ μετὰ πόνων καὶ ἱδρώτων καὶ δοκιμασιῶν 48.2.3 καὶ ἀγώνων πολλῶν, τὸ δὲ ὅλον χάριτι ποριζόμενος. εἰ γὰρ ἡ τοῦ ἐπιγείου βασιλέως θέα ἐπιθυμητὴ παρὰ πᾶσιν ἀνθρώποις τυγχάνει, καὶ πᾶς τις ἐπιδημῶν ἐν πόλει βασιλέως ἐπιθυμεῖ καὶ μόνον θεάσασθαι τὸ κάλλος αὐτοῦ ἢ τὴν ὡραιότητα τῶν ἐνδυμάτων ἢ τῆς πορφύρας τὴν δόξαν, τῶν ποικίλων μαργαριτῶν τὸ κάλλος, τοῦ διαδήματος τὴν εὐπρέπειαν, τῶν σὺν αὐτῷ ἀξιωμάτων τὴν τιμιότητα καὶ προσώπων τὴν ὡραιότητα, ἐκτὸς εἰ μὴ οἱ πνευματικοὶ ἐξουθενοῦσιν αὐτὰ διὰ τὸ ἄλλης δόξης ἀσωμάτου καὶ οὐρανίου πεπειρᾶσθαι καὶ ἄλλῳ κάλλει ἀρρήτῳ τετρῶσθαι καὶ ἄλλου πλούτου ἀλαλήτου κεκοινωνηκέναι καὶ 48.2.4 τῷ ἔσω ἀνθρώπῳ ἥδεσθαι καὶ ἄλλου πνεύματος μετέχειν· ἐπεὶ οἱ τοῦ κόσμου τούτου ἄνθρωποι οἱ τὸ πνεῦμα τοῦ κόσμου ἔχοντες ἐν πολλῇ ἐπιθυμίᾳ εἰσὶ τὸν ἐπίγειον βασιλέα κἂν θεάσασθαι μόνον σὺν πάσῃ τῇ εὐπρεπείᾳ καὶ τῇ δόξῃ αὐτοῦ· ὅσον γὰρ ἐν τοῖς φαινομένοις πολλῷ μείζων ἡ μερὶς αὐτοῦ ἐστι παρὰ πάντας ἀνθρώπουςοὕτως ἔνδοξον, οὕτως ἐπιθυμητὸν ὑπὸ πάντων τὸ καὶ θεαθῆναι μόνονκαὶ ἕκαστος ἐν ἑαυτῷ λέγει· "1εἴθε τις ἔδωκέ μοι ἐκείνην τὴν δόξαν καὶ τὴν εὐπρέπειαν καὶ τὴν ὡραιότητα"2, μακαρίζων ἐκεῖνον τὸν ὅμοιον ἑαυτῷ γήϊνον καὶ ὁμοιοπαθῆ καὶ θνητὸν ὄντα, διὰ δὲ τὴν πρόσκαιρον 48.2.5 εὐπρέπειαν καὶ δόξαν ἐπιθυμητόν, εἰ οὖν οὕτως οἱ σαρκικοὶ ἄνθρωποι ἐπιθυμοῦσι τοῦ γηΐνου βασιλέως τὴν δόξαν ἰδεῖν, πόσῳ μᾶλλον οἷς ἐνέσταξεν ἐκείνη ἡ ῥανὶς τοῦ πνεύματος τῆς θεότητος τῆς ζωῆς καὶ ἔτρωσε τὴν καρδίαν αὐτῶν ἔρωτι θείῳ πρὸς τὸν οὐράνιον βασιλέα Χριστόν, εἰς ἐκεῖνο τὸ κάλλος καὶ τὴν ἀλάλητον δόξαν καὶ ἄφραστον εὐπρέπειαν καὶ τὸν ἀνεννόητον πλοῦτον τοῦ ἀληθινοῦ καὶ αἰωνίου βασιλέως Χριστοῦ δέδενται καὶ αἰχμαλωτίζονται τῇ ἐπιθυμίᾳ καὶ τῷ ποθῷ, ὅλοι ἐξ ὅλου πρὸς αὐτὸν τυγχάνοντες, καὶ ἐπιθυμοῦσι τυχεῖν ἐκείνων, ὧν ἐνοπτρίζονται διὰ τοῦ πνεύματος ἀλαλήτων ἀγαθῶν, οὗ ἕνεκε πάντα τὰ ἐπὶ γῆς κάλλη καὶ εὐπρεπείας καὶ δόξας καὶ τιμὰς καὶ πλοῦτον βασιλέως τε καὶ ἀρχόντων ἐξουδένωσαν· θείῳ γὰρ κάλλει ἐτρώθησαν καὶ ζωὴ 48.2.6 ἀθανασίας οὐρανίου ἐν ταῖς ψυχαῖς αὐτῶν ἐνέσταξε. διὸ καὶ εἰς ἐκείνην τὴν ἀγάπην πρὸς τὸν ἐπουράνιον βασιλέα ὠθοῦνται, αὐτὸν μόνον πρὸ ὀφθαλμῶν ἐν πολλῇ ἐπιθυμίᾳ ἔχοντες, καὶ διὰ τοῦτο πάσης ἀγάπης κόσμου ἑαυτοὺς λύουσιν καὶ ἀναχωροῦσι παντὸς δεσμοῦ γηΐνου, ἵνα δυνηθῶσιν ἐκεῖνον τὸν πόθον ἐν τῇ ἑαυτῶν καρδίᾳ πάντοτε ἔχειν καὶ μηδὲν ἕτερον σὺν ἐκείνῳ. 48.2.7 Ὀλίγοι δὲ πάνυ εἰσὶν οἱ τῇ ἀγαθῇ ἀρχῇ τέλος ἀγαθὸν πορισάμενοι καὶ διερχόμενοι ἕως τέλους ἄπτωτοι, τὴν μίαν ἀγάπην τῆς ζωῆς τὴν πρὸς τὸν θεὸν 48.2.8 μόνον κατάσχοντες καὶ πάντων ἑαυτοὺς λελυκότες. πολλοὶ γὰρ κατανύσσονται καὶ πολλοὶ χάριτος οὐρανίου μέτοχοι γίνονται καὶ ἔρωτι οὐρανίῳ τιτρώσκονται, ἀλλὰ διὰ τοὺς ἐν μέσῳ ἀγῶνας καὶ ἀθλήσεις καὶ πόνους καὶ πειρασμοὺς διαφόρους τοῦ πονηροῦ μὴ ὑπομένοντες, ἐν ποικίλαις καὶ διαφόροις ἐπιθυμίαις κοσμικαῖς περιτρεπόμενοι διὰ τὸ θέλημα ἔχειν ἕκαστον τοῦ ἀγαπῆσαί τι τοῦ κόσμου τούτου καὶ μὴ λελυκέναι πάντοθεν τὴν ἀγάπην αὐτοῦ, ἀπέμειναν καὶ ἐβυθίσθησαν ἐν τῷ τοῦ κόσμου βυθῷ διὰ ἰδίου θελήματος ἢ ἀνανδρίαν καὶ χαύνωσιν ἢ δειλίαν ἢ δι'



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀγάπην τινὰ γηΐνην. 48.3.1 Οἱ γὰρ ἐξ ἀληθείας διεξελθεῖν ἕως τέλους ἐν ἀγαθῇ διαγωγῇ βουλόμενοι ἄλλον ἔρωτα καὶ ἄλλην ἀγάπην μετ' ἐκείνης τῆς ἐπουρανίου παραδέξασθαι ἑκουσίως καὶ μῖξαι οὐκ ὀφείλουσιν, ἵνα μὴ ἐμποδισθῶσιν ἐν τοῖς πνευματικοῖς καὶ 48.3.2 στραφῶσιν εἰς τὰ ὀπίσω καὶ τέλος ἐκπέσωσι τῆς ζωῆς. ὥσπερ γὰρ μεγάλα καὶ ἀλάλητα καὶ ἀνεκδιήγητα τὰ ἐπηγγελμένα παρὰ θεοῦ τυγχάνει, οὕτω πίστεως καὶ ἐλπίδος καὶ πόνων καὶ ἀγώνων μεγάλων χρεία καὶ πολλῆς δοκιμασίας· οὐ γάρ τι μικρὸν τυγχάνει, ἃ ἐλπίζει ἀγαθὰ λαβεῖν ἄνθρωπος. βασιλείαν οὐρανῶν ἐπιθυμεῖς καὶ συμβασιλεῦσαι Χριστῷ εἰς τοὺς ἀπεράντους αἰῶνας βούλει, καὶ τοὺς ἀγῶνας καὶ πόνους καὶ πειρασμοὺς δι' ὀλίγου χρόνου τῆς ζωῆς 48.3.3 ταύτης ἀναδέξασθαι προθύμως ἕως θανάτου οὐ καταδέχῃ; τοῦ κυρίου βοῶντος· «εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν χαίρων καὶ ἀκολουθείτω μοι», καὶ πάλιν· «ἐὰν μή τις μισήσῃ πατέρα, μητέρα, γυναῖκα, τέκνα, ἀδελφούς, ἀδελφάς, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής». οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων τῆς βασιλείας ἐπιτυχεῖν βούλονται καὶ τὴν αἰώνιον ζωὴν κληρονομῆσαι θέλουσιτὸ θέλημα δὲ αὐτῶν ζῇ ἐν τοῖς ἰδίοις θελήμασι καὶ ἀκολουθοῦντες τοῖς θελήμασιν αὐτῶν, μᾶλλον δὲ τῷ ἐνσπείροντι τὰ μάταια, καὶ μὴ ἀρνούμενοι ἑαυτοὺς βούλονται τὴν αἰώνιον ζωὴν κληρονομῆσαι, ὅπερ ἐστὶν ἀδύνατον· ὁ γὰρ 48.3.4 λόγος τοῦ κυρίου ἀληθὴς τυγχάνει. καὶ οὗτοι ἄπτωτοι διεξέρχονται οἱ κατὰ τὴν ἐντολὴν τοῦ κυρίου ἀρνησάμενοι ὅλοι ἐξ ὅλου ἑαυτούς, καὶ πάσας τὰς τοῦ κόσμου ἐπιθυμίας καὶ δεσμοὺς καὶ μετεωρισμοὺς καὶ ἡδονὰς καὶ ἀσχολίας σικχαίνοντες καὶ μόνον αὐτὸν πρὸ ὀφθαλμῶν ἔχοντες καὶ τὰς ἐντολὰς αὐτοῦ ποιεῖν ἐπιθυμοῦντες, ὥστε ἰδίῳ θελήματι ἀποστρέφεται ἕκαστος τῆς βασιλείας διὰ τὸ μὴ ἐξ ἀληθείας θελῆσαι καμεῖν καὶ ἀρνήσασθαι ἑαυτὸν καὶ διὰ τὸ ἀγαπᾶν τι σὺν ἐκείνῃ τῇ ἀγάπῃ, τῷ ἥδεσθαί τισι τοῦ αἰῶνος τούτου ἡδοναῖς ἢ ἐπιθυμίαις καὶ τῷ μὴ ὅλῃ τῇ ἀγάπῃ, ὅσον ἐν προαιρέσει καὶ θελήματι δυνατόν, πρὸς κύριον εἶναι. 48.3.5 Ἐξ ἑνὸς δὲ ὑποδείγματος συννόησόν μοι πάντα. διακρίνων μέν, διακρίνει ἕκαστος καὶ οἶδεν, ὅτι ἄτοπόν ἐστιν ὃ θέλει ποιῆσαι, ἀλλ' ἐπειδὴ ἀγαπᾷ καὶ οὐκ ἀρνεῖται αὐτό, ἡττᾶται αὐτῷ. πρότερον γὰρ ἔσω ἐν τῇ καρδίᾳ ὁ πόλεμος γίνεται καὶ τὸ στάθμιον καὶ ἡ ῥοπὴ καὶ τὸ ζύγιον τῆς ἀγάπης τοῦ θεοῦ καὶ τῆς ἀγάπης τοῦ κόσμου, καὶ τότε προέρχεται ἔξω καὶ διακρίνων διακρίνει ἕκαστος, εἰ τύχοι εἰς μάχην καὶ διαπληκτισμὸν πρὸς τὸν ἀδελφόν, λέγων ἐν 48.3.6 ἑαυτῷ· "1εἴπω; ἀλλὰ μὴ εἴπω; λαλήσω; ἀλλὰ μὴ λαλήσω;"2 μνημονεύων τοῦ θεοῦ, ἀλλὰ καὶ τὴν ἰδίαν δόξαν περιποιούμενος καὶ μὴ ἑαυτὸν ἀρνούμενος. ἀλλ' ἐὰν ὀλίγον καταβαρήσῃ ἡ ἀγάπη τοῦ κόσμου καὶ ἡ ῥοπὴ ἐν τῷ τῆς καρδίας ζυγῷ, εὐθὺς προέρχεται ὁ πονηρὸς λόγος μεχρὶ τῶν χειλέων. εἶτα ὥσπερ βέλη ἐντείνων ὁ νοῦς ἔνδοθεν τοξεύει τὸν πλησίον διὰ τῆς γλώττης, πέμπων βέλη λόγων ἀπρεπῶν, καὶ ἐκτὸς ὄντων τῆς ἐντολῆς τοῦ θεοῦ· ὡς βαρηθεὶς τῇ ῥοπῇ τῆς ἀγάπης τοῦ κόσμου καὶ θελήματι ἑκουσίῳ τὴν ἑαυτοῦ δόξαν περιποιού48.3.7 μενος. εἶτα τοξεύων ἐπὶ πολὺ τὸν πλησίον διὰ λόγων ἀπρεπῶν, ἕως οὗ καὶ ἐν τοῖς μέλεσι διαχυθῇ τὸ ἁμάρτημα εἰς συμπληγάδας. ἢ ἐνίοτε καὶ τραύματα διὰ τοῦ σώματος ἀπεργάζεται πολεμούντων πρὸς ἄλληλα τῶν μελῶν, ἐνίοτε δὲ καὶ ἕως φόνου καὶ θανάτου ἀπαρτίζεται τὸ τοῦ πονηροῦ ἐπιθύμημα. ἴδε, πόθεν ἤρξατο καὶ ἕως ποῦ ἔσχε τὸ τέλος ἀγάπη δόξης κοσμικῆς θελήματι ἰδίῳ βαρηθεὶς τῇ ῥοπῇ τοῦ τῆς καρδίας ζυγοῦ· διὰ γὰρ τὸ μὴ ἀρνεῖσθαι ἑαυτὸν ἀλλὰ ἀγαπᾶν τι τοῦ κόσμου ἐκεῖνα ὅλα τὰ ἀτοπήματα γίνεται. 48.3.8 Οὕτως νόει μοι καὶ εἰς ἕκαστον ἁμάρτημα καὶ ἐπιτήδευμα φαῦλον τῆς κακίας κολακευούσης καὶ προτρεπομένης τὸ θέλημα τοῦ νοὸς ἐν ἐπιθυμίαις κοσμικαῖς καὶ ἡδοναῖς σαρκός. οὕτω πᾶν πρᾶγμα κακίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀπαρτίζεται, οὕτω μοιχεία οὕτω κλοπή, οὕτω πλεονεξία οὕτω μέθη, οὕτω φιλαρχία οὕτω κενοδοξία, οὕτω 48.3.9 ζῆλος οὕτω φιλαργυρία καὶ πᾶν ὁτιοῦν ἐστι κακίας ἐπιτήδευμα. ἐνίοτε δὲ καὶ τὰ καλὰ δοκοῦντα ἐπιτηδεύματα διὰ δόξαν κενὴν ἀνθρώπων ἐπιτελεῖται, ἅπερ ἴσα ἐστὶ παρὰ θεῷ ἀδικίας καὶ κλοπῆς καὶ τῶν λοιπῶν ἁμαρτημάτων. «θεὸς (γάρ φησι) διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων», ὥστε καὶ διὰ δοκούντων καλῶν ὑπηρετεῖσθαι καὶ δουλεύεσθαι ὁ πονηρὸς βούλεται· πολυποίκιλος 48.3.10 γάρ ἐστι καὶ ἀπατηλὸς ἐν ἐπιθυμίαις κόσμου. διὰ γὰρ ἀγάπην τινὰ γηΐνην καὶ σαρκικήν, ἐν δεσμεῖταί τις θελήματι ἰδίῳ δελεαζόμενος ὑπὸ τῆς κακίας, ὅπερ γίνεται αὐτῷ ἅλυσις καὶ δεσμὸς καὶ φορτίον βαρὺ καταβυθίζον καὶ πνῖγον ἐν τῷ αἰῶνι τῆς πονηρίας, μὴ συγχωροῦν ἀνακύψαι καὶ εὐθέως πρὸς θεὸν ἀνελθεῖν· ἐπειδὴ ὅπερ ἠγάπησέ τις τοῦ κόσμου, καταβαρεῖ τὸν νοῦν αὐτοῦ 48.3.11 κάτω, καὶ κρατεῖ καὶ οὐκ ἐᾷ ἀνακύψαι. εἰς τοῦτο γὰρ τὸ στάθμιον καὶ ἡ ῥοπὴ καὶ τὸ τῆς καρδίας ζύγιον κρέμαται καὶ δοκιμάζεται πᾶν γένος τῶν ἀνθρώπων ἤτοι Χριστιανῶν τῶν ἐν πόλεσιν οἰκούντων ἢ ἐν ὄρεσιν ἢ ἐν μοναῖς ἢ ἐν ἀγροῖς ἢ ἐν ἐρήμοις τόποις, ὅτι θελήματι ἰδίῳ δελεαζόμενος τίς ποτε, οὐκ ἀγαπᾷ ὀρθῶς καὶ οὐ δέδεται αὐτοῦ ἡ ἀγάπη καὶ οὔκ ἐστιν ὅλη πρὸς θεόν. 48.3.12 Ἠγάπησε γὰρ εἰ τύχοι τίς κτήματα, ἄλλος χρυσίον καὶ ἀργύριον, ἄλλος γαστρὶ δουλεύειν, ἄλλος ταῖς ἐπιθυμίαις τῆς σαρκός, ἄλλος σοφίαν κόσμου διὰ δόξαν ἀνθρώπων, ἄλλος ἠγάπησεν ἀρχήν, ἄλλος δόξαν καὶ τιμὰς ἀνθρώπων, ἄλλος ὀργὴν καὶ μῆνινδιὰ γὰρ τὸ ταχέως ἑαυτὸν ἐκδιδόναι τῷ πάθει ἀγαπᾷ αὐτό, ἄλλος ἀκαίρους συντυχίας, ἄλλος ζῆλον, ἄλλος πᾶσαν ἡμέραν ἁπλῶς μετεωρίζεται καὶ ἥδεται, ἄλλος ἀργοῖς λόγοις ἀγαπᾷ, ἄλλος ὡς νομοδιδάσκαλος εἶναι ἀγαπᾷ διὰ δόξαν ἀνθρώπων, ἄλλος χαυνώσει καὶ ἀμελείᾳ ἥδεται, ἄλλος ἱματίοις καὶ ῥάκεσι δέδεται, ἄλλος μερίμναις γηΐναις ἑαυτὸν ἐνδίδωσιν, ἄλλος ὕπνον ἢ εὐτραπελίαν ἢ ἀκαιρολογίαν ἀγαπᾷ καὶ ἁπλῶς ἐὰν μικρῷ τινι ἢ μεγάλῳ τοῦ κόσμου τούτου δεσμεῖταί τις κατέχεται καὶ οὐκ ἐᾶται ἀνακύψαι. 48.3.13 πρὸς ὃ γάρ τις πάθος οὐ πολεμεῖ γενναίως, ἐκεῖνο ἀγαπᾷ, κἀκεῖνο κρατεῖ αὐτὸν καὶ βαρύνει καὶ γίνεται αὐτῷ ἐμπόδιον καὶ ἅλυσις τοῦ μὴ τὸν νοῦν αὐτοῦ ἀπιέναι πρὸς τὸν θεὸν καὶ εὐαρέστως αὐτῷ μόνῳ λατρεῦσαι καὶ ἐν τῇ βασιλείᾳ ζωῆς αἰωνίου τυχεῖν. 48.4.1 Ψυχὴ γὰρ ἡ ἀληθῶς τὴν ὁρμὴν πρὸς κύριον ἔχουσα ὅλη ἐξ ὅλου τὴν ἀγάπην αὐτῆς πρὸς κύριον κέκτηται καὶ πρὸς αὐτὸν μόνον ὅση δύναμις ἐκ προαιρέσεως δεσμεῖται, κἀκεῖθεν τὴν βοήθειαν τῆς χάριτος προσκτᾶται καὶ ἑαυτὴν ἀρνεῖται καὶ τοῖς θελήμασι τοῦ νοὸς αὐτῆς οὐκ ἀκολουθεῖὅτι δολίως πορεύεται μεθ' ἡμῶν διὰ τὸ συνὸν καὶ δελεάζον κακόν, ἀλλὰ τῷ τοῦ κυρίου λόγῳ ὁλοτελῶς ἑαυτὴν ἐκδίδωσι καὶ παντὸς φαινομένου καὶ κρυπτοῦ δεσμοῦ λύει ἑαυτήν, ὅσον ἐκ θελήματος δυνατὸν καὶ τῷ κυρίῳ ἐξ ὅλου ἑαυτὴν δίδωσι, καὶ οὕτω διεξελθεῖν δυνήσεται ἕως τέλους καθαρῶς· καὶ ἐπικουφισθῆναι τῶν ἀγώνων καὶ 48.4.2 πόνων καὶ ἀθλήσεων. ὅπου γὰρ ἀγαπᾷ τις, ἐκεῖθεν βοηθεῖται καὶ ἐκεῖθεν βαρεῖται. ἐάν τέ τι τοῦ κόσμου ἀγαπᾷ ἐκεῖνο ὃ δήποτε ὀνομάζει ὡς οὐδέν, ἐκεῖνο γίνεται αὐτῷ ἅλυσις καὶ φορτίον καὶ δεσμοὶ καθέλκοντες κάτω καὶ μὴ 48.4.3 συγχωροῦντες ἄνω πρὸς θεὸν ἀπελθεῖν. ἐάν τε τὸν κύριον καὶ τὰς ἐντολὰς αὐτοῦ ἀγαπᾷ, ἐκεῖθεν βοηθεῖται καὶ ἐπικουφίζεται καὶ εὔκολα αὐτῷ πάντα γίνεται τὰ τοῦ κυρίου παραγγέλματα διὰ τὸ τὴν ἀγάπην αὐτοῦ πρὸς αὐτὸν ἀποσῴζειν ὁλόκληρον καὶ βαρεῖ εἰς τὸ ἀγαθόν, μᾶλλον δὲ κουφίζει καὶ ἐλαφρύνει πάντα πόνον καὶ πᾶσαν θλῖψιν καὶ διὰ τῆς δυνάμεως τῆς θείας τὸν κόσμον διακόπτει καὶ τὰς δυνάμεις τῆς κακίας τὰς ἐν αὐτῷ παγιδευούσας τὴν ψυχὴν ἐν τῷ τοῦ κόσμου βυθῷ καὶ βρόχοις ἐπιθυμιῶν παντοδαπῶν κατα48.4.4 δεσμευούσας· καὶ οὕτως ἐξειλῆσας ἐξ αὐτῶν διὰ τῆς πολλῆς πίστεως καὶ σπουδῆς καὶ διὰ τῆς ἄνωθεν βοηθείας, ἔνθα ἠγάπησε, τῆς αἰωνίου σωτηρίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀξιοῦται· ἰδίῳ γὰρ θελήματι ἀγαπήσας ἐν ἀληθείᾳ ὑπὸ τοῦ κυρίου βοηθεῖται εἰς τὸ τῆς αἰωνίου ζωῆς ἐπιτυχεῖν. 48.4.5 Ἵνα δὲ ἀπὸ πραγμάτων φανερῶν ἀποδείξωμεν, πῶς θελήματι ἰδίῳ ἀπόλλυνται πολλοὶ δι' ἀγάπην τινά· καὶ ἐν πυρὶ καίονται καὶ ἐν θαλάσσῃ βυθίζονται καὶ ἐν αἰχμαλωσίᾳ ἁρπάζονται, ὑπόθου μοὶ οἶκόν τινα ἢ ἀγρὸν ἐμπιπρᾶσθαι πυρί, καὶ ὃς μὲν σῶσαι ἑαυτὸν βουλόμενος αἰσθόμενος τοῦ ἐμπρησμοῦ γυμνὸς ἔφυγε καταλιπὼν πάντα, καὶ τὴν ἑαυτοῦ ψυχὴν μόνον περιποιήσασθαι βουλόμενος διεσώθη. ἄλλος δὲ βουλόμενος λαβεῖν τοῦ οἴκου τινὰ σκεύη ἢ ἱμάτια ἄλλα τινὰ εἰσῆλθεν ἆραι, καὶ ὡς ἔλαβε, κατεκυρίευσε τὸ πῦρ τοῦ οἴκου καὶ συνέλαβεν 48.4.6 αὐτὸν ἔνδον καὶ κατέκαυσεν. ὁρᾷς ὅτι ἰδίῳ θελήματι δι' ἀγάπην τινὰ πρόσκαιρον παρ' ἑαυτὸν ἀγαπήσας ἐκεῖνα ἐν τῷ πυρὶ ἀπώλετο. ὁμοίως πάλιν ἐν θαλάσσῃ στάσει τινὶ περιπεσόντες κλύδωνος τινὲς ἐναυάγησαν· καὶ ὃς μὲν ἀποδυσάμενος γυμνὸς εἰσῆλθεν ἐν τοῖς ὕδασιν ἑαυτὸν βουλόμενος σῶσαι καὶ οὕτως ὑπὸ τῶν κυμάτων τυπτόμενος καὶ ἄνωθεν αὐτῶν ἐπικολυμβῶν διὰ τὸ εὔλυτον αὐτὸν εἶναι ἠδυνήθη διεξελθεῖν τὴν πικρὰν θάλασσαν καὶ οὕτω τὴν 48.4.7 ψυχὴν αὐτοῦ περιεποιήσατο. ἄλλος δέ τις βουλόμενος σῶσαί τινα τῶν ἐνδυμάτων αὐτοῦ ἐνόμισε δύνασθαι ἐκκολυμβῆσαι καὶ διεξελθεῖν σὺν ἐκείνοις, οἷς ἦρε σὺν ἑαυτῷ, καὶ αὐτὰ ἐκεῖνα ἅπερ ἔλαβε κατεβάρησαν αὐτὸν καὶ κατεβάπτισαν ἐν τῷ βυθῷ τῆς θαλάσσης, καὶ ἀπώλετο δι' ὀλίγον κέρδος μὴ τὴν 48.4.8 ἑαυτοῦ ψυχὴν μόνην σῶσαι βουλευσάμενος. ὁρᾷς ὅτι θελήματι αὐτοῦ ἐθανατώθη. ἢ πάλιν ὑπόθου μοι ἀκοὴν ἀλλοφύλων ἐπέρχεσθαι. καὶ ὃς μὲν τῷ ἀκοῦσαι ἅμα ἔφυγεν εὐθέως μὴ ἀναβαλλόμενος γυμνὸς ἐξελθών. ἄλλος δὲ δυσπιστῶν, ὅτι ἔρχονται οἱ ἐχθροὶ ἢ ἐλεῶν τινα τῶν ἰδίων πραγμάτων καὶ βουλόμενος ἆραι μεθ' ἑαυτοῦ ἐβράδυνε φυγεῖν, καὶ ἐπελθόντες οἱ πολέμιοι κατέλαβον καὶ ᾐχμαλώτευσαν αὐτὸν εἰς τὴν τῶν ἀλλοφύλων πατρίδα κἀκεῖ δουλεύειν πικρῶς κατηνάγκασαν. ὁρᾷς, ὅτι θελήματι αὐτοῦ διὰ χαύνωσιν καὶ ἄνοιαν καὶ ἀγάπην 48.4.9 τινῶν πραγμάτων εἰς τὴν αἰχμαλωσίαν ἀπηνέχθη. οὕτω καὶ οἱ μὴ ταῖς ἐντολαῖς τοῦ κυρίου ἐξακολουθοῦντες καὶ μὴ ἑαυτοὺς ἀρνούμενοι καὶ μόνον τὸν κύριον ἀγαπῶντες, ἀλλὰ δεσμοῖς κόσμου γηΐνοις ἑκουσίως δεσμούμενοι καὶ ἀγάπῃ τινὶ σαρκικῇ κατεχόμενοι, ἐπελθόντος τοῦ πυρὸς τοῦ αἰωνίου εὑρεθέντες ἐν τῇ ἀγάπῃ τοῦ κόσμου καυθήσονται καὶ ὑπὸ τῆς πικρᾶς θαλάσσης τῆς πονηρᾶς καταβυθίζονται καὶ ὑπὸ τῆς αἰχμαλωσίας τῶν ἀλλοφύλων (τουτέστι τῶν πνευμάτων τῆς πονηρίας) αἰχμαλωτιζόμενοι ἀπόλλυνται. 48.4.10 Εἰ δὲ βούλει γνῶναι ἀγάπης ἀπηρτισμένης πρὸς κύριον εὐθύτητα ἐκ τῶν θεοπνεύστων γραφῶν κατάμαθε· ἴδε τὸν Ἰὼβ πῶς πάντα ἀπεδύσατο ὥσπερ εἰπεῖν, ἅπερ ἦν κεκτημένος, τέκνα, κτήματα, ζῷα, παῖδας καὶ τὰ λοιπὰ ὑπάρχοντα· πῶς ἀποδυσάμενος ἔφυγε καὶ διέσωσεν ἑαυτὸν καὶ αὐτὸν τὸν χιτῶνα ἀφεὶς καὶ προσρίψας τῷ σατανᾷ καὶ μηδένα λόγον βλασφημίας μήτε τῇ καρδίᾳ μήτε τοῖς χείλεσι φθεγξάμενος ἐνώπιον τοῦ κυρίου, ἀλλὰ τοὐναντίον ηὐλόγησε τὸν κύριον· «ὁ κύριος, γάρ φησιν, ἔδωκεν, ὁ κύριος ἀφείλετο· ὡς κύριος ἠθέλησεν, οὕτω καὶ ἐγένετο. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον». ἴδε ἀγάπης πρὸς κύριον ὁλοκλήρου εὐθύτητα, ὅτι οὐδὲν παρὰ τὸν κύριον ἠγάπησεν πλὴν αὐτὸν 48.4.11 μόνον. καὶ Ἀβραὰμ ἐνομίζετο κεκτῆσθαι πολλά, δοκιμασθεὶς δὲ ὑπὸ θεοῦ «ἐξελθεῖν ἐκ τῆς γῆς καὶ ἐκ τῆς συγγενείας καὶ ἐκ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ», εὐθέως ὥσπερ εἰπεῖν ἀπεδύσατο πάντα, πατρίδα γῆν, συγγένειαν, γο48.4.12 νεῖς, καὶ ἐξηκολούθησε τῷ λόγῳ τοῦ θεοῦ. εἶτα μεταξὺ πολλῶν δοκιμασιῶν καὶ πειρασμῶν αὐτῷ γεγενημένων, τοῦτο μὲν τῆς γυναικὸς αὐτοῦ λαμβανομένης, τοῦτο δὲ ἐν ξενίᾳ διάγων καὶ ἀδικούμενος, καὶ εἰς πάντα ἀποδειχθείς, ὅτι θεὸν μόνον ἀγαπᾷ ὑπὲρ πάντα, ὕστερον τὸν δι' ἐπαγγελίας καὶ διὰ πολλῶν ἐτῶν υἱὸν μονογενῆ κατὰ πολλὴν ἐπιθυμίαν ἐκτήσατο καὶ αἰτηθεὶς τοῦτον εἰς θυσίαν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

προθύμως δι' ἑαυτοῦ ἀνέφερεν, ἀποδυσάμενος αὐτὸν καὶ ἀληθῶς ἑαυτὸν ἀρνησάμενος· ἀπέδειξε, ὅτι πάρεξ τοῦ θεοῦ ἄλλο τι οὐκ ἠγάπησε διὰ τῆς τοῦ 48.4.13 μονογενοῦς προσκομίσεως. εἰ γὰρ ἐκεῖνον προθύμως ἀπεδύσατο, πόσῳ μᾶλλον εἰ τὰ λοιπὰ αὐτοῦ ὑπάρχοντα ἐκελεύσθη ἐᾶσαι ἢ πένησιν ὑφ' ἓν διανεῖμαι, ἑτοίμως καὶ προθύμως ἂν ἐποίησεν. ὁρᾷς ἀγάπης ἀπηρτισμένης ἐκ θελήματος πρὸς κύριον εὐθύτητα; 48.4.14 Οὕτω καὶ οἱ τούτων συγκληρονόμοι γενέσθαι βουλόμενοι πάρεξ θεοῦ οὐδὲν ἀγαπῆσαι ὀφείλουσιν, ἵν' ὅτε δοκιμασθῶσι εὑρεθῶσι χρήσιμοι καὶ δόκιμοι, τελείαν τὴν ἀγάπην αὐτῶν πρὸς τὸν κύριον ἀποσῴζοντες. οἱ τοιοῦτοι διεξελθεῖν ἕως τέλους δυνήσονται, οἱ ἐκ θελήματος θεὸν μόνον ἀγαπήσαντες πάντοτε καὶ πάσης ἀγάπης κόσμου ἑαυτοὺς λελυκότες. 48.4.15 Ὀλίγοι δὲ πάνυ σφόδρα εὑρίσκονται οἱ τοιαύτην ἀγάπην ἀναλαμβάνοντες καὶ πάσας τὰς ἡδονὰς καὶ ἐπιθυμίας ἀποστρεφόμενοι καὶ μακροθύμως τὰς ἐπαναστάσεις καὶ πειρασμοὺς τοῦ πονηροῦ ὑπομένοντες. μὴ γὰρ ἐπειδὴ πολλοὶ ποταμοὺς παρερχόμενοι παρασύρονται ὑπὸ τῶν ὑδάτων, οὔκ εἰσιν οἱ παρερχόμενοι καὶ διαπερῶντες γενναίως τοὺς θολεροὺς τῶν τοῦ κόσμου ἐπιθυμιῶν καὶ 48.4.16 παντοδαπῶν καὶ ποικίλων πειρασμῶν ποταμούς; καὶ ἐπειδὴ πολλὰ πλοῖα ἐν τῇ θαλάσσῃ κλυδωνιζόμενα καὶ καλυπτόμενα ὑπὸ τῶν κυμάτων βυθίζονται, οὔκ εἰσι τὰ διαπερῶντα καὶ ἐπάνω τῶν κυμάτων διοδεύοντα καὶ εἰς λιμένα εἰρήνης καταντήσαντα; διὰ τοῦτο πίστεως πολλῆς καὶ μακροθυμίας καὶ ἀγῶνος καὶ ὑπομονῆς καὶ πόνων καὶ ἀγώνων καὶ πείνης καὶ δίψης εἰς τὸ ἀγαθὸν καὶ ὀξύτητος καὶ ἀναιδείας καὶ διακρίσεως καὶ συνέσεως πάντοτε χρεία. 48.5.1 Οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων ἄνευ καμάτων καὶ ἱδρώτων καὶ ἀγώνων 48.5.2 ἐπιτυχεῖν τῆς βασιλείας βούλονται, ὅπερ ἀδύνατόν ἐστιν. ὥσπερ ἐν κόσμῳ ἀπέρχονται ἄνδρες πρός τινα πλούσιον καὶ οἰκοδεσπότην ἐργάσασθαι εἰς θέρος ἢ εἰς ἕτερον ἔργον, ὅπως πορίσωνται ὧν χρῄζουσιν εἰς τὴν διατροφὴν αὐτῶν, εἰσὶ δὲ ἐν αὐτοῖς τινες σκληροὶ καὶ χαῦνοι καὶ ἄργοι, μὴ κάμνοντες δεόντως μηδὲ ἁρμοζόντως ἐργαζόμενοι, καὶ οὗτοι μηδὲν κοπιάσαντες μηδὲ καμόντες εἰς τὸν οἶκον τοῦ πλουσίου ἀνδρός, βούλονται τὸν αὐτὸν μισθὸν τοῖς ἀνδρείως καὶ ὀξέως καὶ ὅλῃ ἰσχύϊ καμοῦσιν λαβεῖν ὡς ἤδη τὸ αὐτὸ ἔργον πεποιηκό48.5.3 τες, τὸν αὐτὸν τρόπον ἐπαναγινώσκομεν τὰς γραφὰς καὶ μανθάνομεν, πῶς ὁ δίκαιος εὐηρέστησε τῷ θεῷ, πῶς φίλος καὶ συνόμιλος θεοῦ γέγονε, καὶ πάντες δὲ οἱ πατέρες πῶς φίλοι καὶ κληρονόμοι θεοῦ γεγόνασι, πόσας θλίψεις ὑπέμειναν, πόσα διὰ τὸν θεὸν ἔπαθον, πόσα ἠνδραγάθησαν καὶ ἠγωνίσαντο, καὶ μακαρίζωμεν αὐτοὺς καὶ τῶν ἴσων αὐτοῖς δρόμων καὶ ἀξιωμάτων τυχεῖν βουλόμεθα καὶ ἐπιθυμοῦμεν προθύμως τὰ ἔνδοξα ἐκεῖνα λαβεῖν χαρίσματα, ὑπερβαίνοντες τοὺς πόνους αὐτῶν καὶ ἀγῶνας καὶ θλίψεις καὶ τὰ παθήματα καὶ τὰς μὲν τιμὰς αὐτῶν καὶ τὰ ἀξιώματα ἐπὶ θεοῦ οἷα κέκτηνται, προθύμως λαβεῖν θέλομεν, τοὺς δὲ καμάτους αὐτῶν καὶ πόνους καὶ ἀγῶνας οὐκ 48.5.4 ἀναδεχόμεθα. λέγω δέ σοι, ὅτι τούτων καὶ πᾶς τις ἀνθρώπων ἐπιθυμεῖ καὶ θέλει, καὶ πόρναι καὶ τελῶναι καὶ ἄδικοι ἄνθρωποι, εὐκόλως βούλονται ἄνευ πόνων καὶ ἀγώνων τυχεῖν τῆς βασιλείας τῷ θέλειν δέ, ἄνευ τοῦ κάμνειν, ἀλλὰ διὰ τοῦτο ἐν μέσῳ πειρασμοὶ καὶ δοκιμασίαι πολλαὶ καὶ θλίψεις καὶ ἀγῶνες καὶ ἱδρῶτες πρόκεινται, ἵνα φανεροὶ γένωνται. τίνες ἐξ ἀληθείας ἕως θανάτου ἐλθόντες ἐξ ὅλης προαιρέσεως καὶ θελήματος τὸν κύριον αὐτὸν μόνον ἠγάπησαν 48.5.5 καὶ οὐδὲν ἕτερον σὺν τῇ πρὸς αὐτὸν ἀγάπῃ περιπόθητον ἔσχον. διὸ καὶ δικαίως τῆς βασιλείας τῶν οὐρανῶν καταξιοῦνται, ἀρνησάμενοι ἑαυτοὺς κατὰ τὸν τοῦ κυρίου λόγον καὶ παρὰ τὴν ἰδίαν πνοὴν τὸν κύριον μόνον ἠγαπηκότες. διὸ καὶ ἄκροις δώροις οὐρανίοις τὴν ἄκραν ἀγάπην αὐτῶν ἀμειφθήσονται. 48.5.6 Εἰς γὰρ τὰς θλίψεις καὶ τὰ παθήματα καὶ τὴν ὑπομονὴν καὶ τὴν πίστιν ἐγκεκρυμμέναι εἰσὶν αἱ ἐπαγγελίαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ἡ δόξα καὶ ἡ τῶν ἐπουρανίων ἀγαθῶν ἀποκατάστασις, ὥσπερ ἐν τῷ ῥιπτομένῳ ἐν τῇ γῇ σίτῳ ἢ δένδρῳ ἐπικεντριζομένῳ καὶ διὰ σήψεώς τινος καὶ ἀτιμίας διερχομένῳ καὶ τότε τοῦ ἐνδύματος τὴν εὐπρέπειαν καὶ τὴν δόξαν καὶ τὸν πολυπλασίονα καρπὸν ἀναφαίνοντι, εἰ μὴ γὰρ δι' ἐκείνων τῶν ἀτιμίας ἀξίων καὶ ἀφανισμοῦ παρῆλθον, οὐκ ἂν τὴν εὐπρέπειαν τῆς κοσμήσεως καὶ τὸ κάλλος ἐκεῖνο καὶ τὸν πλεονάζοντα καρπὸν 48.5.7 ἀπεδείχθησαν ἔχειν. ὡς καὶ ὁ ἀπόστολος «διὰ πολλῶν θλίψεων, φησίν, δεῖ ἡμᾶς κληρονομῆσαι τὴν βασιλείαν τῶν οὐρανῶν», καὶ ὁ κύριος· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν» καὶ πάλιν· «ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε». πόνου γὰρ καὶ σπουδῆς καὶ νήψεως καὶ πολλῆς προσοχῆς χρεία καὶ ὀξύτητος καὶ ἀναιδείας εἰς αἴτησιν πρὸς κύριον, εἰς τὸ δυνηθῆναι διεξελθεῖν τὰς τῶν γηΐνων ἐπιθυμιῶν παγίδας καὶ βρόχους τῶν ἡδονῶν καὶ καταιγίδας τοῦ κόσμου, καὶ τὰς τῶν πονηρῶν πνευμάτων ἐπαναστάσεις διαφυγεῖν, ἐν πολλῇ νήψει καὶ γοργότητι καὶ τὸ πᾶν τῇ πρὸς κύριον ἀγάπῃ καὶ πίστει, δι' ὧν πόνων καὶ θλίψεων καὶ πίστεως τὸν ἐπουράνιον θησαυρόν (τουτέστι τὴν τοῦ πνεύματος δύναμιν), ἐν ταῖς ψυχαῖς αὐτῶν ἐντεῦθεν ἐκτήσαντο, ὅπερ ἐστὶν 48.5.8 ἀρραβὼν τῆς βασιλείας. ὁ γὰρ μακάριος ἀπόστολος Παῦλος περὶ τούτου τοῦ ἐπουρανίου θησαυροῦ, (τουτέστι τῆς τοῦ πνεύματος χάριτος) διηγούμενος καὶ τὴν ὑπερβολὴν τῶν θλίψεων ἐξαγορεύων, ἅμα δὲ καὶ ὑποδεικνύς, τί ὀφείλει ἕκαστος ζητεῖν ἐντεῦθεν καὶ τί ὀφείλει κτήσασθαι, ἔλεγεν· «οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς». 48.5.9 Ὀφείλει οὖν ἕκαστος ἀγωνίσασθαι καὶ σπουδάσαι διὰ πασῶν ἀρετῶν καὶ πιστεῦσαι, ἐντεῦθεν κτήσασθαι τὸν οἶκον ἐκεῖνον, ἵνα καταλυθείσης ἡμῶν τῆς οἰκίας τοῦ σώματος ἐκεῖ ἔχωμεν ἄλλον οἶκον ἐπουράνιον ἐν ᾧ κατηυλισθῇ ἡμῶν ἡ ψυχή. «εἴγε (φησί) καὶ μὴ ἐκδυσάμενοι γυμνοὶ εὑρεθησόμεθα», τουτέστι ἀπὸ τῆς κοινωνίας καὶ ἀνακράσεως τοῦ ἁγίου πνεύματος, εἰς ὃ μόνον ἡ 48.5.10 πιστὴ ψυχὴ ἀναπαύεσθαι δύναται. διὰ τοῦτο γὰρ οἱ ὄντες ἐν ἀληθείᾳ καὶ δυνάμει Χριστιανοὶ θαρροῦσι καὶ χαίρουσιν ἐξερχόμενοι τῆς σαρκός, ὅτι ἔχουσιν ἐκεῖνον τὸν οἶκον τὸν ἀχειροποίητον, ὃς οἶκος ἐστὶν ἡ ἐνοικοῦσα ἐν αὐτοῖς τοῦ πνεύματος δύναμις. ἐὰν καταλυθῇ οὖν ἡ τοῦ σώματος οἰκία, οὐ φοβοῦνται· ἔχουσι γὰρ τὴν ἐπουράνιον τοῦ πνεύματος οἰκίαν καὶ τὴν δόξαν ἐκείνην τὴν ἄφθαρτον, ἥτις δόξα ἐν τῇ τότε ἡμέρᾳ τῆς ἀναστάσεως οἰκοδομήσει καὶ δοξάσει 48.5.11 τὸν οἶκον τοῦ σώματος, ὥς φησιν ὁ ἀπόστολος· «ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ἡμῖν», καὶ πάλιν· «ἵνα ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν» καὶ «ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς». 48.6.1 Ἀγωνισώμεθα οὖν διὰ τῆς πίστεως καὶ τῆς ἐναρέτου πολιτείας ἐντεῦθεν κτήσασθαι τὸ ἔνδυμα ἐκεῖνο, ἵνα μὴ ἐκδυσάμενοι τὸ σῶμα γυμνοὶ εὑρεθησόμεθα, καὶ οὐκ ἔστιν ὃ δοξάσει ἡμῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὴν σάρκα. ἕκαστος γὰρ ὅσον κατηξιώθη διὰ τῆς πίστεως καὶ σπουδῆς μέτοχος ἁγίου πνεύματος γενέσθαι, τοσοῦτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ δοξασθήσεται αὐτοῦ καὶ τὸ σῶμα. ὃ γὰρ νῦν ἐναπεθησαύρισεν ἔνδοθεν ἡ ψυχή, τότε ἀποκαλυφθήσεται καὶ φανήσεται ἔξωθεν ἐπὶ τοῦ σώματος. 48.6.2 Ὥσπερ τὰ δένδρα παρεληλυθότα τὸν χειμῶνα ἐπιθαλψάσης δυνάμεως ἀοράτου εἴτε ἡλίου εἴτε τῶν ἀνέμων ἔσωθεν ἐκφύει καὶ ἐκβάλλει ὡς ἔνδυμα τὰ φύλλα καὶ ἄνθη καὶ καρπούς, ὁμοίως καὶ τὰ τοῦ χόρτου ἄνθη ἐν ἐκείνῳ τῷ καιρῷ ἔνδοθεν ἐκ τῶν κόλπων τῆς γῆς προέρχεται, καὶ σκέπεται καὶ ἀμφιέννυται ἡ γῆ καὶ ὁ χόρτος ὡς τὰ κρίνα, περὶ ὧν ὁ κύριος εἶπεν· ὅτι «οὐδὲ Σολομὼν περιεβάλλετο ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ ὡς ἓν τούτων»ταῦτα γὰρ πάντα τὰ ὑπο48.6.3 δείγματα τύποι καὶ εἰκόνες εἰσὶ τῶν Χριστιανῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν τῇ ἀναστάσειοὕτω γὰρ πάσαις ταῖς φιλοθέοις ψυχαῖς (τουτέστι τοῖς ἀληθινοῖς Χριστιανοῖς) ἐστι μὲν μὴν πρῶτος ὁ Ξανθικὸς ὅ ἐστιν Ἀπρίλλιος, ὅπερ ἐστὶν ἡ ἡμέρα τῆς ἀναστάσεως. διὰ γὰρ τῆς δυνάμεως τοῦ ἡλίου τῆς δικαιοσύνης ἔνδοθεν ἐξέρχεται δόξα τοῦ ἁγίου πνεύματος, καλύπτουσα καὶ σκέπουσα τὰ σώματα τῶν ἁγίων, 48.6.4 ἥνπερ δόξαν εἶχε νῦν κεκρυμμένην ἔνδον τοῦ σώματος. ὅπερ γάρ τις ἔχει νῦν, αὐτὸ προέρχεται ἔξω τότε, «οὗτος, φησίν, μὴν πρῶτος ἔσται ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ»· οὗτος χαρὰν προσφέρει πάσῃ τῇ κτίσει, οὗτος ἀμφιέννυσι τὰ γυμνὰ δένδρα, οὗτος τὰς πόας ἀνατέλλει, οὗτος πᾶσι τοῖς ζῴοις χαρὰν προσφέρει τὴν γῆν διανοίγων, οὗτος πρῶτος τὴν ἱλαρότητα πᾶσι δείκνυσιν, οὗτος ἐστὶ τῶν Χριστιανῶν μὴν πρῶτος Ξανθικός, ὅς ἐστιν ὁ τῆς ἀναστάσεως καιρός, ἐν ᾧ δοξασθήσονται τὰ σώματα αὐτῶν διὰ τοῦ ἀπὸ τοῦ νῦν ὄντος ἐν αὐτοῖς φωτὸς ἀρρήτου (τουτέστι τῆς δυνάμεως τοῦ πνεύματος), ὅπερ ἔσται αὐτοῖς τότε ἔνδυμα, βρῶσις, πόσις, ἀγαλλίασις, χαρά, εἰρήνη, ἄμφιον καὶ τὸ 48.6.5 πᾶν ζωὴ αἰώνιος. πᾶσα γὰρ καλλονή, λαμπρότης καὶ ὡραιότης οὐράνιος εἰς αὐτοὺς τὸ πνεῦμα τῆς θεότητος, ὅπερ ἀπὸ τοῦ νῦν δέξασθαι καταξιώθησαν, τότε γίνεται. πῶς τοίνυν οὐκ ὀφείλει τις ἀγωνίσασθαι καὶ πιστεύσαι καὶ σπουδάσαι ἐν πάσῃ ἐναρέτῳ πολιτείᾳ καὶ προσδοκῆσαι ἐν ἐλπίδι καὶ ὑπομονῇ πολλῇ νῦν καταξιωθῆναι τὴν ἐξ οὐρανοῦ δύναμιν λαβεῖν καὶ δόξαν τοῦ ἁγίου πνεύματος ἔνδον ἐν τῇ ψυχῇ, ἵνα τότε λυομένων τῶν κτισμάτων ἔχῃ τι αὐτὸν ἀμφιάσει καὶ ζωοποιήσει; «εἴγε (φησὶν) καὶ ἐκδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα, καὶ ζωοποιήσει (φησὶ) τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ἡμῖν». 48.6.6 Μωϋσῆς γὰρ ὁ μακάριος ὑπέδειξε τὸν τύπον διὰ τῆς ἐπὶ τοῦ προσώπου αὐτοῦ ἐπικειμένης τοῦ πνεύματος δόξης, εἰς ἣν οὐδεὶς ἀνθρώπων ἀτενίσαι ἠδύνατο, πῶς ἐν τῇ ἀναστάσει τῶν δικαίων δοξασθήσεται τὰ σώματα· τὴν γὰρ δόξαν ἀπὸ τοῦ νῦν ἔνδοθεν ἐν τῷ ἔσω ἀνθρώπῳ ψυχαὶ ἁγίων καὶ πιστῶν ἔχειν 48.6.7 καταξιοῦνται. «ἡμεῖς, γάρ φησι, πάντες ἀνακεκαλυμμένῳ προσώπῳ, (τουτέστι τῷ ἔσω ἀνθρώπῳ) τὴν δόξαν κυρίου κατοπτριζόμεθα, τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν», ὁμοίως πάλιν· «τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἄρτον οὐκ ἔφαγεν». γέγραπται γάρ· «καὶ ὕδωρ οὐκ ἔπιεν». ἀδύνατον δὲ τὴν τοῦ σώματος φύσιν ἄνευ ἄρτου ἐπὶ τοσοῦτον ζῆσαι, εἰ μή τινος τροφῆς ἑτέρας πνευματικῆς μετελάμβανεν, ἧσπερ τροφῆς ἀπὸ τοῦ νῦν ἁγίων ψυχαὶ ἀοράτως ἐκ τοῦ πνεύματος μεταλαμβάνουσι. 48.6.8 κατὰ δύο οὖν τρόπους ὁ μακάριος Μωϋσῆς ὑπέδειξεν, ἥνπερ ἐν τῇ ἀναστάσει ἕξουσιν δόξαν φωτὸς τοῦ πνεύματος καὶ τροφὴν νοερὰν οἱ ἀληθινοὶ Χριστιανοί, ἥνπερ καὶ κρυπτῶς ἔχειν ἐν ταῖς ψυχαῖς ἀπὸ τοῦ νῦν καταξιοῦνται· διὸ καὶ τότε ἐπὶ τοῦ σώματος αὐτῶν φανερωθήσεται, ἥνπερ γὰρ ἀπὸ τοῦ νῦν ἔχουσιν δόξαν ἐν ταῖς ψυχαῖς οἱ ἅγιοι ὡς προείρηται ἐκείνη ἡ δόξα ἐκκαλύψει καὶ ἀμφιάσει καὶ τὰ γυμνὰ σώματα ἐν τῇ ἀναστάσει καὶ εἰς οὐρανοὺς ἁρπάσει καὶ τότε λοιπὸν σώματι καὶ ψυχῇ ἐν τῇ βασιλείᾳ εἰς αἰῶνας σὺν κυρίῳ ἀνα48.6.9 παύσονται. τὸν γὰρ Ἀδὰμ κτίσας ὁ θεὸς οὐ κατεσκεύασεν αὐτῷ σωματικὰς πτέρυγας ὡς τοῖς πετεινοῖς, τὰς τοῦ πνεύματος τοῦ ἁγίου πτέρυγας προευτρεπίσας αὐτῷ, ἐν τῇ ἀναστάσει ἃς ἔμελλεν αὐτῷ διδόναι, ἵνα αὐταὶ αὐτὸν κουφίζωσιν ἔνθα ἂν τὸ πνεῦμα βούληται· ἃς πτέρυγας ψυχαὶ ἁγίων ἀπὸ τοῦ νῦν καταξιοῦνται ἔχειν εἰς τὸ οὐράνιον φρόνημα τῷ νῷ ἀνιπτάμεναι. 48.6.10 Χριστιανῶν γὰρ κόσμος ἄλλος ἐστὶ καὶ ἄλλη τραπέζα καὶ ἄλλα ἐνδύματα καὶ ἄλλη ἀπόλαυσις καὶ ἄλλη κοινωνία καὶ ἄλλο φρόνημα· διὸ καὶ κρείττους πάντων ἀνθρώπων τυγχάνουσι. τούτων δὲ τὴν δύναμιν νῦν ἔνδον λαβεῖν καταξιοῦνται ἐν ταῖς ψυχαῖς διὰ τῆς κοινωνίας τοῦ ἁγίου πνεύματος. διὸ καὶ ἐν τῇ ἀναστάσει τὰ σώματα αὐτῶν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καταξιωθήσονται ἐκείνων τῶν αἰωνίων τοῦ πνεύματος ἀγαθῶν καὶ τῇ δόξῃ ἐκείνῃ ἀνακραθήσονται, ἧς ἀπὸ τοῦ νῦν αἱ ψυχαὶ αὐτῶν τὴν πεῖραν ἐδέξαντο. 48.6.11 Ὀφείλει τοίνυν ἕκαστος ἡμῶν ἀγωνίσασθαι καὶ πονῆσαι καὶ σπουδάσαι ἐν πάσαις ἀρεταῖς καὶ πιστεῦσαι καὶ ζητῆσαι παρὰ κυρίου ἐξ ἐκείνης τῆς δόξης τὸν ἔσω ἄνθρωπον ἀπὸ τοῦ νῦν μέτοχον γενέσθαι καὶ ἐκείνης τῆς ἁγιότητος τοῦ πνεύματος τὴν ψυχὴν κοινωνῆσαι, ἵνα καθαρθέντες τοῦ ῥύπου τῆς κακίας καὶ ἐν τῇ ἀναστάσει γυμνῶν τῶν σωμάτων ἡμῶν ἀνισταμένων ἔχωμεν ὃ ἀμφιάσει ἡμῶν τὴν ἀσχημοσύνην καὶ ζωοποιήσει καὶ εἰς αἰῶνας ἐν τῇ βασιλείᾳ 48.6.12 τῶν οὐρανῶν ἀναπαύσει. μέλλει γὰρ ὁ Χριστὸς ἔρχεσθαι ἐξ οὐρανοῦ καὶ πάντα τὰ φῦλα τοῦ Ἀδὰμ ἀναστήσει, τοὺς ἀπ' αἰῶνος κοιμηθέντας κατὰ τὰς ἁγίας γραφὰς καὶ εἰς δύο μερίσει πάντας, καὶ τοὺς ἔχοντας τὸ ἴδιον σημεῖον (τουτέστι τὴν σφραγῖδα τοῦ πνεύματος) τούτους ὡς ἰδίους προσφωνήσας ἐκ δεξιῶν στήσει· «τὰ ἐμά, γάρ φησι, πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούουσι καὶ 48.6.13 γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν». καὶ τότε δόξῃ θείᾳ τὰ σώματα τούτων περιβληθήσονται ἐκ τῶν ἀγαθῶν ἔργων καὶ δόξης πνεύματος, ἣν ἀπὸ τοῦ νῦν εἶχον ἐν ταῖς ψυχαῖς. καὶ οὕτω δοξασθέντες τῷ θείῳ φωτὶ καὶ εἰς οὐρανοὺς ἁρπαγέντες «εἰς ἀπάντησιν τοῦ κυρίου καὶ εἰς ἀέρα», κατὰ τὸ γεγραμμένον, «πάντοτε σὺν κυρίῳ ἐσόμεθα», σὺν αὐτῷ βασιλεύοντες εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 49.τ.1 ΛΟΓΟΣ ΜΘ΄.

49.1.1 Οἱ τὸν βίον τοῦ Χριστιανισμοῦ ἐν πολλῇ ἀκριβείᾳ βουλόμενοι κατορθῶσαι πρὸ παντὸς τοῦ διανοητικοῦ καὶ διακριτικοῦ καὶ ἡγεμονικοῦ μέρους τῆς ψυχῆς ἐν πάσῃ σπουδῇ ἐπιμέλειαν ποιήσασθαι ὀφείλουσιν, ἵνα τὴν διάκρισιν τοῦ καλοῦ καὶ κακοῦ ἐν ἀκριβείᾳ κτησάμενοι καὶ τὰ παρὰ φύσιν πάθη ἀπὸ τῆς καθαρᾶς φύσεως πάντοτε διακρίνοντες κατὰ σκοπὸν εὐθέτως καὶ ἀπροσκόπως πολιτευθήσωνται, καὶ ὀφθαλμῷ τῷ τῆς διακρίσεως μέρει χρώμενοι ἀσυνδύαστοι καὶ ἀσύνθετοι πρὸς τὰς τῆς κακίας ὑποθέσεις εἶναι δυνηθῶσι, καὶ οὕτω τῆς θείας δωρεᾶς τοῦ πνεύματος καταξιωθέντες ἄξιοι γένωνται τοῦ κυρίου. 49.1.2 Ἀπὸ δὲ τῶν ὁρωμένων ὑπόδειγμα λάβωμεν. ἔοικε γὰρ τὸ σῶμα τῇ ψυχῇ καὶ τὰ τοῦ σώματος πράγματα τοῖς τῆς ψυχῆς καὶ τὰ φαινόμενα τοῖς κρυφίοις. ὥσπερ γὰρ τὸ σῶμα ἔχει τὸν ὀφθαλμὸν ὁδηγόν, καὶ αὐτὸς ὁρῶν εὐθύνει ὅλον τὸ σῶμα εἰς εὐθύτητακαὶ ὑπόθου μοι διέρχεσθαι διὰ τόπων ὑλωδῶν τινα καὶ ἀκανθῶν πεπληρωμένων καὶ βορβόρου, ἔνθα καὶ πῦρ ἀνάπτει καὶ ξίφη παραπεπήγασι, κρημνοί τε καὶ ὑδάτων πλήθη ἐκεῖσε τυγχάνει. τὸ λοιπὸν ὁ σπουδαῖος καὶ εὐκίνητος ἔχων τὸν ὀφθαλμὸν ὁδηγὸν πάνυ προσεχόντως παρέρχεται τοὺς χαλεποὺς ἐκείνους καὶ δεινοὺς καὶ φοβεροὺς τόπους, συνέχων πανταχόθεν χερσὶ τὸν χιτῶνα αὐτοῦ, ἵνα μὴ ἐν ταῖς ὕλαις καὶ ἀκάνθαις περισχισθῇ ἢ ἐν τῷ πυρὶ κατακαυθῇ ἢ ἐν τῷ βορβόρῳ ἀφανισθῇ ἢ ὑπὸ ξίφων διακοπῇ, καὶ ὁ ὀφθαλμὸς ὁδηγεῖ ὅλον τὸ σῶμα, φῶς ὢν αὐτοῦ, ἵνα μὴ κρημνοῖς καταρραγῇ ἢ ὕδασι ποντισθῇ ἢ ἔν τινι καταβλαβῇ. ὁ οὕτω γοργῶς καὶ συνετῶς διερχόμενος φυλάσσει ἑαυτὸν ἀβλαβῆ καὶ τὸν χιτῶνα τοῦ ἐνδύματος αὐτοῦ 49.1.3 ἄσχιστον καὶ ἄκαυστον καὶ ἄσπιλον. ἐὰν δέ τις ᾖ ἀργὸς καὶ ὀκνηρὸς καὶ βραδὺς καὶ ἄτονος καὶ χαῦνος διὰ τῶν τοιούτων παρερχόμενος τόπων, εἰ περιρρέοντα ἔχει τὸν ἑαυτοῦ χιτῶνα ἔνθεν κἀκεῖθεν εἰς τὰς ὕλας καὶ ἀκάνθας περισχίζεται καὶ ὑπὸ τοῦ πυρὸς κατακαίεται μὴ σφίγγων τὸ ἔνδυμα αὐτοῦ πάντοθεν ἀνδρείως καὶ ὑπὸ τῶν παραπεπηγμένων ξιφῶν παρακόπτεται καὶ ὑπὸ τοῦ βορβόρου σπιλοῦται, καὶ ἁπαξαπλῶς τάχιον καταφθείρει τὸν καλὸν καὶ καινὸν χιτῶνα διὰ τὴν ἀπροσεξίαν καὶ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χαυνότητα καὶ ὀκνηρίαν αὐτοῦ. εἰ δὲ μὴ καλῶς καὶ εὐθέως τῷ ὀφθαλμῷ προσέχει, καὶ εἰς κρημνοὺς καὶ εἰς φάραγγας 49.1.4 πεσεῖται ἢ τοῖς ὕδασι βυθισθεὶς ἀπόλλυται. τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ φοροῦσα ὥσπερ χιτῶνα ἄλλον τὸ ἔνδυμα τοῦ σώματος, ἔχουσα δὲ ὥσπερ ὀφθαλμὸν τὸ γνωστικὸν καὶ διανοητικὸν καὶ διακριτικόν, εὐθύνον ὅλην τὴν ψυχὴν καὶ τὸ σῶμα, παρερχομένη διὰ τῶν ὑλῶν καὶ ἀκανθῶν τοῦ κόσμου τούτου καὶ βορβόρου καὶ πυρὸς καὶ κρημνῶν (τουτέστιν ἐπιθυμιῶν καὶ ἡδονῶν καὶ τῶν λοιπῶν ἀτοπιῶν τοῦ αἰῶνος τούτου), πανταχόθεν ὀφείλει μετὰ νήψεως καὶ σπουδῆς καὶ ἀνδρείας συσφίγγειν καὶ φυλάσσειν ἑαυτὴν καὶ τὸν χιτῶνα τοῦ σώματος αὐτῆς, μή που περισχισθῇ ἐν ταῖς τοῦ κόσμου ὕλαις καὶ ἀκάνθαις τῶν μεριμνῶν καὶ ἀσχολιῶν καὶ περισπασμῶν ἢ πραγματειῶν γηΐνων, καὶ ὑπὸ 49.1.5 τοῦ πυρὸς τῆς ἐπιθυμίας παρακαυθῇ. ὀφείλει γὰρ τὸν ὀφθαλμὸν ἀποστρέφειν τοῦ μὴ ὁρᾶν πονηρά, τὸ οὖς ὁμοίως τοῦ μὴ ἀκοῦσαι κακά, τοὺς πόδας ἀπὸ ἐπιτηδευμάτων κακῶν ἐπέχειν. ἔχει γὰρ θέλημα ἡ ψυχὴ τοῦ ἀποστρέψαι καὶ κωλῦσαι τὰ μέλη τοῦ σώματος ἀπὸ κακίστων θελημάτων καὶ ἀκοῆς πονηρᾶς καὶ αἰσχρᾶς καὶ ἐπιτηδευμάτων πονηρῶν καὶ κοσμικῶν. ἀποστρέφει ἑαυτὴν ἀπὸ ῥεμβασμῶν, φυλάσσουσα τὴν καρδίαν τοῦ μὴ ῥέμβεσθαι καὶ ἐξ49.1.6 απλοῦσθαι ἐν τῷ κόσμῳ τὰ μέλη αὐτῆς τὰ τῶν λογισμῶν. καὶ οὕτως ἀγωνιζομένη καὶ σπουδάζουσα καὶ ἔχουσα πάντοτε ἐν πολλῇ προσοχῇ τὰ μέλη τοῦ σώματος ἀπὸ τῶν τοῦ κόσμου τούτου ἐπιθυμιῶν καὶ ἐπιτηδευμάτων κακῶν ἄσχιστον καὶ ἄκαυστον καὶ ἀβορβόρωτον καὶ ἄσπιλον τὸν καλὸν χιτῶνα τοῦ σώματος διαφυλάσσει καὶ ἑαυτὴν διὰ τοῦ γνωστικοῦ καὶ διανοητικοῦ καὶ διακριτικοῦ τῆς ψυχῆς ὄμματος ἄτρωτον διατηρεῖ, τὸ δὲ πᾶν διὰ τῆς τοῦ κυρίου δυνάμεως φυλαχθήσεται, αὐτὴ ἑαυτὴν ὅση δύναμις πάντοθεν συσφίγγουσα καὶ πάσης ἐπιθυμίας κοσμικῆς πρότερον ἀποστρέφουσα καὶ οὕτως ὑπὸ κυρίου βοηθουμένη εἰς τὸ ἐξ ἀληθείας φυλαχθῆναι αὐτὴν ἀπὸ τῶν παγίδων καὶ ἐπιθυμιῶν 49.1.7 καὶ ἡδονῶν ποικίλων τοῦ κόσμου τούτου. ἐπὰν γὰρ ἴδῃ ὁ κύριος ψυχήν τινα οὕτως ἀποστρεφομένην τὰς τοῦ κόσμου ἡδονὰς καὶ περισπασμοὺς καὶ ἀσχολίας καὶ μερίμνας ὑλικὰς καὶ δεσμοὺς γηΐνους καὶ ῥεμβασμοὺς λογισμῶν κοσμικῶν καὶ ματαίων, καὶ τὸ σῶμα καὶ ἑαυτὴν ἀπὸ τούτων πάντων μετὰ πάσης προσοχῆς διαφυλασσομένην, δίδωσι τὴν ἰδίαν τῆς χάριτος αὐτοῦ βοήθειαν, ἄπτωτον διεξερχομένην καλῶς τὸν ἐνεστῶτα πονηρὸν αἰῶνα τοῦ σκότους διατηρῶν αὐτήν, καὶ οὕτως ἐπαίνων οὐρανίων τεύξεται, ὅτι τὸν χιτῶνα τοῦ σώματος αὐτῆς διεφύλαξε καὶ ἑαυτήν, ὅσον τὸ ἐν αὐτῇ δύνατον, πᾶσαν ἐπιθυμίαν κόσμου ἀποστραφεῖσα καὶ μισήσασα καὶ ὑπ' αὐτοῦ βοηθηθεῖσα τὸν δρό49.1.8 μον τοῦ σταδίου τοῦ κόσμου τούτου καλῶς διεξῆλθεν. εἰ δέ τις ἐν χαυνότητι καὶ ἀμελείᾳ καὶ ῥαθυμίᾳ ἀπροσεχόντως ἐν τῷ βίῳ τούτῳ διαπορεύεται καὶ ἐκ θελήματος μὴ ἀποστρέφεται πᾶσαν ἐπιθυμίαν κοσμικὴν καὶ τὸν κύριον μόνον ἐν πάσῃ ἐπιθυμίᾳ ζητεῖ, εἰς τὰς ἀκάνθας τοῦ κόσμου τούτου καὶ ὕλας περιπείρεται, καὶ ὑπὸ τοῦ πυρὸς τῆς ἐπιθυμίας παρακαίεται ὁ χιτὼν τοῦ σώματος αὐτοῦ καὶ σπιλοῦται ὑπὸ τοῦ βορβόρου τῶν ἡδονῶν καὶ ἀπαρρησίαστος ἐν ἡμέρᾳ κρίσεως ἀποδείκνυται, τὸ ἔνδυμα αὐτοῦ ἄσπιλον μὴ τηρήσας, ἀλλὰ καταφθείρας αὐτὸ καὶ περισχίσας ταῖς ἀπάταις τῶν ἐπιθυμιῶν τοῦ κόσμου, καὶ 49.1.9 οὕτως ἀπόβλητος τῆς βασιλείας τοῦ θεοῦ γίνεται. τί γὰρ ποιήσει ὁ θεὸς τῷ ἰδίῳ θελήματι παραδίδοντι ἑαυτὸν τῷ κόσμῳ καὶ ἀπατωμένῳ ταῖς ἡδοναῖς αὐτοῦ καὶ ῥεμβασμοῖς λογισμῶν ὑλικῶν ἐκπλανωμένῳ; ἐκείνῳ γὰρ βοήθειαν δίδωσι τῷ ἀποστρεφομένῳ πάντα τὰ γήϊνα καὶ ὁρώμενα καὶ βίᾳ τὴν διάνοιαν πάντοτε πρὸς κύριον ἕλκοντι καὶ ἀρνουμένῳ ἑαυτὸν καὶ αὐτὸν μόνον ἐπιζητοῦντι. τοῦτον διατηρεῖ τὸν φυλασσόμενον πανταχόθεν ἑαυτὸν ἐκ τῶν παγίδων καὶ βρόχων τῆς ὕλης, τὸν μετὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φόβου καὶ τρόμου τὴν ἑαυτοῦ σωτηρίαν κατεργαζόμενον καὶ μετὰ πάσης προσοχῆς διὰ τῶν παγίδων καὶ ἀκανθῶν καὶ βορβόρου τοῦ κόσμου τούτου παρερχόμενον καὶ μὴ ἁπλούμενον μὲν ἐν λογισμοῖς κοσμικοῖς, ἀλλ' ἑαυτὸν πάντοτε συνέχοντα ὅση δύναμις καὶ τὴν τοῦ θεοῦ βοήθειαν ἐπιζητοῦντα καὶ τῷ ἐλέει αὐτοῦ ἐλπίζοντα καὶ διὰ τῆς χάριτος σῳζόμενον. 49.2.1 Ἰδοὺ γὰρ αἱ πέντε παρθένοι ἐκεῖναι αἱ νήψασαι αἱ φρόνιμοι, αἱ μὴ ἀρνησάμεναι τὸ ξένον τῆς ἑαυτῶν φύσεως, τὸ ἔλαιον λαβοῦσαι ἐν τοῖς ἀγγείοις τῆς καρδίας αὐτῶν (τουτέστι τὴν ἄνωθεν χάριν τοῦ πνεύματος) ἠδυνήθησαν συνεισελθεῖν τῷ νυμφίῳ εἰς τὸν ἐπουράνιον νυμφῶνα. αἱ δὲ ἄλλαι, μωραί, ἐν τῇ ἰδίᾳ φύσει ἀπομείνασαι, οὐκ ἔνηψαν καὶ ἐσπούδασαν δέξασθαι τὸ ἔλαιον τῆς ἀγαλλιάσεως ἐν τοῖς ἀγγείοις τῆς καρδίας αὐτῶν, ὡς ἦσαν ἐν σαρκί, ἀλλ' ὥσπερ ἀπεκοιμήθησαν δι' ἀμέλειαν καὶ χαυνότητα καὶ ῥαθυμίαν οἰήσει δικαιοσύνης. διὸ καὶ τοῦ νυμφῶνος τῆς βασιλείας ἀπεκλείσθησαν, μὴ δυνηθεῖσαι εὐαρεστῆσαι τῷ νυμφίῳ αὐτῶν τῷ ἐπουρανίῳ. κόσμου γὰρ δεσμῷ καὶ ἀγάπῃ τινὶ γηΐνῃ κατεσχέθησαν, διὸ τὴν ἀγάπην ὅλην καὶ τὸν ἔρωτα πρὸς τὸν ἐπουράνιον νυμφίον 49.2.2 οὐκ ἔδωκαν οὔτε τὸ ἔλαιον ἐκομίσαντο. αἱ γὰρ τὸ ξένον τῆς φύσεως, τὸν ἁγιασμὸν τοῦ πνεύματος ζητοῦσαι ψυχαὶ ὅλην τὴν ἀγάπην αὐτῶν πρὸς κύριον δεσμοῦσι· ἐκεῖ γὰρ περιπατοῦσιν, ἐκεῖ εὔχονται, ἐκεῖ λογίζονται, ἐκεῖ μελετῶσι, πάντα ἀποστρεφόμεναι καὶ τὸν μόνον ἀγαθὸν νυμφίον ἀγαπήσασαι. διὸ καὶ καταξιωθεῖσαι λαβεῖν τὸ ἔλαιον τῆς ἐπουρανίου χάριτος ἄπτωτοι ἐξελθεῖν ἠδυνήθησαν τελείως τῷ πνευματικῷ νυμφίῳ εὐάρεστοι εὑρεθεῖσαι. αἱ γὰρ εἰς τὴν φύσιν αὐτῶν ἀπομένουσαι ψυχαὶ γήϊνα φρονοῦσι, καὶ οἱ λογισμοὶ αὐτῶν ἐπὶ γῆς ἕρπουσι καὶ ἐπὶ γῆς λογίζονται καὶ ἐπὶ τῆς γῆς δίαιταν ὁ νοῦς αὐτῶν ἔχει, καὶ τῷ δοκεῖν νομίζουσι τοῦ νυμφίου εἶναι, οὐκ εἰσὶ δέ, ὅτι ἐκ τοῦ πνεύματος ἄνωθεν οὐκ ἐγεννήθησαν, τὸ ἔλαιον τῆς ἀγαλλιάσεως μὴ δεξάμεναι. 49.2.3 αἱ γὰρ πέντε αἰσθήσεις τῆς ψυχῆς, σύνεσις, γνῶσις, διάκρισις, ὑπομονή, ἔλεος, ἐὰν δέξωνται τὴν ἄνωθεν χάριν καὶ τὸν ἁγιασμὸν τοῦ πνεύματος, ἀληθῶς παρθένοι φρόνιμοι τυγχάνουσιν, τὴν ἄνωθεν τῆς χάριτος φρόνησιν δεξάμεναι. ἂν δὲ εἰς τὴν φύσιν αὐτῶν μόνον ἀπομείνωσι, μωραὶ εὑρίσκονται καὶ τέκνα τοῦ κόσμου ἀποδείκνυνται. οὐκ ἀπεδύσαντο γὰρ τὸ πνεῦμα τοῦ κόσμου, κἂν τῷ 49.2.4 δοκεῖν νομίζωσι δι' εὐλογοφανείας τινὰς τοῦ νυμφίου εἶναι νύμφαι. ὥσπερ γὰρ αἱ ψυχαὶ αἱ ὅλαι ἐξ ὅλου τῷ κυρίῳ προσκολλώμεναι· ἐκεῖ ἔχουσι τοὺς λογισμοὺς αὐτῶν, ἐκεῖ εὔχονται, ἐκεῖ περιπατοῦσι, ἐκεῖ καταποθοῦνται εἰς τὴν τοῦ κυρίου ἀγάπην, διὸ καὶ ἄπτωτοι τυγχάνουσιν. οὕτω πάλιν αἱ ψυχαὶ αἱ εἰς τὴν ἀγάπην τοῦ κόσμου δεθεῖσαι καὶ ἐν τῇ γῇ τὴν δίαιταν ἔχειν βουλόμεναι ἐκεῖ περιπατοῦσιν, ἐκεῖ λογίζονται, ἐκεῖ ὁ νοῦς αὐτῶν ἐνδιατρίβει, ἐκεῖ ἐν τῇ ὕλῃ βεβύθισται καὶ καταποθεῖται; διὸ καὶ ἀμετάτρεπτοι πρὸς τὸ ἀγαθὸν φρόνημα 49.2.5 τοῦ πνεύματος τυγχάνουσι. ξένου τοίνυν ὄντος τῆς φύσεως ἡμῶν τοῦ ἐπουρανίου χαρίσματος χρεία ἡμῖν συγκαταμιγῆναι τοῦτο καὶ συμπλακῆναι τῇ φύσει ἡμῶν, ἵνα δυνηθῶμεν εἰς τὸν ἐπουράνιον νυμφῶνα τῆς βασιλείας τῷ Χριστῷ συνεισελθεῖν καὶ τῆς αἰωνίου σωτηρίας τυχεῖν. ὥσπερ γὰρ ξένην τῆς φύσεως ἡμῶν οὖσαν τὴν κακίαν τῶν παθῶν ἐν ἡμῖν διὰ τῆς παραβάσεως τοῦ πρώτου ἀνθρώπου προσγενομένην ἐδεξάμεθα, καὶ ὡσπερεὶ φύσιν ἡμῶν καταστᾶσαν διὰ τὴν χρονίαν πρόληψιν ἐν ἑαυτοῖς ἔσχομεν, οὕτω καὶ διὰ τοῦ ξένου τῆς φύσεως ἡμῶν τῆς ἐπουρανίου δωρεᾶς τοῦ ἁγίου πνεύματος ἐξωσθῆναι πάλιν ταύτην ἐκ τῆς φύσεως ἡμῶν χρὴ καὶ εἰς τὴν ἀρχαίαν καθαρότητα ἀπο49.2.6 κατασταθῆναι. ἐὰν γὰρ μὴ ἐκείνην τὴν ἐξ οὐρανοῦ ἀγάπην τοῦ πνεύματος δεξώμεθα νῦν ἐν πολλῇ αἰτήσει καὶ δεήσει καὶ πίστει καὶ προσοχῇ καὶ ἀποστροφῇ τοῦ κόσμου, καὶ ἁγιασθῇ ἡ μιανθεῖσα ὑπὸ τῆς κακίας φύσις ἡμῶν ὑπὸ τῆς ἀγάπης ἐκείνης, ἥτις ἐστὶν ὁ κύριος, καὶ ἕως τέλους διαμείνωμεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄπτωτοι ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ ἀναστρεφόμενοι, τῆς ἐπουρανίου βασιλείας τυχεῖν οὐ δυνησόμεθα. 49.2.7 Λεπτὸν δέ τινα λόγον καὶ βαθὺν κατὰ τὴν προσοῦσαν δύναμιν εἰπεῖν βούλομαι. ἐσωματοποίησεν ἑαυτὸν ὁ ἄπειρος καὶ ἀόρατος καὶ ἀπρόσιτος θεὸς διὰ ἄπειρον καὶ ἀνεννόητον χρηστότητα καὶ ὡς εἰπεῖν συνεσμίκρυνεν, ἵνα δυνηθῇ συγκερασθῆναι τοῖς ἀοράτοις καὶ νοεροῖς αὐτοῦ κτίσμασιν, οἷον ψυχαῖς ἁγίων λέγω καὶ ἀγγέλοις, ἵνα δυνηθῶσι ζωῆς ἀθανάτου καὶ θεότητος μετασχεῖν. ἕκαστον γὰρ κατὰ τὴν ἰδίαν φύσιν σῶμά ἐστιν, ὁ ἄγγελος, ἡ ψυχή, ὁ δαίμων. κἂν γὰρ λεπτά εἰσιν, ἀλλ' ὅμως ἐν ὑποστάσει καὶ χαρακτῆρι καὶ εἰκόνι καὶ 49.2.8 κατὰ τὴν λεπτότητα τῆς φύσεως σῶμα τυγχάνει λεπτόν. ὥσπερ γὰρ ἐν ὑποστάσει τοῦτο τὸ σῶμα παχύ ἐστιν, οὕτω καὶ ἡ ψυχὴ σῶμα οὖσα λεπτὸν περιεβάλετο καὶ ἐνεδύσατο τὰ μέλη τοῦ σώματος τούτου· περιεβάλετο τὸν ὀφθαλμὸν δι' οὗ ὁρᾷ, τὸ οὖς ὁμοίως δι' οὗ ἀκούει, τὴν χεῖρα καὶ ἁπαξαπλῶς ὅλον τὸ σῶμα καὶ τὰ μέλη αὐτοῦ περιέλαβεν ἡ ψυχὴ καὶ συνεκεράσθη ὅλον χεῖρ χειρί, ποῦς ποδί, ὀφθαλμὸς ὀφθαλμῷ, οὖς ὠτίῳ, δι' ὧν ἀπεργάζεται πάντα 49.2.9 τὰ ἐν τῷ βίῳ ἐπιτηδεύματα. τὸν αὐτὸν τρόπον ἡ ἄπειρος καὶ ἀλάλητος καὶ ἀνεννόητος χρηστότης τοῦ κυρίου σμικρύνει ἑαυτὸν διὰ τῆς ἀπείρου δόξης, δι' ἡμερότητα καὶ φιλανθρωπίαν καὶ σωματοποιεῖ, καὶ μίγνυται καὶ κιρνᾶται καὶ περιλαμβάνει τὰς πιστὰς καὶ ἀξίας καὶ εὐαρέστους αὐτῷ ψυχὰς καὶ γίνεται μετ' αὐτῶν εἰς ἓν πνεῦμα κατὰ τὸ λόγιον Παύλου, ψυχὴ ὡς εἰπεῖν εἰς ψυχὴν καὶ ὑπόστασις εἰς ὑπόστασιν, ἵνα δυνηθῇ ἐν τῇ θεότητι ζῆσαι καὶ αἰσθέσθαι ἀθανάτου ζωῆς καὶ ἀφθάρτου ἡδονῆς μέτοχος γενέσθαι καὶ δόξης ἀρρήτου ἀπο49.2.10 λαῦσαι ἡ ἀξία καὶ εὐάρεστος αὐτῷ ψυχή. εἰ γὰρ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι πεποίηκε τὴν ὁρωμένην κτίσιν ταύτην ἐν πολλῇ τινι διαφορότητι καὶ ποικιλίᾳ, ἣ καὶ πρὶν γενέσθαι οὐκ ἦν· ἠθέλησε δέ, καὶ εὐκόλως ἐποίησεν ἐκ τῶν μὴ ὄντων τὰς ὑποστάσεις παχείας καὶ σκληράς (οἷον γῆν λέγω παχεῖαν, ὄρη, δένδρα· ὁρᾷς, οἷα σκληρότης τῆς φύσεως), καὶ πάλιν μέσα καὶ ἁπαλὰ (οἷον ὕδατα) καὶ ἐξ αὐτῶν γεννᾶσθαι προσέταξε πετεινά, καὶ πάλιν λεπτότερα (οἷον ἀέρα καὶ ἀνέμους), καίπερ σῶμα ὄντας καὶ μὴ ὁρωμένους τῷ τοῦ σώματος 49.2.11 ὀφθαλμῷ. ὢ πῶς ἡ ἄπειρος καὶ ἀνεκδιήγητος τῆς πολυποικίλου σοφίας τοῦ θεοῦ τέχνη, ἔκτισεν ἐκ μὴ ὄντων καὶ παχύτερα καὶ ἁπαλώτερα καὶ σκληρότερα καὶ λεπτότερα σώματα καὶ ἐν ὑποστάσει θελήματι αὐτοῦ γεγόνασι; εἰ οὖν ταῦτα, πόσῳ μᾶλλον αὐτὸς ὁ ὢν ὡς θέλει καὶ ὃ θέλει διὰ χρηστότητα ἄφραστον καὶ ἀγαθότητα ἀνεννόητον συμμεταβάλλει καὶ σμικρύνει καὶ ἐξομοιοῖ ἑαυτὸν καὶ σωματοποιεῖ καὶ συγκιρνᾶται ταῖς ἁγίαις καὶ ἀξίαις καὶ πισταῖς ψυχαῖς, ἵνα ὁραθῇ ὁ ἀόρατος καὶ ψηλαφηθῇ ὁ ἀψηλάφητος (κατὰ τὴν φύσιν τῆς λεπτότητος τῆς ψυχῆς), καὶ αἴσθηται αὐτοῦ τῆς γλυκύτητος καὶ τῆς χρηστότητος καὶ τοῦ φωτὸς ἀπολαύσῃ καὶ τῆς ἀναπλάσεως τῆς ἀρρήτου πεῖραν τινὰ 49.2.12 δέξηται. ὅτε βούλεται, πῦρ γίνεται καῖον πᾶν φαῦλον καὶ ἐπεισάκτον τῆς ψυχῆς πρᾶγμα· καὶ γὰρ «ὁ θεὸς» ἡμῶν, φησὶν ὁ προφήτης, «πῦρ καταναλίσκον». ὅτε βούλεται, ἀνάπαυσις ἄρρητος καὶ ἄφραστος γίνεται, ἵνα ἀναπαυθῇ καὶ ἀπολαύσῃ θεότητος ἡ ψυχή. ὅτε βούλεται, χαρὰ καὶ εἰρήνη γίνεται, θάλπων καὶ 49.2.13 περιέχων τὴν ψυχήν. εἰ δὲ καὶ εἰς ἓν τῶν κτισμάτων βούλεται ἑαυτὸν σωματοποιῆσαι δι' εὐφροσύνην καὶ ἀγαλλίασιν τῆς ψυχῆς, οἷον ἢ πόλις φωτὸς Ἱερουσαλὴμ ἢ ὄρος Σιὼν ἐπουράνιον, δύναται ὡς θέλει, καθὼς εἴρηται· «ὑμεῖς δὲ προσεληλύθατε τῷ Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος ἐπουρανίᾳ Ἱερουσαλήμ». 49.2.14 πάντα εὔκολα αὐτῷ ἐστι καὶ εὐχερῆ, εἰς ἃ θέλει μεταβαλλομένῳ καὶ μεταμορφουμένῳ καὶ ἐμφανιζομένῳ ἐν ταῖς ἁγίαις αὐτοῦ καὶ πισταῖς ψυχαῖς. μόνον τις ἀγωνισάσθω φίλος καὶ εὐάρεστος αὐτῷ γενέσθαι, καὶ αὐτῇ πείρᾳ καὶ αἰσθήσει ὄψεται ἀλάλητα ἀγαθὰ ἐπουράνια καὶ τρυφὴν ἀνέκφραστον καὶ πλοῦτον ἄπειρον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεότητος, ἀληθῶς «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη», ὅσα τὸ πνεῦμα τοῦ κυρίου γίνεται εἰς ἀνάπαυσιν καὶ ἀγαλλίασιν καὶ τρυφὴν καὶ ζωὴν αἰώνιον τῆς ἀξίας ψυχῆς. σωματοποιεῖ γὰρ ἑαυτὸν καὶ εἰς βρῶσιν πνευματικὴν καὶ ἐνδύματα καὶ κάλλη ἀλάλητα, ἵνα ἀναπαύσῃ ἀνεκλαλήτως καὶ ἀφράστως καὶ ἐμπλήσῃ εὐφροσύνης πνευματικῆς τὴν 49.2.15 ἀξίαν καὶ πιστὴν ψυχήν, ὥς φησιν ὁ κύριος· «ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα», καί· «ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς», καί· «ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἁλλομένου 49.2.16 εἰς ζωὴν αἰώνιον», «καὶ πάντες (φησὶ) τὸ αὐτὸ πνεῦμα ἐφωτίσθημεν». καὶ οὕτως ἑκάστῳ τῶν ἁγίων ὤφθη ὡς ἠθέλησε καὶ ὡς συνέφερεν, οἷον ἄλλως τῷ Ἀβραάμ, ἄλλως τῷ Ἰσαάκ, ἄλλως τῷ Ἰακώβ, ἄλλως τῷ Νῶε, τῷ Δανιήλ, τῷ Δαβίδ, τῷ Σολομῶντι, τῷ Ἰωσήφ, ἑκάστῳ τῶν ἁγίων προφητῶν, τῷ Ἠσαΐᾳ,τῷ Ἰερεμίᾳ, τῷ Ἠλίᾳ, ἄλλως τῷ Μωϋσῇ. καὶ ἐγὼ νομίζω, ὅτι κατὰ πᾶσαν ὥραν Μωϋσῆς εἰς ἐκείνην τὴν πνευματικὴν τράπεζαν εἰσερχόμενος ἐνετρύφα καὶ ἀπήλαυεν ἐν τῷ ὄρει ἐν τῇ διὰ τεσσαράκοντα ἡμερῶν νηστείᾳ. καὶ ἑκάστῳ τῶν ἁγίων ὡς ἠθέλησεν ὤφθη εἰς τὸ ἀναπαῦσαι καὶ σῶσαι καὶ ζωοποιῆσαι 49.2.17 καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. πάντα γὰρ αὐτῷ εὐχερῆ ἃ βούλεται, καὶ ὡς θέλει σμικρύνει ἑαυτὸν σωματοποιῶν καὶ μεταμορφούμενος καὶ ὀπτανόμενος τοῖς ἀγαπῶσιν αὐτόν, ὢν ὃ ἔστι. διὰ δὲ τὴν πολλὴν καὶ ἄφραστον ἀγάπην φανερούμενος τοῖς ἀξίοις αὐτοῦ κατὰ τὴν αὐτῶν χώρησιν καὶ δύναμιν οὐ καθόσον αὐτὸς ἔστιν· ἀχώρητος γάρ ἐστι. Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ καὶ τῷ ἀπείρῳ ἐλέει. 49.3.1 Ψυχὴ γὰρ ἡ καταξιωθεῖσα ἐν πολλῇ ἐπιθυμίᾳ καὶ προσδοκίᾳ καὶ πίστει καὶ ἀγάπῃ δέξασθαι ἐκείνην τὴν ἐξ ὕψους δύναμιν καὶ ἐν τοῖς μέλεσιν αὐτῆς ἐγκερασθῆναι τὴν ἐπουράνιον τοῦ πνεύματος ἀγάπην καὶ τὸ ἐπουράνιον πῦρ τῆς ἀθανάτου ζωῆς λαβεῖν ἀξιωθεῖσα, ἁπάσης ἀγάπης κοσμικῆς ἐξ ἀληθείας λύε49.3.2 ται καὶ παντὸς δεσμοῦ κακίας ἐλευθεροῦται. ὥσπερ γὰρ σίδηρος ἢ μόλυβδος ἢ χρυσὸς ἢ ἄργυρος ἐν πυρὶ βληθεὶς λύεται καὶ ἐκ τῆς φύσεως τῆς σκληρᾶς εἰς ἁπαλότητά τινα μεταβάλλεται καὶ ἐφ' ὅσον ἐν τῷ πυρὶ τυγχάνει λέλυται καὶ ἠλλοίωται τῆς φυσικῆς ἐκείνης σκληρότητος διὰ τὴν τοῦ πυρὸς θερμοτάτην δύναμιν, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἀρνησαμένη τὸν κόσμον καὶ τὸν κύριον μόνον ποθήσασα ἐν πολλῇ ζητήσει καὶ πόνῳ καὶ ἀγῶνι καὶ τὴν προσδοκίαν ἀδιάλειπτον ἐν ἐλπίδι καὶ πίστει πρὸς αὐτὸν ἔχουσα καὶ δεξαμένη ἐκεῖνο τὸ ἐπουράνιον τῆς θεότητος πῦρ τὸ τῆς ἀγάπης τοῦ πνεύματος, τότε ἐξ ἀληθείας πάσης ἀγάπης τοῦ κόσμου λύεται καὶ πάσης κακίας παθῶν ἐλευθεροῦται καὶ πάντα ἐκτὸς αὐτῆς τυγχάνει καὶ ἐξ αὐτῆς τῆς φυσικῆς ἕξεως καὶ σκληρότητος τῆς ἁμαρτίας μεταβάλλεται καὶ πάντα περισσὰ ἡγεῖται πρὸς μόνον τὸν ἐπουράνιον νυμφίον, ὃν ἐδέξατο, ἀναπαυομένη ἐν τῇ ζεούσῃ καὶ ἀρρήτῳ αὐτοῦ ἀγάπῃ. 49.3.3 Λέγω δέ σοι, ὅτι καὶ αὐτοὺς περιποθήτους ἀδελφούς, οὓς ἔχει πρὸ ὀφθαλμῶν, ἐὰν ἐμποδίζωσί τι αὐτῇ ἀπ' ἐκείνης τῆς ἀγάπης, ὥσπερ εἰπεῖν ἀποστρέφεται. ἐκείνη γὰρ αὐτῆς ἐστι ζωὴ ἀληθινὴ καὶ ἀνάπαυσις πνευματική, ἡ τοῦ ἐπουρανίου νυμφίου ἄρρητος κοινωνία. εἰ γὰρ σαρκικῆς κοινωνίας ἀγάπη (γάμου λέγω) χωρίζει πατρός, μητρός, ἀδελφῶν, καὶ πάντα ἐξώτερα αὐτοῦ ἔστιν ἐν τῷ νῷ, κἂν ἀγαπᾷ τί, ἐξωτέρως ἀγαπᾷ, τὴν δὲ διάθεσιν αὐτοῦ ὅλην εἰς τὴν σύνοικον αὐτοῦ κέκτηται, καὶ πάσης ἀγάπης ἐκείνη ἡ τῆς σαρκὸς κοινωνία λύσειν δύναταιἀντὶ «τούτου (γάρ φησι) καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται τῇ ἰδίᾳ γυναικί, καὶ ἔσονται οἱ 49.3.4 δύο εἰς σάρκα μίαν». εἰ οὖν ἡ τῆς σαρκὸς ἀγάπη οὕτω λύει πάσης ἀγάπης κόσμου, πόσῳ μᾶλλον ὅσοι κατηξιώθησαν ἐκείνῳ τῷ ἐπουρανίῳ πόθῳ καὶ τῇ ἀγάπῃ τοῦ πνεύματος ἐξ ἀληθείας κοινωνῆσαι πάσης ἀγάπης κόσμου λυθήσονται καὶ πάντα



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περισσὰ αὐτοῖς καταφανήσεται διὰ τὸ νενικῆσθαι τῷ ἐπουρανίῳ πόθῳ καὶ τῇ τρώσει καὶ τῷ ἔρωτι τῷ θείῳ ἡνῶσθαι. ἐκεῖ γὰρ ὅλοι δι' ὅλου ζῶσιν, ἐκεῖ λογίζονται, ἐκεῖ περιπατοῦσιν, ἐκεῖ ὁ νοῦς αὐτῶν πάντοτε διατρίβει νενικημένος τῷ θείῳ καὶ ἐπουρανίῳ ἔρωτι καὶ πόθῳ ἡμέρῳ καὶ πνευματικῷ. 49.4.1 Τὸ λοιπόν, ὦ ἀδελφοὶ ἀγαπητοί, τοιούτων ἀγαθῶν προκειμένων καὶ τοιούτων ἡμῖν ἐπαγγελιῶν δοθεισῶν πάντα τὰ ἐμπόδια ἀπορρήξωμεν ἀφ' ἑαυτῶν καὶ πᾶσαν ἀγάπην κόσμου ἀποστραφῶμεν καὶ πρὸς ἐκεῖνα τὰ ἀγαθὰ μόνα καὶ ζήτησιν καὶ πόνον διὰ πίστεως ἐκδῶμεν, ἵνα δυνηθῶμεν τυχεῖν ἐκείνης τῆς ἀρρήτου ἀγάπης τοῦ πνεύματος, περὶ ἧς ὁ μακάριος Παῦλος πολλὰ παρῄνεσεν ὥστε σπεύδειν ἡμᾶς πρὸς αὐτὴν λέγων· «διώκετε τὴν ἀγάπην», ἵνα δυνηθῶμεν ἐκ τῆς σκληρότητος ἡμῶν τῆς ἀλλοιώσεως τῆς δεξιᾶς τοῦ ὑψίστου καταξιωθῆναι καὶ εἰς ἡμερότητα καὶ ἀνάπαυσιν πνευματικὴν ἐλθεῖν ἔρωτι θείῳ τοῦ πνεύματος τρωθέντες. ἰδοὺ γὰρ ὁ κύριος φιλανθρωπεύεται καὶ σπλαγχνίζεται ἐφ' ἡμᾶς, ἐκδεχόμενος πότε ἐπιστρέψομεν ὅλοι ἐξ ὅλου πρὸς αὐτὸν τῶν ἐναν49.4.2 τίων ἑαυτοὺς αἴροντες. εἰ καὶ ἡμεῖς διὰ πολλὴν ἄγνοιαν καὶ νηπιότητα καὶ πρόληψιν κακίας ἀποστρεφόμεθα τὴν ζωὴν καὶ ἐμπόδια πολλὰ τιθέαμεν ἑαυτοῖς, μὴ βουλόμενοι ἐξ ἀληθείας μετανοῆσαι· αὐτὸς δὲ πολὺ σπλαγχνίζεται καὶ χρηστεύεται ἐφ' ἡμᾶς μακροθυμῶν, πότε προσέλθωμεν αὐτῷ ἐξ ἀληθείας καὶ φωτισθῶμεν τὸν ἔσω ἡμῶν ἄνθρωπον, ἵνα μὴ καταισχυνθείη τὰ πρόσωπα 49.4.3 ἡμῶν ἐν ἡμέρᾳ κρίσεως. εἰ καὶ δύσκολον ἡμῖν καταφαίνεται προσελθεῖν διὰ τὴν σκληρὰν τῆς ἀρετῆς ἄσκησιν, μᾶλλον δὲ διὰ τὴν ὑπόθεσιν καὶ συμβουλίαν τοῦ ἀντικειμένου, βουλομένου πάντας ἡμᾶς ἀποστρέφειν τοῦ ἀγαθοῦ, ὁ δὲ κύριος μακροθυμεῖ καὶ σπλαγχνίζεται ἐκδεχόμενος τὴν ἡμετέραν ἐπιστροφήν, καὶ ἁμαρτανόντων ἡμῶν ἀνέχεται ἀναμένων τὴν μετάνοιαν ἡμῶν καὶ πιπτόντων ἡμῶν οὐκ ἐπαισχύνεται πάλιν δέξασθαι ἡμᾶς, καθὼς εἴρηται ἐν τῷ προφήτῃ· «μὴ ὁ πίπτων οὐκ ἀνίσταται ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει»; 49.4.4 μόνον ἡμεῖς ὀλίγον διανήψωμεν ἔννοιαν ἀγαθὴν κτησάμενοι καὶ ἐπιστρέψωμεν εὐθέως πρὸς αὐτὸν βοήθειαν παρ' αὐτοῦ ἐπιζητοῦντες, καὶ αὐτὸς ἕτοιμός ἐστι τοῦ σῶσαι ἡμᾶς. ἐκ τοῦ θελήματος ἡμῶν ἀπαιτεῖ τὴν πρὸς αὐτὸν ὅσην ἔχομεν δύναμιν ὁρμὴν καὶ τὴν ἐκ προαιρέσεως ἀγάπην καὶ πίστιν καὶ προθυμίαν, τὴν 49.4.5 δὲ κατόρθωσιν πᾶσαν αὐτὸς ἐν ἡμῖν ἐργάζεται. σπουδάσωμεν τοίνυν, ὦ τέκνα, ἀποδυσάμενοι πᾶσαν πρόληψιν καὶ ἀμέλειαν καὶ χαύνωσιν γενναίως, καὶ ἕτοιμοι γίνεσθαι θελήσωμεν ἀκολουθεῖν ὀπίσω αὐτοῦ, μὴ ἀναβαλλόμενοι ἡμέραν ἐξ ἡμέρας, ἢ ὑπὸ τῆς κακίας κλεπτόμενοι· οὐ γὰρ οἴδαμεν πότε ἀπὸ τῆς σαρκὸς ἡ ἔξοδος ἡμῶν γίνεται. μεγάλαι γὰρ καὶ ἄρρητοί εἰσιν αἱ τῶν Χριστιανῶν ἐπαγγελίαι τοσοῦτον, ὅτι μιᾶς ψυχῆς πιστῆς πλούτῳ καὶ δόξῃ οὐκ ἀναλογεῖ πᾶσα ἡ δόξα καὶ τὸ κάλλος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πᾶσα ἡ διακόσμησις καὶ ὡραιότης καὶ ἡ ποικιλότης τῶν ὁρωμένων. 49.4.6 Πῶς τοίνυν οὐ θελήσομεν τοσαύταις ἐπαγγελίαις τοῦ κυρίου ὅλοι ἐξ ὅλου προσελθεῖν καὶ ἐκδότους ἑαυτοὺς τῷ κυρίῳ δοῦναι, ἀρνησάμενοι κατὰ τὸ εὐαγγέλιον μετὰ πάντων, ἔτι καὶ τὴν ἑαυτῶν ψυχήν, καὶ μόνον αὐτὸν ἀγαπῆσαι καὶ σὺν αὐτῷ ἄλλο οὐδέν, ἀλλὰ ἰδοὺ ταῦτα πάντα καὶ πόση δόξα ἐδόθη καὶ πόσαι οἰκονομίαι τοῦ κυρίου διὰ πατέρων γεγόνασι, πόσαι ἐπαγγελίαι προηγγέλθησαν, πόσαι προτροπαί, πόση εὐσπλαγχνία τοῦ δεσπότου ἐφ' ἡμᾶς γέγονεν ἐξ ἀρχῆς. ἔσχατον δὲ καὶ διὰ τῆς ἰδίας ἐπιδημίας τὴν ἄρρητον χρηστότητα ἐφ' ἡμᾶς διὰ 49.4.7 σταυρώσεως ἐπεδείξατο, ἵνα ἡμᾶς εἰς ζωὴν ἀπενέγκῃ ἐπιστρέψαντας. καὶ ἡμεῖς τῶν θελημάτων ἡμῶν καὶ τῆς ἀγάπης τοῦ κόσμου καὶ τῶν προλήψεων καὶ συνηθειῶν κακῶν οὐκ ἀναχωροῦμεν, δι' ὧν ὀλιγόπιστοι ἢ καὶ ἄπιστοι ἀποδεικνύμεθα καὶ ἰδοὺ αὐτὸς χρηστεύεται, ἀοράτως φρουρῶν καὶ θάλπων καὶ μὴ κατὰ τὰ ἁμαρτήματα ἡμῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παραδιδοὺς ἡμᾶς εἰς τέλος τῇ κακίᾳ καὶ τῇ τοῦ κόσμου ἀπάτῃ μηδὲ ἐῶν ἡμᾶς ἀπολέσθαι, διὰ πολλὴν χρηστότητα καὶ 49.4.8 μακροθυμίαν ἀποσκοπῶν, πότε ἐπιστρέψωμεν. ἀλλὰ μήποτε ἡμεῖς καταφρονητικῇ ἐννοίᾳ συζῶντες καὶ ταῖς προλήψεσιν ἡμῶν συναπαγόμενοι τὸ τοῦ ἀποστόλου ῥητὸν βεβαιώσωμεν εἰς ἡμᾶς τὸ λέγον· «ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ θεοῦ εἰς μετάνοιάν σε ἄγει»; ἐὰν γὰρ τῇ πολλῇ χρηστότητι καὶ τῇ μακροθυμίᾳ καὶ τῇ ἀνοχῇ τοῦ θεοῦ πλέον ἁμαρτήματα ἐπὶ ἁμαρτήμασι προσθῶμεν καὶ κατάκρισιν μείζονα διὰ τῆς ἀμελείας καὶ καταφρονήσεως ἑαυτῶν πορισόμεθα, ἐπιφέρομεν ἑαυτοῖς τὸ ἀκόλουθον τοῦ ῥητοῦ· «κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ θεοῦ», ὅτε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· πολλῇ γὰρ ἀγαθότητι καὶ ἀνεκδιηγήτῳ μακροθυμίᾳ καὶ ἀνεκφράστῳ κέχρηται ὁ θεὸς ἐπὶ τῷ γένει τῶν ἀνθρώπων. μόνον ἡμεῖς διανῆψαι θελήσωμεν καὶ ἐξ ὅλου ἐπιστραφῆναι πρὸς αὐτὸν σπουδάσωμεν, ἵνα σωτηρίας αἰωνίου τυχεῖν δυνηθῶμεν. 49.5.1 Εἰ δὲ βούλει γνῶναι τὴν τοῦ θεοῦ πολλὴν μακροθυμίαν καὶ χρηστότητα, ἀπὸ τῶν θεοπνεύστων γραφῶν τὴν γνῶσιν λάμβανε. ἀπόβλεψον εἰς τὸν Ἰσραήλ, ἐξ οὗ οἱ πατέρες, οἷς αἱ ἐπαγγελίαι ὡρίσθησαν, «ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα», ἐν οἷς ἡ λατρεία καὶ ἡ διαθήκη, πόσα ἥμαρτον, ποσάκις ἐξετράπησαν, καὶ αὐτὸς οὐκ εἴασεν αὐτοὺς εἰς τέλος. εἰ γὰρ καὶ πρὸς καιρὸν καὶ χρόνον πρὸς τὸ αὐτῶν συμφέρον καὶ παιδείαις αὐτοὺς παρεδίδου, τὸ σκληρὸν τῆς καρδίας αὐτῶν μαλάξαι βουλόμενος, ἀλλὰ πάλιν σπλαγχνιζόμενος ἐπέστρεφε, παρεκάλει, προφήτας ἀπέσταλλε καὶ πόσοις χρόνοις ἐμακροθύμησε καὶ ἁμαρτανόντων αὐτῶν καὶ προσκοπτόντων καὶ ἐπιστρεφόντων, μετὰ χαρᾶς προσελαμβάνετο αὐτούς. 49.5.2 καὶ πάλιν ἐκτρεπομένων αὐτῶν αὐτὸς αὐτῶν οὐκ ἀφίστατο, ἀλλὰ διὰ τῶν ἁγίων προφητῶν εἰς ἐπιστροφὴν αὐτοὺς μετεκαλεῖτο καὶ πλεονάκις ἐκτραπέντων αὐτῶν καὶ ἐπιστρεφομένων ἡδέως ἐδέχετο, ἕως οὗ ὕστερον ἐν τῷ μεγάλῳ παραπτώματι εὑρέθησαν, χεῖρας ἐπιβαλόντες εἰς τὸν ἴδιον δεσπότην, ὃν προσεδόκων διὰ παραδόσεων πατέρων καὶ προφητῶν, λυτρωτὴν καὶ βασιλέα καὶ προφήτην· καὶ ἐλθόντα τοῦτον οὐ παρεδέξαντο, ἀλλὰ τοὐναντίον ὕβρεσι καὶ λοιδορίαις ὑπέβαλον καὶ τὰ τῶν ἀτίμων ἄξια αὐτῷ ἐνδειξάμενοι ὕστερον σταυροῦ θανάτου ἐτιμω49.5.3 ρήσαντο. καὶ ἐν τούτῳ τῷ μεγάλῳ προσκόμματι καὶ ὑπερβάλλοντι παραπτώματι αἱ ἁμαρτίαι αὐτῶν ὑπερπληθύνασαι ἐπληρώθησαν, καὶ οὕτω λοιπὸν εἰς τέλος ἀφείθησαν, τοῦ ἁγίου πνεύματος ἐκεῖθεν ἀναχωρήσαντος, ὅτε «τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη» καὶ ὁ ναὸς αὐτῶν καὶ ἡ πόλις παραδοθεῖσα τοῖς ἔθνεσι κατεσκάφη καὶ ἠρημώθη κατὰ τὴν τοῦ κυρίου ἀπόφασιν· «οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθῳ ἕως οὗ καταλυθῇ», καὶ οὕτως εἰς τέλος παρεδόθησαν καὶ διεσκορπίσθησαν ἐν πάσῃ τῇ γῇ, ὑπὸ τῶν αἰχμαλωτισάντων αὐτοὺς τότε βασι49.5.4 λέων μηκέτι εἰς τοὺς ἰδίους τόπους ἐπανακάμψαι κελευσθέντες. οὕτω καὶ ἐφ' ἑκάστῳ ἡμῶν χρηστὸς ὢν καὶ ἀγαθὸς μακροθυμεῖ, ὁρῶν πόσα ἕκαστος προσκόπτει, καὶ ἡσυχάζει ἐκδεχόμενος πότε ἀνανήψῃ καὶ ἀποστραφῇ ἀπὸ τοῦ μηκέτι προσκόπτειν, ἐν πολλῇ ἀγάπῃ καὶ χαρᾷ τὸν ἐπιστρέφοντα ἀπὸ τῶν τῆς ἁμαρτίας προσκομμάτων δεχόμενος. οὕτω γάρ φησι· «χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι», καὶ πάλιν· «οὐκ ἔστι θέλημα τοῦ πατρός μου, 49.5.5 ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων τῶν ἐλαχίστων». εἰ δέ τις τῆς χρηστότητος καὶ μακροθυμίας πολλῆς κειμένης ἐπ' αὐτῷ καὶ μὴ ἐπεξερχομένης εἰς ἄμυναν τοῖς κατὰ μέρος τῶν ἁμαρτιῶν προσκόμμασιν εἴτε κρυπτοῖς εἴτε φανεροῖς οἷα ὁρῶντος καὶ ἡσυχάζοντος καὶ εἰς μετάνοιαν ἐκδεχομένου, αὐτὸς εἰς καταφρόνησιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολλὴν ἐλθὼν ἁμάρτημα ἐπὶ ἁμαρτήματι προστίθησι καὶ ῥαθυμίαν ἐπὶ ῥαθυμίᾳ συνάπτει καὶ πρόσκομμα ἐπὶ προσκόμματι ἐποικοδομεῖ, πληροῖ τοὺς ὅρους τῶν ἁμαρτιῶν καὶ εἰς τοιοῦτον λοιπὸν πρόσκομμα ἔρχεται, ἐξ οὗ οὐ δύναται ἀνακύψαι, ἀλλὰ συντρίβεται καὶ εἰς τέλος τῶν πονηριῶν παραδοθεὶς ἀπόλλυται. 49.5.6 Οὕτως ἐπὶ Σοδόμων γέγονεν· οἱ πολλὰ ἁμαρτάνοντες καὶ μὴ ἐπιστρέφοντες ὕστερον τοιούτῳ τολμήματι προσέκοψαν ἐπὶ τῶν ἀγγέλωνἀρσενοκοιτίαν εἰς αὐτοὺς ἐργάσασθαι τολμήσαντες, ὡς μηκέτι ἔχειν αὐτοὺς μετάνοιαν. ἐπλήρωσαν γὰρ τὸν ὅρον τῶν ἁμαρτιῶν καὶ ὑπερέβησαν, διὸ καὶ πυρίκαυστοι ὑπὸ τῆς θείας δίκης γεγόνασιν. οὕτως ἐπὶ Νῶε πολλὰ προσκόπτοντες καὶ μὴ μετανοοῦντες εἰς τηλικαῦτα ἁμαρτήματα ἔφθασαν, ὥστε εἰς τέλος πᾶσαν τὴν γῆν 49.5.7 καταφθαρῆναι. οὕτως ἐπὶ τῶν Αἰγυπτίων πολλὰ προσκοψάντων καὶ εἰς τὸν λαὸν τοῦ θεοῦ ἁμαρτανόντων ἐχρηστεύετο ὁ θεός, τοιαύτας μάστιγας αὐτοῖς ἐπιφέρων, ὥστε μὴ εἰς τέλος διαφθαρῆναι, ἀλλὰ εἰς δουλείαν καὶ ἐπιστροφὴν καὶ μετάνοιαν ἔφερεν αὐτοῖς ἐκείνας τὰς μικρὰς πληγὰς τῶν μαστίγων μακροθυμῶν καὶ εἰς μετάνοιαν αὐτοὺς ἐκδέχεσθαι. οἱ δὲ πολλὰ ἁμαρτήσαντες εἰς τὸν λαὸν τοῦ θεοῦ καὶ ἐπιστρέφοντες καὶ πάλιν μεταμελόμενοι καὶ εἰς τὴν ἀρχαίαν ἀπιστίαν τῆς κακῆς προαιρέσεως ἀποκαθιστάμενοι καὶ τὸν λαὸν τοῦ κυρίου καταπονήσαντες, ὕστερον ὅτε διὰ πολλῶν θαυμασίων τὸν λαὸν διὰ Μωϋσέως ἐξ Αἰγύπτου ἐξήγαγε, μέγα προσέκρουσαν καταδιώξαντες ὀπίσω τοῦ λαοῦ αὐτοῦ. διὸ καὶ εἰς τέλος ἡ θεία δίκη ἠνάλωσεν αὐτοὺς καὶ διέφθειρε καὶ 49.5.8 ἐν τοῖς ὕδασι κατεπόντισε, μηδὲ τῆς ὁρωμένης ζωῆς ἀξίους κρίνας. ὁμοίως τοῦ Ἰσραήλ, καθὼς προείρηται, πολλὰ προσκόπτοντος καὶ ἁμαρτάνοντος καὶ τοὺς προφήτας τοῦ θεοῦ ἀποκτένοντος καὶ πολλὰ κακοποιοῦντος ἐμακροθύμει ὁ θεὸς ἡσυχάζων εἰς μετάνοιαν αὐτοὺς ἐκδεχόμενος ἔσχατον δὲ εἰς τοιοῦτον προσέκοψαν, ὅθεν συντριβέντες οὐκέτι ἐξηγέρθησαν. εἰς τὸ δεσποτικὸν γὰρ ἀξίωμα τὰς ἑαυτῶν χεῖρας ἐπέβαλον. διὸ καὶ εἰς τέλος καταβληθέντες ἀπεβλήθησαν καὶ ἤρθη ἀπ' αὐτῶν ἡ προφητεία καὶ ἡ ἱερατεία καὶ ἡ λατρεία καὶ ἐδόθη τοῖς πιστεύσασιν ἔθνεσιν, ὥς φησιν ὁ κύριος· «ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς». μέχρι γὰρ τότε ἠνείχετο αὐτῶν ὁ θεὸς καὶ ἐμακροθύμει καὶ οὐκ ἀφίστατο σπλαγχνιζόμενος εἰς ἐπιστροφὴν αὐτῶν. ἐκεῖνοι δὲ ἀνεπλήρωσαν τὸν ὅρον τῶν ἁμαρτιῶν καὶ ὑπερεπλεόνασαν, διὸ καὶ εἰς τέλος ὑπὸ τοῦ θεοῦ ἐγκατελείφθησαν. 49.6.1 Ταῦτα δὲ διὰ πλειόνων διεξήλθομεν, ἀγαπητοί, ἀπὸ γραφικῶν ἐννοιῶν συνιστῶντες πρὸς τὸ δεῖν ἡμᾶς τάχιον σπουδάσαι ἐπιστρέψαι πρὸς αὐτὸν πάσης συνηθείας καὶ προλήψεως ἀναχωροῦντας χρηστευόμενον καὶ ἐκδεχόμενον ἀεὶ ἡμᾶς καὶ ἐπιστρέφοντας μετὰ χαρᾶς πολλῆς προσδεχόμενον, ἵνα μὴ ἐπαύξῃ ἡμέραν ἐξ ἡμέρας ἡ καταφρόνησις εἰς ἡμᾶς καὶ τὰ προσκόμματα πλέον εἰς ἡμᾶς προστίθηται καὶ διὰ τοῦτο τὴν ὀργὴν τοῦ θεοῦ ἐπενέγκωμεν ἑαυτοῖς. 49.6.2 σπεύσωμεν τοίνυν προσελθεῖν αὐτῷ ἐξ ὅλης καρδίας μὴ ἀπελπίζοντες τῆς ἑαυτῶν σωτηρίας, ὅπερ καὶ αὐτὸ αὐτῆς τῆς κακίας πανούργευμα τυγχάνει, ὑπομνήσει προλαβουσῶν ἁμαρτιῶν εἰς ἀπελπισμὸν φέρον τὸν ἄνθρωπον καὶ εἰς χαύνωσιν καὶ ὀλιγωρίαν καὶ ῥαθυμίαν, ἵνα μὴ ἐπιστρέψας καὶ προσελθὼν τῷ 49.6.3 κυρίῳ σωτηρίας τεύξηται. εἰ δὲ τοῦτο ἡμῖν δύσκολον καταφαίνεται καὶ ἀδύνατον ὡς προλελημμένοις ἔν τισι καὶ τοῦτο αὐτό, ὡς προείρηται, τῆς κακίας ὑποτιθεμένης, ἵνα μὴ τῷ κυρίῳ προσέλθωμεν σπλαγχνιζομένῳ ἐφ' ἡμᾶς, μνημονεύσωμεν καὶ ἀπίδωμεν, πῶς ὁ κύριος ἐπιδημήσας τῇ χρηστότητι αὐτοῦ τυφλοὺς ἀναβλέψαι ἐποίησε, παραλυτικοὺς ἐθεράπευσε, πᾶσαν νόσον ἰάσατο, νεκροὺς εἰς καταφθορὰν καὶ ἀφανισμὸν ἤδη τυγχάνοντας ἀνέστησε, κωφοὺς ἀκοῦσαι πεποίηκε λεγεῶνας δαιμόνων ἀπήλασεν ἀπὸ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἑνὸς καὶ εἰς σωφροσύνην 49.6.4 μετέστρεψε τὸν εἰς τοσαύτην μανίαν ἐληλακότα. πόσῳ μᾶλλον ψυχὴν τὴν ἐπιστρέφουσαν πρὸς αὐτὸν καὶ παρ' αὐτοῦ ἔλεος ἐπιζητοῦσαν καὶ δεομένην τῆς παρ' αὐτοῦ βοηθείας οὐκ ἐπιστρέψει καὶ εἰς σωφροσύνην ἀπαθείας καὶ κατάστασιν ἀρετῆς καὶ νοὸς ἀνακαινισμὸν ἐνέγκῃ καὶ μεταβάλῃ εἰς ὑγιότητα καὶ ἀνάβλεψιν διανοίας καὶ λογισμὸν εἰρήνης καὶ ἀπὸ τῆς τυφλώσεως καὶ νεκρώσεως τῆς ἀγνωσίας καὶ ἀπιστίας καὶ ἀφοβίας εἰς σωφρονισμὸν πάσης ἀρετῆς καὶ καθαρότητα καρδίας ἐνέγκῃ ὁ γὰρ κτίσας τὸ σῶμα αὐτὸς καὶ τὴν ψυχὴν πεποίηκε, καὶ ἐπιδημήσας αὐτὸς ἐν τῇ γῇ τοῖς προσερχομένοις αὐτῷ καὶ ζητοῦσι τὴν αὐτοῦ βοήθειαν καὶ ἴασιν ἀφθόνως χρηστευόμενος παρεῖχε καὶ ἑκάστῳ ὧν 49.6.5 ἔχρῃζεν ὡς ἀγαθὸς καὶ μόνος ἰατρός. εἰ οὖν ἐπὶ τὰ λυόμενα καὶ ἀποθνῄσκοντα πάλιν σώματα οὕτως ἐσπλαγχνίσθη καὶ ἑκάστῳ ὃ ἐπεζήτει προθύμως καὶ χρηστῶς παρεῖχε, πόσῳ μᾶλλον τῇ ἀθανάτῳ ψυχῇ καὶ ἀδιαλύτῳ καὶ ἀφθάρτῳ, τυγχανούσῃ δὲ ἐν ἀγνοίας νόσῳ τῆς κακίας καὶ ἀπιστίας καὶ ἀφοβίας καὶ ἐν τῷ σκότει τῆς πονηρίας καὶ τῶν λοιπῶν τῆς ἁμαρτίας παθῶν κατακειμένῃ, προσερχομένῃ αὐτῷ καὶ τὴν παρ' αὐτοῦ βοήθειαν ἐπιζητούσῃ καὶ εἰς τὸ αὐτοῦ ἔλεος ἀποσκοπούσῃ καὶ τὴν χάριν τοῦ πνεύματος παρ' αὐτοῦ δέξασθαι ἐπιθυμούσῃ εἰς λύτρωσιν καὶ σωτηρίαν αὐτῆς καὶ πάσης κακίας καὶ πάθους ἀπαλλαγήν, οὐ μᾶλλον ποιήσει ἑτοιμοτέρως τὴν λύτρωσιν τῆς ἰάσεως. κατὰ τὸν αὐτοῦ λόγον· «πόσῳ μᾶλλον ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος ποιήσει ἐκ49.6.6 δίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας» καὶ ἐπάγει· «ναὶ λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει», καὶ πάλιν παραινεῖ· «αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται». καὶ διεξελθὼν ἐπιφέρει· «πόσῳ μᾶλλον ὁ πατὴρ ὁ οὐράνιος δώσει πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν», καὶ πάλιν· «ἀμὴν λέγω ὑμῖν, κἂν διὰ τὸ φίλον εἶναι οὐ δώσει αὐτῷ, διάγε τὴν ἀναίδειαν αὐτοῦ ἀναστὰς δώσει αὐτῷ ὅσον ἂν χρῄζῃ». 49.6.7 Ἀναιδῶς καὶ ἀπερικακήτως καὶ ἀδιαλείπτως αἰτεῖν ἡμᾶς τὴν παρ' αὐτοῦ τῆς χάριτος ἀντίληψιν διὰ τούτων πάντων προετρέψατο. διὰ γὰρ τοὺς ἁμαρτωλοὺς ἦλθεν, ἵνα ἐπιστρέψῃ πρὸς αὐτὸν καὶ ἰάσηται τοὺς πιστεύοντας αὐτῷ. ἡμεῖς μόνον τῶν κακῶν προλήψεων ἀρῶμεν ἑαυτούς, ὅσον τὸ ἐν ἡμῖν δυνατόν, καὶ μισήσωμεν τὰ φαῦλα ἐπιτηδεύματα καὶ τὰς τοῦ κόσμου ἀπάτας, καὶ τοὺς πονηροὺς καὶ ματαίους διαλογισμοὺς τοὺς ἐν ἡμῖν ἀποστραφῶμεν καὶ πάντοτε πρὸς αὐτὸν ὅση δύναμις ἡμῖν ἐκ προαιρέσεως προσκολληθῶμεν καὶ αὐτὸς ἑτοί49.6.8 μως ποιεῖ ἡμῖν τὴν παρ' αὐτοῦ βοήθειαν. καὶ γάρ ἐστιν ἐλεῶν καὶ σῴζων καὶ ἰώμενος τὰ ἀνίατα πάθη καὶ λύτρωσιν ποιῶν τοῖς ἐπικαλουμένοις αὐτὸν καὶ δεχόμενος τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας καὶ πάσης κοσμικῆς ἀγάπης ὅση δύναμις αὐτοῖς, ἐκ θελήματος καὶ προαιρέσεως ἀναχωροῦντας καὶ τὴν διάνοιαν αὐτῶν ἀπὸ γῆς ἕλκοντας καὶ πρὸς κύριον μόνον ἀποκρεμοῦντας τῇ ζητήσει καὶ 49.6.9 τῇ πρὸς αὐτὸν ἐπιποθήσει. τοιαύτη δὲ ψυχὴ τῆς παρ' αὐτοῦ βοηθείας ἀξιοῦται ἡ ἐκ θελήματος καὶ προαιρέσεως ὅλης αὐτὸν ἐπιζητοῦσα μόνον καὶ πάντα περισσὰ ἡγουμένη καὶ ἐπὶ μηδενὶ τοῦ κόσμου τούτου ἀναπαυομένη, ἀλλ' εἰς τὴν ἀνάπαυσιν τῆς αὐτοῦ χάριτος ἀναπαυθῆναι καὶ δοξασθῆναι ἐκδεχομένη. καὶ οὕτω διὰ τῆς τοιαύτης πίστεως ἐπιτυχοῦσα τῆς ἐπουρανίου δωρεᾶς καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐν πληροφορίᾳ ἀναπαύσασα διὰ τῆς χάριτος καὶ συμφώνως τῷ πνεύματι τῷ ἁγίῳ διακονήσασα καὶ ὁσημέραι εἰς τὸ ἀγαθὸν προκόπτουσα καὶ εἰς τὴν ὁδὸν τῆς δικαιοσύνης ἐμμένουσα καὶ εἰς τέλος ἄκαμπτος καὶ ἀσυνδύαστος εἰς τὸ τῆς κακίας μέρος διαμείνασα καὶ τὴν χάριν ἐν μηδενὶ λυπήσασα τῆς αἰωνίου σωτηρίας σὺν πᾶσι καταξιοῦται τοῖς ἁγίοις, ἅτε δὴ συγκοινωνὸς καὶ σύνδρομος κατὰ μίμησιν αὐτῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐν κόσμῳ ἀναστραφεῖσα. Δόξα τοῖς οἰκτιρμοῖς αὐτοῦ καὶ τῷ ἀπείρῳ αὐτοῦ ἐλέει νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

50.τ.1 ΛΟΓΟΣ Ν΄.

50.1.1 Ἡ ἀνθρωπεία φύσις ὑπὸ τὴν ἀπόφασιν τῆς ὀργῆς τοῦ θεοῦ γεγονυῖα, διὰ τὴν τοῦ πρωτοπλάστου Ἀδὰμ παράβασιν τῆς προτέρας ἐκείνης καθαρᾶς καὶ ἀπαθοῦς καταστάσεως ἐκπεσοῦσα καὶ τῇ κακίᾳ τῶν παθῶν συμπλακεῖσα καὶ ὑπ' αὐτῶν διὰ τῆς πλάνης τοῦ πονηροῦ καταδυναστευθεῖσα ἀδυνάτως ἔχει ἑαυτὴν 50.1.2 ἐξελέσθαι τῆς πικρᾶς τοῦ σκότους δουλείας. διὸ τῆς θείας καὶ οὐρανίου δυνάμεως χρεία γεγένηται ταύτῃ συνενωθῆναι καὶ συμπλακῆναι, ἵνα δι' αὐτῆς τὴν λύτρωσιν τῶν παθῶν καὶ βοήθειαν ἐν ταῖς ἀρεταῖς κτησαμένη ἐπὶ τὴν ἐργασίαν τῶν ἀρετῶν τῆς ἀρχαίας καθαρότητος καταντῆσαι δυνηθῇ, καὶ οὕτω τοὺς τῆς δικαιοσύνης καρποὺς ἐντελεῖς τῷ κυρίῳ ἀποδώσῃ. διὸ καὶ τοῦ κυρίου ἐπιδημία γεγένηται, προοικονομήσαντος διὰ πατέρων, διὰ προφητῶν, ἵνα τῇ τῶν ἀνθρώπων ἀσθενείᾳ βοηθήσῃ καὶ διὰ τοῦ πνεύματος αὐτοῦ τὰς καρδίας τῶν πιστευόντων ἐργάσηται, ὅπως τοὺς οὐρανίους καρποὺς τῆς χάριτος ἐνεγκεῖν δυνη50.1.3 θῶσιν. ἑκάστῳ γὰρ τῶν φαινομένων ἐὰν μὴ κοινωνήσῃ ἑτέρα τις ξένη φύσις εἰς βοήθειαν αὐτῆς τῆς ἐργασίας αὐτοῦ, καθ' ἑαυτὸ μόνον ἀνέργαστον καὶ ἀνεπιτήδειον καὶ ἄπορόν ἐστι κοσμήσεως, δι' ἑαυτοῦ μόνου τὴν διακόσμησιν τῆς εὐπρεπείας ἀδυνάτως ἔχον ἐπιτελεῖν. ἡ γὰρ ἄφραστος τοῦ θεοῦ σοφία μυστήρια καὶ τύπους διὰ τῶν φαινομένων κτισμάτων ἐπιδεικνύουσα ἀλλήλων χρῄζειν τῆς ἐργασίας εἰς τὴν διακόσμησιν ᾠκονόμησεν, ἀτελοῦς ἑκάστου καθ' ἑαυτὸ εἰς τὴν εὐπρέπειαν καὶ ἐργασίαν ἀποδεικνυμένου, εἰς τύπον τῆς ἀνθρωπίνης φύσεως ἐξ ἑαυτῆς μόνης τὴν διακόσμησιν τῶν τελείων ἀρετῶν καὶ τὴν πνευματικὴν εὐπρέπειαν τῆς ὡραιότητος ἄνευ τῆς θείας καὶ οὐρανίου δυνάμεως ἀδυνάτως ἐχούσης ἐπιδείξασθαι. 50.1.4 Ἐκ παραδειγμάτων δὲ τὴν πληροφορίαν δεξώμεθα. ἡ γῆ καθ' ἑαυτὴν μένουσα ἀνεπιτήδειός ἐστιν, ἐὰν μὴ λάβῃ διὰ τῶν γηπόνων τὴν ἐπιμέλειαν τῆς ἐργασίας, ἵνα πάσας τὰς ἀκάνθας καὶ τριβόλους ἐξ αὐτῆς καθαρίσωσι καὶ τὸν σπόρον καταθῶνται, εἶθ' οὕτω τὸν ἐξ οὐρανοῦ ὄμβρον ὑποδέξηται καὶ οὕτως διὰ ἀέρων καὶ ἡλίου οἱ ἐν αὐτῇ καρποὶ αὐξηθῶσιναὐτὴ γὰρ καθ' ἑαυτὴν ἀδυνάτως 50.1.5 ἔχει ἐντελεῖς τοὺς καρποὺς ἀποδοῦναι. ἢ ὥσπερ ἐὰν ᾖ οἶκος καὶ ᾖ ἐκ τῆς γῆς πᾶσα ἡ τούτου ἐπισκευή· χρῄζει αὐτοῦ τοῦ ἐξ οὐρανοῦ καὶ ἡλίου φωτός, ὅπερ οὐκ ἔστι τῆς φύσεως αὐτοῦ, ἵνα τὴν εὐπρέπειαν καὶ τὴν ὡραιότητα διὰ 50.1.6 τῆς ἐλλάμψεως τοῦ φωτὸς ἔχειν δύνηται. τὸν αὐτὸν τρόπον καὶ ἡ ἀνθρωπεία φύσις ὑπὸ τὴν ἁμαρτίαν τῶν παθῶν πεσοῦσα καὶ ἐν ἀσθενείᾳ τῶν ἀρετῶν γενομένη ἀδυνάτως ἔχει ἑαυτῇ βοηθῆσαι καὶ ἐκφυγεῖν ἀπὸ τῆς τῶν παθῶν καταδυναστείας, ἵνα καρποὺς τῶν ἀρετῶν τελείους τῷ ἐπουρανίῳ δε50.1.7 σπότῃ ἀποδοῦναι δυνηθῇ. διὸ εὐδόκησεν ὁ ἀγαθὸς καὶ φιλάνθρωπος θεὸς τῇ πολλῇ αὐτοῦ χρηστότητι πλοῦτον ταῖς ψυχαῖς ἡμῶν τὸν πνευματικὸν ἡμῖν χαρίσασθαι, τουτέστι τὸ τοῦ Χριστοῦ πνεῦμα μὴ ὂν ἐκ τῆς ἡμετέρας φύσεως ἡμεῖς μὲν γάρ ἐσμεν κτίσμα, αὐτὸ δὲ ἄκτιστόν ἐστιν, ἵνα αὐτὸ τῇ ἰδίᾳ ἐπιστήμῃ καὶ τέχνῃ ἐργασάμενον καὶ γεωργῆσαν τῶν πιστῶν τὰς καρδίας εὐτρεπίσῃ τὰς ὅλῳ θελήματι ἑαυτὰς ἐπιδούσας τῷ πνευματικῷ γεωργῷ, ὅπως τὸν ἐξ οὐρανοῦ ὄμβρον τῆς χάριτος δεξάμεναι δυνηθῶσι τοὺς καρποὺς τοῦ πνεύματος καρποφορῆσαι καὶ τῆς δικαιοσύνης τὰ γεννήματα τῷ ἐπουρανίῳ δεσπότῃ ἐντελῆ ἀποδοῦναι καὶ τότε τὴν ἐξ οὐρανοῦ εὐλογίαν κληρονομῆσαι. 50.1.8 αὐτὸς γὰρ εὐδόκησε καὶ τὸν τῆς δικαιοσύνης ἥλιον ἐλλάμψαι, ὃς οὐκ ἔστιν ἐκ τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φύσεως τῆς ἡμετέρας, ἐν τῇ ἐσκοτισμένῃ ὑπὸ τῶν παθῶν τῆς ψυχῆς οἰκίᾳ, ἵν' οὕτω καὶ τὸ δεινὸν τῆς ἁμαρτίας σκότος φυγαδευθῆναι δυνηθῇ ἐκ τῆς ἀνθρωπίνης ὑποστάσεως καὶ τὸ κάλλος τῆς οἰκίας τῆς ψυχῆς φανερωθῆναι διὰ τῆς τοῦ πνευματικοῦ καὶ ἐπουρανίου φωτὸς ἐλλάμψεως, καὶ οὕτω τὴν ὡραιότητα καὶ τὴν εὐπρέπειαν καὶ πᾶσαν τῶν ἀρετῶν τὴν διακόσμησιν διὰ τοῦ θείου πνεύματος ἔχειν δύνηται, ὅταν ὁ τῆς δικαιοσύνης ἥλιος ὁ μὴ ὢν ἐκ τῆς φύσεως ἡμῶν ἐλλάμψῃ ἐν ἡμῖν κατὰ τὸ εἰρημένον· «ἵνα γένησθε θείας κοινωνοὶ φύ50.1.9 σεως». ἡ ψυχὴ γὰρ ὑπὸ τὴν ἁμαρτίαν πεσοῦσα καὶ δεινῶς ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων διὰ τῆς ἐνεργείας τῶν παθῶν ἀπόσκληρος καὶ πικρὰ γεγονυῖα, ἐκ τῆς προτέρας ἐκείνης καθαρᾶς καὶ μακαρίας καταστάσεως ἀπαλλοτριωθεῖσα, πάθη κακίας παρὰ τὴν καλὴν αὐτῆς φύσιν ἀνέλαβεν, ἅπερ οὐδεὶς δύναται ἀπ' αὐτῆς ἆραι καὶ εἰς τὴν ἀρχαίαν κατάστασιν τῆς καθαρότητος ἀποκαταστῆσαι εἰ μὴ τὸ ξένον τῆς ἡμετέρας φύσεως, ὅπερ ἐστὶν ἡ τοῦ θείου πνεύματος δύναμις. ἐπιφοιτήσασα γὰρ τῇ πιστῇ ψυχῇ πᾶσαν σκληρότητα καὶ πᾶν πονηρὸν καὶ ἐπείσακτον πάθος διαλύσει καὶ εἰς τὴν ἀρχαίαν εὐγένειαν τῆς καθαρότητος τῶν ἀρετῶν ἀποκαταστήσει. 50.1.10 Ἐν καιρῷ χειμῶνος αἱ πικρίαι τῶν σκληρῶν ἀνέμων καὶ τὰ κρύη τῶν παγετῶν μεταβάλλει καὶ μεταποιεῖ τὴν γῆν ἀπὸ τῆς ἁπαλῆς φύσεως εἰς πολλὴν σκληρότητα καὶ τραχύτητα. ὁμοίως καὶ τὴν τῶν ὑδάτων ἁπαλωτάτην φύσιν διὰ τῆς πήξεως ἐξεργάζεται εἰς λίθου φύσιν· ὁρᾷς γὰρ ἐν τῷ καιρῷ τοῦ σφοδροῦ χειμῶνος καὶ τοὺς μεγίστους ποταμοὺς μάλιστα ἐν τοῖς ἀρκτικοῖς μέρεσιν εἰς πῆξιν καὶ ὁμοιότητα λίθου διὰ τῆς ψυχρότητος μεταποιουμένους, ὥστε καὶ ζῷα ἐπάνω τῶν ποταμῶν περιπατεῖν. οὔτε οὖν εἰς τὴν ἰδίαν τῆς φύσεως ἁπαλότητα ἀποκατασταθῆναι δύνανται οὔτε τινὲς ἀνθρώπων, εἰ καὶ πάντες ὁμοῦ συνέλθωσι διὰ τῆς ἰσχύος αὐτῶν ἀποκαταστῆσαι τούτους οἰκείᾳ τάξει δύνανται, διὰ τὸ ἑτέραν τινα φύσιν κρυώδη ἐπεισελθεῖν καὶ συμμιγῆναι τοῖς ὕδασι καὶ μεταβαλεῖν αὐτὰ εἰς λιθώδη τινὰ ἕξιν. καὶ τίς δύναται ταῦτα εἰς τὴν ἰδίαν τῆς ἁπαλότητος φύσιν ἀποκαταστῆσαι εἰ μὴ τὸ ξένον τῆς φύσεως αὐτῶν, ὅπερ ἐστὶν ὁ ἥλιος· τῇ ἰδίᾳ τῆς θερμότητος ἐνεργείᾳ εἰσερχόμενος διαλύσει πᾶσαν κρυώδη τῆς ψυχρότητος φύσιν καὶ εἰς τὴν ἰδίαν τῆς ἁπαλότητος ἕξιν καταστήσει 50.1.11 ἕκαστα. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἄνθρωπος ὑπὸ τὴν ἁμαρτίαν
γεγονὼς ἐκ τῆς ἀρχῆθεν παραβάσεως εἰς πικρὸν καὶ δεινὸν χειμῶνα τῶν πονη50.1.7 τὸν ἐξ οὐρανοῦ ὄμβρον τῆς χάριτος δεξάμεναι δυνηθῶσι τοὺς καρποὺς τοῦ πνεύματος καρποφορῆσαι καὶ τῆς δικαιοσύνης τὰ γεννήματα τῷ ἐπουρανίῳ δεσπότῃ ἐντελῆ ἀποδοῦναι καὶ τότε τὴν ἐξ οὐρανοῦ εὐλογίαν κληρονομῆσαι. 50.1.8 αὐτὸς γὰρ εὐδόκησε καὶ τὸν τῆς δικαιοσύνης ἥλιον ἐλλάμψαι, ὃς οὐκ ἔστιν ἐκ τῆς φύσεως τῆς ἡμετέρας, ἐν τῇ ἐσκοτισμένῃ ὑπὸ τῶν παθῶν τῆς ψυχῆς οἰκίᾳ, ἵν' οὕτω καὶ τὸ δεινὸν τῆς ἁμαρτίας σκότος φυγαδευθῆναι δυνηθῇ ἐκ τῆς ἀνθρωπίνης ὑποστάσεως καὶ τὸ κάλλος τῆς οἰκίας τῆς ψυχῆς φανερωθῆναι διὰ τῆς τοῦ πνευματικοῦ καὶ ἐπουρανίου φωτὸς ἐλλάμψεως, καὶ οὕτω τὴν ὡραιότητα καὶ τὴν εὐπρέπειαν καὶ πᾶσαν τῶν ἀρετῶν τὴν διακόσμησιν διὰ τοῦ θείου πνεύματος ἔχειν δύνηται, ὅταν ὁ τῆς δικαιοσύνης ἥλιος ὁ μὴ ὢν ἐκ τῆς φύσεως ἡμῶν ἐλλάμψῃ ἐν ἡμῖν κατὰ τὸ εἰρημένον· «ἵνα γένησθε θείας κοινωνοὶ φύ50.1.9 σεως». ἡ ψυχὴ γὰρ ὑπὸ τὴν ἁμαρτίαν πεσοῦσα καὶ δεινῶς ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων διὰ τῆς ἐνεργείας τῶν παθῶν ἀπόσκληρος καὶ πικρὰ γεγονυῖα, ἐκ τῆς προτέρας ἐκείνης καθαρᾶς καὶ μακαρίας καταστάσεως ἀπαλλοτριωθεῖσα, πάθη κακίας παρὰ τὴν καλὴν αὐτῆς φύσιν ἀνέλαβεν, ἅπερ οὐδεὶς δύναται ἀπ' αὐτῆς ἆραι καὶ εἰς τὴν ἀρχαίαν κατάστασιν τῆς καθαρότητος ἀποκαταστῆσαι εἰ μὴ τὸ ξένον τῆς ἡμετέρας φύσεως, ὅπερ ἐστὶν ἡ τοῦ θείου πνεύματος δύναμις. ἐπιφοιτήσασα γὰρ τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πιστῇ ψυχῇ πᾶσαν σκληρότητα καὶ πᾶν πονηρὸν καὶ ἐπείσακτον πάθος διαλύσει καὶ εἰς τὴν ἀρχαίαν εὐγένειαν τῆς καθαρότητος τῶν ἀρετῶν ἀποκαταστήσει. 50.1.10 Ἐν καιρῷ χειμῶνος αἱ πικρίαι τῶν σκληρῶν ἀνέμων καὶ τὰ κρύη τῶν παγετῶν μεταβάλλει καὶ μεταποιεῖ τὴν γῆν ἀπὸ τῆς ἁπαλῆς φύσεως εἰς πολλὴν σκληρότητα καὶ τραχύτητα. ὁμοίως καὶ τὴν τῶν ὑδάτων ἁπαλωτάτην φύσιν διὰ τῆς πήξεως ἐξεργάζεται εἰς λίθου φύσιν· ὁρᾷς γὰρ ἐν τῷ καιρῷ τοῦ σφοδροῦ χειμῶνος καὶ τοὺς μεγίστους ποταμοὺς μάλιστα ἐν τοῖς ἀρκτικοῖς μέρεσιν εἰς πῆξιν καὶ ὁμοιότητα λίθου διὰ τῆς ψυχρότητος μεταποιουμένους, ὥστε καὶ ζῷα ἐπάνω τῶν ποταμῶν περιπατεῖν. οὔτε οὖν εἰς τὴν ἰδίαν τῆς φύσεως ἁπαλότητα ἀποκατασταθῆναι δύνανται οὔτε τινὲς ἀνθρώπων, εἰ καὶ πάντες ὁμοῦ συνέλθωσι διὰ τῆς ἰσχύος αὐτῶν ἀποκαταστῆσαι τούτους οἰκείᾳ τάξει δύνανται, διὰ τὸ ἑτέραν τινα φύσιν κρυώδη ἐπεισελθεῖν καὶ συμμιγῆναι τοῖς ὕδασι καὶ μεταβαλεῖν αὐτὰ εἰς λιθώδη τινὰ ἕξιν. καὶ τίς δύναται ταῦτα εἰς τὴν ἰδίαν τῆς ἁπαλότητος φύσιν ἀποκαταστῆσαι εἰ μὴ τὸ ξένον τῆς φύσεως αὐτῶν, ὅπερ ἐστὶν ὁ ἥλιος· τῇ ἰδίᾳ τῆς θερμότητος ἐνεργείᾳ εἰσερχόμενος διαλύσει πᾶσαν κρυώδη τῆς ψυχρότητος φύσιν καὶ εἰς τὴν ἰδίαν τῆς ἁπαλότητος ἕξιν καταστήσει 50.1.11 ἕκαστα. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ ἄνθρωπος ὑπὸ τὴν ἁμαρτίαν γεγονὼς ἐκ τῆς ἀρχῆθεν παραβάσεως εἰς πικρὸν καὶ δεινὸν χειμῶνα τῶν πονηρῶν πνευμάτων ἐμπέπτωκε, καὶ πάντες οἱ ἐναντίοι τῆς πονηρίας τῶν παθῶν ἄνεμοι εἰς τὴν ψυχὴν πνέουσι, καὶ ἡ τῆς δυνάμεως δὲ τοῦ σκότους ψυχρότης εἰς αὐτὴν ἐπεισελθοῦσα μετέβαλε τὴν ἱερὰν ἐκείνην καὶ καθαρὰν τῆς ἁπαλῆς καρδίας ἕξιν εἰς σκληρότητα ἀνυπότακτον φρονήματος σαρκικοῦ καὶ τῶν ἁγίων ἐντολῶν παράβασιν καὶ τὴν ἐν πάσῃ ἀρετῇ ὡραιότητος φύσιν εἰς πικράν τινα καὶ συνδεδεμένην ἕξιν μετεποίησε καὶ ἁπαξαπλῶς ἐκ τῆς ἀκεραίας ἐκείνης καὶ πραοτάτης καὶ ἐρασμίου τῆς ψυχῆς καταστάσεως εἰς λιθώδη καὶ συγκεχυμένην 50.1.12 καὶ πονηρὰν μεταβέβληκε ποιότητα. καὶ τίς δύναται ταύτην εἰς τὴν ἀρχαίαν ἐκείνην καὶ καθαρὰν καὶ ἁπαλωτάτην ἕξιν ἀποκαταστῆσαι καὶ τῷ τοῦ θεοῦ νόμῳ ἐν ἀληθείᾳ ὑποταγῆναι, ἐν πάσῃ τῇ τῶν ἐντολῶν ἀμώμῳ ἐργασίᾳ ποιῆσαι, εἰ μὴ τὸ ξένον τῆς φύσεως ἡμῶν, ὁ τῆς δικαιοσύνης ἥλιος Χριστός, εἰς αὐτὴν ἐλλάμψῃ ταῖς τῶν μαρμαρυγῶν αὐτοῦ ἡδυτάταις ἀκτῖσιν, ἵν' οὕτω δυνηθῇ τῇ ἰδίᾳ τοῦ ἐπουρανίου καὶ ἁγίου πυρὸς θερμότητι διαλῦσαι πᾶσαν τὴν πικρὰν τοῦ σκότους τῶν παθῶν κακίαν καὶ εἰς τὴν ἰδίαν ἀγαθότητα τῶν προτέρων ἀρετῶν ἀποκαταστῆσαι τὴν πιστὴν καὶ ὅλην ἑαυτὴν ἀποδοῦσαν τῷ κυρίῳ ψυχήν; ἐὰν μὴ γάρ τις τὸ ἴδιον θέλημα ἐξ ὁλοκλήρου παραστήσῃ τῷ κυρίῳ, κατὰ πάντα ἑαυτὸν ἀποδεδωκώς, οὐκ ἂν ἐκείνης τῆς λυτρώσεως καὶ καθαρότητος τεύξηται. 50.2.1 Μακάριοι τοιγαροῦν εἰσιν οἱ Χριστιανοὶ οἱ διὰ τῆς πίστεως αὐτῶν καὶ δεήσεως καὶ πολλῆς ἐν ἀρεταῖς σπουδῆς ταύτης τῆς ἀρρήτου καὶ αἰωνίου εὐεργεσίας τετυχηκότες καὶ τοῦ ἐπουρανίου ἀνθρώπου συμμέτοχοι γεγονότες καὶ τῶν ἐπουρανίων μυστηρίων τοῦ πνεύματος πείρᾳ καὶ αἰσθήσει τὴν γνῶσιν παραλαβόντεσοὗτοι κἂν ἐπὶ γῆς φαίνωνται τῷ σώματι περιπατοῦντες, «τὸ πολίτευμα» καὶ τὴν διαγωγὴν τοῦ νοὸς αὐτῶν «ἐν οὐρανοῖς» κέκτηνται, οὗτοι κρείττονες καὶ μείζονες καὶ δυνατώτεροι παρὰ πάντας ἀνθρώπους τυγχάνουσιν. οὐδεὶς γάρ ποτε τῶν ἀνθρώπων, ἢ ἄρχοντες ἢ δυνατοὶ ἢ σοφοὶ ἢ συνετοὶ ἢ φρόνιμοι ἢ ἔνδοξοι, ἠδυνήθησαν εἰς τὸν οὐρανὸν ἀνελθεῖν κἀκεῖ ἐργάσασθαι ἔργα πνευματικὰ καὶ τὰ ἐκεῖ κάλλη τῶν ἀρρήτων φώτων κατοπτεῦσαι καὶ θαυμάσια καὶ παράδοξα μυστήρια ἰδεῖν καταξιωθῆναι, ἅπερ οἱ ἀληθινοὶ Χριστιανοὶ καταξιοῦνται. 50.2.2 Ἐστί τις ἐν τοῖς φαινομένοις πένης, ἐνδεής, οὐ σοφός, οὐ δυναστής, ἐξουδενωμένος ὡς πρὸς ἀνθρωπείαν δόξαν, καὶ ἀπέρχεται οὗτος καὶ προσπίπτει τῷ κυρίῳ ἐπὶ πρόσωπον, καὶ ἰδοὺ ἄνευ σωματικῆς δυναστείας ἢ κόπου χειρῶν ἢ ποδῶν ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πληροφορίᾳ τοῦ νοὸς καὶ τῶν λογισμῶν ὅλῳ τῷ φρονήματι τῆς ψυχῆς ἀνέρχεται ἐν οὐρανῷ διὰ πνεύματος ὁδηγούμενος κἀκεῖ ἐργάζεται ἔργα ζωῆς ἀθάνατα καὶ ἄρρητα καὶ ἐκεῖ διαιτᾶται καὶ τὰ ἐκεῖ θαυμάσια τοῦ θεοῦ καὶ ἐξαίσια κάλλη τῶν πνευματικῶν πραγμάτων διὰ πίστεως κατοπτεύει ἐν πάσῃ πληροφορίᾳ. φησὶ γὰρ ὁ ἀπόστολος· «ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει» καὶ πάλιν· «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν», καὶ ἐπάγει· 50.2.3 «ἡμῖν δὲ ἀπεκάλυψεν διὰ τοῦ πνεύματος αὐτοῦ». ὁρᾷς, πόσῳ κρείττους καὶ μείζους εἰσὶ καὶ δυνατώτεροι καὶ ἀληθινὸν καὶ αἰώνιον ἔργον ἐργαζόμενοι παρὰ πάντας τοὺς ἐν τῇ γῇ ἀνθρώπους οἱ τοῦ θεοῦ ἄξιοι, ἤτοι μεγιστάνας ἢ δυνάστας ἢ σοφοὺς ἢ βασιλεῖς. ὅπερ γὰρ οὐδεὶς ἀνθρώπων ποιεῖν δύναται, οὗτοι μόνοι ποιοῦσιν, ἐν οὐρανοῖς ἔργα πνευματικὰ καὶ μυστήρια οὐρανίων πραγμάτων ἀπὸ τοῦ νῦν καταλαμβάνειν ἀξιούμενοι. οὗτοι οὖν εἰσιν ἀληθῶς οἱ σοφοί, οὗτοι δυνατοί, οὗτοι εὐγενεῖς, οὗτοι ἔνδοξοι, οὗτοι πλούσιοι, οἱ τὴν οὐράνιον συγγένειαν τοῦ πνεύματος κτησάμενοι καὶ εἰς τὴν ἐπουράνιον ἐκκλησίαν τῶν ἁγίων καταμιγέντες καὶ τὸν ἐπουράνιον ἄνθρωπον ἔνδοθεν ἐνδυσάμενοι, ὅσον δὲ εἰς τὸ φαινόμενον πτωχοί εἰσιν, ἐνδεεῖς. ὅμοιοι τοῖς λοιποῖς ἀνθρώποις ὡσαύτως περιπατοῦσιν, ὡσαύτως διὰ τῆς σαρκίνης γλώσσης ὁμιλοῦσι καὶ κοπιῶντες καὶ πεινῶντες καὶ καθεύδοντες διὰ τὸ μὴ εἶναι καιρὸν νῦν τῆς σαρκὸς τὴν ἀφθαρσίαν ἀπολαβεῖν· τοῦτο γὰρ ἐν τῇ ἀναστάσει τετήρηται. 50.2.4 Οἱ οὖν δυνάμενοι νοῆσαι τοὺς ὄντως Χριστιανούς, τίνες εἰσὶν ἔνδοθεν, ὁρῶσι πόση διαφορὰ μεταξὺ αὐτῶν καὶ πάντων τῶν τοῦ κόσμου ἀνθρώπων ἐστί. καὶ γὰρ ἐπὶ τοῦ κυρίου οὕτως ἦν ἐν ἐκείνῳ τῷ καιρῷ· προσήρχοντο οἱ θεραπεύεσθαι θέλοντες ὡς ἀνθρώπῳ σαρκοφόρῳ, ἐγγιζόντων δὲ αὐτῶν ὁ ἔσωθεν ἀόρατος τοῖς ὀφθαλμοῖς τοῦ σώματος οὐράνιος λόγος θεὸς τὰ παράδοξα καὶ θαυμάσια ἐπετέλει σημεῖα, μάλιστα τοῖς μετὰ πίστεως προσερχομένοις αὐτῷ. ὅθεν καὶ ὁ διάβολος οὐ μικρῶς ἐθορυβεῖτο κλεπτόμενος ὑπὸ τῆς σαρκὸς τοῦ κυρίου· ἡσυχάζοντος γὰρ τοῦ κυρίου ἐκεῖνος ἐταράσσετο, θεωρῶν μὲν ἔξωθεν ἄνθρωπον ὡς πάντας ἀνθρώπους, δι' αὐτοῦ δὲ μεγάλα θαυμάσια ἐκτελουμένα βλέπων ἐθαμβεῖτο καὶ συνείχετο φόβῳ τί ποιήσει, ὅτι τὸ ὁρώμενον μὲν αὐτοῦ ἄνθρωπος ἦν κοπιῶν καὶ πεινῶν καὶ καθεύδων, τὰ δι' αὐτοῦ δὲ γινόμενα οὐκ ἦν ἀνθρώ50.2.5 που. διὰ γὰρ τὰ ἀνθρώπινα τοῦ κυρίου πάθη τυφλωθεὶς τῇ ἀγνοίᾳ τῆς κακίας αὐτοῦ καὶ νομίσας ἄνθρωπον εἶναι τὸν κύριον ὡς ἕνα τῶν δικαίων εἰς τὴν κατ' αὐτοῦ ἀναίρεσιν διὰ τῶν ὑπηκόων αὐτοῦ ἐπεχείρησε. πρὸς ὃν ὁ κύριος οἱονεὶ ἔλεγεν· "1ὦ διάβολε, τί ταράσσῃ ἐμοῦ ἡσυχάζοντος; τί θορυβῇ σε;"2 ὁ δέ· "1τὰ διὰ σοῦ, φησίν, ἐπιτελούμενα θορυβοῦσι με καὶ δεινόν μοι τάραχον ἐμποιοῦσι. τὸ μὲν γὰρ ὁρώμενόν σου ἄνθρωπός ἐστι, τὰ δὲ διὰ σοῦ γινόμενα οὐκ ἔστιν ἀνθρώπου."2 διὰ γὰρ τῆς παθητῆς καὶ θνητῆς σαρκὸς δελεάσας αὐτὸν εἰς τὴν ἰδίαν αὐτοῦ ἀναίρεσιν καὶ τὸν θάνατον ὁ κύριος κατήργησεν αὐτοῦ τὴν πᾶσαν τυραννίδα. διὰ τὴν σάρκα γὰρ τῇ κατὰ τοῦ κυρίου ἀναιρέσει ὁ διάβολος ἐπεχείρησε, τὰ δὲ πονηρὰ πνεύματα αὐτοῦ ἐν τῷ σώματι ὄντος ἐπουρανίου πυρὸς τῆς θεότητος κατακαιόμενα ἔκραζον· «τί ἡμῖν καὶ σοί, υἱὲ τοῦ θεοῦ; 50.2.6 ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς;» οὕτως τοίνυν εἰσὶ καὶ οἱ τοῦ Χριστοῦ ἴδιοι. Ἰησοῦς αὐτοῖς ἐνοικεῖ κατὰ τὸ μέτρον αὐτῶν, ὡς δοῦλοι δὲ Χριστοῦ καὶ ὡς παρ' αὐτοῦ τὴν χάριν δεχόμενοι ἔξωθέν εἰσιν ὅμοιοι καὶ ἐνδεεῖς καὶ ἄποροι τῶν κοσμικῶν πραγμάτων ὁρώμενοι, ἔνδοθεν δὲ αὐτῶν ἡ ἐνοικοῦσα τοῦ πνεύματος δύναμις καὶ αὐτοὺς τοὺς δαίμονας καίει. κράζουσι γὰρ ἔμπροσθεν τῶν τοῦ θεοῦ δούλων τὰ πονηρὰ πνεύματα καίεσθαι ὁμολογοῦντα. τοσοῦτον δὲ δυνατοί εἰσιν οὗτοι, ὥστε πάντα τὰ βλεπόμενα, ἄρχοντάς τε καὶ βασιλεῖς καὶ αὐτὸν τὸν σατανᾶν σὺν τῇ στρατιᾷ αὐτοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τούτοις προσπολεμοῦντας καὶ πυκτεύοντας παντελῶς ἡττᾶσθαι ὑπὸ τῶν Χριστιανῶν. 50.3.1 Ἴδε οἵας ἀξίας καὶ δυνάμεως οὗτοι τυγχάνουσι, κἂν τοῖς σώμασιν ἐξουδενωμένοι εἰσίν, ὡς πάντα τὰ κτίσματα καὶ τὸν διάβολον ἡττᾶσθαι αὐτοῖς. ἵνα δὲ ἀπόδειξιν τοῦ λόγου ἐνέγκωμεν, ὀλίγων μνημονεύσωμεν ἐν ταῖς γραφαῖς ἱστορουμένων ἀνθρώπων τοῦ θεοῦ, οἷοι τυγχάνουσι. Ναβουχοδονόσορ, ὁ βασιλεὺς Βαβυλῶνος, ὅτε τὴν μεγάλην ἐκείνην εἰκόνα τὴν χρυσῆν κατεσκεύασε, θάμβους καὶ ἐκπλήξεως ἔργον, καὶ ἐκέλευσε πάντα τὰ ἔθνη τῆς γῆς συναχθῆναι εἰς τὸ μέγα ἐκεῖνο πεδίον, ἵνα προσκυνήσωσι τῇ χρυσῇ τοῦ βασιλέως εἰκόνι, τίς ἠδύνατο τὸ ἐπιτήδευμα ἐκεῖνο καὶ τὴν βουλὴν διασκεδάσαι, εἰ μὴ θεὸς μόνος διὰ τῆς ἀφράστου αὐτοῦ σοφίας οἰκονομίαν μεγάλην διὰ τοῦ ἐπιτηδεύματος ἐκείνου ἐπετέλεσε; παρέδωκε πρῶτον τὸν Ἰσραὴλ τῷ Ναβουχοδονόσορ εἰς αἰχμαλωσίαν, ἵνα καὶ ὁ λαὸς αὐτοῦ διὰ τὰς ἁμαρτίας παιδευθῇ καὶ ἡ κατασκευὴ τῆς κακίας ἡ διὰ τῆς εἰκόνος διαλυθῇ καὶ τοὺς οἰκείους αὐτοῦ θεράποντας φανερώσῃ, οἷοί εἰσι, καὶ ἵνα πάντα τὰ ἔθνη συναχθέντα εἰς προσκύνησιν τῆς εἰκόνος ἐκ τῆς τῶν τριῶν παίδων ἀνδραγαθίας μάθωσιν, ὅτι ἔστι θεὸς ἐν οὐρανῷ καὶ τοῦτον ἐπιγνῶσι. θεώριόν τι καὶ ὡς εἰπεῖν θέατρόν τι ἀγαγεῖν ὁ κύριος ἠθέλησε συναχθέντων πάντων τῶν ἐθνῶν, ὡσαύτως καὶ τῶν ἄνω δυνάμεων τῶν ἐπουρανίων, ἵνα ἴδωσι πάντες τὰς ἀριστείας καὶ τὰ ἀνδραγαθήματα τῶν τοῦ θεοῦ δούλων. διὸ προβάλλεται τοὺς τρεῖς παῖδας Ἀνανίαν, Ἀζαρίαν, Μισαήλ, καὶ διεβλήθησαν τῷ βασιλεῖ, ὅτι "1τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυ50.3.2 νοῦσιν."2 ἄγονται τοίνυν οἱ τρεῖς παῖδες ἐν τῷ μέσῳ. ἐπερωτῶνται ὑπὸ τοῦ βασιλέως· "1εἰ ἀληθῶς, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησα οὐ προσκυνεῖτε;"2 παρρησιάζονται τῷ βασιλεῖ ἀποκρινόμενοι· "1ἡμεῖς τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν. βάλε ἡμᾶς εἰς τὴν κάμινον τοῦ πυρός. ἔστι γὰρ θεὸς ἐν οὐρανῷ, ὃς ἐξελεῖται ἡμᾶς ἐκ τοῦ πυρὸς καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς, καὶ ἐὰν μήγνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι 50.3.3 τοῖς θεοῖς σου οὐ λατρεύομεν."2 λοιπὸν ὅρα ἐνταῦθα πάντες κατ' αὐτῶν λαοί, ἔθνη, μεγιστᾶνες, βασιλεῖς, πάντες ἐναντίοι κατ' αὐτῶν ἦσαν, καὶ πᾶσα κτίσις ὁρατὴ καὶ ἀόρατος δυνάμεων πονηρῶν κατ' αὐτῶν ἦσαν καὶ τρεῖς παῖδες πᾶσαν κτίσιν ὁρατὴν καὶ ἀόρατον ἐνίκησαν. ὅρα πόση δύναμις ἐν τοῖς τοῦ θεοῦ δούλοις. βληθέντων γὰρ αὐτῶν ἐν τῇ καμίνῳ τοῦ πυρὸς διεσχίσθησαν αἱ φλόγες καὶ ἀβλαβεῖς διεφυλάχθησαν οὗτοι διὰ τὴν πρὸς θεὸν αὐτῶν τελείαν πίστιν, καὶ οὕτως ἦσαν ἀσινεῖς ἐξελθόντες ἐκ τῆς καμίνου καὶ τὸ νῖκος κατὰ πάντων ἀράμενοι. ἔκραξεν οὖν ἐπ' αὐτοῖς πᾶσα ἡ ἐπουράνιος τῶν ἀγγέλων καὶ τῶν ἁγίων δυνάμεων ἐκκλησία, νικητὰς αὐτοὺς θεασαμένη. καὶ πᾶσα δὲ ἡ συνάθροισις τῶν ἐπὶ γῆς ἐθνῶν ἐπεκρότησεν αὐτοῖς· ἐκ μεταβολῆς γὰρ τὸν θεὸν τοῦ Ἰσραὴλ προσεκύνησαν ἀντὶ τῆς χρυσῆς εἰκόνος αὐτός τε ὁ βασιλεὺς καὶ οἱ ὑπ' αὐτὸν ὄντες. ἰδοὺ τοῦτο τὸ θέατρον εἰς τὴν τῶν δούλων τοῦ θεοῦ δοκιμασίαν γέγονε. «θέατρον, γάρ φησιν ὁ ἀπόστολος, ἐγενήθημεν καὶ ἀγγέλοις καὶ ἀνθρώποις». ὁρᾷς ὅτι, καθὼς προειρήκαμεν, καὶ οἱ ἐπουράνιοι συνέρχονται εἰς τὰς τῶν ἁγίων ἀνδραγαθίας. 50.3.4 Καὶ ἀλλαχοῦ δὲ κατὰ καιροὺς ἐποίησεν ὁ θεὸς ὥσπερ εἰπεῖν θεώριον καὶ θέατρον τοῖς ἄνω καὶ τοῖς κάτω, ὥσπερ ἐπὶ τοῦ Ἠλία. εἷς ἄνθρωπος πρὸς πολλὰς μυριάδας ἴσχυσε διὰ τῆς τοῦ οὐρανίου πυρὸς καταβάσεως ἐπὶ τὸ θυσιαστήριον, καὶ πάντες ἐκεῖνοι ἕνα ἄνθρωπον θεοῦ ἡττῆσαι οὐκ ἠδυνήθησαν. 50.3.5 ὁμοίως καὶ ἐπὶ τοῦ Μωϋσέως. κἀκεῖ θέατρον τοῦ θεοῦ γέγονε· πρὸς ἕνα ἄνθρωπον τὸν Μωϋσῆν ὅλη ἡ Αἴγυπτος οὐκ ἴσχυσε, καὶ εἷς μόνος ἐνίκησε πᾶσαν τὴν δύναμιν Φαραώ. κἀκεῖ γὰρ ἡ ἐπουράνιος παρῆν ἐκκλησία, θεωροῦσα τὰς τοῦ Μωϋσέως ἀριστείας, ὅθεν καὶ ἐξ οὐρανοῦ κατέφερεν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αὐτοῖς μάστιγας καὶ παντοίῳ τρόπῳ ὑπέταξεν αὐτούς, ἕως καὶ θαλάσσῃ παραδοὺς τούτους ποντι50.3.6 σθῆναι παρεσκεύασεν, ὅτι κατὰ τοῦ λαοῦ τοῦ θεοῦ γεγόνασιν. ὁμοίως ἐπὶ Λὼτ τὸ αὐτὸ γέγονε. μόνος ἠδυνήθη νικήσας ἐκφυγεῖν τὸ πῦρ καὶ σὺν ταῖς θυγατράσιν αὐτοῦ σωθῆναι. ὁμοίως καὶ ἐπὶ τοῦ Νῶε. μόνος γὰρ καὶ αὐτὸς σὺν τοῖς ἰδίοις διασωθεὶς τὸν κόσμον ἐνίκησε. πάντων γὰρ εἰς ἀπώλειαν καὶ ἀφανισμὸν χωρησάντων αὐτὸς ἠδυνήθη μόνος τὴν τοῦ θεοῦ ὀργὴν διαφυγεῖν διὰ τὴν πρὸς αὐτὸν τελείαν εὐαρέστησιν. 50.4.1 Ταῦτα δὲ ἀπεδείξαμεν, ἀγαπητοὶ ἀδελφοί, συνιστῶντες ἡλίκοι εἰσὶν τῇ δυνάμει οἱ τελείοι Χριστιανοί, ὥστε πάντα τὰ φαινόμενα καὶ πάντα τὸν κόσμον νικᾶν αὐτούς. καὶ τὰ τῆς πονηρίας δὲ πνεύματα τούτοις πολεμοῦντα ἡττῶνται, καὶ πάντων τούτων ἀνώτεροι οἱ ἄξιοι δοῦλοι τοῦ Χριστοῦ τυγχάνουσι διὰ τὴν ἐν αὐτοῖς οἰκοῦσαν τοῦ θεοῦ δύναμιν. πάντα γὰρ τὰ φαινόμενα καὶ τὰ ἀόρατα τῆς πονηρίας πνεύματα τούτοις ἐναντιοῦται καὶ πολεμεῖ. διπλοῦς τοίνυν ἐστὶ τοῖς Χριστιανοῖς ὁ πόλεμος καὶ διπλῆ «ἡ πάλη», πρός τε τὰ ὁρώμενα τῷ ὀφθαλμῷ τούτῳ καὶ «πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας» τοῦ κοσμοκράτορος. τὰ γὰρ τοῖς ὀφθαλμοῖς τούτοις βλεπόμενα ἐρεθίζει καὶ γαργαλίζει καὶ προτρέπεται τὴν ψυχὴν εἰς τὸ ἐν τούτοις δεδέσθαι καὶ κατέχεσθαι καὶ ἥδεσθαι, μᾶλλον δὲ 50.4.2 αὐτὴ ἡ κακία εἰς τὰ φαινόμενα δεσμεῖ τοὺς ὑπηκόους αὐτῇ. ἵνα δὲ παραστήσω ταῦτα οὕτως ἔχειν, ἄκουσον ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου λέγοντος περὶ τοῦ σπόρου τοῦ εἰς τὴν ἀκανθώδη γῆν πεσόντος, ὅτι ἀνελθοῦσαι «αἱ ἄκανθαι συνέπνιξαν αὐτόν», καὶ ἑρμηνεύει ὁ κύριος τὰς μερίμνας καὶ φροντίδας τὰς 50.4.3 βιωτικὰς εἶναι. καὶ ἀλλαχοῦ φανερῶς ἐκτίθεται τοὺς κληθέντας εἰς τοὺς γάμους τοῦ βασιλέως καὶ διὰ τὰ βιωτικὰ πράγματα μὴ βουληθέντας ἀπελθεῖν. «ὁ πρῶτος, γάρ φησιν, εἶπεν· ἀγρὸν ἠγόρασα, καὶ ὑπάγω ἐπισκέψασθαι αὐτόν, ἔχε με παρῃτημένον». ὁμοίως καὶ ὁ ἄλλος· «ζεύγη βοῶν ἠγόρασα, καὶ ὑπάγω δοκιμάσαι αὐτά, ἔχε με παρῃτημένον». ὡσαύτως καὶ ὁ ἕτερος· «γυναῖκα ἔγημα, καὶ οὐ δύναμαι ἐλθεῖν». φανερὸν δέ, ὅτι ταῦτα τὰ βλεπόμενά εἰσι, δι' ἅπερ οὐκ 50.4.4 ἠδυνήθησαν εἰς τοὺς γάμους τοῦ βασιλέως ἀπελθεῖν. διπλοῦς τοίνυν ἐστὶν ὁ πόλεμος τοῖς Χριστιανοῖς, ὡς προείρηται, καὶ διπλοῦν ἀγῶνα καὶ πυκτὴν ἔχει ἀγωνίσασθαι ἕκαστος καὶ θλιβῆναι ὁ βουλόμενος εὐαρεστῆσαι τῷ κυρίῳ. ὅταν γάρ τις ἀναχωρήσῃ ἀπὸ τῶν γονέων, ἀπὸ γυναικὸς ἢ κτημάτων ἢ τρυφῆς ἢ πατρίδος ἢ συνηθειῶν καὶ νικήσῃ ὥσπερ εἰπεῖν ταῦτα καὶ καταγωνίσηταικαὶ ταῦτα γὰρ πόλεμός ἐστι, τότε συναγαγὼν ἑαυτὸν καὶ σχολάζων τῷ κυρίῳ καὶ ἐγκύψας ἔνδον ἐν τῇ ἑαυτοῦ ψυχῇ ἔχει πάλιν πόλεμον καὶ ἀγῶνα μέγαν πρὸς ἀντικειμένας δυνάμεις, πρὸς ἀοράτους ἐχθροὺς καὶ ἐνεργείας σκότους, πρὸς ἃ πολεμῆσαι αὐτὸν καὶ ἀγωνίσασθαι χρὴ ἀναλαβόντα ὅπλα οὐράνια, ἵνα δυνηθῇ 50.4.5 νικῆσαι τὸν δεινὸν καὶ πικρὸν τῆς κακίας πόλεμον. Ἵνα δὲ καὶ ταῦτα μὴ δόξωμεν ἀφ' ἑαυτῶν λέγειν, ἄκουε τοῦ ἀποστόλου λέγοντος· «πειρασμὸς ἡμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος» (τουτέστι φαινόμενος), ὥστε ἔστι μὴ ἀνθρώπινος, ἀλλὰ ἀόρατος πειρασμός τε καὶ πόλεμος, καὶ πάλιν· «τὸ λοιπόν, ἀδελφοί, ἐνδυναμοῦσθε ἐν κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς ἀντιστῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας». ὥστε εἰσὶν ἀρχαὶ καὶ ἐξουσίαι καὶ κοσμοκράτορες καὶ πνευματικὰ τῆς πονηρίας, πρὸς ἃ δεῖ ἡμᾶς ἀγωνίζεσθαι 50.4.6 καὶ πολεμεῖν. καὶ ποῦ εἰσι ταῦτα καὶ ποῦ πολεμοῦσιν; ἔνδον ἐν τῇ ψυχῇ, ἐν τοῖς διαλογισμοῖς. διὸ ἐπιφέρει· «στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, καὶ ἐνδυσάμενοι


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὸν θώρακα τῆς δικαιοσύνης. ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι. καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος». καὶ ἐπάγει, πῶς τις εὕρῃ καὶ κτήσεται ταῦτα, ὅτι «διὰ πάσης προσευχῆς», φησί, «καὶ δεήσεως, προσευχόμενοι ἐν παντὶ καιρῷ, καὶ εἰς αὐτὸ τοῦ50.4.7 το προσκαρτεροῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει». ἐδίδαξεν οὖν πῶς δεῖ ἡμᾶς εὑρεῖν τὰ ὅπλα τὰ πνευματικά, δι' ὧν δυνάμεθα τοὺς ἀοράτους ἐχθροὺς τροπώσασθαι. ἀλλὰ καὶ ὁ κύριος περὶ τοῦ διπλοῦ τούτου πολέμου, τοῦ τε διὰ τῶν φαινομένων καὶ τοῦ διὰ τοῦ πονηροῦ γινομένου αἰνισσόμενος ἔλεγε· «τίς βασιλεὺς ἀπερχόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον οὐχὶ καθίσας συμψηφίζει καὶ θεωρεῖ εἰ δύναται ἀπαντῆσαι μετὰ δέκα χιλιάδων τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ; ἐπεὶ ἔτι αὐτοῦ πόρρω ὄντος πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην». καὶ διδάσκει λέγων· "1ὅρα πῶς ὀφείλεις ἀγωνίσασθαι καὶ ὅλον ἑαυτὸν δοῦναι, ὡς εἰδώς, ὅτι τοιούτους μέλλεις πολέμους 50.4.8 ἀγωνίζεσθαι φανερούς τε καὶ κρυφίους."2 καὶ γὰρ Μωϋσῆς τὴν σκιὰν τῆς ἀληθείας προεκτυπῶν ἐκέλευσε κήρυκα βοᾶν ἐν τῷ λαῷ, ἐπὰν ἔμελλεν εἰς πόλεμον ἐξέρχεσθαι· εἴ τις (φησὶ) δειλός, μὴ ἐξέλθῃ ἐν τῷ πολέμῳ, μήποτε δειλανδρήσας καὶ τὰς τῶν ἄλλων καρδίας εἰς δειλίαν ἐνέγκῃ καὶ εἰς τὰ ὀπίσω 50.4.9 στρέψῃ. ὁμοίως εἴ τις (φησὶν) ἔγημε προσφάτως γυναῖκα, μὴ ἐξέλθῃ, μήποτε γενόμενος ἐν τῷ πολέμῳ καὶ μνησθεὶς τῆς γυναικὸς αὐτοῦ ἀποστραφῇ καὶ ἄλλους σὺν ἑαυτῷ παραλήψεται. εἴ τις ᾠκοδόμησεν οἶκον καὶ οὐκ ἐξετέλεσε, μὴ ἐξέλθῃ ἐν τῷ πολέμῳ, μήποτε μνησθεὶς τῆς οἰκοδομῆς καὶ 50.4.10 χαυνωθεὶς ἐν τῷ πολέμῳ καὶ ἄλλους ἀποστραφῆναι ποιήσῃ. τὸν αὐτὸν τρόπον καὶ ὁ κύριος ἐνταῦθα γενναίας καὶ εὐπροαιρέτους καὶ ἀνδρείας ψυχὰς ἐπιζητῶν ἔλεγεν, ὅτι «πρῶτον βλέπει εἰ δύναται μετὰ δεκὰ χιλιάδων ἀπαντῆσαι τῷ μετὰ εἴκοσι χιλιάδων ἐρχομένῳ πρὸς αὐτόν, εἰ δὲ μή γε, ἔτι πόρρω αὐτοῦ ὄντος ἐρωτᾷ τὰ πρὸς εἰρήνην», ἀνδρείους ἐπιζητῶν καὶ προθύμους καὶ ὅλον τὸ ἑαυτῶν θέλημα τῷ κυρίῳ ἐν πεποιθήσει ἀναθέντας καὶ ἔκδοτον τὴν ἑαυτῶν προαίρεσιν ἐκδιδόντας καὶ ὀπίσω αὐτοῦ ἀκολουθοῦντας καὶ πιστεύοντας, ὅτι πᾶσα ἡ νίκη διὰ τῶν ἐξ οὐρανοῦ πνευματικῶν ὅπλων διδομένων τοῖς πιστεύουσι γίνεται. 50.4.11 Χρὴ τοίνυν τὸν βουλόμενον τοῦ κυρίου ἄξιον γενέσθαι πρῶτον ἀναχωρῆσαι πάντων τῶν φαινομένων καὶ μισῆσαι τὰ τοῦ κόσμου πράγματα καὶ ἡδονὰς καὶ τρυφὰς καὶ δόξας καὶ ἀξιώματα καὶ κτήσεις καὶ πατρίδα, γονεῖς τε καὶ συγγενεῖς καὶ φίλους κατὰ σάρκα καὶ τιμὰς καὶ ἐπαίνους καὶ προσκυνήσεις ἀνθρώπων, καὶ ὅταν εἰς ταῦτα τὰ φαινόμενα ἀγωνισάμενος καλῶς νικήσῃ, τὸ λοιπὸν χρὴ αὐτὸν προσκαρτερῆσαι τῷ κυρίῳ ἐν πάσῃ δεήσει καὶ πόνῳ, ἐν αἰτήσει τῆς προσευχῆς, ἵνα λάβῃ τὸ ὅπλον ἐξ οὐρανοῦ, «τὴν μάχαιραν τοῦ 50.4.12 πνεύματος» καὶ ἵνα τοῖς ὅπλοις τούτοις ἐγγυμνάσηται. ὥσπερ γὰρ τήρωνες νεόλεκτοι λαμβάνοντες προσφάτως τὰ ὅπλα ἐγγυμνάζεσθαι καὶ μελετᾶν ἐν τοῖς ὅπλοις ὀφείλουσι, καὶ τότε εἰσέρχεσθαι εἰς πόλεμον, ἔστι δὲ ἄλλος ὃς ἤδη εἰσερχόμενος καὶ ἐξερχόμενος εἰς πολέμους πολλοὺς οὐ ξενίζεται, ἀλλὰ μετὰ θάρσους καρδίας μηδὲν δεδιὼς ἀπέρχεται, οὕτω καὶ ἐνταῦθα οἱ λαμβάνοντες τὰ ἐξ οὐρανοῦ ὅπλα πνευματικὰ πρῶτον ἐν αὐτοῖς διαγυμνάζονται ὑπὸ τῆς χάριτος ὁδηγούμενοι καὶ κυβερνώμενοι καὶ διδασκόμενοι, πῶς δεῖ τοῖς ἀοράτοις ἐχθροῖς πολεμεῖν, καὶ οὕτως εἰς τὸν «πρὸς τὰ πνευματικὰ τῆς πονηρίας» πόλεμον κατέρχονται, ἵνα μὴ ὦσιν ὥσπερ δειλιῶντες καὶ ξενιζόμενοι, εἰσὶ δὲ ἄλλοι οἷς λοιπὸν ὁ πόλεμος οὕτως ἐστὶν εὔκολος ὡσεὶ παίγνιον, ἐπειδὴ πολλάκις εἰσῆλθον καὶ ἐξείλησαν καὶ λοιπὸν τῇ πεποιθήσει τοῦ κυρίου καὶ τῇ δυνάμει τῶν τοῦ πνεύματος ὅπλων ἀναιροῦντες καὶ νικῶντες τοὺς ἐχθροὺς θαρσαλέοι καὶ πρόθυμοι τυγχάνουσι καὶ εἰς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μείζους προκοπὰς ἡμέραν ἐξ ἡμέρας ἔρχονται. ἀλλὰ τὰ μέτρα ταῦτα ἕτερά ἐστι παρ' ἐκεῖνα τοῦ ἀρχὴν ἔχοντος πολεμεῖν. ἐὰν δὲ μὴ ἔχῃ τὰ ὅπλα τοῦ πνεύματος οὐ δύναται τοῖς ἐχθροῖς πολεμῆσαι καὶ κατὰ τῶν τῆς πονηρίας πνευμάτων τὴν νίκην ἄρασθαι· ἀπόλλυται γὰρ ὑπ' αὐτῶν. ὥσπερ οὐδεὶς ἐν τοῖς φαινομένοις ἄνευ ξίφους καὶ ὅπλων πολεμεῖ, ἐπεὶ κατασφάττεται, οὕτω κἀνταῦθα. 50.4.13 Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν θεὸν ὅσοι μάλιστα τοῦ βίου τούτου ἠλλοτριώθημεν καὶ μονάζοντες καὶ ξένοι τῶν ἰδίων γεγόναμεν ἐν ἀδιαλείπτῳ εὐχῇ καὶ πόνῳ καρδίας καὶ προσκαρτερήσει δεήσεως, ἵνα ὁ κύριος δώσει ἡμῖν τὰ ἐπουράνια τοῦ πνεύματος ὅπλα, ὅπως δυνηθῶμεν δι' αὐτῶν περιγενέσθαι πάντων τῶν ἀντικειμένων ἡμῖν τῆς πονηρίας πνευμάτων, καὶ οὕτως ἀγωνισαμένοις κατὰ τὸ θέλημα τοῦ θεοῦ καὶ ὅλον τὸ θέλημα ἡμῶν αὐτῷ ἐκδεδωκόσι καὶ διὰ τῶν ὅπλων αὐτοῦ ἀνδραγαθήσασι καὶ τὴν κατὰ τῶν ἐχθρῶν νίκην ἀραμένοις οὕτω τὸν στέφανον τῆς δικαιοσύνης ὁ Χριστὸς ἡμῖν ἀποδώσει, σὺν αὐτῷ καταξιῶν ἡμᾶς εἰς τοὺς ἀπεράντους αἰῶνας συμβασιλεύειν. Δόξα τῇ αὐτοῦ ἀγαθότητι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

51.τ.1 ΛΟΓΟΣ ΝΑ΄.

51.1.1 Αἱ φιλαλήθεις καὶ φιλόθεοι ψυχαὶ αἱ τελείως τὸν Χριστὸν ἐνδύσασθαι ἐν πολλῇ ἐλπίδι καὶ πίστει ἐπιθυμοῦσαι ὑπομνήσεως παρ' ἑτέρων οὐ τοσοῦτον χρῄζουσιν οὐδὲ τοῦ οὐρανίου πόθου καὶ ἔρωτος τοῦ πρὸς κύριον, κἂν ἐπὶ ποσὸν ἐλαττοῦσθαι ὑπομένουσιν, ἀλλ' ὅλαι ἐξ ὅλου τῷ σταυρῷ τοῦ Χριστοῦ προσηλωμέναι καὶ τῷ οὐρανίῳ ἔρωτι τετρωμέναι πρὸς τὸν πνευματικὸν νυμφίον ὁσημέραι πνευματικῆς 51.1.2 προκοπῆς ἐν ἑαυταῖς αἴσθησιν ἐπιγινώσκουσι. τετρωμέναι δὲ τῷ ἐπουρανίῳ πόθῳ καὶ ἔκπεινοι οὖσαι περὶ τὴν δικαιοσύνην τῶν ἀρετῶν καὶ τῆς ἐλλάμψεως τοῦ πνεύματος ἐπιθυμίαν πολλὴν ἀκορέστως ἔχουσαι, εἰ καὶ μυστηρίων θείων διὰ τῆς πίστεως αὐτῶν ἐπίγνωσιν λαμβάνειν καταξιοῦνται, καὶ εὐφροσύνης ἐπουρανίου χάριτος μέτοχοι γίνωνται, οὐ πεποίθασιν ἐν ἑαυταῖς οἰόμεναι εἶναί τι, ἀλλ' ὅσῳ πνευματικῶν χαρισμάτων καταξιοῦνται, τοσούτῳ 51.1.3 μᾶλλον ἀκορέστως ἔχουσαι τοῦ ἐπουρανίου πόθου ἐμπόνως ἐπιζητοῦσι. καὶ ὅσον ἂν προκοπῆς πνευματικῆς ἐν ἑαυταῖς αἴσθωνται, τοσοῦτον μᾶλλον ἔκπεινοι καὶ ἔκδιψοι εἰς τὴν μετάληψιν καὶ αὔξησιν τῆς χάριτος ὑπάρχουσι. καὶ ὅσῳ πνευματικῶς πλουτοῦσι, τοσούτῳ μᾶλλον ὡς πενόμεναι παρ' ἑαυταῖς εἰσιν, ἀκορέστως ἔχουσαι τῷ πνευματικῷ πόθῳ πρὸς τὸν οὐράνιον νυμφίον, ὥς φησιν ἡ γραφή· «οἱ τρώγοντές με ἔτι πεινάσουσι, καὶ οἱ πίνοντές με· ἔτι διψήσουσιν». 51.1.4 αἱ τοιαῦται ψυχαὶ αἱ ἐμπύρως καὶ ἀκορέστως τὴν ἀγάπην πρὸς κύριον ἔχουσαι ἄξιαι τῆς αἰωνίου ζωῆς τυγχάνουσι· διὸ καὶ τῶν παθῶν τῆς ἀπολυτρώσεως τελείως καταξιοῦνται καὶ τοῦ ἁγιασμοῦ τοῦ πνεύματος τῆς ἀρρήτου καὶ μυστικῆς κοινωνίας ἐν πληρώματι χάριτος τὴν ἔλλαμψιν καὶ μετουσίαν τελείως κομί51.1.5 ζονται. ὅσαι δὲ ὀκνηραὶ καὶ χαῦνοι καὶ ἄνανδροι ψυχαὶ εἰ ἀπεντεῦθεν ἐν σαρκὶ ἐπιτύχωσι τοῦ ἁγιασμοῦ τῆς καρδίας ἐκ μέρους, ἀλλ' οὐ τελείως, οὐ βούλονται δι' ὑπομονῆς καὶ μακροθυμίας δέξασθαι καὶ κοινωνῆσαι τοῦ παρακλήτου πνεύματος ἐν τελειότητι μετὰ πάσης αἰσθήσεως καὶ πληροφορίας καὶ τῶν παθῶν τῆς κακίας λυτρωθῆναι διὰ τοῦ πνεύματος, ἀλλ' ὡς χάριτος θείας ἀξιωθεῖσαι εἰς ἀμεριμνίαν τινὰ καὶ ἄνεσιν ὑπὸ τῆς κακίας κλεπτόμεναι ἑαυτὰς ἐξέδωκαν καὶ ὡς ἤδη λαβοῦσαι τὴν χάριν τοῦ πνεύματος καὶ ἔχουσαι τὴν παράκλησιν τῆς χάριτος ἐν ἀναπαύσει καὶ πόθῳ καὶ γλυκύτητι πνευματικῇ εἰσι καὶ ἐπὶ τούτῳ πεποιθυῖαι ὑψοῦνται καὶ ἀμεριμνοῦσι, μὴ συντριβόμεναι τῇ καρδίᾳ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ τῷ φρονήματι ταπεινούμεναι μήτε ἔκπεινοι οὖσαι εἰς τὸ τέλειον τῆς ἀπαθείας μέτρον μήτε πληρωθῆναι τελείως τῆς χάριτος ἐν πάσῃ σπουδῇ καὶ πίστει ἐκδεξάμεναι, ἀλλ' ἐπληροφορήθησαν καὶ ἐπανεπαύθησαν καὶ ἐναπέμειναν εἰς τὴν ὀλίγην τοῦ πνεύματος παράκλησιν, εἰς ἔπαρσιν μᾶλλον ἤπερ εἰς ταπείνωσιν προκόψασαι. αἱ τοιαῦται ψυχαὶ καὶ οὗπερ κατηξιώθησαν χαρίσματος, ὁτεδήποτε ἀπογυμνοῦνται διὰ τὴν ἀμελῆ καταφρόνησιν καὶ τὸν μάταιον τῆς οἰήσεως αὐτῶν τῦφον. 51.1.6 Ψυχὴ γὰρ ἡ ἀληθῶς φιλόθεος καὶ φιλόχριστος κἂν μυρίας δικαιοσύνας ποιήσῃ, ὡς οὐδὲν ἐργασαμένη οὕτως ἐν ἑαυτῇ ἐστι διὰ τὸν πρὸς κύριον πόθον τὸν ἀκόρεστον· κἂν νηστείαις καὶ ἀγρυπνίαις τὸ σῶμα καταδαπανήσῃ, ὡς μηδέπω ἀρξαμένη ποιεῖν περὶ τὰς ἀρετὰς διάκειται· κἂν χαρισμάτων πνεύματος διαφόρων ἢ ἀποκαλύψεων καὶ μυστηρίων οὐρανίων τυχεῖν καταξιωθῇ, ὡς μηδὲν ἀκμὴν κεκτημένη ἐν ἑαυτῇ ἐστι διὰ τὴν ἄμετρον καὶ ἀκόρεστον πρὸς κύριον 51.1.7 ἀγάπην. ἀλλὰ πᾶσαν ἡμέραν ἔκπεινος καὶ ἔκδιψος διὰ πίστεως καὶ ἀγάπης ἐν προσκαρτερήσει εὐχῆς εἰς τὰ τῆς χάριτος γίνεται μυστήρια καὶ εἰς πᾶσαν κατάστασιν ἀρετῆς ἀκορέστως ἔχει, ἔρωτι πνεύματος οὐρανίου τετρωμένη, καὶ πόθον ἔμπυρον διὰ τῆς χάριτος ἀεὶ ἐν ἑαυτῇ ἀνακινεῖ πρὸς τὸν οὐράνιον νυμφίον, ἐπιθυμοῦσα καταξιωθῆναι τελείως τῆς πρὸς αὐτὸν μυστικῆς, ἀρρήτου ἐν ἁγιασμῷ πνεύματος κοινωνίας ἀποκεκαλυμμένῃ ψυχῇ πρόσωπον πρὸς πρόσωπον τῷ ἐπουρανίῳ νυμφίῳ ἐν φωτὶ πνευματικῷ καὶ ἀνεκλαλήτῳ ἐν πληροφορίᾳ πάσῃ ἀνακιρναμένη καὶ συμμορφουμένη τῷ θανάτῳ αὐτοῦ ἐν ἐπιθυμίᾳ πολλῇ καὶ τὸν ὑπὲρ Χριστοῦ θάνατον προσδοκῶσα πάντοτε καὶ τῆς ἁμαρτίας καὶ τῆς σκοτίας τῶν παθῶν τελείαν λύτρωσιν ὑπὸ τοῦ πνεύματος δέξασθαι ἐν πληροφορίᾳ πιστεύουσα, ἵνα καθαρθεῖσα διὰ τῆς χάριτος τοῦ πνεύματος καὶ ἁγιασθεῖσα καθαρὸν σκεῦος εἰς ὑποδοχὴν τοῦ οὐρανίου μύρου καὶ μονὴν τοῦ ἀληθινοῦ βασιλέως Χριστοῦ γενέσθαι καταξιωθείη. καὶ τῆς αἰωνίου βασιλείας 51.1.8 οἰκητήριον καθαρὸν τοῦ πνεύματος τοῦ ἁγίου ἐνταῦθα γενομένη. εἰς ταῦτα δὲ τὰ μέτρα ἐλθεῖν ψυχὴν οὔτε ὑφ' ἓν οὔτε ἀδοκιμάστως ἔσται, ἀλλὰ διὰ πολλῶν πόνων καὶ ἀγώνων καὶ χρόνων καὶ σπουδῆς μετὰ δοκιμασίας καὶ πειρασμῶν ποικίλων τὴν πνευματικὴν αὔξησιν καὶ προκοπὴν λαμβάνει ἕως τοῦ τελείου τῆς ἀπαθείας μέτρου, ἐν πᾶσιν δὲ εὑρεθεῖσα ἀνδρεία καὶ πάντα πειρασμὸν ὑπὸ τῆς κακίας ἐπαγόμενον ὑπομένουσα προθύμως καὶ γενναίως τότε τῶν μεγάλων τιμῶν καὶ χαρισμάτων πνευματικῶν καὶ πλούτου οὐρανίου ἡ ψυχὴ καταξιοῦται, καὶ οὕτω τῆς οὐρανίου βασιλείας κληρονόμος καθίσταται ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

52.τ.1 ΛΟΓΟΣ ΝΒ΄.

52.1.1 Πᾶσα ἡ φαινομένη τῆς ἐκκλησίας τοῦ θεοῦ οἰκονομία γέγονε διὰ τὴν ζῶσαν καὶ νοερὰν οὐσίαν τῆς ψυχῆς τῆς λογικῆς τῆς κατ' εἰκόνα θεοῦ ποιηθείσης, ἥτις ἐστὶν ἡ ζῶσα καὶ ἀληθινὴ θεοῦ ἐκκλησία. καὶ διὰ τοῦτο τοῖς ὁμοίοις ὀνόμασιν ἐτιμήθη τὰ ἄλογα καὶ ἄψυχα καὶ σωματικὰ τῶν λογικῶν καὶ ζώντων καὶ ἐπουρανίων, ἵνα διὰ τῆς σκιᾶς ὁδεύσασα ἡ νηπία ψυχὴ ἐπὶ τὴν ἀλήθειαν καταντήσῃ. ἐκκλησία γὰρ Χριστοῦ καὶ ναὸς θεοῦ καὶ θυσιαστήριον ἀληθινὸν καὶ θυσία ζῶσα ὁ τοῦ θεοῦ ἄνθρωπος τυγχάνει, δι' οὗ καὶ τὰ σωματικὰ ἅγια52.1.2 ζόμενα τὴν ἐπίκλησιν τῶν οὐρανίων ἔλαχεν. ὥσπερ γὰρ ἡ τοῦ νόμου λατρεία καὶ διαγωγὴ σκιὰ ἦν τῆς νῦν ἐκκλησίας τοῦ Χριστοῦ, οὕτως ἡ νῦν ὁρωμένη ἐκκλησία σκιά ἐστι τοῦ ἔνδον ἀνθρώπου τοῦ λογικοῦ καὶ ἀληθινοῦ. ἰδοὺ γὰρ πᾶσα ἡ φαινομένη οἰκονομία καὶ διακονία τῶν μυστηρίων τῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐκκλησίας παρέρχεται ἐν τῇ συντελείᾳ καὶ μένει ἡ λογικὴ καὶ νοερὰ οὐσία τοῦ ἔσω ἀνθρώπου, εἰς ἣν πᾶσα ἡ οἰκονομία καὶ ἡ διακονία τῶν μυστηρίων τῶν ἐπουρανίων τῆς τοῦ θεοῦ ἐκκλησίας ἐν δυνάμει πνεύματος ἁγίου ἐπιτελεσθῆναι ὀφείλει, ἵνα ἀληθῶς ναὸς ἅγιος θεοῦ καὶ ἐκκλησία Χριστοῦ διὰ τῆς ζώσης τοῦ πνεύματος ἐνεργείας καταρτισθεῖσα ζωῆς αἰωνίου κληρονόμος γένηται. 52.1.3 διὰ ταύτην τὴν αἰτίαν πολλοὶ τῶν νηπιαζόντων τῇ γνώσει τῆς ἀληθείας ἀντίκεινται ἡμῖν, ὡς ἐξαλλάσσουσιν ἀλλοτρίως τῶν οἰκείων γραφῶν διὰ τὴν τῶν ὀνομάτων ὁμοιότητα καὶ δικαιώματα καὶ λατρείας οἵτινες εἰς τὴν πρόσκαιρον οἰκονομίαν ἐμπληροφορούμενοι καὶ δικαιώμασι σαρκὸς μόνον πεποιθότες τῆς κατὰ τὸν λογικὸν ἔσω ἄνθρωπον ἐρεύνης καὶ ἀνακαινισμοῦ ψυχῆς ἀμελήσαντες καὶ καινῆς κτίσεως νοὸς ἐπίγνωσιν μὴ λαβόντες δι' ἄγνοιαν ἡμᾶς διαβάλλουσιν. ἡ γὰρ φιλαλήθης ψυχὴ τὴν ῥίζαν αὐτὴν τῶν πραγμάτων ἐρευνᾷ, οὐκ ἐπιπολαίως τὸν Χριστιανισμὸν εἶναι νομίζουσα οὐδὲ τύποις ἐξωτέροις δικαιωμάτων καὶ λατρειῶν ἐναπομένουσα, ἀλλ' ἐν δυνάμει πνεύματος ἁγίου κατὰ τὸν ἔσω ἄνθρωπον τὴν πληροφορίαν λαβεῖν πιστῶς ἐκδέχεται· ὅπερ ἐστὶν ὁ ἀληθινὸς Χριστιανισμός. 52.1.4 Διὰ γὰρ τοῦτο ὁ θεὸς τὸ ἅγιον αὐτοῦ πνεῦμα τῇ ἁγίᾳ καὶ καθολικῇ ἐκκλησίᾳ ἐδωρήσατο καὶ συνεῖναι αὐτὸ τῷ ἁγίῳ θυσιαστηρίῳ καὶ τῷ ὕδατι τοῦ ἁγίου βαπτίσματος ἐξῳκονόμησε καὶ εἰς πᾶσαν λειτουργίαν τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἐπιπολάζειν καὶ κοινωνεῖν τὸ παράκλητον πνεῦμα διὰ τῶν ἀποστόλων ὁ σωτὴρ ἐχαρίσατο, κατὰ τὸ ὑπ' αὐτοῦ τοῦ κυρίου εἰρημένον· «καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος», ἵνα ἐκ τοῦ βαπτίσματος καὶ τοῦ θυσιαστηρίου καὶ τῆς εὐχαριστίας τοῦ ἄρτου καὶ πάσης τῆς μυστικῆς λατρείας τῆς ἐν τῇ ἐκκλησίᾳ αἱ πισταὶ καρδίαι ἐνεργηθῶσιν ὑπὸ τοῦ ἁγίου πνεύματος ἐν πάσῃ δυνάμει καὶ ἀρεταῖς καρπῶν ἐπουρανίων, καὶ οὕτως ἀνακαινισθεῖσαι καὶ ἀναπλασθεῖσαι τῇ δυνάμει τῆς χάριτος ζῶσαι ζωὴν ἀληθινὴν κατὰ τὸ ἐπουράνιον φρόνημα ἀναδειχθῶσι, τὸ ὑλικὸν καὶ ἐπίγειον 52.1.5 ἀποδυσάμεναι φρόνημα διὰ τῆς τοῦ πνεύματος δυνάμεως. εἰ γὰρ ἐν τῇ κιβωτῷ τῇ κατὰ τὸν νόμον ἐπεσκίαζε, μᾶλλον δὲ συνῆν τὸ πνεῦμα, πόσῳ μᾶλλον ἐν τῷ θυσιαστηρίῳ καὶ τῇ ἐκκλησίᾳ καὶ πάσῃ τῇ μυσταγωγίᾳ τοῦ ἁγίου βαπτίσματος. ἀλλ' ὥσπερ ἐκεῖ ἁμαρτανόντων τῶν Ἰσραηλιτῶν οὐκ ἐνήργει τὸ πνεῦμα καίπερ συνὸν τῇ κιβωτῷ τοῦ θεοῦἰδοὺ γὰρ κατὰ καιροὺς διὰ τὰς ἁμαρτίας τοῦ λαοῦ καὶ αὐτὴ ἡ κιβωτὸς τοῖς ἔθνεσι παρεδόθη τοῖς ἀναξίοις αὐτῆς μηδὲν βοηθήσασα διὰ τὰ πολλὰ αὐτῶν παραπτώματα, καίπερ τὴν ἰδίαν ἐνέργειαν καὶ σημανσίαν τὸ πνεῦμα ἐδείκνυεν, ὅτι συνῆν τῇ κιβωτῷ τοῦ θεοῦ διὰ τὸ γεγενημένον τότε θεόσημον παρὰ τοῖς ἔθνεσιν, οὕτω καὶ νῦν συνὸν τὸ πνεῦμα τῇ τοῦ θεοῦ ἁγίᾳ ἐκκλησίᾳ καὶ τῷ ἁγίῳ θυσιαστηρίῳ καὶ πάσῃ τῇ φαινομένῃ οἰκονομίᾳ τοῖς ἀξίοις μὲν καὶ πιστοῖς ἐνεργεῖ ἐν διαφόροις χαρίσμασιν, ἀπὸ δὲ 52.1.6 τῶν ἀναξίων πόρρωθεν ὑπάρχει. ἐνέργεια γὰρ ζῶσα πνεύματος ἁγίου ἐν ζώσαις καρδίαις παρὰ θεοῦ ζητεῖται, ὅτι πάντα τὰ φαινόμενα καὶ πᾶσα οἰκονομία παρέρχεται, ζῶσαι δὲ καρδίαι ἐν πνεύματι διαμένουσι. δι' ὃ καὶ ὁ σωτὴρ παραγέγονε, δι' ὃ καὶ πᾶσα ἡ τῆς εἰκόνος τῆς ἐκκλησίας διατύπωσις, ἵνα νοεραὶ οὐσίαι ψυχῶν πιστῶν διὰ τῆς ἐνεργείας τῆς χάριτος ἀνακτισθεῖσαι καὶ ἀνακαινισθεῖσαι καὶ μεταβολὴν δεξάμεναι ζωὴν αἰώνιον κληρονομῆσαι δυνηθῶσιν. 52.2.1 Ὅτι δὲ τὰ φαινόμενα τύπος καὶ σκιά εἰσι τῶν κρυφίων καὶ ὁ ὁρώμενος τοῦ ναοῦ τῆς καρδίας καὶ ὁ ἱερεὺς τοῦ ἀληθινοῦ ἱερέως τῆς Χριστοῦ χάριτος καὶ πᾶσα ἡ λοιπὴ τῆς φαινομένης οἰκονομίας ἀκολουθία τῶν λογικῶν (κατὰ τὸν ἔσω ἄνθρωπον) καὶ κρυφίων πραγμάτων, τὴν καταφαινομένην τῆς ἐκκλησίας οἰκονομίαν καὶ διοίκησιν ἐνεργουμένην εἰς ψυχὴν ὑπὸ τῆς χάριτος 52.2.2 ὑπόδειγμα λάβωμεν. ὥσπερ οὖν κατὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τὴν ὁρωμένην ἐκκλησίαν· ἐὰν μὴ πρῶτον αἱ ἀναγνώσεις καὶ αἱ ψαλμωδίαι καὶ ἡ σύναξις τοῦ λαοῦ καὶ πᾶσα τοῦ ἐκκλησιαστικοῦ θεσμοῦ ἡ ἀκολουθία ἐπιτελεσθῇ, αὐτὸ τὸ θεῖον μυστήριον τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ ὁ ἱερεὺς οὐκ ἐπιτελεῖ καὶ ἡ μυστικὴ κοινωνία τῶν πιστῶν οὐ γίνεται, καὶ ἐὰν πᾶς ὁ ἐκκλησιαστικὸς κανὼν ἐπιτελεσθῇ, μὴ προσκομισθῇ δὲ ὕστερον ἡ μυστικὴ τῆς προσφορᾶς εὐχαριστία ὑπὸ τοῦ ἱερέως καὶ ἡ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ μὴ γένηται, οὐκ ἐπετελέσθη τὸ μυστήριον οὐδὲ ἐτελειώθη ὁ ἐκκλησιαστικὸς θεσμός, ἀλλ' ἐλλειπής ἐστιν ἡ λατρεία τοῦ θείου μυστηρίου ἐπὶ τοῦ θυσιαστηρίου παρὰ τοῦ ἱερέως μὴ τελεσθέντος καὶ ὥσπερ πάλιν λιτῶς καὶ γυμνῶς τὸ μυστήριον τῆς προσκομιδῆς οὐ προσφέρεται, ἐὰν μὴ προκαταρτισθῇ πᾶς ὁ ἐκκλησιαστικὸς κανών καὶ ταῦτα γὰρ ἀτελῆ ἐστι καὶ ἀργὰ χωρὶς τῆς τελειώσεως τοῦ μυστηρίου 52.2.3 κἀκεῖνο οὐ τελειοῦται, ἐὰν μὴ ταῦτα προκαταρτισθῇ. ὥσπερ τις κόσμος καὶ δόξα τοῦ μυστηρίου, οὕτω καὶ ὁ Χριστιανός· ἐὰν ἔχῃ νηστείαν, ἀγρυπνίαν, ψαλμωδίαν, πᾶσαν ἄσκησιν καὶ πᾶσαν ἀρετήν, ἡ δὲ μυστικὴ τοῦ πνεύματος ἐνέργεια ἐν τῷ θυσιαστηρίῳ τῆς καρδίας ὑπὸ τῆς χάριτος ἐν πάσῃ αἰσθήσει καὶ ἀναπαύσει πνευματικῇ οὐκ ἐπιτελεῖται, ἐλλειπής ἐστι πᾶσα ἡ ἀκολουθία τῆς ἀσκήσεως, καὶ σχεδὸν ἀργά εἰσι μὴ ἔχοντα τὴν κεφαλήν, τὴν τοῦ πνεύματος ἀγαλλίασιν ἐν καρδίᾳ μυστικῶς ὑπὸ τῆς χάριτος ἐνεργουμένην. ὥσπερ πάλιν ἡ τοῦ πνεύματος ἀγάπη τὸ οὐράνιον μυστήριον τὸ τὴν ψυχὴν μεθύσκον ἐν τῇ ἀγαλλιάσει τῆς χάριτος οὐκ ἐνεργεῖται ἁπλῶς εἰς ἀσώτους καὶ ἀσελγεῖς ἀδιαφόρως, εἰ μὴ εἰς καρδίαν πιστὴν καὶ εὐλαβῆ καὶ πολιτείαν καὶ ἄσκησιν ἀκριβῆ ἔχουσαν. ταῦτα γὰρ κόσμος καὶ ἀνάπαυσίς εἰσι τῆς τοῦ πνεύματος ἐνεργείας. 52.2.4 Ὅσῳ γὰρ ἐν ἀκριβεῖ ἀσκήσει καὶ πολλῇ ταπεινώσει καὶ πραότητι καὶ πολιτείᾳ ἐναρέτῳ εὑρίσκεται ἡ ψυχή, τοσοῦτον ἐπαναπαύεται εἰς αὐτὴν ἡ τοῦ πνεύματος χάρις ἐν πάσῃ δυνάμει καὶ ἐνεργείᾳ. ἡ δὲ ἔχουσα μὲν τὴν πολιτείαν ψυχή, τὴν δὲ ἐνέργειαν τοῦ πνεύματος ἐν πάσῃ πληροφορίᾳ ἐν ἑαυτῇ μηδέπω αἴσθηται, λείπεται τοῦ ἁγιασμοῦ τῆς καρδίας. διὸ ζητείτω, πενθείτω, κλαιέτω πρὸς τὸν κύριον, ἵνα τὸν ἁγιασμὸν τοῦ πνεύματος ἐν τῇ ἐναρέτῳ πολιτείᾳ ἔχῃ ὥσπερ κόσμον ὡραῖον, καὶ τὴν ἐνέργειαν τῆς χάριτος ἐν νῷ θεωρίαις ἀρρήτοις, ἵνα τέλειον τὸ μυστήριον τοῦ Χριστιανισμοῦ ἐν ἑαυτῇ κτήσηται κατὰ 52.2.5 τὴν προειρημένην τῆς ἐκκλησίας παραβολήν. ἀλλ' ὥσπερ ἐν τῇ ἐκκλησίᾳ οἱ σωματικῶς ἁμαρτάνοντες ὑπὸ τοῦ ἱερέως ἀφορίζονται καὶ ἐπιστρέψαντες πάλιν τῆς κοινωνίας ἀξιοῦνται, οἱ δὲ μὴ ἁμαρτάνοντες καὶ ἀνεπίληπτοι προκόπτουσι καὶ εἰς ἱερωσύνην ἔρχονται καὶ μετατίθενται ἀπὸ τόπου τινὸς ἐξωτέρου ἐπὶ τὸ θυσιαστήριον, ἵνα ὦσι λειτουργοὶ θεοῦ καὶ πάρεδροι οὕτω εἰς τὴν προκειμένην ὑπόθεσιν οἱ Χριστιανοὶ ὑπὸ χάριτος ἐνεργούμενοι καὶ ἀναπαυόμενοι τῇ παρακλήσει τοῦ πνεύματος ἐν τῇ ἐπουρανίῳ εὐφροσύνῃ τῆς μυστικῆς τοῦ πνεύματος κοινωνίας, περὶ ἧς ὁ ἀπόστολος εἴρηκεν· «ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς καὶ ἡ κοινωνία τοῦ 52.2.6 ἁγίου πνεύματος» καὶ τὰ ἑξῆς. πρόσεχε ἀκριβῶς τοῖς λεγομένοις, καὶ εὑρήσεις τὴν ἁγίαν καὶ προσκυνητὴν τριάδα ἐνοικοῦσαν ἐν τῷ κεκαθαρμένῳ ἀνθρώπῳ διὰ τῆς ἄνωθεν βοηθείας καὶ τῆς ἀρίστης αὐτοῦ πολιτείας, ἐνοικοῦσαν δέ φημι οὐ καθ' ὃ ἐστίνἀχώρητος γὰρ ὑπάρχει πάσῃ τῇ κτίσει, ἀλλὰ κατὰ τὸ χωρητικὸν καὶ δεκτικὸν τοῦ εὐαρεστοῦντος αὐτῷ ἀνθρώπου. 52.2.7 Ἐὰν οὖν τι τραπῇ ἡ προαίρεσις ἐν τῇ κατὰ συνείδησιν πολιτείᾳ πάθεσι τισὶν ἀοράτως ἐπιβλαβέσιν ὑποτασσομένη καὶ ἐν τούτῳ τὸ πνεῦμα λυποῦσα, ἐκβάλλεται καὶ ἀφορίζεται ὁ νοῦς ἀπὸ τῆς πνευματικῆς εὐφροσύνης ὑποστελλούσης τῆς χάριτος καὶ ἀγάπης καὶ πάσης ἐναρέτου καὶ ἀγαθῆς ἐνεργείας καὶ παραδίδοται εἰς θλίψεις καὶ πειρασμοὺς τοῖς πονηροῖς πνεύμασιν, ἕως οὗ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πάλιν ἐπιστρέψασα ἡ ψυχὴ ὀρθοποδήσῃ πρὸς τὴν εὐαρέστησιν τοῦ πνεύματος ἐν πάσῃ ταπεινώσει καὶ ἐξομολογήσει μετανοοῦσα, καὶ τότε πάλιν τῆς ἐπισκοπῆς καταξιοῦται τῆς χάριτος τοῦ πνεύματος καὶ τὴν οὐράνιον εὐφροσύνην μειζόνως 52.2.8 ἀπολαμβάνει. εἰ δὲ οὐ παραπικραίνει τὴν χάριν καὶ τὸ πνεῦμα οὐ λυπεῖ διὰ τῆς κακοτρόπου καὶ χυδαίας ἀναστροφῆς, ἀλλὰ πᾶσιν εὐαρέστως τοῖς δεσποτικοῖς προστάγμασιν ἐξακολουθεῖ καὶ ἀπὸ αὐτεξουσίου γνώμης ἐν πάσῃ σεμνότητι καὶ ἀγῶνι τελείῳ πρὸς τοὺς πονηροὺς λογισμοὺς ἀντιτάσσεται, καὶ τῷ κυρίῳ ὅλῃ προαιρέσει πάντοτε προσκολλᾶται καὶ ἀναπαύει τὴν χάριν, καὶ λοιπὸν ἡ τοιαύτη ψυχὴ δικαίως καὶ ἀκολούθως προκοπῶν καὶ θαυμασίων καὶ δωρημάτων ἐπουρανίων καταξιοῦται καὶ μεταθέσεως καὶ ἀξιώματος πνευματικοῦ ἀπὸ μυστηρίων θείων εἰς μυστήρια ἐπουράνια καὶ ἀπὸ δόξης εἰς δόξαν καὶ ἀπὸ ἀναπαύσεως εἰς ἀναπαύσεις ἐναργεστέρας καὶ τελειοτέρας μετατίθεσθαι καταξιοῦται, εἰς τὸ εἶναι αὐτῆς τὸν νοῦν ἐν μεγάλοις μέτροις καὶ παρρησίᾳ πολλῇ καὶ πλούτῳ ἐνδόξῳ χάριτος, καὶ οὕτως εἰς τέλεια μέτρα Χριστιανισμοῦ φθάσασα καὶ διὰ τοῦ αὐτεξουσίου ἀγῶνος καὶ διὰ τῆς ἄνωθεν βοηθείας εἰς τελείους ἐργάτας καὶ εἰς ἀμώμους Χριστοῦ λειτουργοὺς καὶ παρέδρους ἐν τῇ βασιλείᾳ καταλεγήσεται, διὰ τὴν εὐσυνειδησίαν καὶ πολλὴν σπουδήν, ἣν εἰς τὸ ἀγαθὸν ἐνεδείξατο κληρονομοῦσα τὸν κύριον εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 53.τ.1 ΛΟΓΟΣ ΝΓ΄.

53.1.1 Τὸ πῦρ τὸ οὐράνιον τὸ τῆς θεότητος, ὅπερ δέχονται οἱ Χριστιανοὶ ἐντὸς αὐτῶν ἐν τῇ καρδίᾳ νῦν ἐν τῷ αἰῶνι τούτῳ, τοῦτο αὐτὸ τὸ ἐντὸς τῆς καρδίας αὐτῶν διακονοῦν, ὅταν λυθῇ τὸ σῶμα ἐξώτερον γίνεται καὶ πάλιν συμπήσσει 53.1.2 τὰ μέλη καὶ ποιεῖ ἀνάστασιν τῶν λελυμένων μελῶν. ὥσπερ δὲ τὸ ἐν Ἱεροσολύμοις πῦρ τὸ διακονοῦν ἐν τῷ θυσιαστηρίῳ, κατὰ τὸν καιρὸν τοῦ αἰχμαλωτισμοῦ ἦν χωσθὲν ἐν λάκκῳ καὶ αὐτὸ ἐκεῖνο ἐν τῷ γενέσθαι εἰρήνην καὶ ἐπανελθεῖν τοὺς αἰχμαλωτισθέντας ὥσπερ ἀνεκαινίσθη καὶ συνήθως διηκόνει, οὕτω καὶ νῦν τὸ πιαινόμενον σῶμα, ὅπερ μετὰ τὸ λυθῆναι αὐτὸ γίνεται βόρβορος, ἐργάζεται καὶ τὸ οὐράνιον πῦρ καὶ ἀνακαινίζει καὶ ἀνιστᾷ τὰ πεφθαρμένα σώματα. τὸ γὰρ νῦν ἐσώτερον ἐν τῇ καρδίᾳ ἐνοικοῦν πῦρ τότε ἐξώτερον γίνεται 53.1.3 καὶ ποιεῖ ἀνάστασιν τῶν σωμάτων. καὶ γὰρ ἐπὶ τοῦ Ναβουχοδονόσορ τὸ πῦρ τὸ ὂν ἐν τῇ καμίνῳ οὐκ ἦν θεϊκόν, ἀλλ' ἦν κτίσμα, οἱ δὲ τρεῖς παῖδες διὰ τὴν δικαιοσύνην αὐτῶν ἐν τῷ φαινομένῳ πυρὶ ὄντες ἐν ταῖς καρδίαις αὐτῶν εἶχον τὸ θεϊκὸν καὶ ἐπουράνιον πῦρ ἐντὸς τῶν λογισμῶν διακονοῦν καὶ ἐνεργοῦν ἐν αὐτοῖς καὶ αὐτὸ ἐκεῖνο ἐφάνη ἐξώτερον αὐτῶν· ἀνὰ μέσον γὰρ αὐτῶν ἔστη καὶ ἐπέσχε τὸ φαινόμενον πῦρ τοῦ μὴ καίειν καὶ βλάπτειν τοὺς δικαίους. 53.1.4 ὁμοίως δὲ καὶ ἐπὶ τοῦ Ἰσραὴλ ἐπειδὴ ὁ νοῦς αὐτῶν καὶ ὁ λογισμὸς ἐν προθέσει εἶχε τὸ μακρυνθῆναι ἀπὸ θεοῦ ζῶντος καὶ εἰς εἰδωλολατρείαν τραπῆναι ἠναγκάσθη Ἀαρὼν εἰπεῖν αὐτοῖς ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ κόσμια, καὶ λοιπὸν ὁ χρυσὸς καὶ τὰ σκεύη, ἅπερ ἐνέβαλον εἰς τὸ πῦρ, εἴδωλον ἐγένετο. ἴδε θαυμαστὸν πρᾶγμα, ὅπως ἐμιμήσατο τὸ πῦρ τὴν προαίρεσιν αὐτῶν. ἐπειδὴ γὰρ κατὰ πρόθεσιν ἐν τῷ κρυπτῷ ἐν τοῖς λογισμοῖς αὐτῶν, ἐβουλεύσαντο τὴν εἰδωλολατρίαν καὶ τὸ πῦρ ὁμοίως ἐμβληθέντα τὰ σκεύη εἴδωλον εἰργάσατο, 53.1.5 καὶ λοιπὸν φαινομένως εἰδωλολάτρησαν. ὥσπερ οὖν οἱ τρεῖς παῖδες δικαιοσύνην λογισάμενοι ἐδέξαντο ἐν ἑαυτοῖς τὸ πῦρ τοῦ θεοῦ καὶ προσεκύνησαν τῷ κυρίῳ ἐν ἀληθείᾳ, οὕτω καὶ νῦν δέχονται αἱ πισταὶ ψυχαὶ ἐκεῖνο τὸ θεϊκὸν καὶ ἐπουράνιον πῦρ ἐν τῷ αἰῶνι τούτῳ ἐν τῷ κρυπτῷ, καὶ αὐτὸ ἐκεῖνο μορφοῖ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰκόνα ἐπουράνιον εἰς τὴν ἀνθρωπότητα. 53.1.6 Καὶ ὥσπερ ἐμόρφωσε τὸ πῦρ τὰ σκεύη τὰ χρυσᾶ καὶ ἐγένοντο εἴδωλον, οὕτω καὶ ὁ κύριος, ὥσπερ μιμεῖται τῶν πιστῶν καὶ ἀγαθῶν ψυχῶν τὰς προαιρέσεις, καὶ κατὰ τὸ θέλημα αὐτῶν μορφοῖ εἰκόνα καινὴν εἰς τὴν ψυχήν, καὶ ἐν τῇ ἀναστάσει ἐξωτέρᾳ αὐτοῖς ἐμφαίνεται καὶ δοξάζει τὰ σώματα αὐτῶν καὶ ἔξωθεν καὶ ἔσωθεν. ἀλλ' ὃν τρόπον τὰ σώματα πεφθαρμένα εἰσὶ τέως ἐν τῷ καιρῷ τούτῳ καὶ νεκρὰ καὶ λελυμένα, οὕτως εἰσὶ καὶ οἱ λογισμοὶ ὑπὸ τοῦ σατανᾶ πεφθαρμένοι καὶ νεκροὶ ἀπὸ τῆς ζωῆς καὶ κεχωρισμένοι, μᾶλλον δὲ συγκεχωσμένοι εἰς βόρβορον καὶ γῆνἀπώλετο γὰρ ἡ ψυχήκαὶ ὥσπερ οἱ Ἰσραηλῖται ἔβαλον τὰ χρυσᾶ σκεύη εἰς τὸ πῦρ καὶ ἐγένετο εἴδωλον, οὕτω νῦν τὰ χρυσᾶ σκεύη, τοὺς λογισμοὺς τοὺς καθαροὺς καὶ καλοὺς ἐπέδωκε τῇ κακίᾳ ὁ ἄνθρωπος καὶ κατεχώσθησαν εἰς τὸν βόρβορον τῆς ἁμαρτίας. καὶ ὡς ἐν εἰδωλείῳ ἀνάκειται ἡ ψυχὴ οὖσα ἐν τῷ σκότει τῆς ἁμαρτίας. 53.1.7 Καὶ πῶς τις αὐτοὺς ἐξεύρῃ καὶ διακρίνῃ καὶ ἐκβάλῃ ἐκ τοῦ ἰδίου οἴκου; ὧδε λοιπὸν θεϊκοῦ φωτὸς χρείαν ἔχει ἡ ψυχὴ καὶ πνεύματος ἁγίου τοῦ κοσμοῦντος τὸν ἐσκοτισμένον οἶκον τοῦ φωτεινοῦ τῆς δικαιοσύνης ἡλίου τοῦ φωτίζοντος καὶ ἀνατέλλοντος εἰς τὴν καρδίαν· ὅπλου χρείαν ἔχει τοῦ νικῶντος τὸν 53.1.8 πόλεμον. καὶ γὰρ ἐκείνη ἡ χήρα ἡ ἀπολέσασα τὴν δραχμὴν πρῶτον ἧψε τὸν λύχνον, εἶτα ἐκόσμησε τὸν οἶκον, καὶ οὕτω κοσμηθέντος τοῦ οἴκου καὶ τοῦ λύχνου ἀναφθέντος ηὑρέθη ἡ δραχμὴ ἐν τῇ κόπρῳ καὶ ἐν τῇ ἀκαθαρσίᾳ καὶ τῇ γῇ κεχωσμένη. καὶ νῦν ἡ ψυχὴ οὐ δύναται ἀφ' ἑαυτῆς εὑρεῖν τοὺς λογισμοὺς αὐτῆς τοὺς ἰδίους καὶ διαχωρίσαι, ἀλλ' ὅταν ἀναφθῇ ὁ λύχνος ὁ θεϊκός, ἅπτει εἰς τὸν ἐσκοτισμένον οἶκον καὶ τότε βλέπει τοὺς λογισμοὺς αὐτῆς, πῶς εἰσιν εἰς τὴν ἀκαθαρσίαν καὶ τὸν βόρβορον τῆς ἁμαρτίας κεχωσμένοι. ἀνατέλλει ὁ ἥλιος καὶ τότε ὁρᾷ ἡ ψυχὴ τὴν ἀπώλειαν αὐτῆς καὶ ἄρχεται ἀνακαλεῖσθαι τοὺς ἐν τῇ κόπρῳ καὶ ῥυπαρίᾳ ἀναμεμιγμένους λογισμούς. ἀπώλεσε γὰρ τὴν εἰκόνα αὐτῆς ἡ ψυχὴ παραβᾶσα τὴν ἐντολήν. 53.2.1 Ὥσπερ ἵνα τις ᾖ βασιλεὺς καὶ ἔχῃ ὕπαρξιν καὶ διακόνους ὑφ' ἑαυτὸν τοὺς ὑπηρετοῦντας αὐτῷ, συμβῇ δὲ τοῦτον ὑπὸ ἐχθρῶν παραληφθῆναι καὶ αἰχμαλωτισθῆναιτούτου δὲ παραληφθέντος καὶ ἐξορισθέντος ἀνάγκη ὅτι καὶ οἱ διάκονοι αὐτοῦ καὶ οἱ ὑπηρέται ὀπίσω ἀκολουθοῦσιν αὐτῷ, οὕτω καὶ ὁ Ἀδὰμ ἐκτίσθη καθαρὸς ὑπὸ τοῦ θεοῦ εἰς διακονίαν αὐτοῦ καὶ ταῦτα τὰ κτίσματα εἰς ὑπηρεσίαν αὐτῷ ἐδόθηκύριος γὰρ καὶ βασιλεὺς κατεστάθη πάντων τῶν κτισμάτων, ἀλλ' ἐξ οὗ ὁ λόγος ὁ πονηρὸς προσῆλθεν αὐτῷ καὶ προσωμίλησεν, αὐτὸς πρότερον διὰ τῆς ἔξωθεν ἀκοῆς ὑπεδέξατο αὐτόν, εἶτα διῆλθεν αὐτοῦ διὰ τῆς καρδίας καὶ κατέσχεν αὐτοῦ πᾶσαν τὴν ὑπόστασιν, καὶ οὕτω λοιπὸν αὐτοῦ παραληφθέντος συνελήφθη καὶ ἡ διακονοῦσα καὶ ὑπηρετου53.2.2 μένη αὐτῷ κτίσις. δι' αὐτοῦ γὰρ ἐπὶ πᾶσαν ψυχὴν «ἐβασίλευσεν ὁ θάνατος» καὶ πᾶσαν εἰκόνα τοῦ Ἀδὰμ ἠφάνισεν ἐκ τῆς ἐκείνου παρακοῆς, ὥστε τραπῆναι τοὺς ἀνθρώπους καὶ ἐλθεῖν εἰς προσκύνησιν δαιμόνων. ἰδοὺ γὰρ οἱ καρποὶ τῆς γῆς οἱ ὑπὸ τοῦ θεοῦ καλῶς κτισθέντες· προσέφερον τοῖς δαίμοσιν ἄρτον καὶ οἶνον καὶ ἔλαιον καὶ ζῷα ἐν τοῖς βωμοῖς αὐτῶν, οὐ μὴν ἀλλὰ καὶ 53.2.3 υἱοὺς αὐτῶν καὶ θυγατέρας ἔθυσαν τοῖς δαιμονίοις. νῦν οὖν αὐτὸς ὁ πλάσας τὸ σῶμα καὶ τὴν ψυχὴν αὐτὸς ἔρχεται καὶ διαλύει πᾶσαν τὴν ἀναστροφὴν τοῦ πονηροῦ καὶ τὰ ἔργα αὐτοῦ τὰ ἐπιτελούμενα ἐν τοῖς λογισμοῖς καὶ ἀνακαινίζει καὶ μορφοῖ εἰκόνα ἐπουράνιον καὶ ποιεῖ καινὴν ψυχήν, ἵνα γένηται πάλιν 53.2.4 βασιλεὺς Ἀδὰμ τοῦ θανάτου καὶ κύριος τῶν κτισμάτων. ὡς εἰς τὴν σκιὰν τοῦ νόμου Μωϋσῆς σωτὴρ ἐκαλεῖτο τοῦ Ἰσραὴλ καὶ ἐξέβαλεν αὐτοὺς ἐκ τῆς Αἰγύπτου, οὕτω νῦν ὁ ἀληθινὸς λυτρωτὴς Χριστὸς εἰς τὰ κρύφια διέρχεται τῆς ψυχῆς καὶ ἐκβάλλει ἐκ τῆς σκοτεινῆς Αἰγύπτου καὶ τοῦ βαρυτάτου ζυγοῦ καὶ τῆς πικρᾶς δουλείας. ἐντέλλεται οὖν ἡμῖν, ὥστε



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξελθεῖν ἐκ τοῦ κόσμου καὶ πτωχεῦσαι πάντων τῶν φαινομένων καὶ μὴ ἔχειν μέριμναν γηΐνην, ἀλλὰ νυκτὸς καὶ ἡμέρας στήκειν εἰς τὴν θύραν καὶ ἀπεκδέχεσθαι, πότε ὁ κύριος ἀνοίξας τὰς συγκεκλεισμένας καρδίας ἐπιχέει ἡμῖν τὴν δωρεὰν τοῦ πνεύματος. 53.2.5 εἶπεν οὖν ἀφιέναι χρυσόν, ἄργυρον καὶ συγγένειαν, πωλῆσαι τὰ ὑπάρχοντα καὶ διαδοῦναι πτωχοῖς καὶ θησαυρίζειν αὐτὰ εἰς τοὺς οὐρανούς, «ὅπου γὰρ ὁ θησαυρός σου, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου». εἶδεν ὁ κύριος, ὅτι ἔνδον ὁ σατανᾶς ἐν τούτῳ κατισχύει τοῦ λογισμοῦ, ἐν τῷ καταφέρειν αὐτὸν εἰς τὴν φροντίδα τῶν ὑλικῶν καὶ γηΐνων πραγμάτων. διὰ τοῦτο ὁ θεὸς προνοούμενος τῆς ψυχῆς σου εἶπεν ἀποτάξασθαι, ἵνα καὶ ἄκων ἐπιζητήσῃς τὸν οὐρανὸν καὶ ἔχῃς τὴν καρδίαν σου πρὸς τὸν θεόν. ἐὰν γὰρ καὶ θελήσῃς πάλιν ἐπιστραφῆναι εἰς τὰ κτήματά σου, οὐδὲν εὑρίσκῃ τῶν φαινομένων κεκτημένος. καὶθέλεις οὐ θέλειςὅπου ταῦτα ἐθησαύρισας καὶ ἀπέθου, ἀναγκάζῃ βλέπειν, ἤγουν πρὸς τὸν οὐρανόν· «ὅπου γὰρ ὁ θησαυρός, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου». 53.2.6 Καὶ γὰρ ἐν τῷ νόμῳ ἐκέλευσεν ὁ θεὸς τῷ Μωϋσῇ, ἵνα ποιήσῃ ὄφιν χαλκοῦν καὶ τοῦτον ὑψώσῃ καὶ προσπήξῃ εἰς τὸ ἀκρότατον τοῦ ξύλου, καὶ ὅσοι ὑπὸ τῶν ὄφεων ἐπλήσσοντο, προσέχοντες τῷ ὄφει τῷ χαλκῷ, ἰάσεως ἐτύγχανον. καὶ ἐνταῦθα δὲ τοῦτο οἰκονομικῶς γίνεται. οἱ κατεχόμενοι γὰρ εἰς τὰς γηΐνας μερίμνας καὶ εἰς τὰς εἰδωλολατρείας καὶ εἰς τὰς ἡδονὰς τοῦ σατανᾶ καὶ εἰς πᾶσαν ἀσέβειαν διὰ τοιούτου τρόπου μερικῶς πως ἀνανεύουσιν ἐπὶ τὰ ἄνω καὶ ἀνακύψαντες ἀπὸ τῶν κάτω προσέχουσιν ἐπὶ τὰ ὑψηλὰ καὶ πάλιν ἀπ' ἐκείνων προκόψωσιν εἰς τὸ ὑψηλότατον, καὶ οὕτω κατὰ μικρὸν προκόπτοντες εἰς τὸ ὑψηλότατον καὶ ἀνώτερον μέρος ἐπιγινώσκουσιν, ὅτι ἐστι θεὸς ὕψιστος παρὰ 53.2.7 πᾶσαν τὴν κτίσιν. οὕτω καὶ σὲ ἐκέλευσε πτωχὸν γενέσθαι καὶ πάντα πωλήσαντα διαδοῦναι πτωχοῖς, ἵνα λοιπὸν κἂν θελήσῃς κάτω ἕρψαι ἐπὶ τῆς γῆς μὴ δυνηθῇς. ἐρευνᾷς γὰρ εἰς τὴν καρδίαν σου καὶ ἄρχῃ μετὰ τῶν λογισμῶν σου διαλέγεσθαι· "1ἐπὶ τῆς γῆς οὐδὲν ἔχομεν, ἄγωμεν πρὸς τὸν οὐρανόν, ὅπου ἔχομεν τὸν θησαυρόν, ὅπου ἐπραγματευσάμεθα."2 ἄρχεται ὁ νοῦς σου ἀνανεύειν πρὸς τὸ ὕψος καὶ ἐπιζητεῖν τὰ ἀνώτερα καὶ προκόπτειν ἐν τούτῳ. 53.2.8 Τί δέ ἐστιν· ὅτι "1ὁ νεκρὸς ὄφις ὁ προσπεπηγμένος εἰς τὸ ἀκρότατον τοῦ ξύλου ἰᾶτο τοὺς πεπληγμένους;"2 ὁ νεκρὸς ὄφις τοὺς ζῶντας ἐνίκα, ὥστε τύπος ἐστὶ τοῦ σώματος τοῦ κυρίου. τὸ σῶμα γάρ, ὃ ἔλαβεν ἐκ τῆς θεοτόκου Μαρίας, ἀνήνεγκεν αὐτὸ ἐπὶ τοῦ σταυροῦ καὶ προσέπηξε καὶ ἐκρέμασεν ἐπὶ τοῦ ξύλου, καὶ τὸν ἐν τῇ καρδίᾳ ὄντα ὄφιν ζῶντα καὶ ἕρποντα νεκρὸν σῶμα ἐνίκησε καὶ ἀπέκτεινενὧδε θαῦμα μέγιστον, πῶς ὁ νεκρὸς ὄφις τὸν ζῶντα ἀπέκτεινεν, ἀλλ' ὃν τρόπον ἐκεῖ ὁ Μωϋσῆς ἐποίησε τὸν ὄφιν τὸν χαλκοῦνκαὶ ἀπ' ἀρχῆς κτίσεως οὐκ ἐγένετο ὄφις χαλκοῦς, ἀλλ' αὐτὸς ὁ Μωϋσῆς καινὸν ἔργον ὁμοίωμα τοῦ ζῶντος ὄφεως ἐποίησενοὕτω καὶ ὁ κύριος καινὸν σῶμα ἐκ τῆς ἀειπαρθένου καὶ θεοτόκου Μαρίας ἐποίησε καὶ τοῦτο ἐνεδύσατο, ἀλλ' οὐκ ἤνεγκε τὸ σῶμα ἐξ οὐρανοῦ· τὸ δὲ πνεῦμα οὐράνιον ἦν, ἀλλὰ ἄνθρωπον καινὸν ἐν τῷ Ἀδὰμ εἰσελθὼν εἰργάσατο καὶ τοῦτον συνεκέρασε τῇ θεότητι καὶ ἐνεδύσατο τὴν ἀν53.2.9 θρωπίνην σάρκα καὶ ἐμόρφωσεν ἐν τῇ μήτρᾳ. ὥσπερ οὖν ὁ ὄφις ὁ χαλκοῦς ἕως τοῦ Μωϋσέως οὐκ ἐκελεύσθη ὑπὸ τοῦ κυρίου γενέσθαι ἐν τῷ κόσμῳ, οὕτως οὐδὲ καινὸν σῶμα καὶ ἀναμάρτητον ἕως τοῦ κυρίου ἐφάνη ἐν τῷ κόσμῳ. παραβάντος γὰρ τὴν ἐντολὴν τοῦ πρώτου Ἀδὰμ «ἐβασίλευσεν ὁ θάνατος» ἐπὶ ὅλα τὰ τέκνα αὐτοῦ. ἐνίκησεν οὖν νεκρὸν σῶμα τὸν ζῶντα ὄφιν. 53.3.1 Καὶ τοῦτο τὸ θαυμάσιον «Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρία». τί δὲ λέγει ὁ ἀπόστολος; «ἡμεῖς δὲ κηρύσσομεν Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν, ἡμῖν δὲ τοῖς σῳζομένοις θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν». ὧδε ζωή, ὧδε τὸ φῶς, ὧδε ἡ νίκη,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

53.3.2 ὧδε ἡ ἀπολύτρωσις. ἔρχεται πρὸς τὸν θάνατον καὶ διαλέγεται αὐτῷ ὁ κύριος καὶ προστάσσει τοῦ ἐκβαλεῖν ἐκ τοῦ ᾅδου καὶ τοῦ θανάτου τὰς ψυχὰς καὶ ἀποδοῦναι. αὐτὸς δὲ πρὸς ταῦτα ταρασσόμενος εἰσέρχεται εἰς τοὺς διακόνους αὐτοῦ καὶ συνάγει πάσας τὰς δυνάμεις. καὶ προφέρει ὁ ἄρχων τὰ χειρόγραφα καὶ λέγει· "1ἴδε ὅπου ὑπήκουσαν τῷ λόγῳ μου, ἴδε ὅπου προσεκύνησαν ἡμῖν οἱ ἄνθρωποι."2 ὁ δὲ θεός, δικαιοκρίτης ὤν, κἀκεῖ δείκνυσι τὸ δίκαιον αὐτοῦ καὶ λέγει· "1ναί, ὑπήκουσέ σου ὁ Ἀδάμ, κατέσχες αὐτοῦ πάσας τὰς καρδίας, ὑπήκουσέ σου ἡ ἀνθρωπότης, τὸ ἐμὸν σῶμα τί ποιεῖ ὧδε; τοῦτο ἀναμάρτητόν ἐστι. τὸ σῶμα τοῦ πρώτου Ἀδὰμ ἐχρεώστησέ σοι, καὶ δικαίως αὐτοῦ κατέχεις τὰ χειρόγραφα. ἐμοὶ δὲ πάντες μαρτυροῦσιν, ὅτι οὐχ ἥμαρτον. οὐ χρεωστῶ σοι 53.3.3 οὐδέν. καὶ ὅτι υἱός εἰμι τοῦ θεοῦ, πάντες μαρτυροῦσιν."2 ἐπάνω γὰρ ἐκ τῶν οὐρανῶν ἐμαρτύρησε φωνὴ ἐλθοῦσα ἐπὶ τῆς γῆς· «οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα» Ἰωάννης μαρτυρεῖ· «ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου», καὶ πάλιν ἡ γραφή· «ὃς ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν αὐτῷ», καὶ ὅτι «ἔρχεται ὁ ἄρχων τοῦ κόσμου· καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν». καὶ σὺ δὲ αὐτός, ὁ σατανᾶς, μαρτυρεῖς μοι λέγων· «οἶδά σε τίς εἶ, ὁ υἱὸς τοῦ θεοῦ», καὶ πάλιν· «τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς». τρεῖς μοι μαρτυροῦσιν· οἱ ἐπάνω τῶν 53.3.4 οὐρανῶν φωνὴν ἀφίασιν, οἱ ἐπὶ γῆς καὶ αὐτὸς σύ. ἐξαγοράζω οὖν διὰ τοῦ ἐμοῦ ἀναμαρτήτου σώματος τὸ σῶμα τὸ πραθέν σοι διὰ τοῦ πρώτου Ἀδάμ, παραλύω σοι τὰ χειρόγραφα· ἐγὼ γὰρ ἀπέδωκα τὰ χρέη τοῦ Ἀδὰμ σταυρωθεὶς καὶ κατελθὼν εἰς τὸν ᾅδην. κελεύω οὖν, ἔκβαλε τὰς ἐγκεκλεισμένας ψυχὰς (ἤγουν τοῦ Ἀδαμιαίου γένους). καὶ οὕτω λοιπὸν αἱ πονηραὶ δυνάμεις 53.3.5 τρόμῳ ἀποδιδόασι τὸν ἐγκεκλεισμένον Ἀδάμ. Ἀλλ' ὅταν ἀκούσης ὅτι ἐν τῷ καιρῷ ἐκείνῳ ἐρρύσατο τὰς ψυχὰς ἐκ τοῦ ᾅδου καὶ τοῦ σκότους καὶ ὅτι κατῆλθε πρὸς τὸν ᾅδην ὁ κύριος καὶ ἐποίησεν ἔνδοξον ἔργον, μὴ μακρὰν ταῦτα ἀπὸ τῆς ψυχῆς σου τὰ πράγματα εἶναι νομίσῃς. ὁ γὰρ ᾅδης καὶ ἄνθρωπος νοεῖται χωρητικὸς καὶ κτητικὸς τοῦ πονηροῦ. κατέχει οὖν ὁ θάνατος τὰς ψυχὰς τοῦ Ἀδάμ, ἤγουν ἐντὸς τοῦ σκότους εἰσὶν οἱ λογισμοὶ τῆς ψυχῆς ἐγκεκλεισμένοι. καὶ ὅταν ἀκούσῃς περὶ μνημείου, οὐ τοῦτο τὸ φαινόμενόν ἐστι· μνημεῖον γὰρ καὶ τάφος ἡ καρδία σου ἐστίν. ὅταν γὰρ ὁ ἄρχων τῆς κακίας καὶ οἱ ἄγγελοι αὐτοῦ ἐκεῖ ἐμφωλεύωσι, καὶ ὅταν τὰς τρίβους καὶ τὰς διόδους, ὅπου ἐμπεριπατοῦσιν, αἱ δυνάμεις τοῦ σατανᾶ εἰς τὸν νοῦν σου καὶ εἰς τὸν λογισμόν σου ἔχωσιν, οὐκ εἶ ᾅδης καὶ μνημεῖον καὶ νεκρὸς τῷ θεῷ; ἐκεῖ γὰρ ὁ σατανᾶς ἀργύριον ἀδόκιμον ἐνεχάραξεν, ἐν τῇ ψυχῇ ἐνέσπειρε σπέρματα πικρά, ἐζύ53.3.6 μωται ζύμῃ παλαιᾷ, βρύει ἐκεῖ πηγὴ βορβόρου. ἔρχεται οὖν ὁ κύριος εἰς τὰς ἐπιζητούσας αὐτὸν ψυχάς, εἰς τὸ βάθος τοῦ ᾅδου, τῆς καρδίας, κἀκεῖ προστάσσει τῷ θανάτῳ λέγων· "1ἔκβαλε τὰς ἐγκεκλεισμένας ψυχὰς τὰς ἐμὲ ἐπιζητούσας, ἃς κατέχεις βιαίως."2 διαρρήσσει οὖν τοὺς βαρεῖς λίθους τοὺς ἐπικειμένους τῇ ψυχῇ, ἀνοίγει τὰ μνημεῖα, ἀνιστᾷ τὸν ἀληθινὸν νεκρόν, ἐκβάλλει ἐκ τῆς σκοτεινῆς φυλακῆς τὴν ἐγκεκλεισμένην ψυχήν. 53.3.7 Ὃν τρόπον δὲ ἵνα ᾖ ἄνθρωπος καὶ δεθῇ χεῖρας καὶ πόδας ἁλύσεσι, καὶ ἔλθῃ τις ὁ διαλύων αὐτοῦ τὰ δεσμά, καὶ ἀφίησιν αὐτὸν ἐλεύθερον περιπατεῖν ἐν ἀνεκτότητι, οὕτω τὴν δεδεμένην ψυχὴν ταῖς ἁλύσεσι τοῦ θανάτου λύει ὁ κύριος ἀπὸ τῶν δεσμῶν καὶ ἀφίησιν αὐτὴν καὶ ἐλευθεροῖ τὸν νοῦν ἀκόπως ἐν 53.3.8 ἀναπαύσει περιπατεῖν εἰς τὸν θεϊκὸν ἀέρα. καὶ ὥσπερ ἵνα ᾖ ἄνθρωπος ἐν πλημμύρᾳ ποταμοῦ ἐμπεσὼν καὶ καταβυθισθείς, λοιπόν ἐστιν ἐν τῇ πλημμύρᾳ, τοῦ σώματος προκειμένου ἀνὰ μέσον θηρίων δεινῶν· καὶ ἐὰν θελήσῃ ἄλλος ἄνθρωπος ἄπειρος τοῦ κολυμβᾶν διασώσασθαι τὸν ἐμπεσόντα, καὶ αὐτὸς συναπόλλυται καὶ πνίγεται. λοιπὸν οὖν ὧδε ἐμπείρου κολυμβητοῦ καὶ δυνατοῦ χρεία,



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἵνα εἰσελθὼν εἰς τὸ βάθος τοῦ κόλπου τοῦ ὕδατος ἐκεῖ καταδύσηται καὶ ἀνενέγκῃ τὸν καταπεποντισμένον καὶ πεπνιγμένον καὶ ὄντα ἀνὰ μέσον θηρίων δεινῶν. καὶ αὐτὸ δὲ τὸ ὕδωρ, ὅταν ἴδῃ ἔμπειρον καὶ εἰδότα πλεῖν, βοηθεῖ τούτῳ 53.3.9 καὶ ἀναφέρει αὐτὸν ἐπὶ τὰ ἀνώτερα, οὕτω καὶ ἡ ψυχὴ εἰς ἄβυσσον σκότους καὶ εἰς τὸ βάθος τοῦ κόλπου τοῦ θανάτου καταπεποντισμένη πέπνικται καὶ νεκρά ἐστιν ἀπὸ τοῦ θεοῦ ἀνὰ μέσον θηρίων δεινῶν. καὶ τίς δύναται εἰς τὰ ταμιεῖα ἐκεῖνα καὶ τὰ βάθη τοῦ ᾅδου κατελθεῖν, εἰ μὴ αὐτὸς ὁ τεχνίτης ὁ ἐργασάμενος τὸ σῶμα; αὐτὸς ἔρχεται εἰς τὰ δύο μέρη καὶ εἰς τὸ βάθος τοῦ ᾅδου καὶ πάλιν εἰς τὸν βαθὺν κόλπον τῆς καρδίας, ὅπου κατέχεται ἡ ψυχὴ ὑπὸ τοῦ θανάτου σὺν τοῖς λογισμοῖς αὐτῆς, καὶ ἀναφέρει ἐκ τοῦ σκοτεινοῦ βυθοῦ τὸν νενεκρωμένον Ἀδάμ. καὶ αὐτὸς δὲ ὁ θάνατος διὰ τῆς γυμνασίας εἰς βοή53.3.10 θειαν γίνεται αὐτοῦ τοῦ ἀνθρώπου, ὥσπερ τὸ ὕδωρ τῷ κολυμβῶντι. τί γὰρ δυσχερές ἐστι τῷ θεῷ εἰσελθεῖν εἰς τὸν θάνατον καὶ πάλιν εἰς τὸν βαθὺν κόλπον τῆς καρδίας κἀκεῖθεν ἀνακαλέσασθαι τὸν νενεκρωμένον Ἀδάμ; ἐν γὰρ τῷ φαινομένῳ αἰῶνί εἰσιν οἰκοδομαὶ καὶ οἰκίαι, ὅπου ἡ ἀνθρωπότης κατοικεῖ, καί εἰσι σπήλαια, ὅπου θηρία ἢ λέοντες ἢ δράκοντες καὶ ἄλλα θηρία ἰοβόλα. εἰ τοίνυν ὁ ἥλιος κτίσμα ὢν εἰσέρχεται πανταχόθεν, διὰ θυρίδων καὶ εἰς τὰ σπήλαια τῶν λεόντων καὶ εἰς τὰς ὀπὰς τῶν ἑρπετῶν καὶ ἐξέρχεται καὶ οὐδὲν βλάπτεται, πόσῳ μᾶλλον ὁ θεός, ὁ δεσπότης πάντων, εἰσέρχεται εἰς τοὺς φωλεοὺς καὶ εἰς τοὺς οἴκους, ὅπου κατεσκήνωσεν ὁ θάνατος, καὶ εἰς τὰς ψυχὰς κἀκεῖθεν ῥυόμενος τὸν Ἀδὰμ οὐκ ἀδικεῖται ὑπὸ τοῦ θανάτου. καὶ ὡς ὑετὸς ἐξ οὐρανοῦ κατερχόμενος φθάνει κατέρχεσθαι «εἰς τὰ κατώτατα τῆς γῆς» κἀκεῖθεν τὰς ξηρανθείσας ῥίζας ὑγρᾶναι καὶ ἀνακαινίσαι καὶ ἐξυπνίσαι καὶ ποιῆσαι ἐκεῖ γέννημα καινόν. 53.4.1 Ὁ ἔχων ἀγῶνα καὶ θλῖψιν καὶ πόλεμον πρὸς τὸν σατανᾶν, οὗτος συντετριμμένην ἔχει τὴν ψυχὴν αὐτοῦ· ἐν μερίμνῃ γάρ ἐστι καὶ πένθει καὶ δάκρυσιν. εἰ τοίνυν ἐν τούτοις τοῖς πράγμασι στήκει ὁ τοιοῦτος εἰς τὸν πόλεμον μετ' αὐτοῦ ἐστιν ὁ κύριος καὶ φυλάσσει αὐτὸν καὶ ἐπιζητεῖ σπουδαίως καὶ κρούει τὴν θύραν, πότε αὐτῷ ἀνοίγει. πάλιν εἰ φαίνεταί σοι ἀδελφὸς χρηστός, ἐπιεικής, φιλάδελφος, ἀγαθός, ὁ δὲ ὑπὸ χάριτος ἐστιν ὑπεστηριγμένος καὶ 53.4.2 ἀναπεπαυμένος. ὁ δὲ μὴ ἔχων θεμέλιον οὐκ ἔχει τοσοῦτον φόβον θεοῦ, οὐδὲ συντέτριπται αὐτοῦ ἡ καρδία, οὐδέ ἐστιν ἐν φόβῳ οὐδὲ ἀσφαλίζεται αὐτοῦ τὴν καρδίαν καὶ τὰ λοιπὰ μέλη τοῦ μὴ ἀτάκτως πορεύεσθαι. οὗτος ἀκμὴν ἀπολελυμένην ἔχει τὴν ψυχὴν αὐτοῦ· οὔπω γὰρ εἰσῆλθεν εἰς ἀγῶνα. ἄλλος οὖν ἐστιν ὁ ἐν ἀγῶνι καὶ θλίψει καὶ ἄλλος ὁ μὴ εἰδὼς τί ἐστι πόλεμος. καὶ γὰρ τὰ σπέρματα ὅταν ἐμβληθῇ εἰς τὴν γῆν, θλῖψιν ὑπομένει εἰς τοὺς πάγους, εἰς τοὺς χειμῶνας, εἰς τὴν ψυχρότητα τῶν ἀέρων, καὶ ἐν τῷ δέοντι 53.4.3 καιρῷ ἀναζωοποιεῖται τὸ γέννημα. συμβαίνει δέ, ὅτι ὁ σατανᾶς διαλέγεταί σοι ἐν τῇ καρδίᾳ· "1ἴδε πόσα κακὰ ἐποίησας, ἰδοὺ πεπλήρωταί σου ἡ ψυχὴ πασῶν ἀνομιῶν, καὶ βεβαρημένος εἶ ἀπὸ ἁμαρτιῶν."2 ταῦτα δὲ ποιεῖ, ἵνα ἐνέγκῃ σε εἰς ἀπελπισμόν, ὅτι οὐκέτι δύνασαι σωθῆναι οὐδέ ἐστιν εὐπρόσδεκτος ἡ μετάνοιά σου. ἐπειδὴ γὰρ ἐπεισῆλθε διὰ τῆς παραβάσεως ἡ κακία, λοιπὸν 53.4.4 καθ' ἑκάστην ὥραν διαλέγεται τῇ ψυχῇ ὡς ἄνθρωπος μετὰ ἀνθρώπου. ἀποκρίθητι αὐτῷ καὶ σύ, ὅτι "1ἔχω τὰς μαρτυρίας τοῦ κυρίου ἐγγράφως"2, ὅτι "1οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν, ὥστε ἀποστραφῆναι αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν"2. διὰ τοῦτο γὰρ κατῆλθεν αὐτός, ἵνα τοὺς ἁμαρτωλοὺς σώσῃ, τοὺς νεκροὺς ἀνεγείρῃ, τοὺς τεθανατωμένους ἀναζωοποιήσῃ, τοὺς ἐν σκότει φωτίσῃ. ἀληθῶς γὰρ ὁ ἐλθὼν εἰς υἱοθεσίαν ἡμᾶς ἐκάλεσε, εἰς πόλιν ἁγίαν εἰρηνευομένην, εἰς ζωὴν τὴν μηδέποτε ἀποθνῄσκουσαν, 53.4.5 εἰς δόξαν ἄφθαρτον. μόνον ἡμεῖς τῇ ἀρχῇ ἡμῶν δῶμεν τέλος ἀγαθόν, ἐμμείνωμεν ἐν τῇ πτωχείᾳ, ἐν τῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ξενιτείᾳ, ἐν τῇ κακουχίᾳ, ἐν τῇ αἰτήσει τῇ πρὸς τὸν θεόν, μετὰ ἀναιδείας κρούοντες τὴν θύραν. ὥσπερ γὰρ ἐγγύς ἐστι τὸ σῶμα τῆς ψυχῆς, οὕτως ἐγγύτερός ἐστιν ὁ κύριος τοῦ ἐλθεῖν καὶ ἀνοῖξαι τὰς κεκλεισμένας θύρας τῆς καρδίας καὶ δωρήσασθαι ἡμῖν πλοῦτον τὸν οὐράνιον. ἀγαθὸς γάρ ἐστι καὶ φιλάνθρωπος, καὶ ἀψευδεῖς αὐτοῦ εἰσιν αἱ ἐπαγγελίαι, μόνον ἵνα ὑπομείνωμεν ἕως τέλους ἐπιζητοῦντες αὐτόν. Δόξα τοῖς οἰκτιρμοῖς αὐτοῦ καὶ τῷ ἀπείρῳ αὐτοῦ ἐλέει. Ἀμήν.

54.τ.1 ΛΟΓΟΣ ΝΔ΄.

54.1.1 Τί λαλήσομεν τοῖς ἀγαπητοῖς ἡμῶν ἀδελφοῖς, ἢ τί ὑπομνήσομεν ὑμᾶς τοὺς ἑτοιμάσαντας ἑαυτοὺς ὀπίσω τοῦ Χριστοῦ πορεύεσθαι; λαλήσωμεν ὑμῖν ὅτι τὸν εὐαρεστῆσαι θεῷ θέλοντα ἀναχωρῆσαι καὶ ἀποτάξασθαι δεῖ τῷ κόσμῳ 54.1.2 τούτῳ; ἰδοὺ προειλήφατε τοῦτο ποιῆσαι. ἀλλ' ἐροῦμεν ὑμῖν ὅτι τὸν βουλόμενον ἀκολουθεῖν τῷ τοῦ κυρίου λόγῳ ξένον καὶ ἀλλότριον τῆς αὐτοῦ πατρίδος καὶ γονέων καὶ συγγενῶν καὶ φίλων γενέσθαι χρὴ διὰ τὴν πρὸς τὸν κύριον ἀγάπην καὶ τὴν τῶν ἐντολῶν αὐτοῦ ἐπιπόθησιν. ἰδοὺ καὶ τοῦτο ἕκαστος ὑμῶν ἑτοίμως πεποίηκε καὶ ξένος τῆς ἑαυτοῦ πατρίδος διὰ τὸν θεὸν γεγένηται. 54.1.3 ἀλλὰ ὑπομνήσομεν ὑμᾶς περὶ τοῦ δεῖν ταῖς εὐχαῖς ἐγκαρτερεῖν καὶ ταῖς νηστείαις κατὰ τὴν τοῦ κυρίου ἐπιταγὴν καὶ κατὰ τὴν τοῦ ἀποστόλου παραίνεσιν· ἔλεγε γὰρ ὁ κύριος· «παραβολὴν πρὸς τὸ πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν», καὶ ὁ ἀπόστολος· «ἀδιαλείπτως προσεύχεσθε», ἀλλ' ἰδοὺ χάριτι Χριστοῦ ἐν 54.1.4 αὐτῷ τῷ ἔργῳ ὁρῶμεν ὑμᾶς διατελοῦντας καὶ εἰς αὐτὸ παραμένοντας. ἀλλ' εἴπωμεν ὑμῖν ὅτι τῶν θεοπνεύστων γραφῶν ἐμπείρους ὑμᾶς εἶναι δεῖ καὶ ἐν αὐταῖς ἐντετρίφθαι πρὸς τὸ μὴ ἀμνημονεῖν τῶν τοῦ κυρίου ζώντων λογίων καὶ τῶν ἐντολῶν αὐτοῦ καὶ θείων παραγγελμάτωνἰδοὺ χάριτι τοῦ κυρίου ἐν αὐταῖς γυμνάζεσθε καὶ τὴν μελέτην ὑμῶν διαπαντὸς ἐν αὐταῖς ποιεῖσθε. 54.1.5 λαλήσομεν ὑμῖν περὶ τῆς εἰς ἀλλήλους ἀγάπης καὶ φιλαδελφίας καὶ ὑποταγῆς καὶ ταπεινώσεως καὶ τῆς πρὸς ἀλλήλους τιμῆς ἰδοῦ ἕκαστος ὑμῶν σπουδάζει καὶ ἐν τούτοις ἑαυτὸν γυμνάζει καὶ ἐθίζει ἔθος ἀγαθόν. 54.2.1 Καλῶς τοίνυν, ὦ τέκνα, καὶ καθαρῶς προσεληλύθατε δουλεύειν καὶ εὐαρεστεῖν τῷ ἑαυτῶν δεσπότῃ Χριστῷ. ἀγαθὴ καὶ εὐπρόσδεκτος ἡ τοιαύτη παρὰ θεῷ ἀρχή. τοὺς γὰρ καθαρῶς καὶ ὁλοκλήρῳ προαιρέσει προσερχομένους τῷ κυρίῳ τούτους εἰς ἐκλογὴν καὶ ζωὴν ὁρίζει τὴν αἰώνιον. ἐπιζητεῖ τοίνυν τοὺς προσεληλυθότας καὶ προσεγγίζοντας αὐτῷ καθαρῶς (τουτέστιν ὅλῃ τῇ προαιρέσει) τοιούτους εἶναι· φυλάσσειν τὸ σῶμα καθαρὸν ἀπὸ φθορᾶς, πορνείας τε καὶ κλοπῆς καὶ ψεύδους, λόγων τε ἀργῶν καὶ ματαίων, γαστριμαργίας τε καὶ πλεονεξίας πάσης καὶ τῶν λοιπῶν διὰ τοῦ σώματος ἐπιτελουμένων ἁμαρτημάτων, καὶ φυλάσσειν τὴν ψυχὴν καθαρὰν ἀπὸ λογισμῶν ματαίων 54.2.2 καὶ ῥυπαρῶν καὶ πονηρῶν καὶ μὴ συνδυάζειν τῇ κακίᾳ. ὥσπερ γὰρ τὸ σῶμα φθείρεται καὶ μιαίνεται, ἐπὰν κοινωνήσῃ ἐν ἀκαθαρσίᾳ ἑτέρῳ σώματι, οὕτω καὶ ἡ ψυχὴ φθείρεται, ἐπὰν κοινωνῇ συνδυάζουσα ταῖς ἐνοχλούσαις τῆς κακίας δυνάμεσιν. ὥσπερ ὁ ἀπόστολός φησι· «ὁ φθείρας τὸν ναὸν τοῦ θεοῦ (ὅ ἐστι τὸ σῶμα), φθερεῖ τοῦτον ὁ θεός», οὕτως ὁ φθείρων τὴν ψυχὴν καὶ τὸν νοῦν καὶ συναινῶν καὶ συνδυάζων τῇ συνούσῃ κακίᾳ τῶν παθῶν ἐν τοῖς ἀοράτοις 54.2.3 τῶν λογισμῶν ἁμαρτήμασι τιμωρίαις ὑπαίτιος τυγχάνει. ὡς οὖν φυλάσσεσθαι χρὴ τὸ σῶμα καθαρὸν ἀπὸ φανερῶν καὶ ὁρατῶν ἁμαρτημάτων, ὅτι ναὸς θεοῦ ἐστιν, οὕτω φυλάσσεσθαι χρὴ καὶ τὴν ψυχὴν καθαρὰν ἀπὸ πονηρῶν καὶ ἀκαθάρτων λογισμῶν πρὸς τὸ μὴ φθείρεσθαι τὰ νοήματα ἑκουσίως καὶ τὸν νοῦν μολύνεσθαιὡς φησί που· «πάσῃ φυλακῇ τήρει σὴν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καρδίαν· ἐκ γὰρ ταύτης ἔξοδοι ζωῆς», καὶ πάλιν· «σκολιῶν γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ», ὅτι νύμφη ἐστὶ τοῦ μεγάλου βασιλέως Χριστοῦ· «ἡρμοσάμην γάρ, φησίν, ὑμᾶς 54.2.4 ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ». οὕτω γὰρ εὐδόκησεν ὁ θεὸς καὶ οὕτω προσέταξε τοὺς προσερχομένους αὐτῷ καὶ ζητοῦντας αὐτὸν ἐνοικῆσαι καὶ ἐμπεριπατῆσαι ἐν αὐτοῖς. δεῖ τοίνυν τὴν ψυχὴν καθαρὰν φυλάσσειν, τοῦ μὴ συναινεῖν καὶ συνδυάζειν τῇ κακίᾳ ἐν τοῖς διαλογισμοῖς, καὶ τὸ σῶμα καθαρὸν φυλάσσειν ἀπὸ φανερῶν πράξεων πονηρῶν. οὐκ εὐδοκεῖ γὰρ ὁ θεὸς ἐν πόρνοις οἰκεῖν καὶ ἀχρείοις καὶ μιαροῖς καὶ ἀσελγέσι, καὶ οὐκ εὐδοκεῖ κατοικεῖν ἐν ψυχαῖς φθειρομέναις ἑκουσίως τὰ νοήματα ἐν τοῖς ἀοράτοις πάθεσιν ὑπὸ τῆς συνούσης κακίας τοῦ πονηροῦ καὶ παλαιοῦ ἀνθρώπου. 54.2.5 Τὸ λοιπὸν λόγον ἀπαιτείτω ἕκαστος παρὰ τῆς ἑαυτοῦ ψυχῆς, ἀνακρίνων τοὺς λογισμοὺς ἀπὸ θείων γραφῶν, καὶ δοκιμαζέτω ἐν τίσιν ἑκουσίως κεκράτηται, καὶ βλεπέτω, εἰ συμφωνεῖ τοῖς νόμοις τοῦ θεοῦ ἡ καρδία καὶ οἱ διαλογισμοί, καὶ εἰ μὴ συμφωνεῖ, σπουδαζέτω καὶ ἀγωνιζέσθω ἕκαστος πάσῃ δυνάμει ψυχῆς καὶ σώματος, ἵνα ὥσπερ τὸ σῶμα ἔξωθεν φυλάσσει ἀπὸ πορνείας καὶ φθορᾶς ὡς ναὸν θεοῦ, οὕτως ἔνδοθεν καὶ τὴν ψυχὴν καὶ τοὺς διαλογισμοὺς φυλάξῃ ἀπὸ φθορᾶς τῶν πονηρῶν πνευμάτων, τοῦ μὴ κοινωνεῖν τοῖς διαλογισμοῖς αὐτῶν καὶ μιαίνεσθαι αὐτὴν ὡς νύμφην οὖσαν 54.2.6 Χριστοῦ. ὥσπερ γὰρ τὸ σῶμα κοινωνοῦν ἑτέρῳ σώματι φθείρεται καὶ πορνεύει, οὕτω καὶ ἡ ψυχὴ κρυπτῶς κοινωνοῦσα πονηραῖς δυνάμεσιν ἐν διαλογισμοῖς φθείρεται καὶ πορνεύει ἐν ἀοράτοις ἁμαρτήμασιν, ἐν ἀπιστίᾳ, ἐν δόλῳ, ἐν κενοδοξίᾳ, ἐν ὀργῇ, ἐν φθόνῳ, ἐν ζήλῳ, ἐν ἔριδι. ἔνθα γὰρ κοινωνεῖ ψυχή, ἐκεῖ καὶ διακονεῖ. «ἀνθρώπων, γάρ φησιν, διεφθαρμένων τὸν νοῦν», καὶ πάλιν· «μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις», καὶ πάλιν· «φοβοῦμαι μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ 54.2.7 νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χριστόν». ὥστε ἔστι πορνεία καὶ φθορὰ κρυπτῶς ἐν ψυχῇ διὰ πονηρῶν λογισμῶν ἐπιτελουμένη καὶ γὰρ ἐν τῷ νόμῳ μυστήριον περὶ ψυχῆς ἐμφαῖνον τὸ πνεῦμα τὸ ἅγιον τὰ καθαρὰ τετράποδα καὶ τὰ καθαρὰ πετεινὰ ἀπὸ τῶν ἀκαθάρτων διώρισε, τὰ δὲ καθαρὰ καθαροὺς καρποὺς τίκτει, οὕτως ὀφείλουσι τῆς ψυχῆς οἱ καθαροὶ τῆς ἰδίας φύσεως λογισμοὶ κεχωρίσθαι τῇ γνώσει τοῦ λόγου διὰ πολλῆς σπουδῆς καὶ ἀγῶνος ἀπὸ τῶν τῆς ἐνοχλούσης ἁμαρτίας ἀκαθάρτων λογισμῶν, ἵνα ἡ ψυχὴ τοὺς τῆς ἰδίας φύσεως καθαροὺς λογισμοὺς διὰ τῆς τοῦ λόγου γνώσεως καθαροὺς ἀποτίκτῃ, καὶ μὴ συναίνουσα καὶ κοινωνοῦσα τῇ συνούσῃ κακίᾳ ἀκαθάρτους ἐννοίας ὡς φυσικοὺς δι' ἄγνοιαν ἀποκυΐσκῃ. διχηλοῦντά φησι καὶ μηρυκώμενα ταῦτα καθαρὰ τυγχάνει, τουτέστιν ὅτι δεῖ ἕκαστον διχῶς ἑαυτὸν ὁρᾶν ἀντιλέγοντα καὶ μὴ συμφωνοῦντα τῇ συνούσῃ κακίᾳ τῶν παθῶν. 54.3.1 Χρὴ τοίνυν τὴν ψυχὴν πρότερον ἐν τοῖς λογισμοῖς αὐτῆς διορίζειν καὶ διακρίνειν ἑαυτὴν διὰ τοῦ λόγου ἀπὸ τῆς κοινωνίας τῆς ἁμαρτίας. τότε γὰρ ἐξ ἀληθείας διορίζεται διὰ τῆς δυνάμεως τοῦ πνεύματος ἀπὸ τῶν τῆς πονηρίας 54.3.2 πνευμάτων, ἅ ἐστι ῥίζαι τῶν διαλογισμῶν. ὥσπερ γὰρ ἀνὴρ γεωργὸς καλῶς ἐπιμελούμενος τῆς γῆς πρότερον ἀνανεοῖ αὐτὴν καὶ καθαίρει τὰς ἀκάνθας καὶ τριβόλους, καὶ οὕτω σπόρον καταβάλλει πρὸς τὸ ἐπιτηδείους καὶ ἐντελεῖς δοῦναι τοὺς καρπούς, οὕτω χρὴ τὸν βουλόμενον εὐαρεστῆσαι κυρίῳ καὶ τὸν σπόρον τῆς χάριτος λαβεῖν προσδοκῶντα προκαθαίρειν καὶ ἀνανεοῦν καὶ προευτρεπίζειν ὅση δύναμις ἐξ ἑαυτοῦ τὴν γῆν τῆς καρδίας αὐτοῦ, ἵνα ὁ σπόρος πεσὼν τοῦ πνεύματος ἐν τῇ καλῇ τῆς καρδίας γῇ πολυπλασίονας καρποὺς καὶ 54.3.3 ἐντελεῖς ἀποδώσει. ἢ ὥσπερ τεχνίτης ἐπιτηδείως ἐργαζόμενος τὰ δέρματα τῶν ζῴων, τὰ λεγόμενα σωμάτια, τοὺς βεμβράνους. ἐὰν μὴ πρότερον ἄρῃ ἐξ αὐτῶν τὰς τρίχας καὶ τὰ περισσὰ τῶν σαρκῶν πάχη καὶ τὴν τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

αἵματος μελανίαν καὶ τὴν λοιπὴν ἀκαθαρσίαν καὶ ἐπιτηδείως καθαρὰ καὶ λαμπρὰ αὐτὰ 54.3.4 ἀπεργάσηται, οὐ γράφουσιν ἐν αὐτοῖς τοὺς νόμους τοῦ θεοῦ. ἐπὰν δὲ ὁ σοφὸς τεχνίτης καθ' ὃν δεῖ τρόπον πάντα τὰ περισσὰ περιαιρήσας καὶ καθαρίσας λαμπρύνῃ, τότε γράφονται οἱ τοῦ θεοῦ νόμοι καὶ τότε εἰσὶ γραφαί. τὸν αὐτὸν τρόπον οἱ βουλόμενοι καὶ ἐλπίζοντες τοὺς νόμους τοῦ πνεύματος ἐν τῇ ἑαυτῶν διανοίᾳ καὶ ψυχῇ ἐγγραφῆναι καὶ τὴν ἐπουράνιον εἰκόνα τοῦ Χριστοῦ τῆς ζωῆς ἐνδύσασθαι ἐπιποθοῦντες πάσῃ σπουδῇ καὶ ἐπιμελείᾳ τὴν ἑαυτῶν καρδίαν ὡς ἐπιτήδειοι τεχνῖται ἐργαζέσθωσαν καὶ καθαριζέτωσαν αὐτὴν ἀπὸ πάσης ὑλικῆς τοῦ αἰῶνος τούτου παχύτητος καὶ σαρκῶν καὶ αἱμάτων, (τουτέστι φροντίδων καὶ δεσμῶν γηΐνων). ἐκτὸς εἶναι αὐτὴν καταρτιζέτωσαν καὶ ἀπὸ σαρκικῶν ὕλης περισπασμῶν (ἅ ἐστι τοῦ αἵματος μελανία) ταύτην καθαριζέτωσαν, ἵν' οὕτω προευτρεπισάντων καὶ προκαθαράντων τὸν νοῦν ἑαυτῶν καὶ τὴν καρδίαν ἐγγράψῃ ὁ θεὸς ἐκεῖ τοὺς ἰδίους νόμους τοῦ πνεύματος κατὰ τὴν ἐπαγγελίαν 54.3.5 αὐτοῦ. φησὶ γάρ· «διδοὺς νόμους μου ἐν καρδίᾳ αὐτῶν καὶ ἐπὶ ταῖς διανοίαις αὐτῶν ἐπιγράψω αὐτούς. καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μοι λαός», καὶ ἐπάγει ὁ ἀπόστολος· «ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος». 54.3.6 τότε τις δυνήσεται ἀληθῶς ἐπιγνῶναι θεὸν καὶ ζῆσαι τὴν αἰώνιον ζωήν. εἰ δὲ μὴ ἐγγραφῶσιν οἱ νόμοι τοῦ πνεύματος ἐν τῇ ψυχῇ, σὰρξ καὶ αἷμα ἐστὶν ἔτι ὁ τοιοῦτος καὶ οὐδέπω εἴργασται ἡ καρδία ὡς ἀπαιτεῖ ὁ θεὸς οὐδὲ αἰωνίαν 54.3.7 κέκτηται ζωήν. τὸ δὲ ὑπόδειγμα τὸ ἐπὶ τοῦ γεωργοῦ καὶ ἐπὶ τοῦ τεχνίτου καὶ ἑτέρως ἔστιν νοεῖν, ἵν' ὅνπερ τρόπον ἡ γῆ κεῖται ἀκωλύτως τῷ γεωργῷ καὶ καθὼς βούλεται ἐργάζεται ταύτην καὶ ἐπιμελεῖται αὐτῆς ὡς αὐτὸς ἐπίσταται, ἢ ὥσπερ τὸ σωμάτιον οὐκ ἀντιτάσσεται τῷ τεχνίτῃ νεκρὸν ὄν, ἀλλὰ καθὼς βούλεται καὶ οἶδε τῇ ἰδίᾳ ἐπιστήμῃ ἐργάζεται καὶ καθαίρει καὶ ἐπιτήδειον ἀποτελεῖ καταρτίσας ὡς δέει, οὕτως ἕκαστος ὀφείλει παρέχειν ἑαυτὸν καὶ διδόναι ὅλον ἑαυτὸν ἐξ ὅλης προαιρέσεως καὶ θελήματος τῷ λόγῳ καὶ τῇ χάριτι τοῦ κυρίου ἀναχωρῶν τῶν ἰδίων θελημάτων καὶ ἑαυτὸν νεκρώσων μή54.3.8 ποτε τὸ ἴδιον θέλημα ποιῶν ἔτι, ὡς καὶ ὁ ἀπόστολός φησι· «μηκέτι οὖν ἑαυτοῖς ζῶμεν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι», καὶ πάλιν· «οὐκ ἐστὲ ἑαυτῶν», ἵν' ὡς οἶδε καὶ ἐπίσταται ὁ σοφὸς τεχνίτης καὶ γεωργὸς λόγος, διὰ τῆς χάριτος ἐργάσηται καὶ καθαρίσῃ αὐτὸς τὴν γῆν τῆς καρδίας, ἀποσπῶν τὴν ψυχὴν ἀπὸ τῶν τῆς ὕλης δεσμῶν καὶ τῆς ἀπάτης τοῦ κόσμου καὶ τῶν τῆς ἀτιμίας παθῶν, «ἵνα αὐτὸς ἑαυτῷ, ὥς φησιν ὁ ἀπόστολος, παραστήσῃ τὴν ἐκκλησίαν ἄμωμον», ἥτις ἐστὶ ψυχή, εἰς ἣν πονηρὸς λογισμὸς ἐξ 54.3.9 ἀρχῆς οὐκ ἐνεκτίσθη. καὶ οὕτω συμφωνήσαντος προσηκόντως τῇ χάριτι τοὺς νόμους τῆς ἐλευθερίας καὶ τῆς τελειότητος καὶ τῆς καταπαύσεως τῆς ζωῆς ὁ Χριστὸς ἐγγράφει ἐν τῇ ψυχῇ, νύμφην καθαρὰν αὐτὴν κατεργασάμενος εἰς τὴν ἰδίαν τῆς ἀφθάρτου ζωῆς κοινωνίαν, καὶ τότε κολληθεῖσα τῷ κυρίῳ εἰς ἓν πνεῦμα γίνεται καὶ ζωὴν κληρονομεῖ τὴν αἰώνιον. 54.4.1 Πάσῃ τοίνυν σπουδῇ καὶ παντὶ ἀγῶνι καὶ πόνῳ καὶ συνέσει καὶ ἱδρῶτι ψυχῆς τούτων ἐπιτυχεῖν σπουδάσωμεν, ἐπιμελῶς ἐργαζόμενοι τὴν ἑαυτῶν καρδίαν, πανταχόθεν περισκοποῦντες τὰς μαγγανείας καὶ κακουργίας καὶ τοὺς δό54.4.2 λους τοῦ πονηροῦ τῆς ἁμαρτίας πνεύματος. ὥσπερ γὰρ τὸ πνεῦμα τὸ ἅγιον διὰ Παύλου ἐλάλησε· «πᾶσι πάντα ἐγενόμην, ἵνα τοὺς πάντας κερδήσω», οὕτω καὶ ἡ παντομίμητος κακία σπουδάζει πάντα γενέσθαι, ἵνα τοὺς πάντας ἀπολέσῃ. καὶ τοῖς εὐχομένοις ὡς εὐχόμενος ἀφομοιοῦται ὁ διάβολος, ἵνα προφάσει εὐχῆς δι' ἄγνοιαν καὶ οἴησιν ἀπατήσῃ. τοῖς νηστεύουσι συννηστεύει, ἵνα οἰήσει νηστείας πλανήσῃ. ἐν τοῖς ἔχουσι γνῶσιν γραφῶν ὡσαύτως ἐπιτηδεύει, ἵνα οἰήσει γνώσεως ἐκτρέψας παγιδεύσῃ, τοῖς ἐν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀποκαλύψει φωτὸς καταξιωθεῖσιν ὡς δι' ὁμοίου φωτὸς ἀποκαλύψεως ἀφομοιοῦται. καὶ γὰρ καί· «εἰς ἄγγελον φωτὸς μετασχηματίζεται ὁ σατανᾶς», ἵνα ὡς διὰ ὁμοίου φωτὸς πλανήσας εἰς ἑαυτὸν κατάσχῃ. ὁμοίως καὶ τοῖς λοιποῖς ἀφομοιοῦται, ἵνα δι' ὁμοίων ἀπο54.4.3 λέσῃ τὴν ψυχὴν προφάσει εὐλογοφανεῖ. πανούργως γὰρ καὶ δεινῶς προσέρχεται ἑκάστῳ ἐν πᾶσι καλοῖς ἀφωμοιωμένος, ἵνα δυνηθῇ ἀγνοηθεὶς ῥίψαι τινὰ εἰς τὸ ἴδιον αὐτοῦ θέλημα. «λογισμούς, φησί, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ». ἴδε μέχρι ποῦ τολμᾷ καὶ ἐπαίρεται, βουλόμενος ῥίψαι καὶ τοὺς ἤδη τὸν θεὸν ἐν ἐπιγνώσει ἀληθείας ἔχοντας. «πάσῃ οὖν φυλακῇ χρὴ τηρεῖν τὴν ἑαυτῶν καρδίαν» καὶ πολλὴν παρὰ θεοῦ σύνεσιν αἰτεῖν, ἵνα δῷ ἡμῖν τὰς πανουργίας καὶ τέχνας τῆς κακίας ἐπιγινώσκειν, ὅπως 54.4.4 μὴ ἑαυτῷ ἡμᾶς ὁ πονηρὸς διὰ κακοτεχνίας περιποιήσηται. ἐργάζεσθαι οὖν καὶ πονεῖν διαπαντὸς ἕκαστον ἡμῶν πάσῃ συνέσει καὶ νήψει καὶ καθαίρειν τὸν νοῦν καὶ τοὺς διαλογισμοὺς προσήκει, ὅτι οὐκ ἔστι τὶ μεῖζον οὐδὲ κρεῖττον ἔργον ἢ τιμιώτερον ὡς τὸ τὴν ἑαυτοῦ ψυχὴν ἐργάζεσθαι καὶ τὴν ἰδίαν αὐτοῦ προαίρεσιν καταρτίζειν πρὸς τὸ θέλημα τοῦ θεοῦ. τοῦτο μόνον μέγα καὶ τίμιον παρὰ θεῷ ἔργον, ὥς φησιν ὁ κύριος· «ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην τουτέστι τὰ τῆς κακίας ἐπιτηδεύματα, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον», καὶ πάλιν· «ἐξομολόγησις, φησί, καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ». ἐπὰν γὰρ οὕτω τὴν ἑαυτοῦ καρδίαν ἐργάσηταί τις, δίδωσιν αὐτῷ ἄνωθεν ὁ θεὸς ἔργον οὐράνιον ἐν τῇ ψυχῇ, ἔργον ζωῆς αἰώνιον τῆς θεότητος τοῦ πνεύματος. 54.4.5 Καλῶς τοίνυν, ὦ τέκνα, καὶ προσηκόντως καταλιπόντες πάντα τὰ πρόσκαιρα προσεληλύθατε τῷ θεῷ, καὶ ἀντὶ μὲν πατρὸς ἐπιγείου τὸν πατέρα τὸν οὐράνιον ἐπιζητεῖτε, ἀντὶ δὲ μητρὸς φθαρτῆς τὸ τοῦ θεοῦ ἀγαθὸν πνεῦμα καὶ Ἱερουσαλὴμ τὴν ἐπουράνιον μητέρα ἔχετε, ἀντὶ δὲ ἀδελφῶν ὧν κατελίπατε αὐτὸν τὸν κύριον τὸν καταξιώσαντα ἑαυτὸν ἀδελφὸν τῶν πιστῶν καὶ ἀξίων αὐτοῦ κληθῆναι, ἀντὶ δὲ συγγενῶν καὶ φίλων ὧν ἀφήκατε τοὺς ἁγίους ἀγγέλους καὶ τοὺς χοροὺς τῶν ἁγίων δυνάμεων εὑρίσκετε, ἀντὶ δὲ τῆς παρερχομένης γῆς ἧς ἀφήκατε γῆν τῆς ζωῆς καὶ τὴν αἰώνιον βασιλείαν κληρονομεῖτε»εὐαρεστήσω γὰρ τῷ κυρίῳ, φησίν, ἐν γῇ ζώντων», καὶ ὁ κύριος· «μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν», ἀντὶ δὲ κοινωνίας φθαρτῆς ἧς ἐμισήσατε ἔχετε τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος, καὶ ἀντὶ πάντων τούτων τῶν ἐπιγείων κτημάτων ὧν ἀφήκατε λαμβάνετε τὰ τῆς αἰωνίου καὶ ἀρρήτου ζωῆς κτή54.4.6 ματα τὰ διαπαντὸς εἰς αἰῶνα παραμένοντα. τὰ γὰρ κτήματα τῆς ὕλης ταύτης καὶ τὰ τῆς γῆς ἀγαθὰ ἔξωθέν εἰσι τοῦ ἀνθρώπου, ἐκεῖνα δὲ τὰ αἰώνια κτήματα καὶ τὰ ἀγαθὰ τὰ ἐξ οὐρανοῦ ἀπὸ τοῦ νῦν τοῖς πιστοῖς διδόμενα ἔνδοθεν τῇ ψυχῇ καὶ τῇ καρδίᾳ παρὰ θεοῦ τοῖς ἀξίοις δέδοται. αὕτη ἐστὶν ἡ αἰώνιος τοῦ ἁγίου πνεύματος παράκλησις ἐν τῇ ἀφθάρτῳ τῆς χάριτος κοινωνίᾳ. θησαυροὶ γάρ τινες σκότους καὶ θανάτου ἐκβάλλονται ἐκ τῆς ψυχῆς καὶ θησαυροὶ φωτὸς ζωῆς ἐντίθενται τοῖς ἀξίοις ἔνδοθεν. 54.5.1 Καλῶς τοίνυν καὶ ἁρμοζόντως ἐποιήσατε ταῦτα ῥίψαντες τὰ τῆς γῆς νομιζόμενα ἀγαθὰ καὶ τῷ θεῷ προσεληλύθατε, ὅπως κτήσησθε τὰ αἰώνια καὶ εἰς ἀεὶ παραμένοντα ἀγαθά. ψυχὴ γὰρ ἡ φιλόθεος, ἡ ὀρθῇ γνώσει καὶ ἀληθινῇ φρονήσει προσερχομένη Χριστῷ οὐδὲν ἑαυτῇ ὅλως ἀποδίδωσιν ἀγαθὸν ἴδιον ἢ ὥς τι πεποιηκυῖα καὶ καμοῦσα ἢ ὡς γινώσκουσά τι, κἂν τὰ τῆς γῆς ὅλα χρήματα διαδῷ τοῖς πένησι, κἂν νυκτὸς καὶ ἡμέρας ἐσταυρῶται πρὸς μόνον Χριστὸν ἀφορῶσα καὶ καταλιποῦσα πάσας τὰς τοῦ αἰῶνος τούτου ἀσχολίας καὶ δεσμοὺς καὶ περισπασμούς, κἂν ἐν νηστείαις πολλαῖς τὸ ἑαυτῆς σῶμα κατεδαπάνησεν ἢ εὐχαῖς καὶ ἀγρυπνίαις ἑαυτὴν ἀπέδωκε, κἂν ἐν πολλῇ γνώσει καὶ συνέσει τυγχάνῃ οὐδὲν ἑαυτὴν ἡγεῖται ἐπὶ θεοῦ καὶ ἀνθρώπων.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀλλὰ πάντα ἀποδίδωσι τῷ θεῷ, ὅτι αὐτοῦ πάντα τὰ ἀγαθὰ αὐτῆς ἐπιτηδεύματα τυγχάνειὥς φησιν ὁ Ἀβραὰμ γῆν καὶ σποδὸν εἶναι ἐνώπιον αὐτοῦκαὶ οὐκ ἐπὶ τοῖς ἔργοις αὐτῆς μέγα φρονεῖ καὶ ἑαυτὴν οὐκ οἴεται εἶναί τι. ἐξ ἀρχῆς γὰρ ταῦτα τὰ τῆς 54.5.2 ἀρετῆς ἐπιτηδεύματα καὶ τὰ τῆς γῆς κτήματα ἐδόθη τῷ Ἀδάμ. ἡ οὖν φιλόθεος ψυχὴ ἀποδίδωσι πάντα τῷ θεῷ ὡς αὐτοῦ κατευθύνοντος καὶ αὐτοῦ συνεργοῦντος, καὶ τότε ὁ θεὸς προσέχων τῇ ὑγιεῖ συνέσει καὶ ὀρθῇ γνώσει τῆς ψυχῆς πάλιν αὐτὸς ἐξ ἀληθείας πάντα ἀποδίδωσιν αὐτῇ καὶ ὡς αὐτῆς καμούσης καὶ αὐτῆς ἐργασαμένης τὸν μισθὸν ἀποδίδωσι. 54.5.3 Καὶ γὰρ εἰ βούλεται ὁ θεὸς κριθῆναι καὶ λόγον ποιῆσαι οὐδὲν εὑρίσκεται ἴδιον τοῦ ἀνθρώπου. τὰ γὰρ χρήματα καὶ πάντα τὰ ἐν τῷ κόσμῳ ἀγαθά, δι' ὧν εὐποιεῖ ἕκαστος τοῦ θεοῦ εἰσι. τίς ἐποίησε τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτῇ; τίς ἔκτισε τὸ σῶμα τοῦ ἀνθρώπου καὶ τὴν ψυχὴν τίς ἐποίησε; καὶ εἰ βούλεται, φύει ἡ γῆ καὶ εἰ οὐ βούλεται, οὐ φύει. καὶ εἰ βούλεται, ὑγιαίνεις, καὶ εἰ οὐ βούλεται, οὐχ ὑγιαίνεις. τί τοίνυν ἔχει ἴδιον ὁ ἄνθρωπος, ἵνα ἐπ' αὐτῷ δικαιωθῇ ἢ ἐπαρθῇ ἢ οἰηθῇ εἶναί τι; ἰδοὺ γὰρ πάντα ἐν τῇ τοῦ θεοῦ ἐξουσίᾳ ἐστί, καὶ πάντα λαβὼν ἔχει ὁ ἄνθρωπος καὶ πάντα χάριτι κέκτηται. αὐτὸ τὸ εἶναι αὐτὸν χάριτι ἔχει ἀλλὰ ταύτην χάριν λαμβάνει ὁ θεὸς μεγίστην παρὰ τοῦ ἀνθρώπου καὶ ἐν τούτῳ μεγάλως ἀναπαύεται, ἐν τῷ τὴν ψυχὴν ἐπιγνοῦσαν ἐν ἀληθινῇ συνέσει φρονήσεως καὶ ἀκριβεῖ γνώσει πίστεως καὶ καταμαθοῦσαν τὰ ὄντα ὡς ἔστι, πάντα ὅσα ποιεῖ καλὰ καὶ πάντα ὅσα κάμνει διὰ θεὸν καὶ πάντα ὅσα συνίησι καὶ γινώσκει αὐτῷ ἀνατίθεσθαι· καὶ αὐτῷ προσάπτειν καὶ ἑαυτὴν μηδὲν ὅλως ὑπολαμβάνειν ἀγαθὸν πεποιηκέναι ποτέ, ἀλλ' ἑαυτὴν καὶ τὰ ἑαυτῆς πάντα αὐτῷ 54.5.4 προσγράφειν. καὶ ὅταν ἴδῃ ὁ θεὸς τὴν οὕτω συνέσεως πλήρη ψυχὴν αὐτῷ πάντα ἀνατεθεικυῖαν καὶ χάριτι αὐτοῦ πάντα ἔχειν γνωρίσασαν, τότε δίδωσιν αὐτῇ ἐξ ἀληθείας πάντα τὰ αὐτῆς, ὅσαπερ ἐξ ἀρχῆς ἔδωκε. καὶ οὐ μόνον ταῦτα ἀλλὰ πρὸς τούτοις καὶ ἑαυτὸν καὶ τὰ αὐτοῦ πάντα αὐτῇ χαρίζεται καὶ λέγει αὐτῇ· ἰδοὺ καὶ ἡ γῆ σὴ καὶ τὰ ἐν τῇ γῇ σά, καὶ τὸ χρυσίον καὶ τὸ ἀργύριον σόν, καὶ τὸ σῶμά μου σόν, ἡ ψυχὴ καὶ ἡ γνῶσις καὶ ἡ σύνεσίς μου σήκαὶ ὅλως ἐγὼ καὶ τὰ ἐμὰ σά ἐστιν. εἰ δὲ καὶ οὐκ ἔχεις ἐν τῇ φύσει σου, δίδωμί σοι ἐμαυτὸν καὶ τὰ ἐμὰ πάντα. ἐπὰν γὰρ ὁ θεὸς αὐτῆς ἐστι, δῆλον ὅτι καὶ τὰ αὐτοῦ πάντα καὶ οἱ θησαυροὶ τῆς σοφίας οἱ ἀπόκρυφοι αὐτῆς εἰσι, ὥς φησιν ὁ ἀπόστολος· «πάντα ὑμῶν ἐστιν, εἴτε κόσμος, εἴτε ζωὴ εἴτε θάνατος, εἴτε ἄγγελοι εἴτε ἀρχαί, εἴτε ἐνεστῶτα εἴτε μέλλοντα». 54.5.5 Ὥσπερ γὰρ ἐὰν ᾖ γυνὴ εὐπρεπὴς καὶ λαμβάνῃ αὐτὴν ἀνήρ τις πλούσιος πρὸς ἰδίαν συμβίωσιν καὶ κοινωνίαν· κἀκείνη πάντα τὰ ἑαυτῆς αὐτῷ προσενέγκῃ, ὁμοίως κἀκεῖνος πάντα τὰ ἑαυτοῦ αὐτῇ δώσει, καὶ γίνεται αὐτοῖς εἷς οἶκος, μία οὐσία, μία ὑπόστασις. καὶ οὐ μόνον αὕτη τῶν αὐτοῦ κυριεύει, ἀλλὰ καὶ αὐτοῦ τοῦ σώματος καταξιοῦται. τὸ γὰρ σῶμα αὐτοῦ αὐτῆς ἐστιν· «ὁ γὰρ ἀνήρ, 54.5.6 φησί, τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή». οὕτως ἐστὶ καὶ παρὰ θεῷ ἀληθὴς καὶ ἀλάλητος κοινωνία τῆς ψυχῆς πρὸς κύριον, ὅπως κοινωνήσασα τῷ Χριστῷ γένηται αὐτῷ εἰς πνεῦμα, καὶ λοιπὸν τῶν ἀφράστων αὐτοῦ θησαυρῶν ἀνάγκη δέσποινα καθίσταται, ὅτι νύμφη ἐστὶ τοῦ μεγάλου βασιλέως Χριστοῦ. «θείας» γὰρ «κοινωνοὺς φύσεως» κατὰ τὴν γραφὴν ηὐδόκησεν ὁ κύριος τοὺς πιστοὺς αὐτοῦ γενέσθαι· φησὶ γάρ· «εἰς τὸ γενέσθαι ὑμᾶς θείας κοινωνοὺς φύσεως». Δόξα τῇ μεγαλότητι αὐτοῦ. 54.6.1 Πάλιν δὲ ἑτέρως ἀκουστέον περὶ τοῦ αὐτοῦ ὑποδείγματος. ὥσπερ ἐὰν ᾖ τις βασιλεύς, πλούσιος σφόδρα καὶ ἔνδοξος, εὐδοκήσῃ δὲ ἐπὶ πενιχρᾷ τινι καὶ μηδὲν κεκτημένῃ, εἰ μὴ μόνον τὸ ἴδιον αὐτῆς σῶμα, καὶ ταύτης ἐραστὴς γένηται καὶ βούληται αὐτὴν νύμφην καὶ σύνοικον ἑαυτῷ ἀγαγέσθαι· τὸ λοιπὸν αὕτη ἐὰν πᾶσαν εὔνοιαν ἐπιδείξηται ἐν τῷ τοῦ ἀνδρὸς αὐτῆς οἴκῳ καὶ τὴν διακονίαν εὐάρεστον αὐτῷ φυλάττειν σπουδάζῃ καὶ τὴν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πρὸς αὐτὸν ὀφειλομένην ἀγάπην ἀποσῴζῃ καθ' ὃν χρὴ τρόπον, ἰδοὺ ἡ πενιχρὰ καὶ ἐνδεὴς ἐκείνη πάντων δέσποινα τυγχάνει τῶν τοῦ ἑαυτῆς ἀνδρὸς ὑπαρχόντων. τῇ γὰρ σωφροσύνῃ αὐτῆς καὶ τῇ διακονίᾳ τῇ προσηκόντως παρ' αὐτῆς ἐπιτελουμένῃ αὐτῷ καὶ τῇ πρὸς αὐτὸν ὁλοκλήρῳ καὶ ὁλοτελεῖ ἀγάπῃ ἀρκεῖται μόνον. εἰ δέ τι παρὰ τὸ δέον καὶ ὀφειλόμενον αὐτὴ πράττοι καὶ μὴ χρησίμως μηδὲ ἁρμοζόντως ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἀναστρέφεται καὶ τὴν ὀφειλομένην πᾶσαν ἀγάπην μὴ ἀποδίδωσι τῷ ἑαυτῆς ἀνδρί, τότε μετὰ ἀτιμίας καὶ ὕβρεως ἐκβάλλεται καὶ τὰς δύο χεῖρας ἐπὶ τῆς κεφαλῆς αὐτῆς ἐπιθεῖσα καθάπερ καὶ ἐν τῷ νόμῳ Μωϋσῇ αἰνίττεται περὶ γυναικὸς ἀνυποτάκτου καὶ μὴ χρησιμευούσης τῷ ἰδίῳ αὐτῆς ἀνδρί. τότε ὀδύνην καὶ πένθος μέγιστον κτᾶται, λογιζομένη ἐξ οἵου πλούτου πέπτωκε καὶ 54.6.2 οἵας δόξης ἐκτὸς γέγονεν ἀτιμωθεῖσα διὰ τὴν ἀφροσύνην αὐτῆς. οὕτω καὶ ἡ ψυχή, ἐπὰν αὐτὴν μνηστεύσηται νύμφην ἑαυτῷ ὁ ἐπουράνιος νυμφίος Χριστός, πρὸς τὴν αὐτοῦ μυστικὴν καὶ θείαν κοινωνίαν πρὸς τὸ ἐν μετοχῇ τοῦ ἰδίου πνεύματος αὐτὴν ἀξιωθῆναι γενέσθαι καὶ ἐπουρανίου πλούτου μυηθῆναι ἀπὸ τῆς πενίας τῆς ὑστερήσεως αὐτῆς ἐν πάσῃ σωφροσύνῃ συνέσεως καὶ πολλῇ σπουδῇ γνώσεως ἀρέσκειν ὀφείλει τῷ ἑαυτῆς μνηστῆρι Χριστῷ καὶ τὴν τοῦ ἀνδρὸς διακονίαν, ἣν ἐμπεπίστευται ἐπιτελεῖν, τοῦ ἀρέσκειν θεῷ ἐν πᾶσι, τὸ δὲ πνεῦμα ἐν μηδενὶ λυπεῖν καὶ μηδὲν ὅλως ἐν μηδενὶ καταφρονεῖν καὶ τὴν καλὴν σωφροσύνην καὶ ἀγάπην πρὸς αὐτὸν φυλάττειν καὶ ἐν τῷ οἴκῳ τοῦ βασιλέως τοῦ ἐπουρανίου ἀναστρέφεσθαι ἐν πάσῃ εὐνοίᾳ διὰ τῆς δεδομένης χάριτος ἀνυστερήτως καὶ ἀνελλιπῶς καθὰ πρέπει. καὶ ἰδοὺ ἡ τοιαύτη ψυχὴ πάντων τῶν τοῦ θεοῦ ἀγαθῶν καὶ ἀρρήτων θησαυρῶν δέσποινα καθίσταται, καὶ αὐτὸ τὸ σῶμα τὸ ἔνδοξον τῆς θεότητος αὐτοῦ αὐτῆς τυγχάνει. εἰ δὲ παρὰ τὸ δέον τι πράττει καὶ σφάλλει ἐν τῇ πνευματικῇ τῆς πρὸς τὸν θεὸν εὐαρεστήσεως διακονίᾳ καὶ τὰ ἀρεστὰ αὐτῷ οὐ πράττει καὶ τῷ θελήματι αὐτοῦ οὐκ ἀκολουθεῖ οὔτε σύνεργος τῇ συνούσῃ χάριτι τοῦ πνεύματος γίνεται, τότε μεθ' ὕβρεως ἀπρεποῦς ἀφορίζεται καὶ ἀτιμάζεται τῆς ζωῆς, ὡς ἀχρεία καὶ ἄφρων καὶ ἀν54.6.3 επιτήδειος τῆς τοῦ ἐπουρανίου κοινωνίας βασιλέως. καὶ λοιπὸν ἐκείνη ἡ ψυχὴ λύπῃ καὶ ὀδύνῃ σφόδρα καὶ κλαυθμὸς πᾶσι τοῖς ἁγίοις καὶ νοεροῖς πνεύμασι τυγχάνει. ἄγγελοι, δυνάμεις, ἀπόστολοι, προφῆται κλαίουσιν ἐπ' αὐτῇ σφοδρῶς. ὥσπερ γὰρ χαρὰ γίνεται ἐν τῷ οὐρανῷ, ὥς φησιν ὁ κύριος «ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι», οὕτω λύπη πολλὴ καὶ πένθος μέγα καὶ κλαυθμὸς ἐν οὐρανῷ γίνεται ἐπὶ μιᾷ ψυχῇ ἀποπιπτούσῃ τῆς αἰωνίου ζωῆς. καὶ ὥσπερ ἐν τῷ βίῳ τούτῳ ἐπάν τις πλούσιος ἀνὴρ ἀποθάνῃ μετὰ μελωδιῶν θρῆνος καὶ κοπετὸς πολὺς ἐπ' αὐτῷ ὑπὸ τῶν ἰδίων ἀδελφῶν καὶ συγγενῶν καὶ φίλων γίνεται, οὕτω καὶ ἐπὶ τῇ ψυχῇ ἐκείνῃ μετὰ θρήνων πάντες οἱ ἅγιοι δεινῶς ἐπ' αὐτὴν πενθοῦσιν. 54.6.4 Ὥσπερ γὰρ ὁ Ἰσραὴλ ἐπὰν ηὐχαρίστει καὶ εὐηρέστει τῷ θεῷ, κἂν οὐδέποτε ηὐχαρίστησε καθ' ὃν ἔδει τρόπονὅμως ὅτε ἐδόκει ὑγιᾶ πρὸς αὐτὸν ἔχειν τὴν πίστιν, ἰδοὺ στύλος νεφέλης ἐπισκιάζων καὶ στύλος πυρὸς καταυγάζων αὐτούς, θάλασσα σχιζομένη ἔμπροσθεν αὐτῶν, μάννα ἐξ οὐρανοῦ ὀμβρούμενον, ὕδωρ ἐκ πέτρας δι' αὐτοὺς ἐξερχόμενον. ἔτι δὲ καὶ ἀπὸ ἐχθρῶν ἐπιβουλῆς ἐφυ54.6.5 λάσσοντο καὶ ἄλλα μυρία ἅπερ ὁ θεὸς παρεῖχεν αὐτοῖς εὐεργετήματα. ἐπὰν δὲ ἐστρέφετο αὐτῶν ὁ νοῦς καὶ ἡ προαίρεσις ἀπὸ τοῦ θεοῦ καὶ ἀπὸ τῆς πρὸς αὐτὸν εὐνοίας τότε ὄφεσι παρεδίδοντο καὶ τοῖς ἐχθροῖς αὐτῶν παρεχωροῦντο, ἐν αἰχμαλωσίαις ἀπαγόμενοι καὶ δουλείαις πικραῖς καταδουλούμενοι, ὥς φησι καὶ ἐν τῷ προφήτῃ Ἰεζεκιὴλ περὶ τῆς τοιαύτης ψυχῆς μυστικῶς ἐμφαῖνον τὸ πνεῦμα ὡς περὶ Ἱερουσαλήμ· «εὗρόν σε ἐν τῇ ἐρήμῳ γυμνὴν καὶ ἔπλυνά σε ἐκ τοῦ αἵματος τῆς ἀκαθαρσίας σου καὶ ἐνέδυσά σε ἔνδυμα ἐμὸν καὶ ψέλλια περιέθηκα ἐπὶ τὰς χεῖράς σου καὶ περίθεμα περὶ τὸν τράχηλόν σου καὶ ἐνώτια ἐν τοῖς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὠσί σου καὶ βηρύλλιον ἐπὶ τῷ μετώπῳ σου καὶ ἐγένου ὀνομαστὴ ἐν πᾶσιν ἔθνεσι. σεμίδαλιν καὶ μέλι καὶ ἔλαιον ἔφαγες καὶ ὕστερον ἐπελάθου τὰς εὐεργεσίας μου καὶ ἀπῆλθες ὀπίσω τῶν ἐραστῶν σου καὶ ἐπόρνευσας ἐν τῇ ἰσχύι σου» καὶ ἐπὰν ἐσφάλλετο ὁ Ἰσραήλ, τότε τοῖς ἐχθροῖς αὐτῶν παρεδί54.6.6 δοντο. ταῦτα δὲ ἐπὶ ψυχῇ μυστικῶς αἰνίττεται τὸ πνεῦμα τῇ διὰ τῆς χάριτος ἐπιγνούσῃ καὶ καθαρθείσῃ ἀπὸ ῥυπῶν πολλῶν πρότερον καὶ διὰ τῶν τοῦ ἁγίου πνεύματος κοσμίων κοσμηθείσῃ καὶ ἀμφίον οὐρανίου δυνάμεως ἀμφιασθείσῃ καὶ θείων καὶ ἐπουρανίων τροφῶν μεταλαβούσῃ, μὴ φρονησάσῃ δὲ ἐν πολλῇ συνέσει θείας γνώσεως καὶ μὴ δεόντως ἐν τῇ πνευματικῇ τῆς εὐαρεστήσεως τῶν ἐντολῶν διακονίᾳ ἀναστραφείσῃ καὶ ἁρμοζόντως τὴν ὀφειλομένην τῷ ἐπουρανίῳ ἀνδρὶ Χριστῷ εὔνοιαν καὶ ἀγάπην καὶ σωφροσύνην μὴ διατηρησαμένῃ, καὶ εἶθ' οὕτως ὕστερον ἀπορριφείσῃ καὶ ἐκβληθείσῃ τῆς ζωῆς, ἧς μέτοχος ἐγεγόνει. δύναται γὰρ ὁ σατανᾶς καὶ κατὰ τῶν φθασάντων εἰς τοιαῦτα μέτρα ἐπαίρεσθαι καὶ ὑψοῦσθαι. «λογισμούς, γάρ φησιν, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ». ὁρᾷς ὅτι καὶ κατὰ τῶν τὸν θεὸν ἐν χάριτι καὶ δυνάμει ἐπιγνόντων· ἀκμὴν ἡ κακία ἐπαίρεται καὶ ἀγωνίζεται 54.6.7 καταρράξαι. ἀγωνιστέον τοίνυν καὶ φυλακτέον πάσῃ συνέσεως φυλακῇ ἀεὶ «μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθαι», καθὼς γέγραπται, μάλιστα ὅσοι τοῦ Χριστοῦ πνεύματος γεγόνατε μέτοχοι, ἐν μηδενὶ πράγματι μήτε ἐν μικρῷ μήτε ἐν μεγάλῳ καταφρονητικῶς ἔχειν καὶ τὴν χάριν τοῦ πνεύματος ἐνυβρίζειν, ἵνα μὴ τῆς ζωῆς ἐκτὸς γένησθε, ἧς μέτοχοι ἤδη γεγόνατε. 54.7.1 Καὶ πάλιν ἐν ἑτέρῳ προσώπῳ ὑποδείγματος τὸ αὐτὸ νόημα ἐροῦμεν. ὥσπερ δοῦλος ἐὰν εἰσέλθῃ ἐν παλατίῳ ὑπηρετῆσαι βασιλεῖ, τὰ σκεύη ἀπὸ τῶν βασιλέως ὑπαρχόντων λαμβάνει, αὐτὸς δὲ γυμνὸς εἰσέρχεται καὶ ἐν τοῖς ἰδίοις τοῦ βασιλέως σκεύεσιν ὑπηρετεῖ τῷ βασιλεῖ· καὶ λοιπὸν ἐκεῖ πολλῆς συνέσεως καὶ γνώσεως καὶ σοφίας χρεία, ἵνα μή τι παρὰ τὸ δέον καὶ ἁρμόζον διακονήσῃ ἢ ἄλλα ἀντὶ ἄλλων παραθήσει ἐν τῇ τοῦ βασιλέως τραπέζῃ, ἀλλὰ καθάπερ χρὴ τὰ πρῶτα σιτία πρότερον καὶ τὰ τελευταῖα ὕστερον ἔμπροσθεν αὐτοῦ διακονήσῃ. εἰ δέ τις σφαλῇ διακονίᾳ κατὰ πολλὴν ἄγνοιαν καὶ ἀδιακρισίαν καὶ συνέσεως ὑστέρησιν καὶ μὴ καθάπερ χρὴ ἁρμοζόντως πάντα καθεξῆς διακονήσῃ τῷ βασιλεῖ, κινδυνεύει καὶ θανάτου ἔνοχος τυγχάνει, μετὰ πάσης ἀτιμίας ἐκβαλλόμενος καὶ ἀφοριζόμενος τῆς βασιλικῆς τραπέζηςὥς φησι καὶ ὁ μέγας ἀπόστολος Παῦλος· «μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι». ὁρᾷς φόβον καὶ μέριμναν οἵαν εἶχεν ὁ τοῦ θεοῦ ἄνθρωπος. οὕτω καὶ ψυχῇ τῇ ἐν τῇ χάριτι καὶ τῷ πνεύματι διακονούσῃ τῷ Χριστῷ πολλῆς συνέσεως καὶ διακρίσεως καὶ γνώσεως χρεία, ὅπως τοῖς ἰδίοις τοῦ θεοῦ σκεύεσι (τουτέστι τῷ πνεύματι αὐτοῦ) ὑπηρετοῦσα αὐτῷ μὴ σφαλῇ τι ἐν τῇ τῆς χάριτος διακονίᾳ, 54.7.2 τῇ ἰδίᾳ προαιρέσει μὴ συμφωνοῦσα τῇ χάριτι. ἔστι γάρ τις μυστικὴ τοῦ πνεύματος διακονία κρυπτῶς ὑπὸ τοῦ ἔσω ἀνθρώπου ἐπιτελουμένη τῷ θεῷ· ἐν τοῖς ἰδίοις γὰρ σκεύεσι (τουτέστι τῷ πνεύματι αὐτοῦ) διακονεῖται ὑπὸ τῆς ψυχῆς ὁ θεός. ἄνευ δὲ τῶν αὐτοῦ σκευῶν τῆς χάριτος τοῦ πνεύματος ἀδύνατόν 54.7.3 τινα διακονῆσαι τῷ θεῷ. καὶ ὅτε τῆς χάριτος καταξιωθῇ, τότε πολλῆς συνέσεως καὶ γνώσεως καὶ διακρίσεως χρεία, ἅπερ καὶ ταῦτα αὐτὸς δίδωσι ζητούσης αὐτῆς παρὰ τῷ θεῷ, ὅπως τις εὐαρέστως αὐτῷ διακονήσῃ τῷ πνεύματι, ᾧ καταξιωθῇ λαβεῖν παρὰ θεοῦ, καὶ ἐν μηδενὶ κλαπῇ ὑπὸ κακίας καὶ σφαλῇ ὑπὸ ἀγνωσίας καὶ ὑπὸ ἀφοβίας καὶ ὑπὸ ἀμελείας παρατραπῇ, καὶ παρὰ τὸ δέον τοῦ δεσποτικοῦ θελήματος πράττῃ, ἐπεὶ τιμωρία καὶ θάνατος καὶ πένθος τῇ τοιαύτῃ ψυχῇ κατεργάζεται. 54.7.4 Παρακαλέσωμεν οὖν τὸν θεὸν μετὰ πάσης πίστεως τὴν διακονίαν τοῦ πνεύματος κατὰ τὸ αὐτοῦ θέλημα ἐπιτελεῖν ἐξαιρέτως, ὅσοι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τῆς χάριτος τοῦ θεοῦ κατηξιώθητε, καὶ μὴ τῇ καταφρονητικῇ ἐννοίᾳ συζῆν καὶ συντρέφεσθαι, ἵνα οὕτως εὐαρέστως αὐτῷ πολιτευσάμενοι καὶ πνευματικῇ λατρείᾳ κατὰ τὸ βούλημα αὐτοῦ λατρεύσαντες ἀμώμως εἰς αἰῶνας σὺν αὐτῷ τὴν ζωὴν κληρονομήσωμεν τὴν αἰώνιον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

55.τ.1 ΛΟΓΟΣ ΝΕ΄.

55.1.1 Ὁ βουλόμενος θεῷ εὐαρεστῆσαι καὶ συγκληρονόμος Χριστοῦ πιστεύων γενέσθαι καὶ μιμητὴς τοῦ κυρίου σπουδάζων εἶναι, ἵνα καὶ αὐτὸς υἱὸς θεοῦ προσαγορευθῇ ἐκ πνεύματος, πρὸ πάντων τῆς μακροθυμίας καὶ ὑπομονῆς δραξάμενος, ὀφείλει τὰς ἀπαντῶσας θλίψεις διαφόρους, στενοχωρίας τε καὶ ἀνάγκας, γενναίως ὑποφέρειν ἤτοι σωματικὰς νόσους καὶ πάθη ἤτοι ὀνειδισμοὺς ἀνθρώπων καὶ ὕβρεις ἤτοι ἀοράτους θλίψεις διαφόρους ἐπαγομένας τῇ ψυχῇ ὑπὸ τῶν πονηρῶν πνευμάτων πρὸς τὸ ἐμποδίσαι αὐτῇ εἰς τὴν βασιλείαν ἀπελθεῖν εἰς χαύνωσιν καὶ ὀλιγωρίαν καὶ ἀνυπομονησίαν ἄγειν βουλομένων, κατ' οἰκονομίαν τοῦ κυρίου παραχωροῦντος ἑκάστην ψυχὴν δοκιμασθῆναι ἐν διαφόροις θλίψεσιν, ἵνα φανερωθῶσιν αἱ ἐξ ὅλης καρδίας ἀγαπῶσαι ψυχαὶ τὸν κύριον, πάντα τὰ ἐπιφερόμενα ὑπὸ τοῦ πονηροῦ γενναίως ὑπομένουσαι καὶ τῆς ἐλπίδος κυρίου μὴ ἀφιστάμεναι, ἀλλὰ πάντοτε τὴν λύτρωσιν τῆς χάριτος ἐν πίστει καὶ ὑπομονῇ πολλῇ ἐκδεχόμεναι, διὸ καὶ ἐξελθεῖν δυνήσονται πάντα πειρασμόν· καὶ οὕτω τῆς ἐπαγγελίας τοῦ πνεύματος ἐπιτυγχάνουσαι ἄξιαι τῆς βασιλείας καθίσταν55.1.2 ται. ὀφείλει οὖν ἡ ψυχὴ ἡ τῷ λόγῳ τοῦ κυρίου ἐξακολουθοῦσα τὸν σταυρὸν τοῦ κυρίου αἴρειν μετὰ χαρᾶς, ὡς γέγραπται, ἑτοίμως ἔχουσα πάντα ὑπομένειν διὰ τὸν κύριον ἐπερχόμενον πειρασμὸν ἤτοι κρυπτὸν ἤτοι φανερόν, καὶ εἰς τὸν κύριον ἀποκρέμασθαι τὴν ἐλπίδα πάντοτε, ὅτι ἐξουσία αὐτοῦ ἐστι καὶ τὸ θλιβῆναι τὴν ψυχὴν παραχωρουμένην ὑπ' αὐτοῦ καὶ τὸ ἀπολυτρωθῆναι παν55.1.3 τὸς πειρασμοῦ καὶ θλίψεως δι' αὐτοῦ. εἰ δὲ μὴ ἀνδρίζεται καὶ γενναίως φέρει ὑπομένουσα πᾶσαν θλῖψιν, ἀλλὰ λυπεῖται καὶ ἀκηδιᾷ καὶ ἄχθεται καὶ στενοχωρεῖται καὶ ὀλιγωρεῖ τοῦ ἀγῶνος καὶ ἀπελπίζει ὡς μηκέτι λυτρουμένη (ὅπερ καὶ τοῦτο τῆς κακίας ἐστὶ τέχνη εἰς ἀκηδίαν καὶ ὀλιγωρίαν τὴν ψυχὴν ἐμβάλλουσα) καὶ τῆς ἐλπίδος ἐγκρατὴς μὴ γένηται ἀπεκδεχομένη πάντοτε τὸ ἔλεος τοῦ κυρίου ἐν πίστει ἀδιστάκτῳ, τέκνον τῆς ζωῆς ἡ τοιαύτη ψυχὴ οὐ γίνεται, ἐπειδὴ ἀκόλουθος πάντων τῶν ἁγίων οὐ γέγονεν οὐδὲ τοῖς ἴχνεσιν τοῦ 55.1.4 κυρίου περιεπάτησεν. κατανόησον γὰρ καὶ ἴδε πῶς ἐξ ἀρχῆς οἱ πατέρες, πατριάρχαι τε καὶ προφῆται, ἀπόστολοι καὶ μάρτυρες, διὰ τῆς στενῆς ὁδοῦ τῶν θλίψεων καὶ πειρασμῶν διῆλθον καὶ οὕτως ἠδυνήθησαν εὐαρεστῆσαι τῷ θεῷ ὑπομείναντες πάντα πειρασμὸν καὶ θλῖψιν γενναίως καὶ ἐν ταῖς στενοχωρίαις καὶ κακουχίαις ἥδοντο διὰ τὴν προσδοκωμένην τῆς μισθαποδοσίας ἐλπίδα, ὥς φησιν ἡ γραφή· «τέκνον, ἐὰν προσέρχῃ δουλεύειν τῷ θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· βάθυνον τὴν καρδίαν σου καὶ καρτέρει», καὶ ὁ ἀπόστολος· «εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί», καὶ ἀλλαχοῦ· «τὰ ἐπιφερόμενά σοι πάντα ὡς ἀγαθὰ πρόσ55.1.5 δεξαι, εἰδὼς, ὅτι ἄτερ θεοῦ οὐδὲν γίνεται». καὶ ὁ κύριος λέγει· «μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς», καὶ τό· «μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν», δεδιωγμένοι δὲ ἤτοι φανερῶς ὑπὸ ἀν55.1.6 θρώπων ἢ κρυπτῶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὑπὸ τῶν πνευμάτων «τῆς πονηρίας». ἀνταγωνίζονται γὰρ τῇ τὸν θεὸν ζητούσῃ ψυχῇ καὶ θλίψεις διαφόρους βάλλουσι πρὸς τὸ ἐμποδίσαι αὐτῇ εἰς τὴν αἰώνιον ζωήν, ἅμα δὲ καὶ ἵνα δοκιμασθεῖσα φανερωθῇ, εἰ κατὰ ἀλήθειαν ἀγαπᾷ τὸν θεὸν ἐν τῷ ὑπομένειν πᾶσαν θλῖψιν καὶ εἰ τὴν ἐλπίδα εἰς τέλος κρατήσει λύτρωσιν ἐν πίστει ἀδιστάκτῳ ἐκδεχομένη ἢ πάλιν μὴ ὑπομείνασα, ἀλλ' ὑποστείλασα εἰς τὰς θλίψεις καὶ ἀκηδιῶσα ἢ ὀλιγωροῦσα καὶ τῆς 55.1.7 ἐλπίδος ἐλαττουμένη, ἀποδειχθῇ μὴ ἀγαπῶσα τὸν θεὸν ἐν ἀληθείᾳ. αἱ 55.1.7 γὰρ διάφοροι θλίψεις καὶ οἱ πειρασμοὶ δεικνύουσι τὰς ἀναξίας καὶ ἀξίας ψυχάς, τὰς ἐχούσας πίστιν καὶ ἐλπίδα καὶ ὑπομονὴν καὶ τὰς μὴ ἐχούσας, ἵνα ἐν πᾶσιν ἀποδειχθεῖσαι δόκιμοι καὶ πισταὶ αἱ ἄξιαι ψυχαὶ ἕως τέλους ὑπομείνασαι καὶ τὴν ἐλπίδα βεβαίως κρατήσασαι καὶ οὕτω τὴν ἀπολύτρωσιν δεξάμεναι διὰ τῆς χάριτος δικαίως τῆς βασιλείας κληρονόμοι γένωνται, τὴν ὑπομονὴν τοίνυν καὶ τὴν ἐλπίδα ἑκάστη ψυχὴ βουλομένη εὐαρεστῆσαι θεῷ πρὸ παντὸς κρατείτω καὶ οὕτω δυνήσεται διεξελθεῖν πᾶσαν ἐπανάστασιν καὶ θλῖψιν τοῦ πονηροῦ. 55.2.1 Οὐδὲ γὰρ τοσοῦτον παραχωρεῖ ὁ θεὸς ψυχὴν ἐπ' αὐτὸν ἐλπίζουσαν καὶ αὐτὸν ὑπομένουσαν πειρασθῆναι, ὥστε καὶ ἐξαπορηθῆναι καὶ παραδοθῆναι εἰς πειρασμοὺς καὶ θλίψεις, ἃς οὐ δύναται ὑπενέγκειν, καθὼς ὁ ἀπόστολός φησιν· «πιστὸς ὁ θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ 55.2.2 ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενέγκειν». οὐδὲ γὰρ ὅσον βούλεται ὁ πονηρὸς πειράζει καὶ θλίβει τὴν ψυχήν, ἀλλ' ὅσον παραχωρεῖται αὐτῷ ὑπὸ τοῦ θεοῦ, μόνον ἡ ψυχὴ γενναίως κρατείτω τὴν ἐλπίδα καὶ ἐν πίστει ἐκδεχέσθω τὴν παρ' αὐτοῦ βοήθειαν καὶ ἀντίληψιν. καὶ ἀμήχανον αὐτὴν ἐγκαταλειφθῆναι, ὅσον γὰρ ἀγωνίζεται διὰ πίστεως καὶ ἐλπίδος προσφεύγουσα τῷ θεῷ καὶ τὴν παρ' αὐτοῦ βοήθειαν ἐκδεχομένη, τοσοῦτον 55.2.3 ταχύτερον λυτροῦται αὐτὴν ὁ κύριος πάσης περιεχούσης θλίψεως. οἶδε γὰρ αὐτὸς πόσον ὀφείλει εἰς δοκιμασίαν καὶ παιδείαν καὶ πειρασμοὺς εἰσελθεῖν ἡ ψυχὴ καὶ τοσοῦτον παραχωρεῖ, μόνον αὐτὴ τῆς ὑπομονῆς καὶ ἐλπίδος ἐγκρατὴς γενέσθω εἰς τέλος καὶ οὐ μὴ καταισχυνθῇ, καθὼς εἴρηται· «ἡ θλῖψις (γὰρ) ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα· 55.2.4 ἡ δὲ ἐλπὶς οὐ καταισχύνει» καὶ πάλιν· «ὡς θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις» καὶ τὰ ἑξῆς. καὶ ὁ κύριός φησιν· «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται» καὶ· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν» καὶ ἀλλαχοῦ λέγει· «τίς ἐπίστευσε τῷ κυρίῳ καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς 55.2.5 ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν;» εἰ γὰρ ὀλίγης συνέσεως καὶ νοὸς μετέχοντες ἄνθρωποι ἐπίστανται δοκιμάζειν καὶ διακρίνειν, πόσον βάρος καὶ γόμον ἕκαστον τῶν ζῴων βαστάσαι δύναται, οἷον ἡμιόνος ἢ ὄνος ἢ κάμηλος, καὶ τοσοῦτον ἐπιφορτίζουσι κατὰ τὴν δύναμιν τοῦ ζῴου· καὶ ὁ κεραμεὺς πλάσας τὰ σκεύη, εἰ μὴ ἐν τῇ καμίνῳ αὐτὰ βάλῃ, ἵνα πυρωθέντα στερεωθῇ, ἐπιτήδεια εἰς χρῆσιν ἀνθρώποις οὐ ποιεῖ, ἐπίσταται δὲ πόσον ἐν τῷ πυρὶ χρὴ αὐτὰ ἐαθῆναι, ἕως οὗ χρήσιμα γένηται, καὶ οὔτε ὑπὲρ τὸ δέον ἀφίησιν αὐτὰ ἐν τῇ καμίνῳ, ἵνα μὴ διαρραγέντα καταφθαρῇ, οὔτε δὲ πάλιν 55.2.6 ἐλλείπει, ἵνα μὴ ἀποίητα καὶ ἄχρηστα ᾖ̣εἰ οὖν ἐπὶ τῶν φαινομένων τοσαύτην διάκρισιν καὶ γνῶσιν οἱ ἄνθρωποι κέκτηνται, πόσῳ μᾶλλον ὁ θεός, ὢν ἀκατάληπτος καὶ ἄφραστος γνῶσις καὶ σύνεσις καὶ ὅλος σοφία ὑπάρχων, ἐπίσταται πόσων δοκιμασιῶν καὶ θλίψεων καὶ πειρασμῶν χρῄζουσιν ψυχαὶ αἱ αὐτῷ εὐαρεστεῖν θέλουσαι καὶ τῆς αἰωνίου ζωῆς τυχεῖν ἐπιποθοῦσαι. καὶ οὕτως ὑπομένουσαι γενναίως καὶ πιστῶς ἐν ἐλπίδι πᾶσαν θλῖψιν μέχρι τέλους τότε δόκιμοι καὶ ἐπιτήδειοι τῇ βασιλείᾳ τῶν οὐρανῶν καθίστανται. 55.2.7 ὥσπερ γὰρ τὸ εἶδος τῆς καννάβεως οὐ χρησιμεύει εἰς τὸ γενέσθαι ἐξ αὐτοῦ νήματα λεπτότατα, ἐὰν μὴ πολλὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κοπανισθῇ, καὶ ὅσῳ βασανίζεται τοσούτῳ καθαρώτερον καὶ ἐπιτηδειότερον γίνεται, οὕτω καὶ ἡ ψυχὴ ἡ φιλόθεος εἰς πολλὰς δοκιμασίας καὶ πειρασμοὺς καὶ θλίψεις εἰσερχομένη καὶ ὑπομένουσα γενναίως καθαρωτέρα καὶ χρησιμωτέρα εἰς τὴν πνευματικὴν τῆς λεπτότητος ἐργασίαν καθίσταται καὶ τέλος τὸν ἐπουράνιον τῆς βασιλείας χῶρον κατ55.2.8 αξιοῦται κληρονομεῖν. ὥσπερ γὰρ τὸ νεόπλαστον σκεῦος μὴ ἐν πυρὶ βληθὲν ἀνεπιτήδειόν ἐστιν εἰς χρῆσιν ἀνθρώποις, ἢ ὥσπερ νήπιον βρέφος ὂν ἀνεπιτήδειον πρὸς τὰ τοῦ κόσμου ἔργα τυγχάνει, οὔτε γὰρ πόλεις οἰκοδομεῖ, οὐ φυτεῦσαι δύναται, οὐ σπόρον καταθέσθαι, οὐδὲ ἕτερόν τι τοῦ κόσμου ἐπιτελεῖν ἔργον (νήπιον γάρ ἐστιν), οὕτω καὶ ψυχαὶ εἰ καὶ χάριτος θείας μέτοχοι γεγόνασι τροποφορούμεναι ἐν τῇ γλυκύτητι καὶ ἀναπαύσει τοῦ πνεύματος διὰ τὴν νηπιότητα αὐτῶν τῇ τοῦ κυρίου χρηστότητι; μήπω δὲ δοκιμασθεῖσαι καὶ πειρασθεῖσαι ἐν διαφόροις θλίψεσιν ὑπὸ τῶν πονηρῶν πνευμάτων, δι' ὧν δείκνυνται, ἀκμὴν νήπιαι τυγχάνουσι καὶ (ἵν' οὕτως εἴπω) οὐδέπω χρησιμεύουσι τῇ βασιλείᾳ ἔτι ἀγύμναστοι οὖσαι ὡς εἴρηται· «εἰ δὲ χωρίς ἐστε παιδείας, 55.2.9 ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἔστε καὶ οὐχ υἱοί». ὥστε αἱ θλίψεις καὶ οἱ πειρασμοὶ εἰς συμφέρον εἰσὶ τῶν ἀνθρώπων καὶ δόκιμον καὶ στερρὰν τὴν ψυχὴν ἀπεργάζονται, ἐὰν γενναίως καὶ προθύμως ἐν πεποιθήσει καὶ ἐλπίδι θεοῦ ὑπομένῃ τὰ ἐπιφερόμενα, ἀπεκδεχομένη ἐν πίστει ἀδιστάκτῳ τὴν ἀπὸ κυρίου λύτρωσιν καὶ τὸ ἔλεος αὐτοῦ. καὶ ἀδύνατον ἀποτυχεῖν αὐτὴν τῆς ἐπαγγελίας τοῦ πνεύματος καὶ τῆς ἀπολυτρώσεως τῶν τῆς κακίας παθῶν, ὡς δόκιμον καὶ πιστὴν τὴν εἰς τὸν κύριον ἐλπίδα ἕως τέλους ἐν ὑπομονῇ πολλῇ κρατήσασαν. 55.3.1 Ὥσπερ γὰρ οἱ ἅγιοι μάρτυρες εἰς τὸ φαινόμενον πολλὰς βασάνους ὑπέμειναν καὶ ἕως θανάτου ἐλθόντες διὰ τὴν εἰς τὸν κύριον ἐλπίδα ἐνέμειναν τῇ καλῇ ὁμολογίᾳ καὶ οὕτω δόκιμοι ἀποδειχθέντες τοῦ στεφάνου τῆς δικαιοσύνης τυχεῖν κατηξιώθησαν, οἱ δὲ πλείονας καὶ χαλεπωτέρας βασάνους ὑπενέγ55.3.2 κοντες πλείονα δόξαν καὶ παρρησίαν ἐπὶ θεοῦ ἐκτήσαντο. ὅσοι δὲ ὑπεστάλησαν τὰς θλίψεις καὶ μάστιγας δεδοικότες μὴ ἐμμείναντες τῇ καλῇ ὁμολογίᾳ εἰς τέλος ἀπαρρησίαστοι καὶ κατησχυμμένοι καὶ ἐνταῦθα καὶ ἐν ἡμέρᾳ κρίσεως ἀποδείκνυνταιτὸν αὐτὸν τρόπον καὶ ψυχαὶ εἰς θλίψεις παραδιδόμεναι, ἵνα δοκιμασθῶσι, καὶ ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων ἀοράτως καὶ διαφόρως βασανιζόμεναι, ἢ κρυπτῶς ἔνδοθεν πόνοις θλίψεων ἢ λογισμοῖς πονηροῖς ἢ καὶ φανερῶς διὰ σωματικῶν παθῶν, ὑπομένουσαι δὲ γενναίως καὶ τὴν ἐλπίδα κρατοῦσαι καὶ τὴν μισθαποδοσίαν τοῦ κυρίου ἐν πίστει ἐκδεχόμεναι τοῦ αὐτοῦ στεφάνου τῆς δικαιοσύνης καταξιοῦνται, τὴν ἀπολύτρωσιν ἐντεῦθεν δεχόμεναι καὶ τὴν αὐτὴν παρρησίαν τῶν μαρτύρων ἐπὶ θεοῦ ἐν ἡμέρᾳ 55.3.3 κρίσεως εὑρίσκουσιν. τὸ γὰρ αὐτὸ μαρτύριον τῶν θλίψεων ὑπέμειναν, καὶ ὅπερ ἐκεῖνοι δι' ἀνθρώπων, οὗτοι δι' αὐτῶν τῶν πνευμάτων τῆς πονηρίας, καὶ ὅσῳ πλείονας θλίψεις καὶ ἐπαναστάσεις τοῦ πονηροῦ ὑπομένουσι καὶ τῆς ἐλπίδος εἰς τέλος κρατήσουσι, τοσούτῳ πλείονα δόξαν ἐπὶ θεοῦ πορίζονται καὶ ἐντεῦθεν λυτροῦνται κατὰ τὴν προσδοκίαν τῆς ἐλπίδος αὐτῶν, τῆς παρακλήσεως τοῦ πνεύματος καταξιούμεναι κἀκεῖθεν αἰωνίων ἀγαθῶν 55.3.4 τῆς βασιλείας τῶν οὐρανῶν κληρονόμοι γίνονται. ὅσαι δὲ ὑποσταλῶσι δειλίᾳ καὶ φόβῳ τὰς θλίψεις μὴ ὑπομένουσαι, ἀλλ' εἰς ὀλιγωρίαν καὶ ἀνυπομονησίαν καὶ ἀπελπισμὸν ἔλθωσι καὶ στραφῶσι τῆς ὁδοῦ τῆς δικαιοσύνης καὶ τὸ ἔλεος τοῦ κυρίου εἰς τέλος μὴ ἐκδέξωνται, αἱ τοιαῦται ψυχαὶ ὡς ἀδόκιμοι εὑρεθεῖσαι τῆς αἰωνίου βασιλείας τυχεῖν πῶς δυνήσονται. ἕως θανάτου γὰρ πᾶσα ψυχὴ χρεωστεῖ διὰ τὸν θεὸν τὸν ὑπὲρ ἡμῶν παθόντα ἐν μακροθυμίᾳ ὑπομεῖναι εἰς τέλος καὶ τὴν εἰς αὐτὸν ἐλπίδα κρατῆσαι καὶ οὕτω 55.3.5 τῆς αἰωνίου βασιλείας καταξιωθῆναι· ὅσοι γὰρ βούλονται τελείως



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐξειλῆσαι 55.3.5 τῆς μελλούσης γεέννης καὶ τῆς βασιλείας ἐπιτυχεῖν, τὰς θλίψεις ἐνταῦθα διὰ τῶν πειρασμῶν τῶν ὑπὸ τοῦ πονηροῦ ἐπαγομένων ὑπενεγκέτωσαν παθεῖν αὐτοὺς δεῖ, καὶ ἐὰν ὑπομείνωσιν ἕως τέλους διὰ τῆς ἐλπίδος τὸ ἔλεος τοῦ κυρίου ἐν πίστει ἐκδεχόμενοι, καὶ τῶν πειρασμῶν καὶ τῶν θλίψεων διὰ τῆς χάριτος λυτροῦνται καὶ τῆς κοινωνίας τοῦ ἁγίου πνεύματος ἐντεῦθεν καταξιοῦνται καὶ τῆς αἰωνίου γεέννης ἐντεῦθεν ἐξειλοῦσι καὶ τὴν αἰώνιον βασιλείαν τοῦ Χριστοῦ κληρονομοῦσιν. τοιαύτην γὰρ ὁ κύριος ὁδὸν ἔθετο εἰς ζωὴν ἀποφέρουσαν στενὴν καὶ τεθλιμμένην ὡς γέγραπται, διὰ τοῦτο καὶ ὀλίγοι 55.3.6 εἰσὶν οἱ διοδεύοντες εἰς αὐτήν. τοιαύτης τοίνυν ἐλπίδος προκειμένης καὶ τοιούτων ἐπαγγελιῶν ἐπαγγελθεισῶν ὑπὸ τοῦ ἀψευδοῦς θεοῦ πᾶσαν ἐπανάστασιν καὶ θλῖψιν τοῦ πονηροῦ γενναίως ὑπενέγκωμεν διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ἡμῖν ἐν τοῖς οὐρανοῖς. ὅσας γὰρ θλίψεις ἐὰν ὑπομείνωμεν διὰ τὸν κύριον, οὐδὲν ἀντάξιον πρὸς τὴν μέλλουσαν καὶ ἐπηγγελμένην αἰώνιον ζωὴν ἢ πρὸς τὴν ἐνταῦθα γινομένην ταῖς ὑπομενούσαις ψυχαῖς τοῦ ἁγίου πνεύματος παράκλησιν ἢ πρὸς τὴν ἀπολύτρωσιν τοῦ σκότους τῶν παθῶν τῆς κακίας ἢ καὶ πρὸς τὰ ὀφλήματα τοῦ πλήθους τῶν ἁμαρτιῶν ἡμῶν; καθὼς εἴρηται· «κρινόμενοι δὲ ὑπὸ τοῦ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν», καὶ πάλιν· οὐ γὰρ «ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». 55.4.1 Γενώμεθα οὖν γενναῖοι στρατιῶται ὑπὲρ τοῦ βασιλέως ἡμῶν ἑτοίμως ἀποθνήσκοντες. διὰ τὶ δὲ ὅτε ἐν τῷ κόσμῳ ἀνεστρεφόμεθα, ταῦτα οὐκ ἐπάσχομεν οὐδὲ τοιαύτας θλίψεις εἴχομεν, ἀλλὰ νῦν, ὅτε προσήλθομεν τῷ κυρίῳ εὐαρεστῆσαι, τοσαῦται ἐπαναστάσεις καὶ πειρασμοὶ καὶ θλίψεις τοῦ πονηροῦ καθ' ἡμῶν ἐπεγείρονται; ὁρᾷς ὅτι διὰ τὸν κύριον ταῦτα πάσχομεν, φθονοῦντος ἡμῖν τοῦ ἐχθροῦ καὶ πειράζοντος ὥστε διαστρέψαι ἐκ τῆς ὁδοῦ τῆς ζωῆς ἢ εἰς χαύνωσιν ἢ εἰς ὀλιγωρίαν ἀγαγεῖν, ἵνα μὴ εὐαρεστήσαντες σωθῶμεν. 55.4.2 ὅσον τοίνυν ὁ πονηρὸς καθ' ἡμῶν ἐπεγείρεται, ἡμεῖς ἐὰν εὑρεθῶμεν ἐν ὑπομονῇ καὶ ἀνδρείᾳ ἑτοίμως ἔχοντες ἕως θανάτου ὑπομένειν διὰ τὴν εἰς τὸν κύριον ἐλπίδα, πᾶσαι αὐτοῦ αἱ καθ' ἡμῶν μηχαναὶ λύονται. ἔχομεν γὰρ τὸν ὑπερασπιστὴν ἡμῶν καὶ ὑπέρμαχον Ἰησοῦν, ὃς καὶ ἡμῖν θλιβομένοις καὶ ἐλπίζουσιν ἐπ' αὐτὸν ὑπομονὴν δίδωσιν, κἀκεῖνος καταισχυνθήσεται ἡμῶν τὰ νικητήρια 55.4.3 τῶν πόνων (τουτέστιν τὴν βασιλείαν κυρίου) κομιζομένων. γενώμεθα ὡς ἄκμονες τυπτόμενοι καὶ μὴ ἐνδιδόντες μηδὲ τύπους χαυνώσεως ἢ ὀλιγωρίας ἢ ἀκηδίας διὰ τῶν μαστίγων τῶν πειρασμῶν δεχόμενοι, δερόμενοι νικήσωμεν τὸν ἀντίπαλον διὰ τῆς ὑπομονῆς. ὁ γὰρ κύριος ἡμῶν εἰς τὸν αἰῶνα τοῦτον διώδευσε, μαστιζόμενος, ὀνειδιζόμενος, διωκόμενος, ἐμπαιζόμενος, ἐμπτυόμενος, ἔσχατον δὲ καὶ ἀτίμῳ θανάτῳ σταυροῦ ὑπὸ ἀνόμων τετιμώρηται. καὶ πάντα ὑπήνεγκε ἐκεῖνα διὰ τὴν ἡμετέραν σωτηρίαν «ἡμῖν ὑπολιμπάνων ὑπογραμμὸν» ζωῆς, ἵνα δι' ἧς ὁδοῦ πειρασμῶν καὶ θλίψεων καὶ θανάτου αὐτὸς διώδευσε, τῇ αὐτῇ ὁδῷ διοδεύσωσι οἱ εἰς αὐτὸν ἐν ἀληθείᾳ πιστεύοντες καὶ «συγκληρονόμοι» αὐτοῦ γενέσθαι βουλόμενοι, ἵνα ὥσπερ αὐτὸς διὰ πολλῶν παθῶν, ἔσχατον δὲ θανὼν ἐπὶ σταυροῦ ἐνίκησε καὶ σταυρωθεὶς ἐσταύρωσε καὶ ἀποθανὼν ἐθανάτωσε κατακρίνας τὴν ἁμαρτίαν διὰ τῆς σαρκὸς καὶ κατ55.4.4 αργήσας τὰς ἀντικειμένας δυνάμεις, καθὼς εἴρηται· «ἀπεκδυσάμενος γὰρ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας» ἐπὶ σταυροῦ «ἐδειγμάτισε θριαμβεύσας τὰς ἐν αὐτῷ», οὕτω καὶ ἡμεῖς πᾶσαν ἐπανάστασιν καὶ θλῖψιν τοῦ πονηροῦ ἐὰν ὑπομείνωμεν ἕως θανάτου, τότε νικήσομεν τὸν ἀντίπαλον διὰ τῆς πίστεως καὶ ὑπομονῆς καὶ τῆς εἰς τὸν κύριον ἐλπίδος, καὶ οὕτω δόκιμοι εὑρεθέντες τῆς ἀπολυτρώσεως ἀξιούμεθα καὶ τοῦ ἁγιασμοῦ τοῦ πνεύματος πληρούμεθα καὶ τῆς αἰωνίου ζωῆς κληρονόμοι γινόμεθα, ἧς γένοιτε πάντας ἡμᾶς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. 55.4.5 Ἀμήν. εἰς γὰρ τὸν πνευματικὸν ἀγῶνα ἡ κατὰ τοῦ ἀντικειμένου νίκη διὰ παθῶν καὶ θανάτου γίνεται. πάσχοντες καὶ θανατούμενοι διὰ τὸν κύριον προθύμως τότε νικῶμεν τὸν ἀντικείμενον. εἰ οὖν βουλόμεθα πᾶσαν θλῖψιν καὶ πειρασμοὺς μὴ ἐπιπόνους καὶ σκληροὺς ἡγεῖσθαι, ἀλλ' εὐχερῶς ὑπομένειν πᾶσαν τοῦ πονηροῦ ἐπανάστασιν, τὸν ὑπὲρ τοῦ κυρίου θάνατον πρὸ ὀφθαλμῶν πάντοτε ἐν ἐπιθυμίᾳ ἔχωμεν καὶ καθὼς εἴρηται ὑπὸ τοῦ κυρίου καθ' ἡμέραν τὸν σταυρὸν αἴροντες (ὅ ἐστι θάνατος) ἀκολουθῶμεν αὐτῷ ὀπίσω, καὶ οὕτως εὐχερῶς ὑπομένωμεν πᾶσαν θλῖψιν ἤτοι κρυπτὴν ἤτοι φανεράν. 55.4.6 εἰ γὰρ θάνατον ὑπὲρ τοῦ κυρίου ἐν ἐπιθυμίᾳ προσδοκῶμεν καὶ πρὸ ὀφθαλμῶν πάντοτε ἐπιποθοῦντες ἔχομεν, πόσῳ μᾶλλον οἵας ἂν βαρείας θλίψεις εὐχερῶς καὶ εὐκόλως μετὰ χαρᾶς ὑπομενοῦμεν. διὰ τοῦτο γὰρ δυσχερεῖς καὶ βαρείας καὶ φορτικὰς θλίψεις ἡγούμεθα ἀνυπομονήτως ἔχοντες, ἐπειδὴ τὸν ὑπὲρ τοῦ κυρίου θάνατον πρὸ ὀφθαλμῶν οὐκ ἔχομεν, οὐδὲ ἐν αὐτῷ πάντοτε ἡ διάνοια ἐπιποθεῖ· ὁ γὰρ τὸν κύριον ἐπιθυμῶν κληρονομῆσαι καὶ τὰ αὐτοῦ πάθη ἀκολούθως ἐπιθυμείτω. ὥστε οἱ Χριστὸν ἀγαπῶντες ἐν τούτῳ φαίνονται, ὅταν πάσας θλίψεις ἐπερχομένας αὐτοῖς γενναίως καὶ προθύμως ὑπομένωσι διὰ τὴν εἰς αὐτὸν ἐλπίδα. 55.4.7 Παρακαλέσωμεν τοίνυν τὸν θεὸν δοῦναι ἡμῖν σύνεσιν εἰς τὸ γνωρίζειν τὸ αὐτοῦ θέλημα καὶ προθύμως ἐπιτελεῖν ἐν πάσῃ ὑπομονῇ καὶ μακροθυμίᾳ μετὰ χαρᾶς, ἣν ἡμῖν αὐτὸς χαρίσεται δυναμώσας ἡμᾶς εἰς πᾶσαν εὐαρέστησιν, ἵνα δόκιμοι καὶ ἄξιοι αὐτοῦ εὑρεθέντες σωτηρίας αἰωνίου τύχωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας. Ἀμήν.

56.τ.1 ΛΟΓΟΣ Νϛʹ.

56.1.1 Ὁ βουλόμενος προσελθεῖν τῷ κυρίῳ καὶ ζωῆς αἰωνίου καταξιωθῆναι καὶ κατοικητήριον τοῦ Χριστοῦ γενέσθαι καὶ πνεύματος ἁγίου πληρωθῆναι, ἵνα τοὺς καρποὺς τοῦ πνεύματος κατὰ τὰς ἐντολὰς πάσας τοῦ κυρίου δυνηθῆναι ποιῆσαι καθαρῶς καὶ ἀμώμως, οὕτως ὀφείλει ἐνάρξασθαι· πρῶτον μὲν πιστεῦσαι βεβαίως τῷ κυρίῳ καὶ ἐπιδοῦναι ἐξ ὅλου ἑαυτὸν τοῖς λόγοις τῶν ἐντολῶν αὐτοῦ καὶ ἀποτάξασθαι τῷ κόσμῳ κατὰ πάντα, ἵνα μὴ ἐν μηδενὶ ὅλως τῶν φαινομένων ὁ νοῦς ἀσχολῆται, καὶ εἰς τὴν εὐχὴν πάντοτε προσκαρτερεῖν αὐτὸν χρὴἐπὶ πίστει προσδοκίας τοῦ κυρίου τὴν ἐπίσκεψιν καὶ βοήθειαν αὐτοῦ πάντοτε ἐκδεχόμενος, καὶ τὸν σκοπὸν τοῦ νοὸς αὐτοῦ εἰς 56.1.2 τοῦτο ἔχων διαπαντός. εἶτα βιάζεσθαι χρὴ ἀεὶ ἑαυτὸν εἰς πᾶν ἀγαθὸν καὶ εἰς πάσας τὰς ἐντολὰς τοῦ κυρίου, καὶ μὴ θελούσης τῆς καρδίας διὰ τὴν συνοῦσαν αὐτῇ ἁμαρτίαν, οἷον βιαζέσθω ἑαυτὸν εἰς τὸ ταπεινοφρονεῖν ἐνώπιον πάντων ἀνθρώπων, καὶ ἑαυτὸν πάντων ἐλάττω καὶ χείρονα ἡγείσθω, μὴ ζητῶν τιμὴν ἢ ἔπαινον ἢ δόξαν παρά τινος, καθὼς ἐν τῷ εὐαγγελίῳ γέγραπται, ἀλλὰ μόνον τὸν κύριον πρὸ ὀφθαλμῶν ἐχέτω ἀεὶ καὶ τὰς ἐντολὰς αὐτοῦ, αὐτῷ βουλόμενος ἀρέσκειν μόνῳ. εἰς τὴν πραότητα ὁμοίως ἑαυτὸν βιαζέτω, καὶ μὴ θελούσης τῆς καρδίας, ὥς φησιν ὁ κύριος· «μάθετε ἀπ' ἐμοῦ, ὅτι πραός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». 56.1.3 ὁμοίως εἰς τὸ εἶναι ἐλεήμονα, χρηστόν, εὔσπλαγχνον, ἀγαθόν, ὅση δύναμις ἑαυτὸν ἐθιζέτω κἂν μετὰ βίας, ὥς φησιν ὁ κύριος· «γίνεσθε ἀγαθοὶ καὶ χρηστοί, καθὼς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος», καὶ πάλιν· «γίνεσθε οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς οἰκτίρμων ἐστί», καὶ πάλιν φησίν· «ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε», καὶ πάλιν· «βιάζεσθε, βιασταὶ γὰρ ἁρπάζουσι τὴν βασιλείαν τῶν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐρανῶν», καὶ τό· «ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης». ἀεὶ τὴν τοῦ κυρίου ταπείνωσιν καὶ πολιτείαν καὶ ἀναστροφὴν πρὸ ὀφθαλμῶν ἐχέτω, ὥσπερ ὑπογραμμὸν ἐν πάσῃ μνήμῃ ἀληθαργήτω καὶ ὅση δύναμις βιαζέσθω μιμεῖσθαι, ταῖς προσευχαῖς προσκαρτερείτω διαπαντὸς δεόμενος καὶ πιστεύων, ἵνα ἐλθὼν ὁ κύριος ἐνοικήσῃ ἐν αὐτῷ καὶ καταρτίσῃ καὶ δυναμώσῃ αὐτὸν ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ, 56.1.4 καὶ ἵνα αὐτὸς ὁ κύριος γένηται κατοικητήριον τῆς ψυχῆς. καὶ οὕτως, ἃ νῦν εἶπον μετὰ βίας, μὴ θελούσης τῆς καρδίας ποιοῦντα καὶ ἐθίζοντα ἑαυτὸν διαπαντὸς εἰς τὸ ἀγαθὸν καὶ τοῦ κυρίου ἀεὶ μνημονεύοντα καὶ προσδοκῶντα αὐτὸν ἐν πολλῇ ἀγάπῃ θεωρῶν αὐτὸν ὁ κύριος καὶ τὴν τοιαύτην αὐτοῦ προαίρεσιν καὶ τὴν ἀγαθὴν σπουδήν, πῶς βιάζεται ἑαυτὸν εἰς μνήμην τοῦ κυρίου καὶ εἰς τὸ ἀγαθὸν ἀεί, καὶ εἰς τὴν ταπεινοφροσύνην καὶ πραότητα καὶ ἀγάπην καὶ μὴ θέλουσαν καρδίαν ἄγχει καὶ ἄγει ὅση δύναμις αὐτοῦ μετὰ βίας, ποιεῖ μετ' αὐτοῦ ἔλεος καὶ λυτροῦται αὐτὸν ἀπὸ τῶν ἐχθρῶν αὐτοῦ καὶ τῆς ἐν αὐτῷ οἰκούσης ἁμαρτίας, πνεύματος ἁγίου ἐμπιπλῶν αὐτόν· καὶ οὕτω λοιπὸν ἄνευ βίας καὶ καμάτων ποιεῖ πάσας τὰς ἐντολὰς τοῦ κυρίου ἐξ ἀληθείαςμᾶλλον δὲ ὁ κύριος ποιεῖ ἐν αὐτῷ τὰς ἰδίας αὐτοῦ ἐντολάςκαὶ τοὺς καρποὺς τοῦ πνεύματος τότε καρποφορεῖ καθαρῶς. 56.1.5 Χρὴ τοίνυν πρότερον προσελθόντα τινὰ τῷ κυρίῳ οὕτω βιάζεσθαι ἑαυτὸν εἰς τὸ ἀγαθόν, καὶ μὴ θελούσης τῆς καρδίας, προσδοκῶντα διαπαντὸς ἐν πίστει ἀδιστάκτῳ τὸ ἔλεος αὐτοῦ, καὶ βιάζεσθαι ἑαυτὸν εἰς ταπεινοφροσύνην, βιάζεσθαι ἑαυτὸν εἰς τὴν ἀγάπην μὴ ἔχοντα ἀγάπην, βιάζεσθαι ἑαυτὸν εἰς τὴν πραότητα μὴ ἔχοντα πραότητα, βιάζεσθαι ἑαυτὸν εἰς τὸ οἰκτείρειν καὶ ἐλεήμονα ἔχειν καρδίαν, βιάζεσθαι εἰς τὸ καταφρονεῖσθαι καὶ εἰς τὸ μακροθυμεῖν καὶ ἐξουθενούμενον ἢ ἀτιμαζόμενον μὴ ἀγανακτεῖν κατὰ τὸ εἰρήμενον· «μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί», βιάζεσθαι ἑαυτὸν εἰς τὴν εὐχὴν μήπω 56.1.6 ἔχοντα εὐχὴν πνεύματος. οὕτω γὰρ ὁ θεὸς θεωρῶν τὸν οὕτως ἀγωνιζόμενον καὶ βίᾳ ἑαυτὸν ἄγοντα εἰς τὸ ἀγαθὸν καὶ μὴ θελούσης τῆς καρδίας, δίδωσιν εὐχὴν ἀληθινὴν Χριστοῦ, δίδωσι σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα 56.1.7 ἀληθινὴν καὶ ἁπαξαπλῶς πληροῖ αὐτὸν καρπῶν τῶν τοῦ πνεύματος. εἰ δέ τις μόνον εἰς τὴν εὐχὴν βιάζεται ἑαυτόν, μὴ ἔχων εὐχήν, ἵνα σχῇ εὐχὴν χάριτος, καὶ εἰς τὴν πραότητα καὶ ταπεινοφροσύνην καὶ ἀγάπην καὶ τὰς λοιπὰς ἐντολὰς τοῦ κυρίου ἑαυτὸν οὐ βιάζεται, οὐδὲ μέριμναν καὶ ἀγῶνα καὶ κόπον ἔχει ἐκεῖνα κατορθῶσαι ὅσον τὸ ἐκ προαιρέσεως καὶ αὐτεξουσίου γνώμης, ἐνίοτε δίδοται αὐτῷ εὐχὴ χάριτος ἐν ἀναπαύσει καὶ εὐφροσύνῃ ἐκ τοῦ πνεύματος μερικῶς κατὰ τὸ αἴτημα αὐτοῦ, τοῖς δὲ τρόποις ὅμοιός ἐστιν οὗ ἦν πρώην. οὐκ ἔχει πραότητα, ὅτι οὐκ ἐζήτησεν ἐμπόνως καὶ οὐ προευτρέπισεν ἑαυτὸν οὕτω γενέσθαι. οὐκ ἔχει ταπεινοφροσύνην, ἐπειδὴ οὐκ ᾔτησε καὶ ἑαυτὸν οὐκ ἐβιάσατο εἰς τοῦτο. οὐκ ἔχει ἀγάπην εἰς πάντας, ἐπειδὴ περὶ τούτου μέριμναν καὶ ἀγῶνα οὐκ ἔσχεν ἐν τῇ αἰτήσει τῆς προσευχῆς καὶ αὐτῇ τῇ ἐπιτηδεύσει τοῦ ἔργου. οὐκ ἔχει πίστιν καὶ πεποίθησιν πρὸς τὸν θεόν, ἐπειδὴ οὐκ ἔγνω καὶ οὐκ ἐδοκίμασεν ἑαυτὸν εἰ ἔχει. καὶ οὐκ ἐπόνησεν ἐν θλίψει ζητῶν παρὰ κυρίου σχεῖν βεβαίαν τὴν πρὸς αὐτὸν πίστιν καὶ πεποίθησιν ἀληθινήν. 56.2.1 Χρὴ γὰρ ἕκαστον ὥσπερ εἰς τὴν εὐχὴν βιάζεται ἑαυτὸν καὶ ἄγχει μὴ θελούσης τῆς καρδίας, οὕτω καὶ εἰς τὴν πεποίθησιν καὶ εἰς τὴν ταπεινοφροσύνην, καὶ εἰς τὴν ἀγάπην, καὶ εἰς τὴν πραότητα καὶ εἰς τὴν ἀκεραιότητα καὶ ἁπλότητα, οὕτως «εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν» κατὰ τὸ γεγραμμένον, οὕτω βιάζεσθαι ἑαυτὸν εἰς τὸ ἐξουθενεῖσθαι καὶ χείρω καὶ ἔσχατον ἑαυτὸν λογίζεσθαι πάντων, οὕτως εἰς τὰ μὴ ὄντα χρήσιμα μὴ ὁμιλεῖν, ἀλλ' ἀεὶ τὰ τοῦ κυρίου μελετᾶν καὶ λαλεῖν καὶ στόματι καὶ καρδίᾳ, οὕτως εἰς τὸ μὴ θυμοῦσθαι, μὴ κραυγάζειν κατὰ τὸ εἰρημένον· «πᾶσα πικρία καὶ ὀργὴ καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ» καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς πάντας τοὺς τοῦ κυρίου τρόπους, εἰς πᾶσαν ἄσκησιν ἀρετῆς καὶ πολιτείας ἀγαθῆς καὶ καλῆς, εἰς πᾶσαν ἀναστροφὴν ἀγαθότητος, εἰς πᾶσαν ταπεινοφροσύνην πραότητος καὶ εἰς τὸ μὴ ἐπαίρεσθαι 56.2.2 καὶ ὑψηλοφρονεῖν καὶ φυσιοῦσθαι καὶ λαλεῖν κατά τινος, εἰς ταῦτα πάντα ὀφείλει βιάζεσθαι ἑαυτὸν ὁ θέλων εὐδοκιμῆσαι καὶ εὐαρεστῆσαι Χριστῷ, ἵνα οὕτως ὁ κύριος ἰδὼν αὐτοῦ τὴν προαίρεσιν καὶ προθυμίαν τὴν τοῦ οὕτως εἰς πᾶσαν ἁπλότητα καὶ ἀγαθότητα καὶ ταπεινοφροσύνην καὶ ἀγάπην καὶ εὐχὴν ἄγχοντος καὶ ἄγοντος ἑαυτὸν μετὰ βίας, δώσει αὐτῷ ἑαυτὸν ὅλον, ποιῶν ἐξ ἀληθείας ταῦτα πάντα καθαρῶς ἐν αὐτῷ καὶ ἀκόπως καὶ ἀβιάστως, ἃ πρὶν οὐδὲ μετὰ βίας φυλάξαι ἠδύνατο διὰ τὴν ἐν αὐτῷ οἰκοῦσαν ἁμαρτίαν. καὶ γίνεται αὐτῷ ταῦτα πάντα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα ὥσπερ φύσις· τὸ λοιπὸν γὰρ ὁ κύριος ἐλθὼν καὶ γενόμενος ἐν αὐτῷκαὶ αὐτὸς ἐν τῷ κυρίῳ, αὐτὸς ποιεῖ ἐν αὐτῷ τὰς ἰδίας ἐντολὰς ἄνευ καμάτου, πληρῶν αὐτὸν τοῖς καρ56.2.3 ποῖς τοῦ πνεύματος. εἰ δὲ εἰς εὐχὴν μόνον (ὡς εἴρηται) βιάζεται ἑαυτόν τις, ἕως οὗ λάβῃ τι χάρισμα παρὰ τοῦ θεοῦ, εἰς ταῦτα δὲἤγουν εἰς τὴν ταπεινοφροσύνην, καὶ εἰς τὰς ἄλλας ἀρετὰςὁμοίως ἑαυτὸν οὐ βιάζεται καὶ ἐθίζει καὶ ἄγχει; οὐχ ὅτι δυνατὸν ἐξ ἀληθείας καθαρῶς καὶ ἀμώμως ποιῆσαι, ἀλλ' οὕτω χρὴ προευτρεπίζειν ἑαυτὸν ὡς δυνατὸν εἰς τὸ ἀγαθόν; ἐνίοτε γίνεται πρὸς αὐτὸν θεία χάρις αἰτοῦντα καὶ δεόμενον· ἀγαθὸς γὰρ καὶ χρηστός ἐστιν ὁ θεὸς καὶ τοῖς αἰτοῦσιν αὐτὸν δίδωσι τὰ αἰτήματα αὐτῶν. μὴ ἐθίσας δὲ καὶ προευτρεπίσας ἑαυτὸν εἰς τὰς προειρημένας ἀρετὰς ἢ ἀπόλλει τὴν χάριν ἢ λαμβάνων πίπτει ὑψηλοφρονήσας ἢ οὐ προκόπτει καὶ αὔξει ἐν χάριτι τῇ πρὸς αὐτὸν γινομένῃ, ἐπειδὴ ταῖς ἐντολαῖς τοῦ κυρίου ἑαυτὸν ἐκ προαιρέσεως οὐ δίδωσι. τὸ γὰρ κατοικητήριον καὶ ἡ ἀνάπαυσις τοῦ πνεύματός ἐστιν ἡ ταπεινοφροσύνη, ἡ ἀγάπη, ἡ πραότης καὶ αἱ λοιπαὶ τοῦ κυρίου ἐντολαί. 56.2.4 Ὀφείλουσιν οὖν οἱ βουλόμενοι ἐξ ἀληθείας εὐαρεστῆσαι τῷ θεῷ καὶ δέξασθαι παρ' αὐτοῦ τὴν ἐπουράνιον τοῦ πνεύματος χάριν καὶ αὐξῆσαι καὶ τελειωθῆναι ἐν τῷ ἁγίῳ πνεύματι εἰς πάσας τὰς ἐντολὰς τοῦ κυρίου βιάζεσθαι πρῶτον ἑαυτοὺς καὶ μὴ θελούσης τῆς καρδίας ὑποτάσσειν αὐτὴν κατὰ τὸ εἰρημένον· «διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα». ὡς γάρ τις εἰς τὴν προσκαρτέρησιν τῆς εὐχῆς βιάζεται ἑαυτὸν καὶ ἄγχει, ἕως οὗ κατορθώσει τοῦτο, ὁμοίως καὶ εἰς πάντα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα ἐὰν θέλῃ τις βιάζεται καὶ ἄγχει ἑαυτὸν καὶ ἐθίζει ἔθος 56.2.5 ἀγαθόν· καὶ οὕτως αἰτούμενος καὶ δεόμενος τοῦ κυρίου διαπαντὸς καὶ τυχὼν τῆς αἰτήσεως καὶ μεταλαβὼν εἰς γεῦσιν θεοῦ καὶ πνεύματος ἁγίου μέτοχος γενόμενος αὔξει καὶ θάλλει ἐν αὐτῷ τὸ χάρισμα τοῦ πνεύματος τὸ δοθὲν αὐτῷ, ἀναπαυόμενον ἐν τῇ ταπεινοφροσύνῃ αὐτοῦ ἣν ἐζήτησε καὶ ἐν τῇ ἀγάπῃ καὶ πραότητι, αὐτὸ τὸ πνεῦμα χαρίζεται αὐτῷ πάντα καὶ διδάσκει αὐτὸν ἀληθινὴν ταπεινοφροσύνην, ἀληθινὴν ἀγάπην, ἀληθινὴν πραότητα, εἰς ἣν προεβιβάσατο καὶ ἐζήτησε καὶ ἐμερίμνησε καὶ ἐδόθη αὐτῷ· καὶ οὕτως αὐξήσας καὶ τελειωθεὶς ἐν θεῷ κληρονόμος τῆς βασιλείας τῶν οὐρανῶν γίνεται. ὁ γὰρ ταπεινὸς οὐδέποτε πίπτει. πῶς γὰρ καὶ πεσεῖται ὑποκάτω πάντων ὤν; μεγάλη ταπείνωσις ἡ ὑψηλοφροσύνη, μεγάλη ὕψωσις καὶ ἀξίωμα ἡ ταπεινοφροσύνη. 56.2.6 Καὶ ἡμεῖς οὖν ἐθίσωμεν ἑαυτοὺς καὶ ἄξωμεν εἰς τὴν ταπεινοφροσύνην, καὶ μὴ θελούσης τῆς καρδίας, καὶ εἰς τὴν πραότητα καὶ εἰς τὴν ἀγάπην, δεόμενοι καὶ παρακαλοῦντες τὸν θεὸν ἐν πίστει καὶ ἐλπίδι καὶ ἀγάπῃ ἀδιαλείπτως ἐν τῇ προσδοκίᾳ ταύτῃ καὶ σκοπῶμεν, ἵνα ἀποστείλῃ τὸ πνεῦμα αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, ἵνα εὐξώμεθα καὶ προσκυνήσωμεν ἐν πνεύματι τῷ πατρί. 56.2.7 καὶ αὐτὸ τὸ πνεῦμα εὔξηται ἐν ἡμῖν, ἵνα αὐτὸ τὸ πνεῦμα διδάξῃ ἡμᾶς εὐχὴν ἀληθινήν, ἣν καὶ νῦν βιαζόμενοι οὐκ ἔχομεν, ταπεινοφροσύνην τε ἀληθινήν, πραότητα, ἀγάπην, ἃ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νῦν μετὰ βίας οὐ δυνάμεθα ποιεῖν, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα καὶ πάσας τὰς ἐντολὰς τοῦ κυρίου διδάξῃ ἡμᾶς ποιῆσαι ἐξ ἀληθείας ἀπόνως καὶ ἀβιάστως, ὡς αὐτὸ τὸ πνεῦμα οἶδε πληροῦν ἡμᾶς τοῖς καρποῖς αὐτοῦ· καὶ οὕτω τῶν ἐντολῶν τοῦ κυρίου πληρωθεισῶν ὑφ' ἡμῶν διὰ τοῦ πνεύματος αὐτοῦ τοῦ μόνου γινώσκοντος τὸ θέλημα τοῦ Χριστοῦ, τελειώσει ἡμᾶς τὸ πνεῦμα εἰς ἑαυτὸ καὶ τελειωθὲν εἰς ἡμᾶς καὶ καθαρίζον ἡμᾶς ἀπὸ παντὸς μολυσμοῦ καὶ σπίλου ἁμαρτίας, ἵν' ὥσπερ νύμφας καλὰς τὰς ψυχὰς ἡμῶν καθαρὰς καὶ ἀμώμους παραστήσῃ τῷ Χριστῷ, ἀναπαυομένων ἡμῶν ἐν θεῷ ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἀναπαυομένου τοῦ Χριστοῦ ἐν ἡμῖν εἰς τοὺς ἀπεράντους αἰῶνας. 56.2.8 Δόξα τοῖς οἰκτιρμοῖς αὐτοῦ καὶ τῷ ἐλέει αὐτοῦ καὶ τῇ ἀγάπῃ αὐτοῦ, ὅτι εἰς τοσαύτην τιμὴν καὶ δόξαν κατηξίωσε τὸ γένος τῶν ἀνθρώπων, υἱοὺς πατρὸς ἐπουρανίου καταξιῶν αὐτοὺς καὶ ἰδίους ἀδελφοὺς προσαγορεύων. Δόξα τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## 57.τ.1 ΛΟΓΟΣ ΝΖʹ.

57.1.1 Οἱ ἐξ ἀληθείας θεοῦ φίλοι καὶ ἀγαπῶντες αὐτὸν ἀκολούθῳ τάξει οὐ προσέρχονται καὶ δουλεύουσιν αὐτῷ διὰ τὸ κάλλος τῆς βασιλείας ὡς ἐπὶ ἐμπορίᾳ τινὶ κέρδους οὔτε διὰ τὴν κόλασιν τὴν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς ἐν τῇ γεέννῃ, ἀλλ' αὐτὸν ἀγαπῶσι τὸν κτίστην καὶ δημιουργὸν ἀκολουθίᾳ τάξεως, ἐπιγνόντες δεσπότην καὶ κτίστην καὶ τὴν πρὸς αὐτὸν λατρείαν δικαίως καὶ προθύμως ἀποπληροῦσι καὶ πάσας θλίψεις τῶν πονηρῶν πνευμάτων γενναίως ὑπομένουσιν ὑπ' αὐτῶν ἐκδιωκόμενοι τοῦ μὴ ἐγγίζειν καὶ κολλᾶσθαι τῷ κυρίῳ, ὥς φησιν ὁ μακάριος Δαβίδ· «πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλί57.1.2 βοντές με· ἐκ τῶν μαρτυριῶν σου οὐκ ἐξέκλινα». ὅσῳ γὰρ ἐκθλίβονται καὶ ἐκδιώκονται ὑπὸ τῶν πονηρῶν πνευμάτων τοὺς λογισμοὺς τῆς ψυχῆς περισπώντων ἢ ἑτέρας θλίψεις ἐπεγειρόντων, αὐτοὶ πολλῷ μᾶλλον κολλῶνται τῷ κυρίῳ, ἑαυτοὺς ἐκβιαζόμενοι εἰς τὴν αὐτοῦ ζήτησιν. πολλὰ γὰρ ἐμπόδια τῆς πρὸς θεὸν εὐαρεστήσεως ἐστὶν ἐν κόσμῳ. ἡ πενία καὶ ἡ ἔνδεια ἐμπόδιον καὶ ἀγών ἐστι πρὸς τὴν αἰώνιον ζωήν, ὁ πλοῦτος ὁμοίως ἐμπόδιον, ἀδοξία καὶ ὕβρεις, καὶ τοῦτο ἐμπόδιον, δόξαι καὶ τιμαὶ ἀνθρώπων, ὁμοίως εἰς πειρασμὸν γίνονται νόσοι καὶ πάθηταῦτα πάντα κατὰ τοῦ ἀνθρώπου ἐμπόδια τυγχάνει, ὁμοίως ἐν τοῖς ἀοράτοις αἱ θλίψεις καὶ οἱ πειρασμοὶ τῆς κακίας ἐμποδίζουσι τῇ ψυχῇ τοῦ μὴ προσεγγίζειν καὶ κολλᾶσθαι τῷ θεῷ, ἀλλ' εἰς χαύνωσιν καὶ ἔκλυσιν ἀγαγεῖν αὐτὴν βούλονται, καθώς φησιν ὁ προφήτης· 57.1.3 «θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· αἱ ἐντολαί σου μελέτη μού ἐστιν». αἱ θλίψεις οὖν τῆς πονηρίας δοκιμαστήριόν εἰσι τῇ ψυχῇ, ὁμοίως καὶ ἡ ἄνεσις καὶ ἡ ἀνάπαυσις καὶ ἡ παράκλησις τοῦ πνεύματος τῇ νηπίᾳ καὶ ἄφρονι ψυχῇ εἰς δοκιμαστήριον γίνεται, τῇ δὲ συνετῇ καὶ πιστῇ εἰς ζωὴν αἰώνιον καθίσταται. διὰ τῶν ἀμφοτέρων γὰρ πραγμάτων ὁ θεὸς τὰς ψυχὰς δοκιμάζει, ἵνα γνῷ ὅτι οὐ διὰ κέρδος τίς ἀγαπᾷ αὐτόν, ἀλλὰ μόνον δι' αὐτὸν τὸν δεσπότην 57.1.4 καὶ κτίστην θεὸν ὡς πολλῆς ἀγάπης καὶ τιμῆς ἄξιον. εἰ δὲ μὴ χαυνωθῇ μηδὲ ἀμελήσῃ μηδὲ ἀμεριμνήσῃ ἀπὸ ἀγῶνος καὶ σπουδῆς καὶ πόνου καὶ ἐργασίας ἀρετῶν ὁ ἐξ ἀληθείας εὐαρεστεῖν τῷ θεῷ βουλόμενος, μήτε ἀπὸ ἀναπαύσεων καὶ παρακλήσεων τῆς χάριτος τῇ ψυχῇ διὰ τοῦ πνεύματος ἐνεργουμένων, μήτε διὰ θλίψεων δεινῶν τῆς ἁμαρτίας ἐπεγειρομένων καὶ θλιβόντων, ὁ τοιοῦτος ὡς ἄξιος καὶ κατὰ ἀλήθειαν θεὸν φιλῶν ἐν ὅλῃ καρδίᾳ καὶ ψυχῇ κληρονόμος δικαίως καὶ ἀξίως τῆς βασιλείας καθίσταται καὶ τέκνον θεοῦ ἐκ πνεύματος γεννηθὲν καταξιοῦται γενέσθαι, ὅτι οὔτε ἐπὶ ταῖς πολλαῖς θλίψεσιν ἐνέδωκε καὶ ἐχαυνώθη, οὔτε ἐπὶ τῇ ἀναπαύσει καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

παρακλήσει τῆς χάριτος ἧς κατηξιώθη ὑπτιώθη χαυνωθεὶς ἀπὸ τόνου καὶ σπουδῆς συνεχοῦς καὶ ἀδιαλείπτου ἀγῶνος. ὁ τοιοῦτος οὖν ἐν ἀληθείᾳ ἄξιος θεοῦ καὶ υἱὸς βασιλείας τυγχάνει. 57.1.5 Πάντα οὖν τὰ ἐν κόσμῳ ὡς ἀποδέδεικται κατὰ τοῦ κεχαυνωμένου καὶ ὀλιγοπίστου καὶ τῷ φρονήματι νηπίου ἐμπόδια ἐστὶ πρὸς τὴν αἰώνιον ζωήν, εἴτε τὰ θλιβερὰ καὶ ἐπίπονα πάθη ἢ νόσοι ἢ πενία ἢ ὕβρις ἢ ἀδοξία ἢ καὶ ὁ τῆς κακίας ἐν κρυπτῷ γινόμενος πόλεμος, ἤτοι τὰ ἔντιμα, ὁ πλοῦτος, ἡ δόξα, οἱ ἔπαινοι, οἱ μακαρισμοί· ταῦτα πάντα κατὰ τοῦ ἀνθρώπου τοῦ νηπιάζοντος 57.1.6 τῇ φρονήσει ἐμπόδια ἐστὶ πρὸς τὴν αἰώνιον ζωήν. ἀντιστρέψας δὲ πάλιν εὑρήσεις ταῦτα πάντα ὑπὲρ τοῦ ἀνθρώπου τοῦ πιστοῦ καὶ συνετοῦ καὶ ἀνδρείου τυγχάνοντα καὶ ὥσπερ σύνεργα τῆς βασιλείας αὐτῷ γινόμενα τοῦ κατὰ ἀλήθειαν ἀγαπῶντος τὸν θεὸν καὶ τὰς ἐντολὰς αὐτοῦ ποιεῖν ἐπιθυμοῦντος, ὅτι πάντα τὰ ἐν τῷ κόσμῳ ἐμπόδια νομιζόμενα διαρρήξας, νικήσας καὶ ὑπερβὰς μόνον θεὸν ἠγάπησε καὶ αὐτῷ μόνῳ προσεπλάκη· ὥς φησιν ὁ προφήτης· «σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην». καὶ ὁ ἀπόστολός φησι· «τοῖς ἀγαπῶσι τὸν θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν». Καὶ ἡμεῖς τοίνυν ὀρθῷ φρονήματι καὶ πιστῇ διανοίᾳ ἑαυτοὺς τῷ κυρίῳ ἀποδιδόντες καὶ ὡς ἡμετέρῳ δεσπότῃ καὶ κτίστῃ ἀκολουθοῦντες ἀγάπην ἐκ προαιρέσεως διὰ τῆς τῶν ἐντολῶν ἐργασίας ἐπιδειξώμεθα, ἵνα διὰ τῶν τοιούτων ἔργων καὶ δι' ὀρθοῦ φρονήματος τῶν πνευματικῶν ἐπαγγελιῶν καταξιωθέντες ἐντεῦθεν καὶ τὴν καρδίαν διὰ τῆς χάριτος ἁγιασθέντες καὶ τῷ πνεύματι συνενωθέντες τῆς ἐπουρανίου βασιλείας κληρονόμοι γενώμεθα ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰώνας. Ἀμήν.

58.τ.1 ΛΟΓΟΣ ΝΗ΄.

58.1.1 Ὁ μακάριος ἀπόστολος Παῦλος, ὁ ἀρχιτέκτων τῆς ἐκκλησίας, πάντοτε φροντίζων τῆς ἀληθείας καὶ μὴ βουλόμενος δι' ἀγνοίας τοὺς ὑπηκόους τοῦ λόγου ἐμποδίζεσθαι ἀκριβέστερον καὶ τηλαυγέστερον τὸν σκόπον τῆς ἀληθείας ὑπέδειξε καὶ τοῦ Χριστιανισμοῦ τὸ τέλειον μυστήριον ἐγνώρισεν ἐν ἑκάστῃ πιστευούσῃ ψυχῇ, ὥστε δι' ἐνεργείας θείας τὴν πεῖραν λαμβάνειν, ὅπέρ ἐστιν ἡ τοῦ ἐπουρανίου φωτὸς ἐν ἀποκαλύψει καὶ δυνάμει ταῖς ἁγίαις ψυχαῖς τοῦ πνεύματος ἔλλαμψις, ἵνα μήτις τὸν διὰ γνώσεως μόνον φωτισμὸν τοῦ πνεύματος εἶναι νομίσας τοῦ τελειοτέρου τῆς χάριτος μυστηρίου δι' ἄγνοιαν καὶ ἀμέλειαν ἀποτύχοι, ἀλλὰ πολλῷ μᾶλλον βεβαιότερον τὸν δι' ἀποκαλύψεως νοεροῦ καὶ ἐπουρανίου φωτὸς τῆς ψυχῆς φωτισμὸν τοῖς ἀξίοις γινόμενον γνωρίσῃ τοῦ πνεύματος δόξαν λαβών, ἣν ἔφερε πρὸς βέβαιαν ἀσφάλειαν γνώσεως καὶ ἀκριβῆ διάκρισιν συνέσεως τοῖς εὐγνωμόνως καὶ φιλαλήθως 58.1.2 πειθομένοις. φησὶ γοῦν· «εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην, πόσῳ μᾶλλον ἡ διακονία τοῦ εὐαγγελίου ἔσται ἐν δόξῃ; εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ». «τὸ καταργούμενον» δὲ εἴρηκε διὰ τὸ τῷ σώματι Μωσέως περικεῖσθαι τὴν δόξαν τοῦ φωτός. καὶ ἐπάγει· «ἔχοντες οὖν τοιαύτην ἐλπίδα πολλῇ παρρησίᾳ χρώμεθα». καὶ προβὰς μικρὸν ἔδειξε τὴν ἀθάνατον ἐκείνην τοῦ πνεύματος δόξαν ἐν ἀποκαλύψει νῦν ἐν τῷ ἀθανάτῳ τοῦ ἔσω



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνθρώπου προσώπῳ τοῖς ἀξίοις ἀϊδίως καὶ ἀθανάτως καὶ ἀκαταργήτως· 58.1.3 ἐλλάμπεσθαι. φησὶ γοῦν· «ἡμεῖς δὲ πάντες» (τουτέστιν οἱ τελείᾳ πίστει ἐκ τοῦ πνεύματος γεννηθέντες) «ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμεθα τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος» «ἀνακεκαλυμμένῳ προσώπῳ», δηλονότι τῷ τῆς ψυχῆς, καί· «ἡνίκα δὲ ἐπιστρέψῃ τις πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα. 58.1.4 ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι». τηλαυγῶς οὖν διὰ τούτων, ἀπέδειξε καὶ ἐγνώρισεν εἶναι «κάλυμμα» σκότους κακίας, ὅπερ ἀπὸ τῆς παραβάσεως Ἀδὰμ εἰς τὴν ἀνθρωπότητα εἰσελθὸν τὴν ψυχὴν ἐκάλυψε, νῦν δὲ διὰ τῆς τοῦ ἐπουρανίου φωτὸς τοῦ πνεύματος ἐλλάμψεως «περιαιρεῖται» τῶν πιστῶν καὶ ἀξίων ψυχῶν· διὸ καὶ ἔλευσις τοῦ κυρίου γεγένηται, ὥστε εἰς τοιαῦτα μέτρα ἁγιότητος φθάσαι τοὺς ἀληθινῶς πιστεύοντας. 58.2.1 Οὐ μόνον οὖν νοημάτων καὶ γνώσεως ἀποκάλυψίς ἐστιν ὁ φωτισμὸς τῆς χάριτος, ἀλλὰ τὸ βέβαιον ὑποστατικοῦ φωτὸς ἐν ταῖς ψυχαῖς ἀΐδιος ἔλλαμψις. καὶ γὰρ γέγραπται· «ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Χριστοῦ», καί· «φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον»τουτέστιν, ἵνα μὴ τῆς σαρκὸς ἐξερχομένη ἡ ψυχή μου καλύπτηται τῷ τοῦ θανάτου τῆς κακίας καλύμματι, καί· «ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου», καί· «ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὁδηγήσουσι καὶ ἄξουσιν εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου», καί· «ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, κύριε· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου»· ἃ τὴν αὐτὴν ἀκολουθίαν τοῦ σκόπου παρίστησι. καὶ τὸν μακάριον δὲ Παῦλον τὸ «περιλάμψαν» ἐν τῇ ὁδῷ ὑπὲρ 58.2.2 τὸν ἥλιον οὐράνιον τοῦ πνεύματος «φῶς», δι' οὗ τῆς χάριτος κατηξιώθη, οὐ νοημάτων καὶ γνώσεως φωτισμὸς ἦν, ἀλλὰ δυνάμεως πνεύματος φωτὸς ὑποστατικῶς ἐν ψυχῇ ἔλλαμψις καὶ μυστηρίων οὐρανίων ὑποστατικῶς ἀποκάλυψις, οὗ τὴν ὑπερβολὴν τῆς λαμπρότητος οἱ τῆς σαρκὸς ὀφθαλμοὶ μὴ ἐνεγκόντες ἐτυφλώθησαν δι' οὗ φωτὸς καὶ πᾶσα γνῶσις ἀποκαλύπτεται καὶ ὁ θεὸς κατὰ ἀλήθειαν τῇ ψυχῇ γνωρίζεται. «οἷος» γὰρ «ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι» τουτέστιν οἱ ἐκ τοῦ πνεύματος ἄνωθεν γεννηθέντες καὶ πνεῦμα καὶ αὐτοὶ διὰ πολλῆς ἐν τῇ χάριτι προκοπῆς γενέσθαι καταξιωθέντες, καθὼς εἴρηται, ὅτι «τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστι», καὶ πάλιν· «οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ θελή58.2.3 ματος ἀνδρός, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν». ἡ γὰρ ἐπουράνιος εἰκὼν τοῦ πνεύματος τῇ ἀξίᾳ καὶ πιστῇ ψυχῇ ἑνωθεῖσα οὐρανίαν καὶ πνευματικὴν αὐτὴν κατὰ τὴν ἰδίαν τῆς ἁγιότητος ἀπεργάζεται χάριν. «καθὼς» γὰρ «ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου». εἰκὼν δὲ τοῦ ἐπουρανίου, Χριστὸς ἐν ἁγίαις ψυχαῖς φορούμενος. φησὶ γάρ· «ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπι58.2.4 θυμίας». πᾶσα γὰρ ψυχὴ ἡ διὰ τῆς πίστεως καὶ τῆς ἐν πάσαις ἀρεταῖς σπουδῆς ἐνδύσασθαι Χριστὸν τελείως ἀπεντεῦθεν ἐν δυνάμει καὶ πληροφορίᾳ καταξιωθεῖσα καὶ τῷ ἐπουρανίῳ τῆς ἀφθάρτου εἰκόνος φωτὶ ἑνωθεῖσα, μυστηρίων οὐρανίων ἐν ὑποστάσει γνῶσιν λαμβάνειν πάντοτε καταξιοῦται καὶ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι τὸ σῶμα τῇ ψυχῇ συνδοξασθὲν καὶ εἰς οὐρανοὺς ὑπὸ τοῦ πνεύματος κατὰ τὸ γεγραμμένον ἁρπαγὲν «εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα» καὶ «σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ» γενέσθαι καταξιωθὲν εἰς αἰῶνας ἅμα ψυχῇ Χριστῷ συμ58.2.5 βασιλεύσει. φωτισθεῖσαι γὰρ καὶ ἐλλαμφθεῖσαι ἀϊδίως καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀκαταργήτως ὑπὸ τοῦ ἐπουρανίου φωτὸς τοῦ πνεύματος ἀπὸ τοῦ νῦν αἱ ἄξιαι καὶ φιλαλήθεις ψυχαὶ καὶ τὸ κάλυμμα τῆς κακίας τοῦ σκότους περιαιρεθῆναι ὑπὸ τοῦ πνεύματος ἀπεντεῦθεν καταξιωθεῖσαι, τότε καὶ τῶν παθῶν τῆς κακίας τὴν παντελῆ ἀπολύτρωσιν λαμβάνουσι καὶ πασῶν ἐντολῶν τὴν κατόρθωσιν ἀμώμως καὶ τελείως ἐπιτελεῖν καταξιοῦνται καί, ὡς προείρηται, οὐρανίων μυστηρίων «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη», διὰ πείρας τὴν γνῶσιν δέχονται. «ἡμῖν, γάρ φησιν, ἀπεκάλυψεν ὁ θεὸς διὰ 58.2.6 τοῦ πνεύματος αὐτοῦ». καὶ οὕτως τέλειαι καὶ καθαραὶ καὶ ἄμωμοι διὰ τοῦ φωτισμοῦ τοῦ πνεύματος γενέσθαι καταξιωθεῖσαι ἐν τῷ κόσμῳ τούτῳ, ἐν ἐκείνῃ τῇ τῆς ἀναστάσεως ἡμέρᾳ συνδοξασθήσονται τοῖς σώμασι διὰ τοῦ ἀπὸ τοῦ νῦν ἐλλάμποντος ἐν αὐταῖς ἐπουρανίου καὶ πνευματικοῦ φωτός. «ὁ ἐγείρας, γάρ φησιν, Ἰησοῦν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ ἡμῶν σώματα διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ἡμῖν». 58.3.1 Ὅσῳ γάρ τις διὰ τῆς ἰδίας πίστεως καὶ σπουδῆς καὶ ἀγῶνος πνεύματος ἁγίου καὶ δόξης ἐπουρανίου μέτοχος νῦν γέγονε καὶ ἔργοις ἀγαθοῖς ἐκόσμησε τὴν ψυχήν, τοσοῦτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καταξιωθήσεται τοῦ καὶ τῷ σώματι συνδοξασθῆναι. ὃ γάρ τις ἐναπεθησαύρισεν ἔνδον, αὐτὸ προέρχεται ἔξω τότε. 58.3.2 καὶ καθάπερ ἐν χειμῶνι ὃν ἔχουσι τὰ ξύλα ἔνδον κεκρυμμένον καρπὸν αὐτὸν ἐν τῷ θέρει ἢ ἐν τῷ ἔαρι ἔξω προκομίζουσιν, οὕτω καὶ αἱ ψυχαὶ οὓς καρποὺς ἔνδον ἠγωνίσαντο κτήσασθαι, αὐτοὶ προέλθωσι τότε ἐπὶ τοῦ σώματος ἔξω καὶ τῶν μὲν ἁγίων ἡ θεοειδὴς τοῦ πνεύματος καὶ ἐπουράνιος εἰκὼν ἀπὸ τοῦ νῦν ἔνδον τυπωθεῖσα καὶ τὸ σῶμα θεοειδὲς καὶ φωτοειδὲς καὶ οὐράνιον ἔξω ἀπεργάσεται τότε. τῶν δὲ ἀναξίων καὶ ἁμαρτωλῶν τὸ σκοτεινὸν τοῦ κοσμικοῦ πνεύματος κάλυμμα τὴν ψυχὴν ἐκάλυψε καὶ διὰ τῆς ἐνεργείας τῶν παθῶν καὶ ἔργων τῶν πονηρῶν ἀσχήμονα καὶ σκοτεινὴν ἀπεργαζόμενον νῦν, καὶ τὸ σῶμα σκοτεινὸν καὶ ἄμορφον καὶ αἰσχύνης πεπληρωμένον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ 58.3.3 ἀποδείξει. ὥσπερ γὰρ ἐν τῇ παραβάσει τοῦ Ἀδὰμ τὴν ἀπόφασιν ἐκ τοῦ θεοῦ λαβόντος τὸ «ᾗ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε», πρότερον ἐπὶ τῆς ψυχῆς τοῦτο συνέβη τῶν νοερῶν καὶ ἀθανάτων αὐτῆς αἰσθητηρίων ἀπὸ τῆς ἐπουρανίου καὶ πνευματικῆς ἀπολαύσεως σβεσθέντων καὶ νεκρωθέντων καὶ σκότει καλυφθέντων, ὕστερον δὲ ὁ τοῦ σώματος θάνατος μετὰ ἐνακόσια τριάκοντα ἔτη γέγονεν, οὕτω νῦν πάλιν καταλλαγέντος Χριστοῦ τῇ ἀνθρωπότητι καὶ σαρκωθέντος καὶ σταυρὸν καὶ θάνατον διὰ τὴν ἡμετέραν σωτηρίαν καὶ ἀνάκλησιν ὑπομείναντος τὴν πιστεύουσαν ἐν ἀληθείᾳ ψυχὴν ἐν σαρκὶ οὖσαν ἔτι ἀποκαθίστησιν εἰς τὴν τῶν ἀρρήτων μυστηρίων καὶ οὐρανίων φωτῶν ἀπόλαυσιν καὶ ἐλευθεροῖ αὐτὴν ἐκ τῆς σκοτίας τοῦ καλύμματος τῶν παθῶν διὰ τῆς κοινωνίας τοῦ πνεύματος καὶ τὰ νοερὰ αὐτῆς αἰσθητήρια πάλιν ἀποκαθίστησι θείῳ φωτὶ ταύτην διὰ τῆς χάριτος δοξάζων. καὶ μετὰ τοῦτο ἐν τῇ ἀναστάσει ἀποκατασταθήσεται τὸ σῶμα εἰς τὴν ἀθάνατον καὶ ἄφθαρτον δόξαν καὶ τότε φωτὸς οὐρανίου στιλβότητα ἀμφιασθὲν αἰωνίων 58.3.4 ἀγαθῶν σὺν τῇ ψυχῇ ἀπολαύσει. τοίνυν ὀφείλει ἕκαστος ἡμῶν ἀγωνίσασθαι καὶ πονῆσαι καὶ σπουδάσαι ἐν τῷ ὀλίγῳ τούτῳ χρόνῳ διὰ τῆς εἰλικρινοῦς πίστεως καὶ τῆς τῶν ἐντολῶν ἐργασίας τὸν ἐπουράνιον τοῦτον θησαυρὸν ἐντεῦθεν κτήσασθαι, ἵνα διὰ τούτου ὡς προείρηται καὶ τῶν παθῶν τῆς κακίας τὴν παντελῆ ἀπολύτρωσιν λαβεῖν καταξιωθῶμεν καὶ πασῶν τῶν ἐντολῶν τελείαν τὴν ἐργασίαν εὐχερῶς κατορθώσωμεν καὶ τοῦ σκοτεινοῦ τῆς ψυχῆς καλύμματος τὴν περιαίρεσιν δεξώμεθα, καὶ οὕτως ἐν τῇ μελλούσῃ τῆς ἀναστάσεως ἡμέρᾳ τῶν σωμάτων ἡμῶν συνδοξασθῆναι τῇ ἀπὸ τοῦ νῦν διὰ τοῦ φωτισμοῦ τοῦ πνεύματος προδοξασθείσῃ ψυχῇ καταξιωθέντων καὶ ἐπουρανίῳ στολῇ στολισθέντων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μετὰ Χριστοῦ συμβασιλεύσωμεν ἐν ἀναπαύσει αἰωνίῳ καὶ ἀνεκλαλήτῳ εἰς τοὺς αἰῶνας. Ἀμήν.

59.τ.1 ΛΟΓΟΣ ΝΘ΄.

59.1.1 Οἱ ἀναχωρήσαντες τοῦ κόσμου καὶ γνησίως λόγων θεοῦ ἐπακούσαντες καὶ σεμνῶς πολιτευόμενοι, ὄντες δὲ ἔτι ὑπὸ τὸ τῶν παθῶν κάλυμμα, ὅπερ διὰ τῆς παρακοῆς τοῦ Ἀδὰμ πάντες ἐκτήσαντοτουτέστι τὸ σαρκικὸν τῶν πονηρῶν λογισμῶν φρόνημα, ὅπερ θάνατον ὁ ἀπόστολος καλεῖ λέγων· «τὸ φρόνημα τῆς σαρκὸς θάνατος»οὗτοι ἐοίκασιν ἀνθρώποις ἐν νυκτὶ βαδίζουσιν· ὑπὸ γὰρ τῶν ἄστρων (τουτέστι τῶν ἁγίων γραφικῶν ἐντολῶν) καταυγαζόμενοι ὅμως ἐν νυκτί εἰσιν, τῇ ἀοράτῳ τῶν παθῶν ἐνεργείᾳ καὶ προσκόπτουσι καὶ πάντα ἀκριβῶς καθορᾶν οὐ δύνανται διὰ τὴν τοῦ σκότους τῶν παθῶν 59.1.2 ἐνέργειαν. διὸ χρὴ αὐτοὺς πόνῳ καὶ πολλῇ πίστει ἐν ἀρεταῖς διάγοντας δεηθῆναι τοῦ ἐπουρανίου δεσπότου, ἵνα διαυγασάσης τῆς ἡμέρας τοῦ ἡλίου τῆς δικαιοσύνης ἐν ταῖς καρδίαις αὐτῶν πάντα κατιδεῖν ἀκριβῶς δυνήσωνται καὶ τῶν νοητῶν θηρίων τὴν ποικίλην καὶ διάφορον βλάβην καὶ τῶν ἐν τῷ ἀφθάρτῳ κόσμῳ ἀπολαύσεων τὴν ἄρρητον ποικιλίαν τῶν ἀγαθῶν καὶ τὰ ἐξαίσια κάλλη, ἅπερ οἱ πνευματικοὶ καὶ τέλειοι ἄνδρες, οἷς ἐνεργῶς τὸ νοητὸν φῶς ἐν ταῖς καρδίαις διηύγασεν, γνωρίζουσιν ἐν ἀληθινῇ διακρίσει, καὶ τῶν κρειττόνων τὰς ἀρετὰς καὶ τῶν χειρόνων τὴν δεινότητα κατὰ τὴν ἑκάστου διάφορον ἐνέργειαν, καθὼς ὁ μακάριός φησι Παῦλος· «τελείων ἐστὶν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ», καὶ ὁ μακάριος Πέτρος λέγει· «καὶ ἡμεῖς ἔχομεν τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαινομένῳ ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν», καὶ ἀλλαχοῦ· «ὑμῖν» δὲ «τοῖς φοβουμένοις» τὸν κύριον «ἀνατελεῖ 59.1.3 ἥλιος δικαιοσύνης καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ». οἱ δὲ τῷ κόσμῳ πεφυρμένοι ἐοίκασιν ἀνθρώποις περιπατοῦσιν ἐν νυκτὶ ζοφερᾷ νεφέλης καὶ ὁμίχλης πεπληρωμένῃ, ἐν ᾗ οὔτε ὀλίγον αὗγος φωτὸς ἄστρου λάμπειτουτέστι λόγου θείου τὴν ψυχὴν διαυγάζοντοςὡς ἐοικέναι αὐτοὺς τυφλοῖς. οὕτως οἱ τὸ ὅλον ἐν ταῖς ὑλικαῖς περιπλοκαῖς ἐμπεφυρμένοι καὶ θεοῦ φόβῳ μήτε ἐντολὰς ἢ ἄλλας τινὰς ἀγαθοεργίας ἐργαζόμενοι, ἀλλὰ τὸ ὅλον τῇ μα59.1.4 ταιότητι τοῦ κόσμου ἐν τοῖς χαλεποῖς ἔργοις ἠπατημένοι. ὅσοι δὲ βιωτικοὶ ὑπὸ ἐντολῶν θεοῦ ὥσπερ ὑπὸ ἄστρων καταυγάζονται, πίστει καὶ φόβῳ θεοῦ ἀναστρεφόμενοι οὔκ εἰσι τὸ ὅλον ἐν τῇ ζοφώδει καὶ ζοφερᾷ νυκτί· διὸ καὶ ἐλπίδα σωτηρίας ἔχειν δύνανται. 59.1.5 Ὥσπερ γὰρ ἐκ διαφόρων τεχνῶν καὶ ἐκ διαφόρων ἐπιτηδευμάτων οἱ ἄνθρωποι ἐν τῷ κόσμῳ τούτῳ τὸν πλοῦτον συνάγουσι καὶ ἐκ διαφόρων τρόπων ἐν ταῖς ἀρχοντικαῖς τάξεσι τὸ κέρδος τοῦ χρυσοῦ πορίζεται καὶ ἐκ διαφόρων κτημάτων ἢ ζῴων ἢ ἄλλων τινῶν τῷ οἰκοδεσπότῃ ὁ χρυσὸς συνάγεται, οὕτω καὶ ἐκ διαφόρων χαρισμάτων (καθὼς εἴρηται· «ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα») καὶ ἐκ διαφόρων ἀσκήσεων καὶ ἐκ δικαιωμάτων καὶ ἀρετῶν διὰ θεὸν γινομένων ἕκαστος τὸν ἐπουράνιον χρυσὸν (τουτέστι τὸν ἐπουράνιον πλοῦτον τοῦ πνεύματος τῆς αἰωνίου ζωῆς), κατὰ τὴν καλὴν ἐπιτήδευσιν καὶ σπουδὴν καὶ πίστιν πορίζεται. τούτου ἕνεκεν οὐ χρὴ ἕκαστον τὸν πλησίον κρίνειν ἢ καταγινώσκειν ἢ ἐξουδενεῖν, μόνον τρεχέτω ἕκαστος διὰ θεὸν πιστῶς καὶ ἀγωνιζέσθω καὶ ποριζέτω τὸ πνευ59.1.6 ματικὸν κέρδος. πλὴν φαίνονται οἱ τὸν χρυσὸν ὀρύσσοντες οἱ αὐτὰς τὰς φλέβας τοῦ χρυσοῦ ζητοῦντες, τουτέστιν οἱ σκοπῷ ἀκροτάτῳ τοῦ φθάσαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

εἰς τελειότητα ἀπαύστως καὶ ἀνενδότως τρέχοντες. οἱ γὰρ διὰ μακροθυμίας καὶ ὑπομονῆς τὰς τέχνας ἐργαζόμενοι κατὰ μικρὸν κατὰ μέρος πλουτοῦσιν ἢ καὶ ἔνδοξοι τῷ κόσμῳ γίνονται, οἱ δὲ μίσθιοι Εἱλῶται οἱ ὀκνηροί, οἱ εὐθέως τὸ ἐμπῖπτον ἐσθίοντες, μὴ μετὰ μακροθυμίας κάμνοντες, ἀεὶ γυμνοὶ 59.1.7 καὶ πένητες ἀπομένουσιν. οὕτως οἱ ἀεὶ ἐπ' ἐλπίδι τὰ τῆς ἀρετῆς ἔργα μετὰ μακροθυμίας καὶ ὑπομονῆς σπουδαίως ἐμπονοῦσι καὶ πιστῶς ἀπεκδέχονται τὴν ἐπουράνιον ἐλπίδα καὶ τὴν ἀντίληψιν τῆς χάριτος πρὸ ὀφθαλμῶν ἔχοντες, ἀληθῶς οὗτοι πλοῦτον τὸν τοῦ πνεύματος συνάγουσι διὰ τῆς ὑπομονῆς αὐτῶν καὶ μακροθυμίας καὶ πόνου καὶ δεήσεως, διὸ καὶ ἔνδοξοι τῷ αἰῶνι ἐκείνῳ παρὰ θεῷ εὑρίσκονται, οἱ δὲ ἀνυπομόνητοι, οἱ μόνον εἰς τὸ λαβεῖν τὴν χάριν ἕτοιμοι, τὸ δὲ πονεῖν καὶ κάμνειν καὶ ἐν πᾶσι θεῷ εὐαρεστεῖν μὴ ὑπομένοντες ἐν πάσῃ μακροθυμίᾳ, ἀπογυμνοῦνται καὶ ἧς κατηξιώθησαν χάριτος. πάντοτε γὰρ ἡ ἀσθενὴς καὶ ὀκνηρὰ προαίρεσις ἀσύμφωνος οὖσα τῇ χάριτι, γυμνὴ ἀπὸ καλῶν ἔργων καὶ πενιχρὰ ἀπὸ ἀρετῶν εὑρισκομένη, ἀδόκιμος καὶ ἄδοξος παρὰ τῷ θεῷ ἐν ἐκείνῳ τῷ αἰῶνι ἀποδείκνυται. 59.2.1 Ὁ γὰρ βουλόμενος ἐξ ἀληθείας εὐαρεστῆσαι τῷ κυρίῳ καὶ κατὰ ἀλήθειαν τῷ ἐναντίῳ τῆς κακίας μέρει ἀντιστῆναι προθυμούμενος εἰς δύο ἀθλήσεις καὶ δύο ἀγῶνας ἔχει τὴν πάλην· εἴς τε τὰ φανερὰ τοῦ κόσμου πράγματα, καὶ εἰς περισπασμοὺς γηΐνους καὶ εἰς ἀγάπην δεσμῶν σαρκικῶν (παθῶν τῆς ἁμαρτίας), καὶ ἐν τοῖς κρυπτοῖς πρὸς αὐτὰ τὰ τῆς πονηρίας πνεύματα, περὶ ὧν ὁ ἀπόστολος ἔλεγεν· «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ 59.2.2 αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». κατὰ δύο γὰρ τρόπους δυσὶν ἁλύσεσι δεσμῶν ἐδέθη ὁ ἄνθρωπος, παραβὰς τὴν ἐντολὴν καὶ ἐξορισθεὶς ἀπὸ τοῦ παραδείσου, ἐν τῷ κόσμῳ τούτῳ, ἔν τε τοῖς βιωτικοῖς πράγμασι καὶ τῇ τοῦ κόσμου ἀγάπῃ καὶ τῶν σαρκικῶν ἡδονῶν καὶ πλούτου καὶ δόξης καὶ κτημάτων, γυναικός, τέκνων, συγγενῶν, πατρίδος, τόπων, ἐνδυμάτων καὶ ἁπαξαπλῶς πάντων τῶν φαινομένων, ἀφ' ὧν ὁ λόγος τοῦ θεοῦ κελεύει αὐτὸν λυθῆναι ἰδίᾳ προαιρέσειἐπειδὴ εἰς πάντα τὰ φαινόμενα ἑκουσίως ἕκαστος δέδεται, ἵνα τούτων πάντων ἑαυτὸν λύσας καὶ ἐλευθερώσας δυνηθῇ τελείως τῆς ἐντολῆς ἐγκρατὴς γενέσθαικαὶ ἐν τῷ κρυπτῷ δὲ περιτετρίγχωται καὶ περιπέφρακται καὶ περιτετείχισται καὶ δέδεται ἁλύσεσι σκότους ἡ ψυχὴ ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, μὴ δυναμένη ὡς θέλει ἀγαπᾶν τὸν κύριον καὶ ὡς θέλει πιστεύειν καὶ ὡς θέλει προσεύξασθαι. πάντων γὰρ ἡ ἐναντιότης ἐν τοῖς φανεροῖς καὶ ἐν τοῖς κρυπτοῖς ἀπὸ τῆς παραβάσεως τοῦ πρώτου ἀνθρώπου εἰς ἡμᾶς κατήντησεν. 59.2.3 Ἐπὰν τοίνυν ἀκούσας τίς τοῦ λόγου τοῦ θεοῦ ἀγωνίσηται καὶ ἀπορρίψῃ τὰ τοῦ βίου πράγματα καὶ δεσμοὺς κόσμου καὶ πάσας τὰς σαρκικὰς ἡδονὰς ἀρνήσηται λύσας ἑαυτὸν ἀπὸ τούτων, τότε προσκαρτερῶν τῷ κυρίῳ καὶ σχολάζων αὐτῷ δύναται ἐπιγνῶναι, ὅτι ἐστὶν ἔνδον ἐν τῇ καρδίᾳ ἄλλη πάλη καὶ ἄλλη ἐναντιότης κρυπτὴ καὶ ἄλλος πόλεμος λογισμῶν καὶ πνευμάτων τῆς πονηρίας, καὶ ἄλλος ἀγὼν πρόκειται. καὶ οὕτω δύναται παραμένων καὶ ἐπικαλούμενος τὸν κύριον ἐν πίστει ἀδιακρίτῳ καὶ ὑπομονῇ πολλῇ καὶ τὴν παρ' αὐτοῦ βοήθειαν ἐκδεχόμενος τυχεῖν ἐκείνης τῆς ἔνδοθεν λυτρώσεως τῶν δεσμῶν καὶ τριγχῶν καὶ φραγμῶν καὶ σκότους πνευμάτων πονηρίας, ἅπερ 59.2.4 εἰσὶν αἱ τῶν κρυπτῶν παθῶν ἐνέργειαι. οὗτος δὲ ὁ πόλεμος διὰ χάριτος καὶ δυνάμεως θεοῦ δύναται καταργεῖσθαι. δι' ἑαυτοῦ γάρ τινα ῥυσθῆναι τῆς ἐναντιότητος καὶ πλάνης τῶν λογισμῶν καὶ παθῶν ἀοράτων ἀμήχανον, μόνον δὲ τὸ ἀντιλέγειν καὶ ἀντιπίπτειν καὶ μὴ συνήδεσθαι αὐτοῖς δυνατόν. εἰ δὲ τοῖς φαινομένοις τις ἐνέχεται τοῦ κόσμου τούτου πράγμασι καὶ δεσμοῖς ποικίλοις γηΐνοις κεκράτηται καὶ τοῖς πάθεσι τῆς κακίας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συναπάγεται, οὐδὲ ἐπιγινώσκει ὅτι ἐστὶν ἄλλη πάλη καὶ πυκτὴ καὶ πόλεμος ἔνδον. γένοιτο γάρ, ἵνα ὅτε τις ἄρῃ ἑαυτὸν ἀγωνισάμενος καὶ λύσῃ ἀπὸ πάντων τῶν φαινομένων δεσμῶν κοσμικῶν καὶ ὑλικῶν πραγμάτων καὶ ἡδονῶν σαρκικῶν, καὶ ἄρξηται τῷ κυρίῳ προσκαρτερεῖν κενῶν ἑαυτὸν ἀπὸ τοῦ κόσμου τούτου, εἶθε καὶ τότε δυνήσηται ἐπιγνῶναι τὴν ἔνδοθεν πλάνην τῶν παθῶν αὐλιζομένην καὶ 59.2.5 τὸν ἔνδον πόλεμον καὶ τοὺς ἔσω δεσμούς. ἐὰν γὰρ μή, ὡς προέφημεν, ἀγωνισάμενος ἀρνήσηται τὸν κόσμον καὶ λύσῃ ἑαυτὸν ἀπὸ τῶν γηΐνων ἐπιθυμιῶν ἐξ ὅλης καρδίας καὶ ὅλος ἐξ ὅλου θελήσῃ τῷ κυρίῳ προσκαρτερεῖν, οὐκ ἐπιγινώσκει τὴν κρυπτὴν τῶν πνευμάτων τῆς πονηρίας πάλην καὶ τὰ κρυπτὰ τῆς κακίας πάθη, ἀλλ' ἐστὶν ἀλλότριος ἑαυτοῦ, ὡς οὐκ οἶδε τραύματα καὶ πάθη ἔχων κρυπτὰ καὶ ἀγνοῶν αὐτά, ἐπειδὴ εἰς τὰ φαινόμενα δέδεται καὶ εἰς τὰ τοῦ κόσμου πράγματα ἑκὼν ἐνέχεται. 59.2.6 Τῷ γὰρ ἀρνησαμένῳ κατὰ ἀλήθειαν τὸν κόσμον καὶ ἀγωνισαμένῳ καὶ ἀπορρίψαντι ἀφ' ἑαυτοῦ τὸ φόρτιον τῆς γῆς καὶ τῶν ματαίων ἀσχολιῶν καὶ ἐπιθυμιῶν καὶ ἡδονῶν σαρκικῶν καὶ δόξης καὶ ἀρχῆς καὶ τιμῶν ἀνθρωπίνων, ἄραντι ἑαυτὸν καὶ ἐξ ὅλης καρδίας τούτων πάντων ἀναχωρήσαντι εἰς τοῦτον τὸν ἀγῶνα ὁ κύριος κρυπτῶς βοηθεῖ κατὰ τὸ μέτρον τοῦ θελήματος τῆς ἀρνήσεως τοῦ κόσμουκαὶ σταθεὶς εἰς τὴν τοῦ κυρίου λατρείαν καὶ προσκαρτερήσας ὅλος ἐξ ὅλου (σώματι τε καὶ ψυχῇ λέγω), ἐκεῖνος εὑρίσκει ἐναντιότητα καὶ πάθη κρυπτὰ καὶ δεσμοὺς ἀοράτους καὶ πόλεμον ἀφανῆ καὶ ἀγῶνα καὶ ἄθλησιν κρυπτήν, καὶ οὕτω δεηθεὶς τοῦ κυρίου ἐν πίστει καὶ λαβὼν ὅπλα ἐξ οὐρανοῦ τὰ τοῦ πνεύματος, ἅπερ κατέλεξεν ὁ μακάριος ἀπόστολος, «τὸν θώρακα τῆς δικαιοσύνης» καὶ «τὴν περικεφαλαίαν τοῦ σωτηρίου» καὶ «τὸν θυρεὸν τῆς πίστεως» καὶ «τὴν μάχαιραν τοῦ πνεύματος», ὁπλισάμενος δυνήσεται «στῆναι πρὸς τὰς μεθοδείας τὰς κρυπτὰς τοῦ διαβόλου» ἐν ταῖς ἐνεστώσαις πονηραῖς ἡμέραις· ἅπερ ὅπλα διὰ πάσης προσευχῆς καὶ προσκαρτερήσεως καὶ δεήσεως, τὸ δὲ πᾶν διὰ πίστεως πορισάμενος τὸν πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας καὶ τοὺς κοσμοκράτορας πόλεμον καταγωνίσασθαι δυνήσεται, καὶ οὕτω νικήσας τὰς ἐναντίας δυνάμεις διὰ τῆς ἐνεργείας τοῦ ἁγίου πνεύματος καὶ τῆς ἰδίας ἐν πάσῃ ἀρετῇ σπουδῆς, τῆς αἰωνίου ζωῆς ἀξιωθήσεται εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

60.τ.1 ΛΟΓΟΣ Ξ΄.

60.1.1 Ὁ βουλόμενος κατὰ ἀλήθειαν ἑαυτὸν τῷ κυρίῳ ἀποδοῦναι διὰ τὴν μέλλουσαν τῆς βασιλείας ἐπαγγελίαν τοῦ πονηροῦ ἀνταγωνιζομένου παντὶ τρόπῳ καὶ ποικίλως ἑκάστῃ ψυχῇ πολεμοῦντος πρὸ πάντων πίστιν ἑδραίαν καὶ ἐλπίδα βεβαίαν ἀναλαβεῖν ὀφείλει, ἵνα δι' αὐτῶν τὰ πεπυρωμένα τοῦ πονηροῦ βέλη σβέσαι δυνηθῇ. 60.1.2 μυρία δὲ ὁ ἀντικείμενος ποιεῖ βουλόμενος χαυνοῦν τὴν προαίρεσιν καὶ ἀποσπᾶν τῆς ἐλπίδος καὶ τῆς ἀγάπης τῆς εἰς τὸν κύριον πολεμῶν τὴν ψυχὴν διαφόρως ἢ ἔνδον θλίψεις διὰ τῶν τῆς πονηρίας πνευμάτων ἐπάγων ἢ λογισμοὺς μυσαροὺς καὶ ματαίους καὶ ῥυπαροὺς ἐνσπείρων καὶ τῶν προτέρων ἁμαρτημάτων μνήμην ποιῶν κατακρίνων τὴν ψυχὴν πρὸς τὸ τὴν προαίρεσιν εἰς χαύνωσιν ἐνεγκεῖν ὡς ἀδύνατόν ἐστι σωτηρίας τυχεῖν, ὥστε εἰς ἀνελπιστίαν ἐνεγκεῖν τὴν ψυχὴν ὡς ἐξ αὐτῆς διὰ τῶν ματαίων καὶ πονηρῶν λογισμῶν ἀτοπήματα γεννώσης ἐν καρδίᾳ καὶ οὐχ ὡς τοῦ ἀλλοτρίου σπείροντος ἐν αὐτῇ, τοῦτο τῆς κακίας ὑποτιθεμένης καὶ μὴ βουλομένης γνωρίζεσθαι ὅτι ἔστι μετὰ τῆς ψυχῆς ἀλλότριον τοῦ θεοῦ ἐγκόσμιον πνεῦμα πλάνης πρὸς τὸ εἰς ἀπελπισμὸν τὴν ψυχὴν ἀγαγεῖν. 60.1.3 καὶ ἐὰν διὰ πάντων τούτων ὁ πονηρὸς τῇ ψυχῇ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πολεμεῖν ἐπιχειρῇ, ὁ ἄνθρωπος τῆς πρὸς κύριον ἐλπίδος μὴ ἐκστήτω, ἀλλὰ πλέον προσκολληθήτω ἑκάστοτε ὡς μόνῳ χρηστῷ καὶ εὐσπλάγχνῳ καὶ δυναμένῳ τὰ ἀσθενήματα τῆς ψυχῆς ἰάσασθαι, ἀεὶ αὐτὸν ἀγαπῶν καὶ τοῦτο ἐν ἑαυτῷ λογιζόμενος· "1ἐὰν ἀπὸ θεοῦ στραφῇς καὶ τοῦ ὀρθοῦ τῆς ἀσκήσεως βίου, πρὸς ἄλλο τι ἀδύνατον ἀπελθεῖν σε, εἰ μὴ τάχα εἰς ἀπώλειαν καὶ γέενναν ὡς σεαυτὸν παραδιδόντα 60.1.4 ταῖς τοῦ πονηροῦ συμβολίαις."2 κἂν μυρίας τοίνυν μαχαίρας τῶν πεπυρωμένων βελῶν τῶν παθῶν τῆς κακίας καὶ τῶν ἀτόπων καὶ πονηρῶν διαλογισμῶν ἑκάστης ἡμέρας ἐμβάλῃ ὁ πονηρὸς ἑκάστῳ τῶν ἀδελφῶν πρὸς τὸ χαυνῶσαι καὶ ἀποστρέψαι τῆς ὅδου τῆς δικαιοσύνης καὶ εἰς ἀπελπισμὸν ἀγαγεῖν, μᾶλλον καταφυγέτω καὶ ἐλπισάτω ἐπὶ τὸν θεόν, ὅτι οὕτω βούλεται ὁ κύριος δοκιμασθῆναι τὰς αὐτῷ προσφυγούσας ψυχάς, ὅπως γνωρισθῶσιν οἱ ἄνθρωποι ἐξ ἀληθείας, ὅτι πάντα μισήσαντες θεὸν μόνον ἠγάπησαν καὶ πολλὰ κακὰ ὑπὸ τῆς κακίας παθόντες πρὸς τὸ μὴ θεῷ προσεγγίζειν καὶ τὸ θέλημα αὐτοῦ ἐπιτελεῖν, αὐτοὶ πλείονα πόθον πρὸς αὐτὸν ἐκτήσαντο, μυρίους θανάτους ὑπεριδόντες καὶ αὐτὸν μόνον ἀγαπήσαντες καὶ αὐτὸν κληρονομῆσαι ἐπιθυμήσαντες καὶ πᾶσαν τὴν σπουδὴν αὐτῶν καὶ τὸν πόνον καὶ τὸν ἀγῶνα πάσας τὰς ἡμέρας ὡς μικρὸν ἡγησάμενοι, καὶ ὡς οὐδὲν ἄξιον τῶν ἐλπιζομένων ἀγαθῶν 60.1.5 ποιεῖν δυνάμενοι· χίλια γὰρ ἔτη τοῦ αἰῶνος τούτου ἐν τῷ αἰωνίῳ καὶ ἀφθάρτῳ κόσμῳ τοσοῦτον ἔχει σύγκρισιν, ὡς ἐάν τις βραχείαν ψάμμον ἀπὸ ὅλης τῆς ψάμμου τῆς θαλάσσης λάβῃοὕτως ἀπέραντος καὶ ἄπειρος ὁ τῶν δικαίων αἰὼν καὶ ἡ τῶν οὐρανῶν βασιλεία. 60.2.1 Αἱ τοιαύτῃ οὖν συνέσει ἀγωνιζόμεναι ψυχαὶ καὶ τοιαύτῃ ἐλπίδι ὑπομένουσαι, πάσας τὰς θλίψεις διὰ τὴν πρὸς κύριον ἐλπίδα βεβαίως κρατοῦσαι οὐ καταισχυνθήσονται, δόκιμοι ἐν πειρασμοῖς εὑρεθεῖσαι κατὰ τὸ εἰρημένον· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα»; καὶ τὰ ἑξῆς, καὶ πάλιν· «ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα», καὶ ὁ κύριος· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν», καὶ πάλιν· «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται», ὥστε πᾶσαι αἱ ἐπιφερόμεναι ὑπὸ τοῦ πονηροῦ θλίψεις τοῖς ἀνθρώποις, ἐὰν ἐλπίδι καὶ μακροθυμίᾳ γενναίως ὑπομείνωσιν, εἰς στηριγμὸν 60.2.2 καὶ ἑδραιότητα γίνονται καὶ πλέον δοκίμους αὐτοὺς ἀπεργάζονται. λόγισαι γάρ μοι· ἐὰν ὅλης τῆς γῆς βασιλέα σε καταστήσωσι μόνον, καὶ τοὺς θησαυροὺς ὅλης τῆς οἰκουμένης μόνῳ σοὶ προσενέγκωσι, καὶ εἰ μόνος ἐβασίλευες καὶ ἐκράτεις τῆς οἰκουμένης, ἀφ' οὗ τὸ γένος τῶν ἀνθρώπων ἔκτισται ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἆρα ἀντικατήλλασσες τὴν μὴ ἀληθινὴν καὶ μὴ αἰώνιον καὶ μὴ ἀπέραντον ζωὴν τῆς τῶν οὐρανῶν βασιλείας, ἥτις τῆς βασιλείας τέλος καὶ 60.2.3 διαδοχὴν οὐκ ἔχει. δῆλον ὅτι ἐὰν ὀρθῷ νῷ διακρίνῃς, ἐρεῖς· "1ἐμοὶ μὴ γένοιτο καταλλάξαι τὴν φθαρτὴν βασιλείαν τῆς ἀφθάρτου καὶ ἀπεράντου βασιλείας."2 ὡς καὶ ὁ κύριος εἴρηκεν· «τί γὰρ ὄφελος ἀνθρώπῳ, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιώθῃ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;» ὥστε παντὸς τοῦ κόσμου καὶ τῆς βασιλείας αὐτοῦ καὶ χρημάτων καὶ δόξης μόνη ἡ ψυχὴ τιμιωτέρα καὶ ἀξιολογωτέρα, οὐχ ὅτι γε ἡ τῶν οὐρανῶν βασιλεία ἐντιμοτέρα δὲ κατὰ τοῦτο, ὅτι οὐδενὶ τῶν κτισμάτων εὐδόκησεν ὁ θεὸς τὴν ἰδίαν φύσιν διὰ τοῦ πνεύματος ἑνῶσαι καὶ συγκενῶσαι, οὐκ οὐρανῷ οὐχ ἡλίῳ, οὐ σελήνῃ οὐκ ἄστροις, οὐ θαλάσσῃ οὐ γῇ, οὐχ ἑτέρᾳ τινὶ τῶν ὁρωμένων κτίσει ἢ μόνῳ ἀνθρώπῳ τῷ ἀγαπῶντι αὐτὸν παρὰ πάντα. 60.2.4 εἰ οὖν τὰ μεγάλα τοῦ κόσμου κτήματα, οἷον πλοῦτον καὶ αὐτὴν τὴν ἐπίγειον βασιλείαν ὅλην, λογισμὸν ὀρθὸν λαβόντες οὐχ αἱρούμεθα ἀντικαταλλάξαι τῆς αἰωνίου καὶ οὐρανίου βασιλείας, πῶς οἱ πλείονες ἀντικαταλλάσσομεν αὐτὴν ταλαιπώροις καὶ ἐξουθενημένοις τοῦ κόσμου



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πράγμασιν, οἷον ἢ ἐπιθυμίᾳ τινὶ τοῦ κόσμου ἢ δόξῃ ματαίᾳ ἢ αἰσχρῷ τινι κέρδει; ὅπερ
γάρ τις τοῦ αἰῶνος τούτου ἀγαπᾷ καὶ εἰς ὅ τις δεσμεύεται οἱονδήποτε κοσμικὸν καὶ
φθαρτὸν πρᾶγμα, ἐκεῖνο ἀντικαταλλάσσεται τῆς τῶν οὐρανῶν βασιλείας. ὃ γάρ τις
ἀγαπᾷ, ἐκεῖνο ὁ θεὸς αὐτοῦ ἐστιν, ὡς εἴρηται· «ᾧ τις ἥττηται, τούτῳ καὶ 60.2.5
δεδούλωται». χρὴ γὰρ τὸν ὄντως ζωῆς αἰωνίου ὀρεγόμενον καὶ βασιλείας οὐρανῶν
ἐπιθυμίαν ἔχοντα πάντων τῶν τοῦ αἰῶνος τούτου ἀνώτερον καὶ μείζονα γενέσθαι καὶ
ὑπερβῆναι πάντας ὅρους κοσμικοὺς καὶ πᾶσαν δόξαν γηΐνην καὶ ὅλους δεσμοὺς ὕλης
διαρρῆξαι καὶ τὴν ἐπουράνιον τοῦ Χριστοῦ δόξαν μόνην ἀγαπῆσαι καὶ μηδὲν ἕτερον
ἐκείνῃ τῇ ἀγάπῃ μιγνύειν καὶ ἀγαπᾶν 60.2.6 τι τοῦ βίου τούτου. οἱ γὰρ θεοῦ ὄντως
ἀληθινὴν ἀγάπην ἀναλαβόντες ὥσπερ μάχαιρα δίστομος πᾶσαν ἄλλην ἀγάπην
διακόπτουσι καὶ πάντα δεσμὸν ὕλης διαρρήσσουσι καὶ οὐδέν τι τῶν φαινομένων ψυχὴν
ἐκείνην κατέχειν δύναται, οὐχ ἡδονή τις, οὐ δόξα, οὐ πλοῦτος, οὐ δεσμὸς σαρκικός,
οὐδέ τι τῶν τῆς ὕλης πραγμάτων, ἀλλ' ἡ μόνον θεὸν ἀγαπῶσα ψυχὴ σὺν αὐτῷ οὐδὲν
ἕτερον τοῦ αἰῶνος τούτου ἀγαπᾷ. 60.3.1 Ἀγώνων τοίνυν καὶ πόνων μεγάλων καὶ
ἰσχυρῶν ἐστι τὰς μεγάλας ἐπαγγελίας τῆς αἰωνίου ζωῆς καρπώσασθαι. χρὴ γάρ τινα
ὅλον ἐξ ὅλου ἑαυτὸν τῷ θεῷ ἀποδοῦναι, καθὼς γέγραπται· «ἐξ ὅλης καρδίας καὶ
δυνάμεως καὶ ἰσχύος», καὶ ὅλῳ θελήματι καὶ νῷ ἀνακρεμάσαι ἑαυτὸν καὶ σταυρῶσαι
ψυχῇ καὶ σώματι διηνεκῶς καὶ ἀδιαλείπτως ἐν πάσαις ταῖς ἁγίαις ἐντολαῖς, ὅπως
δυνηθῇ τυχεῖν τῆς ἐπηγγελμένης ζωῆς τοῖς τὸν θεὸν ἀγαπῶσι καὶ αἰωνίου βασιλείας
καταξιωθῆναι. εἰ γὰρ ἐν τῇ ἐπιγείῳ καὶ φθαρτῇ καὶ παρερχομένῃ βασιλείᾳ μεγάλοι
ἱδρῶτες καὶ κάματοι καὶ πόλοι καὶ μόχθοι ἀνύονται, ὅπως οἱ τούτων ὀρεγόμενοι
δυνηθῶσι προκόψαι καὶ ἐν τιμῇ τινι ἢ δόξῃ ἀρχῆς παρερχομένης ἐλθεῖν, πόσῳ μᾶλλον
ὑπὲρ τῆς αἰωνίου καὶ ἀγήρω ὅλῃ προθυμίᾳ μετὰ χαρᾶς προσήκει, 60.3.2 ὑπὲρ τοῦ
τηλικαύτας ἀφθάρτους δόξας κληρονομῆσαι. ἆρα δίκαιόν σοι καταφαίνεται, τὰ μὲν ἐπὶ
γῆς πράγματα καὶ τὰς παρερχομένας καὶ φθαρτὰς δόξας τηλικούτων καμάτων καὶ
πόνων δεῖσθαι, πρὸς δὲ τὸ κτήσασθαι τὰ ἀκήρατα καὶ αἰώνια καὶ σὺν Χριστῷ βασιλεῦσαι
μὴ προσήκειν μηδὲ βραχύν τινα χρόνον πονῆσαι καὶ ἀγωνίσασθαι; ἐγὼ οἶμαι, καὶ τῷ
πάνυ βραχὺν νοῦν ἔχοντι δίκαιον καταφαίνεται τοῦτο τὸ ἐν ὀλίγῳ χρόνῳ ἀθλῆσαι καὶ
ἀγωνίσασθαι, ὅπως τὴν νίκην τις εἰς αἰῶνα ἄρηται, ἢ ἐν ὀλίγῳ χρόνῳ μὴ
ἀνδραγαθήσαντα, ἀλλὰ χαυνωθέντα καὶ ἐν γηΐναις ἡδοναῖς ἀναστραφέντα τὸ ἥττημα
καὶ 60.3.3 τὴν αἰσχύνην εἰς αἰῶνας ἀπενέγκασθαι. ἐπὰν γὰρ τοῖς ἔργοις τοῖς ἀγαθοῖς τις
σχολάσῃ καὶ τοῖς ὑπὸ τῶν γραφῶν λαλουμένοις πράγμασιν ἐνδιατρίψῃ, πάντες λόγοι
ἤτοι γραφαὶ ἤτοι συντάγματα καὶ αὐτῶν τῶν ἔξω φιλοσόφων αἱ βίβλοι περὶ τούτου
κεκράγασι καὶ τοῦτον ἐπαινοῦσι καὶ τοῦτον ὑψοῦσι καὶ πᾶσαι γλῶσσαι περὶ τούτου
διαμαρτύρονται τοῦ ἐν τοῖς παραγγέλμασι τῶν γραφῶν αὐτοῖς ἔργοις διατελοῦντος.
ἐκεῖνος γάρ ἐστι παρὰ θεῷ ἀληθῶς σοφὸς ὁ πάντοτε ταῖς ἑαυτοῦ κακαῖς ἀνθιστάμενος
ἐπιθυμίαις. ὁ γὰρ λόγοις σοφοῖς κόσμου μόνον ἐγκαυχώμενος καὶ τὰς ἰδίας ἐπιθυμίας
μὴ ὑποτάσσων, οὗτος παντελῶς ἄσοφος καὶ μωρὸς λελόγισται διὰ τὸ ἐν ἀλόγοις 60.3.4
πάθεσι ἑαυτὸν ἐξετάζεσθαι. οὐ χρὴ τοίνυν πολυλογίᾳ τὸν τοῦ θεοῦ ἄνθρωπον ἑαυτὸν
δοῦναι, ἀλλὰ τῷ ἔργῳ τῆς ἀληθείας προσέχειν καὶ τοῖς ὑπὸ τῶν ἁγίων γραφῶν
παραγγελλομένοις ἐπιτηδεύμασιν ἐνέχεσθαι καὶ ἐνδιατρίβειν. καὶ γὰρ πάντες οἱ λόγοι
τῶν θείων γραφῶν καὶ τῶν σοφῶν καὶ τῶν νόμων τῶν κοσμικῶν ὑπὲρ τῶν ἀγαθῶν
εἰρήκασιν ἔργων καὶ κατὰ τῶν πονηρῶν ἐπιτηδευμάτων τιμωρίας ὡρίσαντο, σὺ τοίνυν
ἐπὰν ἀρετῆς ἔργοις ἀγαθοῖς καὶ ἀναστροφῇ ἀγαθῇ καὶ καλῇ διατελῇς, ἰδοὺ περὶ σοῦ
πάντες διηγοῦνται καὶ τὸν ἔπαινον ποιοῦνται καὶ τὴν σὴν μνήμην διαγγέλλουσι. 60.3.5


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Σπουδάσωμεν τοίνυν πάντοτε ἐν ταῖς ἐντολαῖς τοῦ κυρίου ἀναστρέφεσθαι ὡς τηλικούτων ἀγαθῶν κληρονομίαν ἐλπίζοντες λαμβάνειν καὶ τοῦ πνεύματος τῆς μετουσίας πάντοτε τὴν προσδοκίαν ἔχωμεν, ἵνα ψυχῇ καὶ σώματι ἁγιασθέντες ἀπεντεῦθεν πασῶν τῶν ἐντολῶν διὰ τῆς μετουσίας τοῦ πνεύματος ὑφ' ἡμῶν πληρωθεισῶν Χριστοῦ ἄξιοι γενώμεθα, υἱοὶ καὶ «κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ» κατὰ τὸν ἀποστολικὸν λόγον γενόμενοι καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι σὺν Χριστῷ δυνηθῶμεν εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

61.τ.1 ΛΟΓΟΣ ΞΑ΄.

61.1.1 Τίς ἡ οἰκονομία τῆς παρουσίας τοῦ σωτῆρος; πρώτη μὲν καὶ μεγίστη ἡ τῆς καθαρᾶς φύσεως ἀποκατάστασις καὶ δωρεά. ἀπέδωκε γὰρ τὴν φύσιν τοῦ πρωτοπλάστου Ἀδὰμ τοῖς ἀνθρώποις καὶ προσεδωρήσατο κληρονομίαν ἐπουράνιον τοῦ πνεύματος τοῦ ἁγίου. μεγάλην οὖν καὶ θαυμαστὴν χάριν ὁ θεὸς ᾠκονόμησε τῷ γένει τῶν ἀνθρώπων ῥυσάμενος αὐτοὺς ἐκ τῆς φυλακῆς τοῦ σκότους καὶ ὑποδείξας ὁδὸν ζωῆς καὶ θύραν, δι' ἧς κρούσαντες εἰσέλθωμεν εἰς τὴν 61.1.2 βασιλείαν ἀπαλλαγέντες τῶν δεσμῶν τοῦ διαβόλου. εἶπε γάρ· «αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· κρούετε καὶ ἀνοιγήσεται». διὰ ταύτης οὖν τῆς θύρας δύναται ἀπολυτρώσεως τυχεῖν πᾶς ὁ βουλόμενος φυγεῖν τὸ σκότος. εὑρίσκει γὰρ ἐκεῖ τὴν ἐλευθερίαν τῆς ψυχῆς καὶ ἀπολαμβάνει τοὺς λογισμοὺς αὐτῆς καὶ κτᾶται τὸν ἐπουράνιον βασιλέα Χριστὸν καὶ ἕξει αὐτὸν ὡς νυμφίον μεθ' ἑαυτῆς παραμένοντα ἐν τῇ τοῦ πνεύματος αὐτοῦ κοινωνίᾳ. ἴδε οὖν ἀγάπην δεσπότου καὶ χάριν πρὸς τὰ ἴδια τέκνα, πρὸς τὸν κατ' εἰκόνα αὐτοῦ γενόμενον ἄνθρωπον. 61.1.3 καί μοι καιρὸς ἱστορῆσαι τὴν μεγίστην αὐτοῦ οἰκονομίαν δι' ὑποδείγματος καὶ ἀναλαβὼν τὸ πρόβλημα σαφέστερόν σοι παραστήσω τὸ εἰρημένον. κείσθω σοι ἐν παραδείγματι σαφεῖ πόλις μεγίστη καὶ βασιλική, ἣν ἐπολιόρκησαν ἀλλόφυλοι ἤ τύραννος ἢ ἄδικος βασιλεύς, ὃς τὴν μὴ ἀνήκουσαν αὐτῷ βασιλείαν καὶ πόλιν ἐκβιασάμενος καὶ εἰσελθὼν τοὺς οἰκοῦντας βίᾳ κατεδούλωσεν, ὕψωσε δὲ ἑαυτῷ πύργων ὑψώματα καὶ τείχη ὀχυρὰ καὶ δυσκαταγώνιστα, ἀντιμαχόμενος τῷ νομίμῳ βασιλεῖ καὶ δεσπότῃ, καὶ ᾠκοδόμησεν οἰκίας καὶ ἔστησεν εἰκόνας ἑαυτοῦ καὶ νόμους ἰδίους ἀνθισταμένους τῷ πρώτῳ βασιλεῖ, καὶ νόμισμα καὶ ἀργύριον ἴδιον ἐχάραξεν ἐν αὐτῇ καὶ εἰσήγαγε παρεμβολὰς ὁπλίτων ἐν τῇ πόλει, ὅπως χειρώσηται τοὺς ἐνοικοῦντας καὶ ὅπως φυλάξῃ τὴν πόλιν, μήποτε ἀποδράσαντες αὐτοῦ ἐξέλθωσι τῆς τούτου δεσποτείας, ἀλλ' ὅπως κατάσχῃ αὐτοὺς δούλους καὶ ὑποχειρίους ποιοῦντας βίᾳ καὶ ἀνάγκῃ τὸ ἴδιον ἔργον. 61.1.4 εἶτα χρόνου πολλοῦ διεληλυθότος καὶ τούτων ἐν ἀσφαλείᾳ κατεχόντων τὴν πόλιν καὶ τῶν ἐνοικούντων δουλαγωγουμένων ἔρχεται ὁ βασιλεύς, ὁ δεσπότης τῶν πολιορκουμένων καὶ προαποστείλας φανερὰν αὐτοῖς κατέστησε τὴν ἄφιξιν καὶ ἔγνω, εἰ στέργουσι τὴν παρουσίαν καὶ τὴν ἐκδίκησιν καὶ οὕτω γνοὺς αὐτῶν τὴν βουλὴν ὄλεθρον φέρει τῷ ἀδίκῳ ἄρχοντι. καθεῖλε γὰρ παραγενόμενος τὰ ὑψηλὰ τείχη καὶ τὰ ὀχυρώματα, οἷς ἐπεποίθει, καὶ τὰς εἰκόνας ἠφάνισε καὶ τοὺς νόμους διεσκέδασε, καὶ ἁπαξαπλῶς μετήλλαξε πάντα τὰ ἔθη τὰ ὑπὸ τοῦ ἐχθροῦ ἐπεισαχθέντα τῇ πόλει καὶ αὐτὸν δήσας διέφθειρε καὶ ᾠκοδόμησεν αὐτὴν ἐκ δευτέρου καινὴν καὶ ἐποίησεν ὕψη καὶ τειχίσματα οὐρανομήκη πρὸς τὸ μηκέτι δυνηθῆναι ἐπεισελθεῖν πάλιν ἐχθρὸν καὶ κατακυριεῦσαι αὐτῆς, καὶ νόμους εἰρηνικοὺς ἔθετο ἐν αὐτῇ καὶ εἰκόνας βασιλικὰς καὶ ἀργύριον δεδοκιμασμένον ἐνεχάραξεν ἐν αὐτῇ, καὶ πάντα τὰ προστάγματα εἰρηνικὰ καὶ ἀναπαύσεως γέμοντα ποιήσας καὶ ποικίλως διακοσμήσας ἐνῴκησεν ἐν αὐτῇ ἀρέσκων


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ 61.1.5 ἀρεσκόμενος τοῖς εὐγνώμοσιν αὐτοῦ θεράπουσιν. οὕτως ἐξ ἀρχῆς πέπονθεν ὁ ἄνθρωπος· ἔπλασε γὰρ αὐτὸν ὁ θεὸς ταῖς ἰδίαις χερσὶ ζῷον ἔνδοξον, λογικόν, εἶτα δόλῳ καὶ ἀπάτῃ ὁ δεινὸς ὄφις καὶ ἐχθρὸς τοῦ ἀληθινοῦ βασιλέως διὰ τῆς παρακοῆς ἐπεισῆλθε τῇ πόλει τοῦ θεοῦ καὶ ᾐχμαλώτισε τὴν ψυχὴν καὶ πᾶν τὸ πολίτευμα τῶν λογισμῶν αὐτῆς ὑπέταξε καὶ ἐλατόμησεν αὐτῇ λογισμοὺς ῥυπαροὺς καὶ ᾠκοδόμησεν αὐτῇ πόλιν κακίας, περὶ ἧς λέγει ὁ ἀπόστολος· «τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;» καὶ ὕψωσεν ὑψώματα λογισμῶν «κατὰ τῆς γνώσεως» τοῦ ἐπουρανίου βασιλέως καὶ ᾠκοδόμησεν ὀχυρώματα ἐνθυμημάτων ἀδίκων λαλούντων κατὰ τοῦ ὑψίστου καὶ οἰκίας ἀδίκους κατεσκεύασε μεστὰς ἀπιστίας, ἀδικίας, κενοδοξίας, ἐπιθυμίας, πονηρίας, 61.1.6 φθόνου, πικρίας, πορνείας. ταῦτα οἶκοι ἀνομιῶν. τοιούτους οἴκους ᾠκοδόμησαν ἀλλόφυλοι εἰς ψυχήν, καθὼς ὁ ψαλμωδὸς λέγει· «ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν», καὶ ἔθετο διαθήκην κατὰ τοῦ βασιλέως, τὸν νόμον τῆς ἁμαρτίας καὶ εἰκόνας γνοφερὰς ἔστησεν ἐκεῖ ὀδυνῶν ποικίλων μεστὰς καὶ ἀργύριον ἀδόκιμον καὶ βδελυκτὸν ἐχάραξεν ἐν αὐτῇ καὶ ἔθη κακίας ἐδίδαξεν αὐτὴν καὶ εἰσήγαγεν εἰς αὐτὴν παρεμβολὰς ὄχλων καὶ πνευμάτων πονηρῶν, ὅπως κρατήσῃ αὐτῆς καὶ πάντων τῶν ἐν αὐτῇ λογισμῶν καὶ δήσῃ αὐτὴν δεσμοῖς ἀρρήκτοις καὶ φυλάξῃ αὐτὴν μοχλοῖς σιδηροῖς καὶ πύλαις χαλκαῖς καὶ καταναγκάσῃ αὐτὴν ποιεῖν τὸ ἔργον αὐτοῦ καὶ κατὰ τὴν πονηρὰν 61.1.7 αὐτοῦ βουλήν. ἔφθειρε δὲ αὐτὴν καὶ ἐπόρνευσε μετ' αὐτῆς δεινὴν πορνείαν καὶ ἐπέθετο κάλυμμα τοῖς ὀφθαλμοῖς αὐτῆς, ὅπως μὴ ἴδῃ τὸν δεσπότην αὐτῆς, καὶ ἐν μυλῶνι σκοτεινῷ ἀλήθειαν αὐτὴν κατηνάγκασεν, εἰς τὰς μερίμνας τοῦ βίου καὶ εἰς τὰ σαρκικὰ φρονήματα καὶ ὑλικὰ καὶ χοϊκὰ κατασύρας καὶ ἐξήγαγεν αὐτῇ πηγὴν βορβόρου ἀνομίας βρύουσαν καὶ ἐνθυμημάτων αἰσχρῶν, καὶ πνευμάτων πονηρίας. ἐσκόρπισαν καὶ κατεδούλωσαν τὸν λαὸν αὐτῆς, τὸν ὄχλον τῶν ἐν αὐτῇ λογισμῶν, καὶ ἐξέδυσαν αὐτὴν τὸ ἔνδυμα τῆς δόξης καὶ περιέθηκαν αὐτῇ ῥάκη ἀτιμίας καὶ ἀκαθαρσίας· ἐνέπλησαν αὐτὴν χολῆς καὶ πικρίας, καὶ διὰ τὴν μακρὰν συνήθειαν καὶ τὸν πολὺν τοῦ ἐγκλεισμοῦ χρόνον οὐκέτι ἐμνημόνευσε τοῦ ἰδίου βασιλέως οὔτε τῆς ἀρχαίας ἐλευθερίας, ἀλλ' ἐνόμισε τοιαύτη 61.1.8 γεγονέναι ἐξ ἀρχῆς. διὰ τοῦτο ἀπέστειλεν ὁ ἐπουράνιος βασιλεὺς Χριστὸς πρῶτον διὰ τῶν ἁγίων προφητῶν ὑπομιμνῄσκων τὸν ἄνθρωπον τὴν εὐγένειαν καὶ τὸ ἴδιον ἀξίωμα διηγήσατο καὶ ἐδίδαξεν αὐτόν, πῶς ἐν αὐχμηρᾷ καὶ πικρᾷ δουλείᾳ διάγει, καὶ εὐηγγελίσατο ἐλεύσεσθαι καὶ δι' ἑαυτοῦ λυτροῦσθαι τὴν ψυχὴν αὐτοῦ ἀπὸ τῶν κατεχόντων αὐτὴν αἰχμαλωτιστῶν, καὶ πᾶσαν τὴν πόλιν τῆς κακίας καὶ τὰ ὀχυρώματα καὶ τὰ ὑψώματα τῶν πονηρῶν διαλογισμῶν τὰ ὄντα κατὰ τῆς γνώσεως τοῦ θεοῦ κατασκάψαι καὶ ἀφανίσαι καὶ τοὺς νόμους αὐτῆς ἀλλάξαι καὶ τοὺς ὄντας ἐν αὐτῇ κατὰ τοῦ βασιλέως διαφθεῖραι καὶ τὰς εἰκόνας τοῦ σκότους τὰς οὔσας ἐν αὐτῇ ἐδαφίσαι καὶ τὴν πηγὴν τοῦ βορβόρου καὶ τῶν ἀκαθάρτων λογισμῶν ἀφανίσαι καὶ πάντας τοὺς κατεχόντας ἐξολοθρεῦσαι. ἐπηγγείλατο δὲ καὶ ἀνακαινίσαι αὐτὴν κατὰ τὸ ἴδιον θέλημα καὶ νόμον εἰρηνικὸν καὶ ἔνθεον θέσθαι αὐτῇ καὶ ἁπαξαπλῶς τὰ ἔθη τῆς ἐν αὐτῇ κακίας ἀλλάξαι, μόνον εἰ μνησθεῖσα ἑαυτῆς ἡ ψυχὴ καὶ τοῦ ἰδίου δεσπότου προσφύγῃ αὐτῷ καὶ ἅπαν αὐτῆς δῷ τὸ θέλημα καὶ τὴν προαίρεσιν πᾶσαν αὐτῷ παραστήσῃ, καὶ πιστεύσῃ, ἃ ἐπηγγείλατο αὐτῇ, καὶ παρακαλέσῃ βοῶσα πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας, ὅπως ῥυσθῇ ἀπὸ τῆς πονηρᾶς καὶ αἰσχρᾶς δουλείας καὶ δεινῆς αἰχ61.1.9 μαλωσίας. ὅτε δὲ ἐπεφάνη ἡ ἀγαθότης τοῦ σωτῆρος Ἰησοῦ Χριστοῦ καὶ ἐπληρώθησαν οἱ χρόνοι τῆς ἐπαγγελίας, ἦλθεν ὁ βασιλεὺς Χριστὸς λυτρώσασθαι καὶ ἀπολαβεῖν τὸν ἴδιον ἄνθρωπον τὸν κατασχεθέντα χρόνοις πολλοῖς καὶ βίᾳ δουλαγωγηθέντα ὑπὸ αἰχμαλωτιστῶν πονηρῶν,


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας,
© 2006. Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καὶ ὅσοι ἐπίστευσαν αὐτῷ καὶ προσέφυγον ἐλυθρώθησαν καὶ πᾶσα δὲ ψυχὴ πιστεύουσα καὶ δεομένη αὐτοῦ καὶ ἐπιγινώσκουσα τὴν αἰχμαλωσίαν αὐτῆς, ἐὰν ὁμολογῇ τὴν ἀσθένειαν αὐτῆς, ὅτι δι' ἑαυτῆς ἀδύνατον ἀπολυτρώσεως τυχεῖν καὶ ἐκφυγεῖν τὴν δουλείαν τοῦ διαβόλου καὶ δεομένη μετὰ πόνου καρδίας δέχεται τὸν βασιλέα Χριστὸν ἐρχόμενον καὶ ποιοῦντα τὴν ἐκδίκησιν καὶ καταστρέφοντα τὰ τοῦ πονηροῦ ἄρχοντος 61.1.10 κατασκευάσματα καὶ τὰς μηχανάς. πᾶσαν ἁπλῶς τὴν πόλιν τῆς κακίας τὴν οἰκοδομηθεῖσαν ὑπὸ τοῦ τυράννου ὁ Χριστὸς ἐξερημοῖ καὶ καταλύει καὶ κτίζει ἐκεῖ ἑαυτῷ πόλιν θεοῦ καὶ πύργους καὶ ὑψώματα κατὰ τῆς γνώσεως τοῦ ἐχθροῦ καὶ ὀχυρώματα ἄρρηκτα καὶ ἀκαταγώνιστα καὶ οἰκοδομὰς θείας οἰκοδομεῖ ἐν αὐτῇ πίστεως, ἀγάπης, χαρᾶς, ἐλπίδος, καὶ ἐν αὐτῇ τῇ ψυχῇ λατομεῖ σπείρας λογισμοὺς καὶ ἐννοίας εὐαρέστους τῷ θεῷ καὶ νόμους πνεύματος ἁγίου κατατίθεται ἐν αὐτῇ καὶ ἀργύριον δόκιμον πεπυρωμένον ἑπταπλασίως δίδωσιν αὐτῇ καὶ εἰκόνα ἐπουράνιον φωτὸς θεϊκοῦ ἀνιστᾷ ἐν αὐτῇ καὶ ποιεῖ ἐν αὐτῇ πηγὴν ὕδατος καθαροῦ καὶ ζῶντος καὶ «ἁλλομένου εἰς ζωὴν αἰώνιον», πηγάζουσαν εἰρήνην καὶ ἀγαθότητα καὶ χαρὰν καὶ εἰσάγει ἐν αὐτῇ παρεμβολὰς τῶν ἁγίων δυνάμεων φυλάσσειν αὐτὴν κατὰ τὸ εἰρημένον· «παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς», καὶ ἐνδύματα ἐπουράνια ἐνδιδύσκει αὐτὴν καὶ ἐλευθερίαν τῶν ἰδίων λογισμῶν δίδωσιν αὐτῇ, ἵνα ἐν αὐτοῖς διακονῇ τῷ ἰδίῳ βασιλεῖ, καὶ ἁρμόζει αὐτὴν εἰς νύμφην ἑαυτῷ εὐάρεστον καὶ κοινωνεῖ αὐτῇ κοινωνίαν θείαν, μεταδιδοὺς αὐτῇ ἐκ τῆς οὐσίας τῆς ἀγαθότητος αὐτοῦ πνεύματος ἁγίου ἐμπίπλησιν αὐτῇ καὶ πᾶσαν εὐωδίαν καὶ ἀνάπαυσιν δίδωσιν αὐτῇ ἀντὶ τῶν χρόνων, ὧν ἐταπεινώθη καὶ συνεκλείσθη 61.1.11 ὑπὸ βασιλέα σκότους καὶ βασιλεύει αὐτῆς ἐν βασιλείᾳ εἰρηνικῇ. ταῦτα τὰ χαρίσματα ἐδωρήσατο ἀπὸ τοῦ νῦν ὁ εὔσπλαγχνος θεὸς μηνύσας τὴν ὁδὸν καὶ τὴν θύραν, ἐν ᾗ κρούοντες εὑρίσκομεν τὴν πολλὴν καὶ θαυμαστὴν αὐτοῦ εὐεργεσίαν. διπλᾶ οὖν αὐτοῦ τὰ χαρίσματα δέχεται γὰρ αὐτοῦ τοῦ ἀνθρώπου τὴν ψυχὴν χαρᾷ, ἣν ἔσχεν Ἀδὰμ πρὸ τῆς παρακοῆς, μετὰ πάντων τῶν λογισμῶν 61.1.12 αὐτῆς καὶ τὸν ἐπουράνιον βασιλέα ἔχει νυμφίον οἰκοῦντα ἐν αὐτῇ. αὕτη ἦν ἡ διπλῆ μερίς, ἣν ἔλαβεν Ἰωσὴφ παρὰ τοῦ πατρός, καὶ ἡ διπλῆ κληρονομία, ἣν εἶπεν Ἰακὼβ μερίδα ἀγροῦ «ἣν ἐκτησάμην ἐν τῷ τόξῳ μου καὶ ῥομφαίᾳ». ἐπὶ μὲν γὰρ τοῦ κυρίου οὕτω λαμβάνεται, ὅτι τῶν ἀγγέλων καὶ τῶν ἁγίων πάντων τῶν ἐπουρανίων κληρονομίαν ἐκέκτητο, ἐλθὼν δὲ καὶ γενόμενος ἄνθρωπος ἐπολέμησε τῇ ἐναντίᾳ δυνάμει καὶ κατεκυρίευσε «τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ» καὶ τὴν κληρονομίαν ἔλαβε τῶν ἀνθρώπων «ἐν τόξῳ καὶ ῥομφαίᾳ». καὶ νῦν δὲ αὐτὸς πολεμεῖ ἐν ἡμῖν ὑπὲρ ἡμῶν τῇ κακίᾳ καὶ λαμβάνει ἡμᾶς ἑαυτῷ 61.1.13 κληρονομίαν εὐάρεστον. ἐπὶ δὲ τοῦ ἀνθρώπου διπλῆν κληρονομίαν οὕτω νοοῦμεν· ἀπολαμβάνει τὸν πρωτόπλαστον ἄνθρωπον σὺν πᾶσι τοῖς λογισμοῖς, δι' ὧν διακονεῖ τῷ θεῷ καὶ τὴν ἀληθινὴν καὶ ἄρρητον κληρονομίαν αὐτοῦ, τὸν Χριστὸν οἰκοῦντα ἐν ἡμῖν καὶ φωτίζοντα καὶ ὁδηγοῦντα ἡμᾶς, ὡς τὸ θεϊκὸν αὐτοῦ πνεῦμα ἐπίσταται, ἐντυγχάνοντα δὲ ὑπὲρ ἡμῶν κατὰ τὸν ἀπόστολον· «τὸ τί προσευξόμεθα καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις». τὸ πρὶν γὰρ κατείχετο ἡ ψυχὴ ὑπὸ τὴν δεινὴν αἰχμαλωσίαν τοῦ δεινοῦ πνεύματος τοῦ ἄρχοντος τοῦ σκότους. 61.2.1 Φησὶν οὖν ἡ γραφὴ μυστικῶς· «φωνὴ ἐν Ῥαμὰ ἠκούσθη, κλαυθμὸς καὶ ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐχ ὑπῆρχον». τοῦτο δὲ ἐν μὲν τοῖς φανεροῖς ἐγένετο ἐπὶ τοῦ κυρίου, ὅτε ὑπὸ Ἡρώδου τὰ παίδια ἀνῃρέθησαν, ἐν δὲ τῷ κρυπτῷ οὕτως νοεῖται. «φωνὴ ἐν Ῥαμὰ» ἐν βουνῷ (τουτέστιν ἐν τοῖς ἐπουρανίοις) «ἠκούσθη, κλαυθμὸς καὶ ὀδυρμὸς πολύς·» Ῥαχὴλ ἡ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀληθινὴ μήτηρ, ἡ ἐπουράνιος χάρις, τὸ πνεῦμα τὸ ἅγιον, ἔκκλαιε τὴν αἰχμαλωσίαν τῶν ἀνθρώπων, τοὺς ὑπὸ τὸν πονηρὸν ἄρχοντα ὄντας καὶ ἐν σκότει πεπεδημένους δεινῶς· ἔκλαιε δέ, ὅτι οὔκ εἰσιν ἐν τῇ ζωῇ 61.2.2 τοῦ πνεύματος, ἐν φωτὶ ἀγαθότητος. ὅτε δὲ ηὐδόκησεν ὁ κύριος τῇ χρηστότητι αὐτοῦ τῇ πολλῇ καὶ ἐξέχεε τὸ πνεῦμα αὐτοῦ ἐπὶ τοὺς πιστεύοντας καὶ ἐγέννησεν αὐτοὺς ἐκ τοῦ ἰδίου πνεύματος, τότε ἀγαλλίασις καὶ χαρὰ καὶ εὐφροσύνη ἐν τοῖς ὑψώμασι τῶν οὐρανῶν γέγονεν ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ κατὰ τὸ γεγραμμένον· «οὕτως ἔσται χαρὰ ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι». διότι ἡ ἐπουράνιος μήτηρ Ἱερουσαλὴμ ἡ πρὶν στεῖρα οὖσα τὰ τῶν ἀνθρώπων ἐγέννησε τέκνα, ἅπερ οὐκ ἦν, ἐν αὐτῇ πρότερον κατὰ τὸ εἰρημένον· 61.2.3 «ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν πάντων». καὶ νῦν δὲ εἴ τις οὐκ ἐγεννήθη ἐκ τῆς ἐπουρανίου μητρός, ἀλλ' ἔτι τὴν εἰκόνα φορεῖ τοῦ παλαιοῦ ἀνθρώπου καὶ ὑπὸ τὸ κάλυμμα τοῦ σκότους τῆς ἁμαρτίας ἐστὶ καὶ ὑπὸ τὴν αἰχμαλωσίαν καὶ τὴν δουλείαν τὴν πικρὰν καὶ ἔτι δέδεται ἐν τοῖς δεσμοῖς τῆς ἁμαρτίας, πένθος καὶ θρῆνον δεινὸν ἐγείρει τῇ μητρὶ Ῥαχήλ, τῇ ἐπουρανίῳ πόλει τῶν ἁγίων. λυπεῖται γὰρ ὁρῶσα τοὺς ἀνθρώπους ἐν τῷ αἰωνίῳ θανάτῳ κατακειμένους καὶ ταῖς ἀρρήκτοις πέδαις δεδεμένους καὶ μάλιστα 61.2.4 ἐνεστῶτος τοῦ καιροῦ τῆς ἀπολυτρώσεως. αὕτη γὰρ ἡ εὔσπλαγχνος μήτηρ πάντας τοὺς ἀνθρώπους ἐκάλεσε καὶ ἠθέλησε δι' ἑαυτῆς γεννῆσαι καὶ ἐπουρανίους ποιῆσαι. διὰ τοῦτο κήρυκας ἀπέστειλε καλοῦσα ἅπαντας καὶ προτρεπομένους γεννηθῆναι ἐξ αὐτῆς, καὶ ὅσοι ἐπίστευσαν καὶ ἤλπισαν καὶ ἠγάπησαν τὸ φῶς ὑπὲρ τὸ σκότος ἔτυχον τῆς ἐπαγγελίας καὶ τῆς θείας ἀναγεννήσεως. Δόξα τῇ εὐσπλάγχνῳ μητρί, τῇ ἐπουρανίῳ πόλει τῶν ἁγίων. Ἀμήν.

### 62.τ.1 ΛΟΓΟΣ ΞΒ΄. περὶ ἡσυχίας.

62.1.1 Ἡσυχίαν μὲν ἐν λόγοις ἐπιτήδευε, ἡσυχίαν δὲ ἐν ἔργοις, ὡσαύτως δὲ ἐν 62.1.2 γέλωτι καὶ βαδίσματι· σφοδρότητα δὲ ἀπόφευγε προπετῆ. οὕτω γὰρ ὁ νοῦς διαμενεῖ βέβαιος, καὶ οὐχὶ ὑπὸ τῆς σφοδρότητος ταρχώδης γενόμενος ἀσθενὴς ἔσται καὶ βραχὺς περὶ φρόνησιν καὶ τῶν σκοτεινῶν νοερῶν, οὐδὲ ἡττηθήσεται μὲν γαστριμαργίας, ἡττηθήσεται δὲ ἐπὶ ζέοντος θυμοῦ, ἡττηθή62.1.3 σεται δὲ τῶν ἄλλων παθῶν· ἕτοιμον αὐτοῖς ἅρπαγμα προκείμενος. τὸν γὰρ δὴ νοῦν προσήκει τῶν παθῶν ἐπικρατεῖν, ὑψηλὸν ἐφ' ἡσύχου θρόνου καθήμενον ἀφορῶντα πρὸς θεόν. μηδὲ νωχελὴς ἔσο περὶ ἔργα, μηδὲ νωθὴς ἐν λόγοις, μηδὲ ἐν βαδίσμασιν ὄκνου πεπληρωμένος, ἵνα σοι ῥυθμὸς ἀγαθὸς τὴν 62.1.4 ἡσυχίαν κοσμοίη καὶ θεοειδές τι καὶ οἷον νοερὸν τὸ σχῆμα φαίνηται. φυλάττου δὲ καὶ τῆς ὑπερηφανίας τὰ σύμβολα, σχῆμα ὑψαυχοῦν καὶ κεφαλὴν 62.1.5 ἐξηρμένην καὶ βῆμα ποδῶν ἁβρὸν καὶ μετέωρον. ἤπια δέ σοι πρὸς τοὺς ἀπαντῶντας ἔστω τὰ ῥήματα καὶ προσηγορίαι γλυκεῖαι, αἰδὼς δὲ πρὸς 62.1.6 γυναῖκας καὶ τὸ βλέμμα κάτω τετραμμένον εἰς γῆν. λαλεῖ δὲ περιεσκεμμένως πάντα καὶ τῇ φωνῇ τὸ χρήσιμον ἀποδίδου τῇ χρείᾳ τῶν ἀκουόντων τὸ φθέγμα μετρῶν, ἄχρι δὴ καὶ ἐξάκουστον εἴη καὶ μήτε διαφεύγοι τὴν ἀκοὴν 62.1.7 τῶν παρόντων ὑπὸ σμικρότητος μήτε ὑπερβάλλοι μεῖζον τῇ κραυγῇ. φυλάττου δὲ ὅπως μηδὲν ποτὲ λαλήσῃς ὃ μὴ προεσκέψω καὶ προενοήσας μηδὲ προχείρως ἄκουε, ἀλλὰ μηδὲ μεταξὺ τῶν ἑτέρου λόγων ὑπόβαλλε τοὺς σαυτοῦ. 62.1.8 δεῖ γὰρ ἀνὰ μέρος ἀκούειν τε καὶ διαλέγεσθαι, χρόνῳ μερίζοντα λόγον καὶ σιωπήν. μάνθανε δὲ ἀσμένως καὶ ἀφθόνως δίδασκε, μήποτε ὑπὸ φθόνου ποτὲ 62.1.9 σοφίαν ἀποκρύπτου τοὺς ἑτέρους, μηδὲ μαθήσεως ἀφίστασο. δίωκε δὲ τὸ πρεσβυτέρους ἶσα πατράσι τιμᾶν ὡς θεράποντας θεοῦ, τοῖς δὲ νεωτέροις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

σαυτοῦ 62.1.10 κάταρχε σοφίας καὶ ἀρετῆς. μηδὲ ἐριστικὸς ἔσο πρὸς τοὺς φίλους, μηδὲ 62.1.11 χλευαστὴς κατ' αὐτῶν καὶ γελωτοποιός. ψεῦδος τε καὶ δόλον καὶ ὕβριν ἰσχυρῶς παραιτοῦ· σὺν εὐφημίᾳ δὲ φέρε καὶ τὸν ὑπερήφανον καὶ ὑβριστὴν πράως 62.1.12 τε καὶ μεγαλοψύχως. ἀνηρτήσθω δέ σοι πάντα εἰς θεὸν καὶ ἔργα καὶ λόγοι, καὶ πάντα ἀνάφερε Χριστῷ τὰ σαυτοῦ, καὶ πυκνῶς ἐπὶ θεὸν τρέπε τὴν ψυχὴν καὶ τὸ νόημα ἐπέρειδε τῇ Χριστοῦ δυνάμει ὥσπερ ἐν λιμένι τῷ θείῳ 62.1.13 φωτὶ τοῦ σωτῆρος ἀναπαυόμενος ἀπὸ πάσης λαλιᾶς τε καὶ πράξεως. καὶ μεθ' ἡμέραν μὲν ἀνθρώποις κοινοῦ τὴν σεαυτοῦ φρόνησιν, θεῷ δὲ πολλάκις μὲν ἐν ἡμέρᾳ, ἐπὶ πλεῖστον δὲ ἐν νυκτί. μὴ οὖν ὕπνος ἐπικρατείτω πολὺς τῶν πρὸς 62.1.14 θεὸν εὐχῶν τε καὶ ὕμνων· θανάτῳ γὰρ ὁ μακρὸς ὕπνος ἐφάμιλλος. πᾶσαν μὲν ἡμέραν ἀνθρώποις ἀγαθόν τι ποιῶν ἢ λέγων διατέλει, μέτοχος δὲ ἀεὶ Χριστοῦ καθίστασο τὴν θείαν αὐγὴν καταλάμποντος ἐξ οὐρανοῦ· εὐφροσύνη 62.1.15 τε σοι διηνεκὴς καὶ ἄπαυστος ἔστω Χριστός. μηδὲ λύε τὸν τῆς ψυχῆς 62.1.15 τόνον ἐν εὐωχίᾳ καὶ πότων ἀνέσεσιν μεθιστὰς τῶν οἰκείων τῇ διανοίᾳ τέρψεων ὧν οὐδεὶς ὁ κόρος, ἱκανὸν δὲ ἡγοῦ τῷ σώματι τὸ χρειῶδες καὶ μὴ πρόσθεν 62.1.16 ἐπείγου πρὸς τροφάς, πρὶν ἢ καὶ δείπνου παρείη καιρός. ἄρτος δὲ ἔστω σοι τὸ δεῖπνον, καὶ πόαι γῆς προέστωσαν καὶ τὰ ἐκ δένδρων ὡραῖα. ἴθι δὲ ἐπὶ τὴν τροφὴν εὐσταθῶς καὶ μὴ λυσσώδη γαστριμαργίαν ἐμφαίνων· μηδὲ σαρκο62.1.17 βόρος μηδὲ φίλοινος ἔσο, ὁπότε μὴ νόσου τις ἴασις ἐπὶ ταῦτα ἄγει. ἀλλὰ ἀντὶ τῶν ἐν τούτοις ἡδονῶν τὰς ἐν λόγοις θείοις καὶ ὕμνοις εὐφροσύνας αἱροῦ 62.1.18 καὶ τῇ παρὰ θεοῦ σοι χορηγουμένῃ σοφίᾳ. οὐράνιος ἀεί σε φροντὶς ἀναγέτω πρὸς οὐρανόν· καὶ τὰς πολλὰς περὶ σώματος ἔα μερίμνας, τεθαρρηκὼς ἐλπίσι ταῖς πρὸς θεόν, ὅτι σοι τά γε ἀναγκαῖα παρέξει διαρκῆτροφήν τε τὴν εἰς ζωὴν καὶ κάλυμμα σώματος καὶ χειμερινοῦ ψύχους ἀλεξιτήρια· τοῦ γὰρ δὴ σοῦ βασιλέως γῆ τε ἅπασα καὶ ὅσα ἐκφύεται ἐκ γῆς. μέλλει δὲ αὐτῷ τῶν αὐτοῦ θεραπόντων ὑπερβαλλόντως καὶ περιέπει καθάπερ ἱερὰ καὶ ναοὺς 62.1.19 αὐτοῦ. διὰ δὴ τοῦτο μηδὲ νόσους ὑπερβαλλόντως δέδιε μηδὲ γήρως ἔφοδον χρόνῳ προσδοκωμένου· παύσεται γὰρ καὶ νόσος, ἐπὰν τῷ σῷ δοκῇ βασιλεῖ, καὶ ὅταν ᾖ σοι πρὸς τὴν ψυχὴν τοῦτο καλόν (τὸ δέ σοι γῆρας ὥσπερ 62.1.20 πτέρυξι τῇ θείᾳ σκεπάσει δυνάμει περιβάλλον). ταῦτα εἰδὼς καὶ πρὸς νόσους τῆς ψυχῆς ἰσχυροὺς εὐθαρσὴς ὤνὥσπερ τίς ἀνὴρ ἐν σταδίοις ἀγωνιστὴς ἄριστος ἀτρέπτως τῇ δυνάμει τοὺς πόνους ὑφίσταται μηδ' ὑπὸ λύπης 62.1.21 πάνυ τι πιέζου τὴν ψυχήν. εἰ δὲ νόσος εἴη ἐπικειμένη μὴ βαρύνου μηδ' εἴ τι ἄλλο σοι συμπίπτει δυσχερές, ἀλλὰ γενναῖον ἀνίστα τὸν νοῦν, χάριτας ἀνάγων θεῷ καὶ ἐν μέσοις τοῖς ἐπιπόνοις πράγμασι ἅτε δὲ σοφώτερα τε 62.1.22 ἀνθρώπων φρονοῦντι καὶ ἅπερ οὐ δυνατὸν οὐδὲ ῥᾶον ἀνθρώποις εὑρεῖν. ἐλέει δὲ κακουμένους, καὶ τὴν παρὰ θεοῦ βοήθειαν ἐπὶ ἀνθρώποις αἰτοῦ· ἐπινεύσει γὰρ αἰτοῦντι τῷ φίλῳ τὴν χάριν, καὶ τοῖς κακουμένοις ἐπικουρίαν παρέξει, τὴν αὐτοῦ δύναμιν γνώριμον ἀνθρώποις καθιστάναι βουλόμενος, ὡς ἂν εἰς ἐπίγνωσιν ἐλθόντι ἐπὶ θεὸν ἀνίωσι καὶ τῆς αἰωνίου μακαριότητος ἀπολαύσωσιν, ἐπειδὰν ὁ τοῦ θεοῦ υἱὸς παραγένηται τὰ ἀγαθὰ τοῖς δικαίοις ἀποκαθιστῶν. 62.1.23 Καλὸν τὸ φοβεῖσθαι ἀεὶ καὶ μὴ ἐμπιστεύειν ἑαυτῷ κατὰ πάντα τρόπον, ἵνα μὴ βυθισθῇ τις κακῶς. εἰδὼς γὰρ ὅτι καλῶς ποιεῖ, οὐκ ἔστιν ὡς νομίζει. 62.1.24 μᾶλλον μὲν οὖν ἀεὶ τὸν θεὸν παρακαλείτω, ἵνα αὐτὸς γένηται αὐτοῦ ὁδηγὸς καὶ ὁδὸς καὶ νοῦς καὶ διάκρισις καὶ ἑρμηνευτής· ἕως δ' ἂν εὕρῃ τὸν Χριστὸν ἐν 62.1.25 ἑαυτῷ, ὅλως μὴ ἐμπιστεύσῃ ἑαυτῷ. ὡς ὅταν τις ῥυσθῇ ἐκ κινδύνου πλοίου, ἵνα διασωθῇ καὶ οὐ μέλει αὐτῷ περὶ τῶν ἐν τῷ πλοίῳ διὰ τὸν φόβον τῆς θαλάσσης, οὕτω καὶ ὁ Χριστιανὸς ὀφείλει διὰ τὸν θεὸν ἀεὶ φοβεῖσθαι καὶ μὴ 62.1.26 καταφρονεῖν. ὁ θέλων σωθῆναι ἀγωνίσηται, τι θέλει ὁ θεός. τοῦτό ἐστι τὸ θέλημα τοῦ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

θεοῦ· ὁ ἀγαπῶν τὸν θεὸν βιαζέσθω, ἵνα ἀγαπᾷ καὶ τὸν 62.1.27 πλησίον αὐτοῦ. ἤτω ταπεινὸς ἐνώπιον τοῦ θεοῦ καὶ ἀνθρώπων προσέχων
ἀεὶ τῇ καρδίᾳ καὶ ἀνθιστάμενος τοῖς κακοῖς διαλογισμοῖς. καὶ ὅταν ἐκεῖ 62.1.15 τόνον ἐν εὐωχίᾳ καὶ πότων ἀνέσεσιν μεθιστὰς τῶν οἰκείων τῇ διανοίᾳ τέρψεων ὧν οὐδεὶς ὁ κόρος, ἱκανὸν δὲ ἡγοῦ τῷ σώματι τὸ χρειῶδες καὶ μὴ πρόσθεν 62.1.16 ἐπείγου πρὸς τροφάς, πρὶν ἢ καὶ δείπνου παρείη καιρός. ἄρτος δὲ ἔστω σοι τὸ δεῖπνον, καὶ πόαι γῆς προέστωσαν καὶ τὰ ἐκ δένδρων ὡραῖα. ἴθι δὲ ἐπὶ τὴν τροφὴν εὐσταθῶς καὶ μὴ λυσσώδη γαστριμαργίαν ἐμφαίνων· μηδὲ σαρκο62.1.17 βόρος μηδὲ φίλοινος ἔσο, ὁπότε μὴ νόσου τις ἴασις ἐπὶ ταῦτα ἄγει. ἀλλὰ ἀντὶ τῶν ἐν τούτοις ἡδονῶν τὰς ἐν λόγοις θείοις καὶ ὕμνοις εὐφροσύνας αἱροῦ 62.1.18 καὶ τῇ παρὰ θεοῦ σοι χορηγουμένῃ σοφίᾳ. οὐράνιος ἀεί σε φροντὶς ἀναγέτω πρὸς οὐρανόν· καὶ τὰς πολλὰς περὶ σώματος ἔα μερίμνας, τεθαρρηκὼς ἐλπίσι ταῖς πρὸς θεόν, ὅτι σοι τά γε ἀναγκαῖα παρέξει διαρκῆτροφήν τε τὴν εἰς ζωὴν καὶ κάλυμμα σώματος καὶ χειμερινοῦ ψύχους ἀλεξιτήρια· τοῦ γὰρ δὴ σοῦ βασιλέως γῆ τε ἅπασα καὶ ὅσα ἐκφύεται ἐκ γῆς. μέλλει δὲ αὐτῷ τῶν αὐτοῦ θεραπόντων ὑπερβαλλόντως καὶ περιέπει καθάπερ ἱερὰ καὶ ναοὺς 62.1.19 αὐτοῦ. διὰ δὴ τοῦτο μηδὲ νόσους ὑπερβαλλόντως δέδιε μηδὲ γήρως ἔφοδον χρόνῳ προσδοκωμένου· παύσεται γὰρ καὶ νόσος, ἐπὰν τῷ σῷ δοκῇ βασιλεῖ, καὶ ὅταν ᾖ σοι πρὸς τὴν ψυχὴν τοῦτο καλόν (τὸ δέ σοι γῆρας ὥσπερ 62.1.20 πτέρυξι τῇ θείᾳ σκεπάσει δυνάμει περιβάλλον). ταῦτα εἰδὼς καὶ πρὸς νόσους τῆς ψυχῆς ἰσχυροὺς εὐθαρσὴς ὥνὥσπερ τίς ἀνὴρ ἐν σταδίοις ἀγωνιστὴς ἄριστος ἀτρέπτως τῇ δυνάμει τοὺς πόνους ὑφίσταται μηδ' ὑπὸ λύπης 62.1.21 πάνυ τι πιέζου τὴν ψυχήν. εἰ δὲ νόσος εἴη ἐπικειμένη μὴ βαρύνου μηδ' εἴ τι ἄλλο σοι συμπίπτει δυσχερές, ἀλλὰ γενναῖον ἀνίστα τὸν νοῦν, χάριτας ἀνάγων θεῷ καὶ ἐν μέσοις τοῖς ἐπιπόνοις πράγμασι ἅτε δὲ σοφώτερα τε 62.1.22 ἀνθρώπων φρονοῦντι καὶ ἅπερ οὐ δυνατὸν οὐδὲ ῥᾶον ἀνθρώποις εὑρεῖν. ἐλέει δὲ κακουμένους, καὶ τὴν παρὰ θεοῦ βοήθειαν ἐπὶ ἀνθρώποις αἰτοῦ· ἐπινεύσει γὰρ αἰτοῦντι τῷ φίλῳ τὴν χάριν, καὶ τοῖς κακουμένοις ἐπικουρίαν παρέξει, τὴν αὐτοῦ δύναμιν γνώριμον ἀνθρώποις καθιστάναι βουλόμενος, ὡς ἂν εἰς ἐπίγνωσιν ἐλθόντι ἐπὶ θεὸν ἀνίωσι καὶ τῆς αἰωνίου μακαριότητος ἀπολαύσωσιν, ἐπειδὰν ὁ τοῦ θεοῦ υἱὸς παραγένηται τὰ ἀγαθὰ τοῖς δικαίοις ἀποκαθιστῶν. 62.1.23 Καλὸν τὸ φοβεῖσθαι ἀεὶ καὶ μὴ ἐμπιστεύειν ἑαυτῷ κατὰ πάντα τρόπον, ἵνα μὴ βυθισθῇ τις κακῶς. εἰδὼς γὰρ ὅτι καλῶς ποιεῖ, οὐκ ἔστιν ὡς νομίζει. 62.1.24 μᾶλλον μὲν οὖν ἀεὶ τὸν θεὸν παρακαλείτω, ἵνα αὐτὸς γένηται αὐτοῦ ὁδηγὸς καὶ ὁδὸς καὶ νοῦς καὶ διάκρισις καὶ ἑρμηνευτής· ἕως δ' ἂν εὕρῃ τὸν Χριστὸν ἐν 62.1.25 ἑαυτῷ, ὅλως μὴ ἐμπιστεύσῃ ἑαυτῷ. ὡς ὅταν τις ῥυσθῇ ἐκ κινδύνου πλοίου, ἵνα διασωθῇ καὶ οὐ μέλει αὐτῷ περὶ τῶν ἐν τῷ πλοίῳ διὰ τὸν φόβον τῆς θαλάσσης, οὕτω καὶ ὁ Χριστιανὸς ὀφείλει διὰ τὸν θεὸν ἀεὶ φοβεῖσθαι καὶ μὴ 62.1.26 καταφρονεῖν. ὁ θέλων σωθῆναι ἀγωνίσηται, τι θέλει ὁ θεός. τοῦτό ἐστι τὸ θέλημα τοῦ θεοῦ· ὁ ἀγαπῶν τὸν θεὸν βιαζέσθω, ἵνα ἀγαπᾷ καὶ τὸν 62.1.27 πλησίον αὐτοῦ. ἤτω ταπεινὸς ἐνώπιον τοῦ θεοῦ καὶ ἀνθρώπων προσέχων ἀεὶ τῇ καρδίᾳ καὶ ἀνθιστάμενος τοῖς κακοῖς διαλογισμοῖς. καὶ ὅταν ἐκεῖ προσέχῃ τις, ἀεὶ δεῖ αὐτὸν καὶ ἐν φόβῳ εἶναι καὶ ἀγαπητικὸν καὶ ταπεινὸν καὶ μέριμναν ἔχειν, πῶς ἀρέσει τῷ κυρίῳ καὶ ἀντιπολεμεῖν τῷ παλαιῷ ἀνθρώπῳ. 62.1.28 ὁ δὲ ἀμεριμνῶν καὶ ἀπολελυμένην ἔχων τὴν καρδίαν, οὗτος ἐν τῇ παλαιότητι 62.1.29 ἕστηκεν, οὔπω ἤρξατο ἀγωνίζεσθαι καὶ πολεμεῖν οὐκ οἶδε. καλὸν οὖν τὸ ἀεὶ ἐν φόβῳ εἶναι καὶ ζητεῖν σύνεσιν καὶ βοήθειαν παρὰ κυρίου, ἵνα δυνηθῇ τις σωθῆναι διὰ τοῦ κυρίου. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

63.τ.1 ΛΟΓΟΣ ΞΓ΄.

63.1.1 Ὁ λόγος τῆς ἀληθείας ὁ κηρυσσόμενος ὑπὸ τῶν πνευματικῶν κηρύκων τῆς ἀληθείας τοῖς τέκνοις τῆς βασιλείας κηρύσσεται καὶ λαλεῖται, ὥς φησιν ὁ κύριος· «ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας, τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς», καὶ ἀλλαχοῦ που· «μυστήριον ἐμὸν ἐμοὶ καὶ τοῖς υἱοῖς τοῦ οἴκου 63.1.2 μου». ἀκούοντες τοίνυν τοῦ λόγου τῆς βασιλείας καὶ δακρύοντες καὶ κλαίοντες μὴ τοῖς ἡμετέροις δάκρυσι καὶ κλαυθμοῖς ἐναπομείνωμεν καὶ τῇ ἡμετέρᾳ ἀκοῇ ὡς δὴ καταλαβόντες τὴν ἀλήθειαν καὶ ἀκούσαντες καὶ εἰδότες τὸ θέλημα τοῦ θεοῦ. ἔστι γὰρ καὶ ἕτερα ὦτα καὶ ἕτεροι ὀφθαλμοὶ καὶ ἕτεροι κλαυθμοὶ καὶ ἑτέρα διάνοια καὶ ἑτέρα ψυχή, τουτέστιν αὐτὸ τὸ θεϊκὸν καὶ ἐπουράνιον πνεῦμα τὸ ἀκοῦον καὶ κλαῖον καὶ εὐχόμενον καὶ γινῶσκον καὶ ποιοῦν 63.1.3 τὸ θέλημα τοῦ θεοῦ ἐν ἀληθείᾳ. τοῖς γὰρ ἀποστόλοις ὁ κύριος μεγάλην δωρεὰν ἐπαγγελόμενος ἔλεγεν· "1ὑπάγω καὶ ἀποστέλλω ὑμῖν τὸν παράκλητον"2, «τὸ πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται», ἵνα μεθ' ὑμῶν ᾖ εἰς τὸν αἰῶνα. ἐκεῖνος ἀκούσει καὶ διδάξει πάντα καὶ «ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν». «ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· 63.1.4 ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος διδάξει πάντα ἃ ἐλάλησα ὑμῖν καὶ ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν ἀλήθειαν». ἐκεῖνος οὖν προσεύξεται, ἐκεῖνος κλαύσει. «τὸ γὰρ τί προσευξόμεθα καθ' ὃ δεῖ οὐκ οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις». αὐτὸ γὰρ τὸ πνεῦμα μόνον οἶδε τὸ θέλημα τοῦ θεοῦ· «τὰ» γὰρ «τοῦ θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ». φησὶ γὰρ ὁ κύριος· «ἐὰν μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἔρχεται. συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω», καὶ πάλιν· «ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς» καὶ «πάλιν ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς 63.1.5 αἴρει ἀφ' ὑμῶν». τότε γὰρ οἱ ἀπόστολοι θεωροῦντες αὐτοῦ τὴν σάρκα, οὐδέπω τῆς δυνάμεως τοῦ πνεύματος εἰς αὐτοὺς ἐλθούσης, ἐνόμιζον καταλιμπάνεσθαι ὑπὸ τοῦ κυρίου διὰ τὸ χωρίζεσθαι αὐτὸν ἀπ' αὐτῶν. ἀνελθὼν δὲ καὶ καθίσας τὸ σῶμα ἐκ δεξιῶν τῆς μεγαλωσύνης τοῦ θεοῦ καὶ προσκυνηθεὶς ὑπὸ πασῶν τῶν ἐπουρανίων δυνάμεων καὶ ἀγγέλων καὶ ἀρχῶν καὶ ἐξουσιῶν, τότε ἀπέστειλεν αὐτοῖς κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ τὸ παράκλητον πνεῦμα ἐν τῇ ἡμέρᾳ τῆς πεντεκοστῆς, καὶ οὕτως ἡ δύναμις τοῦ πνεύματος τοῦ παρακλήτου ἐν ταῖς ψυχαῖς αὐτῶν ἐλθοῦσα κατέπαυσεν, ἀποκαλυφθέντων τῶν ὀφθαλμῶν τῆς καρδίας αὐτῶν καὶ τοῦ καλύμματος τῆς κακίας τελείως ἀπ' αὐτῶν περιαιρεθέντος καὶ τῶν παθῶν καταργηθέντων, τότε λοιπὸν σοφισθέντες ὑπὸ τοῦ πνεύματος καὶ τέλειοι γεγονότες τὸ θέλημα τοῦ θεοῦ ἐπέγνωσαν ἐν ἀληθείᾳ ποιεῖν διὰ τοῦ πνεύματος καὶ διδάσκαλοι καὶ ὁδηγοὶ τῶν ἀνθρώπων γεγόνασι, τοῦ πνεύματος ὁδηγοῦντος αὐτοὺς εἰς πᾶσαν ἀλήθειαν ὡς ἡγεμονεύσαντος καὶ βασιλεύσαντος 63.1.6 τῶν ψυχῶν αὐτῶν. ἡμεῖς τοίνυν ἐπὰν ἀκούωμεν τὸν λόγον τοῦ θεοῦ καὶ κλαίωμεν, παρακαλέσωμεν τὸν κύριον καὶ προσδοκήσωμεν αὐτὸν ἀδιστάκτῳ πίστει ἐλθεῖν ἐν ἡμῖν τὸ ἀληθῶς ἀκοῦον καὶ προσευχόμενον πνεῦμα κατὰ τὸ θέλημα τοῦ θεοῦ. τὰ γὰρ ἴδια τῆς ψυχῆς ἡμῶν κάλλη καὶ οἱ καρποὶ ἤγουν εὐχὴ καὶ κλαυθμοὶ ἢ ἀγάπη ἢ ἀκοὴ ἢ πίστις καὶ τὰ λοιπὰ τῶν ἀρετῶν ἐπιτηδεύματα, ἐπὰν μιχθῇ καὶ κοινωνήσῃ τῇ τοῦ πνεύματος κοινωνίᾳ καὶ ὥσπερ θυμίαμα ἐν πυρὶ βληθὲν πλουσίαν τὴν εὐωδίαν ἀποδώσει, τότε ἀληθῶς κατὰ τὸ θέλημα τοῦ θεοῦ πολιτευόμεθα καὶ μετὰ ἁγιότητος πάντα ἐπιτελοῦμεν. ἄνευ γὰρ τοῦ ἁγίου πνεύματος τὸ θέλημα τοῦ θεοῦ οὐδεὶς ἐπιγινώσκει. 63.2.1 Ὥσπερ γὰρ ἐν τῷ κόσμῳ ὡρμασμένη ἀνδρὶ γυνὴ πρὸ τοῦ συναφθῆναι 63.2.1 αὐτῷ ἔχει ἰδίους νόμους καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀναστροφὴν καὶ ἐργασίαν καὶ διαγωγὴν κατὰ τὸ θέλημα αὐτῆς, ἐπὰν δὲ συναφθῇ καὶ κοινωνήσῃ τῷ ἀνδρὶ αὐτῆς, λοιπὸν ὑπὸ τὸ θέλημα τοῦ ἀνδρὸς καὶ τὴν δεσποτείαν αὐτοῦ ἐστι, κἂν ἔχῃ ἰδίους νόμους καὶ ἴδιον θέλημα δεδούλωται τῷ ἰδίῳ αὐτῆς ἀνδρὶ καὶ κατὰ τὸ θέλημα αὐτῆς οὐ πορεύεται. τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἔχει ἴδιον θέλημα καὶ ἰδίους νόμους καὶ ἴδια ἔργα, ἐπὰν δὲ καταξιωθῇ κοινωνῆσαι τῷ ἐπουρανίῳ ἀνδρὶ Χριστῷ ὑποτέτακται τῷ νόμῳ τοῦ ἀνδρός, τὸ θέλημα αὐτῆς μὴ ποιοῦσα, ἀλλὰ τὸ τοῦ ἑαυτῆς νυμφίου Χριστοῦ. εἰ δὲ ἀπειθεῖ καὶ ἀντιλέγει καὶ οὐχ ὑπακούει τοῦ νόμου τοῦ ἀνδρός, μὴ κοινωνοῦσα μηδὲ ἀρέσκουσα αὐτῷ μηδὲ κατὰ τὸ τοῦ πνεύματος θέλημα ἀκολουθοῦσα μηδὲ τῇ χάριτι σύμφωνος γινομένῃ, πάσχει ὡς ἐκεῖ Μωϋσῆς διετάξατο τυπικῶς· «ἐὰν δὲ ἀπειθῇ, φησί, καὶ ἀντιλέγει τῷ ἀνδρὶ καὶ μὴ ὑπείκῃ αὐτῷ τὰς δύο χεῖρας ἐπὶ τὸ πρόσωπον αὐτῆς ἐπιθεὶς ἐκβάλλει αὐτὴν ἀπὸ τοῦ οἴκου αὐτοῦ». ἀπορρίπτεται οὖν ἡ ἀνυπότακτος τῷ πνεύματι ψυχὴ ἐκ τοῦ ἐπουρανίου οἴκου τοῦ πατρὸς ὡς ἀχρεία καὶ ἀνεπιτηδεία. 63.2.2 Ἀλλ' ὥσπερ ἐν τῷ βίῳ τούτῳ συναπτομένης ἀνδρὶ νύμφης χοροὶ καὶ τύμπανα καὶ εὐφροσύναι καὶ ἑορταὶ γίνονται, καὶ ἐν τῷ οἴκῳ αὐτῶν θησαυροὶ ἀπόκεινται, τὸν αὐτὸν τρόπον καὶ ψυχῆς καταξιωθείσης συναφθῆναι τῷ ἐπουρανίῳ βασιλεῖ Χριστῷ πάντα τὰ πνευματικὰ καὶ ἐπουράνια ἀγαθὰ ἐν τῷ οἴκῳ τοῦ σώματος αὐτῆς ἔνδοθεν ἀπόκεινται. οἶκος γὰρ τοῦ ἐπουρανίου νυμφίου καὶ τῆς νύμφης ψυχῆς τὸ σῶμά ἐστιν. ἐκεῖ εἰσι καὶ οἱ νόμοι τοῦ πνεύματος οἱ ἐπουράνιοι ὅπου καὶ ἡ μυστικὴ καὶ ἄρρητος τῆς ἁγιότητος κοινωνία τοῦ πνεύματος ἔνδοθεν γίνεται. ἐκεῖ ἑορταὶ καὶ χοροὶ ἐπουρανίων δυνάμεων ἐπιτελοῦνται καὶ οἱ ἐπουράνιοι θησαυροὶ τῆς σοφίας οἱ ἀπόκρυφοι ἐκεῖ ἀποτίθενται, ἐκεῖ τὰ ἐνδύματα τοῦ φωτὸς τῆς θεότητος, ἐκεῖ οἱ στέφανοι οἱ πολυποίκιλοι καὶ πολυτελεῖς τοῦ θεϊκοῦ πνεύματος ἀποπεπλήρωνται, καὶ ἁπαξαπλῶς πᾶς ὁ πλοῦτος αὐτῶν καὶ ἡ περιουσία ἔνδοθεν ἐν τῷ οἴκῳ τοῦ σώματος τοῦ νυμφίου Χριστοῦ καὶ τῆς 63.2.3 νύμφης ψυχῆς ἐναποτεθησαύρισται. ὅταν τοίνυν ἀκούσῃς περὶ κοινωνίας καὶ χορῶν καὶ ἑορτῶν πνευματικῶν, μηδὲν ὑλικὸν καὶ ἐπίγειον ἐννοήσῃς σαρκικῷ φρονήματι φερόμενος· ταῦτα γὰρ σκιάς τινας καὶ ὑποδείγματα λαμβάνομεν διὰ τὸ ἑτέρως μὴ δύνασθαι ἐμφάσεις τῶν πνευματικῶν μυστηρίων δοῦναι· ἐκεῖνα γὰρ πάντα τὰ πνευματικὰ καὶ ἐπουράνια ἄρρητά ἐστι καὶ ἀνεκδιήγητα καὶ σαρκικοῖς ὀφθαλμοῖς ἀθεώρητα, ψυχῇ δὲ ἁγίᾳ καὶ πιστῇ εἰς κατάληψιν ἐρχομένῃ καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος καὶ τὰ ἐνδύματα καὶ οἱ ἐπουράνιοι θησαυροὶ καὶ οἱ νόμοι καὶ οἱ χοροὶ καὶ ἑορταὶ τῶν ἁγίων ἀγγέλων. τῷ πείρᾳ παραλαβόντι καὶ καταξιωθέντι τυχεῖν, γινώσκονται μόνον, ἀμυήτῳ δὲ αὐτῶν νοῆσαι ἢ καταλαβεῖν ἀδύνατον ἢ μόνον πίστει δέξασθαι εὐλαβῶς ὑπὲρ γὰρ νοῦν ἀνθρώπινόν ἐστιν· οὐ γάρ εἰσιν ἐκ τοῦ αἰῶνος τούτου τὰ πνευματικὰ 63.2.4 καὶ ἐπουράνια, τὰ προειρημένα τῶν μυστηρίων τοῦ πνεύματος ἀγαθά. ὡς περὶ θεοῦ οὖν εὐλαβῶς καὶ περὶ πνευματικῶν ἄκουε μυστηρίων, πίστει δεχόμενος ἕως οὗ καταξιωθῇς πιστεύων καὶ αὐτὸς τούτων τυχεῖν, καὶ τότε γνώσῃ αὐτῇ τῇ πείρᾳ ψυχικοῖς ὀφθαλμοῖς, οἵων ἀγαθῶν καὶ οἵων μυστηρίων ψυχαὶ Χριστιανῶν καταξιοῦνται ἀπὸ τοῦ νῦν. ἐν γὰρ τῇ ἀναστάσει καὶ αὐτὸ τὸ σῶμα καταξιωθήσεται τυχεῖν βλέπον καὶ κρατοῦν αὐτά, ὅταν γένηται καὶ αὐτὸ πνεῦμα. διὰ τοῦτο γὰρ ἐκ παραβολῶν φαινομένων καὶ ὑποδειγμάτων ὁρωμένων ἐκεῖνα τὰ πνευματικὰ μυστήρια διηγούμεθα εἰς προτροπὴν καὶ προθυμίαν τῶν μετὰ πίστεως καὶ εὐλαβείας τὸν λόγον δεχομένων ψυχῶν, ὅπως ἀκούσασαι τῶν πνευματικῶν ἀγαθῶν τὴν ἐπαγγελίαν, ὧν ἀπὸ τοῦ νῦν ψυχαὶ ἁγίων καταξιοῦνται, σπουδάσωσι καὶ πιστεύσωσι τούτων τῶν μυστηρίων μέτοχοι γενέσθαι. 63.3.1 Ὁ γὰρ κύριος κατηχῶν τοὺς ἑαυτοῦ μαθητὰς καὶ ὑποδεικνὺς τὴν ἀλήθειαν ἔλεγε· «μακάριοι οἱ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν», πτωχείαν εἰπὼν εὐθὺς ἐσήμανε καὶ τὴν βασιλείαν. αὕτη γὰρ ἡ ψυχὴ νύμφη καταξιοῦται τοῦ Χριστοῦ γενέσθαι καὶ αὕτη τὴν βασιλείαν κληρονομεῖ, αὐτὸν τὸν κύριον, ἡ πτωχὴ τῷ πνεύματι γινομένη, αὕτη ἐστὶν ἡ εὐειδὴς καὶ καλὴ καὶ ἀρεστὴ καὶ ἁρμόζουσα τῷ νυμφίῳ Χριστῷ νύμφη, ἡ πτωχὴ τῷ πνεύματι ψυχή. ἡ γὰρ μὴ οὖσα πτωχὴ τῷ πνεύματι οὐχ ἁρμόζει αὐτῷ. οὔκ ἐστι γὰρ εὐειδὴς οὔτε καλή, ἀλλ' ἀνόμοιος αὐτῷ καὶ ἀειδὴς τυγχάνει. 63.3.2 τὰ ὅμοια δὲ τοῖς ὁμοίοις πανταχοῦ ἁρμόζεται, τὸ καλὸν τῷ καλῷ καὶ τὸ σαπρὸν τῷ σαπρῷ. οὐ δύναται πόρνη μετὰ σώφρονος γυναικὸς οἰκῆσαι ἀνόμοιος γὰρ αὐτή ἐστιν οὐδὲ ἄτακτος καὶ ἀχρεῖος μετὰ ἀνδρὸς εὐσεβοῦς καὶ εὐλαβοῦς συνδιαιτᾶσθαιἀσύμφωνοι γὰρ ἀλλήλων εἰσίν, ἀλλ' ἕκαστος τῷ ὁμοίῳ κολλᾶται, ἀχρεῖος ἀχρείῳ καὶ καλὸς καλῷ, πόρνη μετὰ πόρνης καὶ σώφρων σώφρονι συναναστρέφεται. τὸν αὐτὸν τρόπον καὶ ἡ πτωχὴ τῷ πνεύματι ψυχὴ καλὴ καὶ ἀρεστὴ τυγχάνει Χριστῷ καὶ ἁρμόζει αὐτῷ εἰς τὴν πνευματικὴν συμβίωσιν. τοῦτο γὰρ ἡγεῖται τὸ κάλλος αὐτῆς καὶ τὴν ἀξίαν εἶναι αὐτοῦ, ἐὰν 63.3.3 ᾖ πτωχὴ τῷ πνεύματι. τίς οὖν ἐστιν ἡ πτωχὴ τῷ πνεύματι ψυχή; ἡ ἐπιγινώσκουσα τὰ τραύματα αὐτῆς καὶ εἰδυῖα τὸ περιέχον αὐτὴν σκότος τῶν παθῶν καὶ τὴν δουλείαν καὶ τοὺς δεσμοὺς αὐτῆς ἐπισταμένη καὶ ἐπιζητοῦσα πάντοτε τὴν ἀπὸ τοῦ κυρίου λύτρωσιν. αὕτη ἡ ψυχὴ ἡ βαστάζουσα πόνους καὶ ἀεὶ ἐπικαλουμένη καὶ δεομένη αὐτοῦ ἰάσεως τυχεῖν καὶ ἐπὶ μηδενὶ τῶν ἐπὶ γῆς ἀγαθῶν, οὐ θησαυρῷ βασιλικῷ, οὐ πλούτῳ, οὐ τρυφῇ, ἐπαναπαυομένη καὶ χαίρουσα, ἢ μόνον ζητοῦσα τὸν καλὸν ἰατρὸν καὶ ὑπ' αὐτοῦ τὴν ἴασιν καὶ τὴν θεραπείαν δέξασθαι προσδοκῶσα καὶ ἀναπαυθῆναι ἐλπίζουσα. 63.3.4 Πῶς τοίνυν ἡ τετραυματισμένη ψυχὴ καὶ πόνους ἔχουσα καλὴ καὶ εὐειδὴς καὶ εὔμορφος τυγχάνει καὶ πρὸς συμβίωσιν τοῦ Χριστοῦ ἁρμόζει ἑαυτήν; ὅτι κἂν κατὰ τὴν τῆς ἁμαρτίας δέσιν καὶ τὰ τραύματα τῶν παθῶν καὶ τὰς μάστιγας καὶ τὴν φθορὰν καὶ τοὺς ἐνυβρισμοὺς τῶν πνευμάτων τῆς πονηρίας ἀειδὴς καὶ δυσειδὴς τυγχάνῃ, ἀλλὰ κατὰ τὴν ἀρχαίαν αὐτῆς κτίσιν ὡραία καὶ καλὴ καὶ εὐειδὴς ὑπάρχει καὶ κατὰ τὴν ὀρθὴν ἐπίγνωσιν αὐτῆς γινωσκούσης ἐν ποίᾳ πτωχείᾳ καὶ ἐν ποίοις πάθεσι τετραυμάτισται καὶ ἐπιζητούσης καὶ καλούσης 63.3.5 τὸν ἰάσασθαι αὐτὴν δυνάμενον· ἐν τούτῳ οὖν καλὴ καὶ εὐειδὴς τυγχάνει. ἅπερ γὰρ ἔχει τραύματα καὶ μώλωπας παθῶν ἄκουσα καὶ μὴ συνηδομένη μηδὲ συνεργαζομένη, οὐ λογίζεται αὐτῇ εἰς ἀμορφίαν ὁ κύριος. αὐτὸς γὰρ ἐρχόμενος ἰᾶται αὐτὴν καὶ θεραπεύει καὶ τὸ κάλλος αὐτῆς ὑγιὲς ἀποκαθίστησι. μόνον αὐτὴ μὴ κοινωνείτο ἐκ προαιρέσεως μηδὲ συνδυαζέτω τοῖς ἐνεργουμένοις ἐν αὐτῇ πάθεσιν, ἀλλὰ πρὸς κύριον βοάτω ὅλῃ δυνάμει, ἵνα διὰ τοῦ πνεύματος 63.3.6 αὐτοῦ λύτρωσιν πάσης κακίας δέξασθαι καταξιωθῇ. μακαρία τοίνυν ψυχὴ ἡ πόνους βαστάζουσα καὶ ἐπὶ μηδενὶ ἀναπαυομένη, ἀλλ' ἐπιζητοῦσα ἀεὶ τὸν καλὸν καὶ μόνον ἰατρὸν Χριστόν, ὅτι τῷ πόνῳ τῆς ζητήσεως αὐτῆς ὁ κύριος ἐπιστὰς ταχείαν ποιήσει τὴν θεραπείαν. οὐαὶ δὲ ψυχῇ τῇ μὴ γινωσκούσῃ τὰ ἴδια αὐτῆς τραύματα, τὰ ἐκ τῆς ἐνεργείας τῶν παθῶν, ἀλλὰ νομιζούσῃ (ὡς ἐν ἀγνοίᾳ φερομένῃ) μηδὲν ἔχειν κακόν, καὶ ὑγιῆ τυγχάνειν καὶ πλουσίαν, καίτοι ἢ ἐν γνώσει ἢ ἐν λόγῳ οὖσαν πτωχὴν καὶ τυφλὴν καὶ τετραυματισμένην, διότι δὲ καὶ ὁ ἰατρὸς αὐτὴν οὐκ ἐπισκέπτεται καὶ θεραπεύει, ἑαυτὴν νομίζουσαν μὴ 63.3.7 εἶναι ἐν κακοῖς, ἀλλ' ἐν ὑγείᾳ διατελεῖν. ὥσπερ γὰρ οἱ ἐπὶ γῆς ἰατροί, ὅπου δ' ἂν ἐπιδημῶσιν, ἀεὶ τοὺς ἀσθενοῦντας ἐπισκέπτονται καὶ περὶ τῶν ἀσθενούντων ἐρωτῶσι, παρερχόμενοι τοὺς ὑγιεῖς ἐξ ὧν οὐδὲν κέρδος λαμβάνουσι, καὶ ἀεὶ οἱ τοὺς πόνους καὶ τὰ τραύματα βαστάζοντες τὸν ἰατρὸν ἠπειγμένως ἀνερευνῶσι. τὸν αὐτὸν τρόπον καὶ ὁ Χριστὸς ἦλθεν ἐπὶ τοὺς κακῶς ἔχοντας, τοὺς γινώσκοντας τὰ ἑαυτῶν τραύματα τῆς κακίας τῶν παθῶν, οἱ τὸν ἰατρὸν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τοῦτον ἐπιζητοῦσι καὶ οἱ χρείαν αὐτοῦ ἔχουσιν, ὡς αὐτὸς εἶπεν· «οὐ χρείαν ἔχουσιν οἱ 63.3.8 ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες». ἀλλ' οὗτοι οἱ ἐπὶ γῆς ἰατροὶ ἐν τῷ θεραπεύειν τὰ σώματα μισθὸν ἀργυρίου λαμβάνουσιν, ὁ δὲ ἀγαθὸς καὶ καλὸς καὶ μόνος ἡμέτερος ἰατρὸς Ἰησοῦς Χριστὸς μισθὸν λαμβάνει τὴν ὑγείαν καὶ ἴασιν τῶν ψυχῶν ἡμῶν. καὶ οὐ μόνον λαμβάνει, ἀλλ' ἅμα τῷ θεραπεῦσαι καὶ τροφῇ πνευματικῇ τρέφει καὶ ποτίζει τὴν ψυχήν, πνεῦμα ἅγιον καὶ ἐνδύματα φωτὸς ἐπουρανίου ἀμφιέννυσιν αὐτὴν καὶ ἑαυτῷ ἁρμόζεται καὶ λαμβάνει ὥσπερ νύμφην καλὴν εἰς τὴν τοῦ πνεύματος ἄρρητον κοινωνίαν πάσας τὰς 63.3.9 τοιαύτην γνῶσιν καὶ πίστιν καὶ προαίρεσιν ὀρθὴν ἀναλαμβάνουσας ψυχάς. ὢ τῆς τοῦ ἀγαθοῦ ἰατροῦ ἡμῶν ἀπείρου φιλανθρωπίας. καὶ γὰρ ἀπὸ τῶν φαινομένων ὁ κύριος οὕτως ἤρξατο ποιεῖν, ἐν τῇ ἐρήμῳ θεραπεύσας ἀσθενοῦντας καὶ κακῶς ἔχοντας καὶ τῶν ἀποστόλων βουλομένων ἀπολῦσαι αὐτοὺς οὐκ εἴασεν, ἀλλ' ἐθεράπευσεν καὶ ἔθρεψεν αὐτοὺς τῇ δωρεᾷ. οὕτω καὶ νῦν τῇ ἑαυτοῦ φιλανθρωπίᾳ, ἅμα τῷ ἰάσασθαι τὴν ψυχὴν ἡμῶν ὁ κύριος ἐκ τῶν δεινῶν μωλώπων καὶ τραυμάτων παρὰ ἀνθρώποις ἀνιάτων (τῶν κρυφίων τῆς ψυχῆς παθῶν) καὶ τρέφει καὶ ποτίζει ἐκ τοῦ πνεύματος αὐτοῦ καὶ ἐνδύματα ἐπουράνια φωτὸς θεϊκοῦ ἀμφιέννυσι τῇ γυμνότητι αὐτῆς καὶ νύμφην ἑαυτῷ ἁρμόζεται εἰς τὴν τοῦ πνεύματος αὐτοῦ κοινωνίαν. Δόξα τῷ μόνῳ καλῷ ἰατρῷ τῷ θεραπευτῇ τῶν ψυχῶν ἡμῶν. 63.3.10 Ἐν δὲ τῷ ἐγγίζειν τὸν καλὸν καὶ μόνον ἰατρὸν τὸν κύριον τῇ βασταζούσῃ πόνους καὶ πτωχῇ τῷ πνεύματι οὔσῃ ψυχῇ, ἐπὰν ἴδῃ αὐτὴν οὕτω διεφθαρμένην καὶ τετραυματισμένην καὶ μεμωλωπισμένην τοῖς πάθεσι, τότε λέγει τῷ ἐχθρῷ τῷ τραυματίσαντι καὶ φθείραντι αὐτήν· ὦ ἀναιδέστατε, μή σοι εἴη ἀγαθά, μὴ γένοιτό σοι ἔλεος, ὅτι οὕτως διεχειρίσω καὶ διέφθειρας καὶ ἐμόλυνας τὴν λογικὴν καὶ καλήν μου εἰκόνα καὶ οὕτως ἀσχήμως τοῖς πάθεσι ἐνύβρισας τὸ καλὸν καὶ θαυμαστὸν καὶ νοερόν μου κτίσμα τὸ ταῖς ἐμαῖς χερσὶ ποιηθὲν καὶ τῷ ἐμῷ πνεύματι ἐμφυσηθέν. τότε τιμωρεῖται θανάτῳ τὸν ἐχθρὸν τὸν ἐνυβρίσαντα καὶ ἀφανίσαντα, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ καλλωπίζει αὐτὴν τοῖς ἐνδύμασι τῆς θεότητος αὐτοῦ καὶ τρέφει τροφῇ οὐρανίῳ καὶ περικοσμεῖ κόσμῳ πνευματικῷ καὶ στέφει ἄνθεσιν ἀρετῶν τοῦ πνεύματος, καὶ οὕτως ἑαυτῷ νύμφην καλὴν καὶ ὡραίαν ἀποκαθίστησιν αὐτήν. 63.4.1 Μακάριοι τοίνυν οἱ ἀγαπωμένοι ὑπὸ τοῦ Χριστοῦ, μᾶλλον δὲ μακάριοι οἱ ἀγαπῶντες αὐτόν, ὅτι ἰδοὺ πᾶν γένος Ἀδὰμ ἠγαπήθη, ὑπὲρ πάντων γὰρ ἀπέθανεν. ἀλλ' οἱ ἀγαπῶντες αὐτὸν ἐξ ἀληθείας, οὗτοι ζωὴν ταῖς ἑαυτῶν ψυχαῖς περιποιοῦνται, οὗτοι ὠφέλειαν αἰώνιον καρποῦνται. καὶ σφόδρα λυπεῖται ὁ κύριος ἐπὶ ψυχῇ τῇ μὴ ἀγαπώσῃ αὐτόν. αὐτὸς γὰρ ἀπέστειλε καὶ ἐκάλεσε πάντας εἰς τοὺς γάμους, καθὼς ἐν τῷ εὐαγγελίῳ εἴρηται, καὶ ἐπὶ τοῖς μὴ παραγενομένοις σφόδρα ἐλυπήθη. ὁ δὲ γάμος ἐκεῖνος οὐράνιος καὶ πνευματικός ἐστιν. ὁ νυμφίος πνεῦμα, ἡ νύμφη πνεῦμα, ὁ παράνυμφος καὶ οἱ διάκονοι καὶ οἱ οἰνοχόοι πνεύματα, τὰ ἐνδύματα τοῦ γάμου πνεύματα, ὁ νυμφὼν καὶ ἡ κοίτη πνεῦμα, καὶ ἁπαξαπλῶς ὁ μὴ ἠμφιεσμένος τὸ πνεῦμα τὸ ἅγιον εἰς ἐκεῖνον τὸν ἐπουράνιον γάμον καὶ εἰς ἐκεῖνον τὸν πνευματικὸν δεῖπνον οὐ συνεστιάσεται οὐδὲ συναναστραφήσεται. εἷς γάρ τις εὑρεθεὶς μὴ ἔχων ἄξιον ἔνδυμα ἐκείνου τοῦ πνευματικοῦ γάμου ἐξεβλήθη εἰς τὸ ἐξώτερον σκότος. 63.4.2 Καὶ γὰρ τὸ ὕδωρ, ὅπερ ὁ κύριος ἐποίησεν οἶνον, ἡγοῦμαι ὅτι μυστήριόν τι ἦν, σημαῖνον ὅτι αἱ ψυχαὶ αἱ εἰλικρινῶς πιστεύσασαι καὶ τῷ πνεύματι γεννηθεῖσαι εἰς πνεῦμα μεταβληθήσονται, καθὼς εἴρηται· «τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν». εἰ γὰρ ἐκεῖ τὸ ὕδωρ εἰς οἶνον μετέβαλε, πόσῳ μᾶλλον τὰς ψυχὰς τῶν πιστευόντων καὶ προσδοκώντων ἐν ἀληθείᾳ τὸν κύριον πνεῦμα ἀπεργάσεται καὶ εἰς πνεῦμα μεταβαλεῖ. καὶ εἰ ἐν τῇ ἐρήμῳ ὀλίγους ἄρτους λαβὼν ὁ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κύριος εὐλόγησε, καὶ ὑπερεπερίσσευσε καὶ ἐχορτάσθησαν πολλὰ πλήθη, πόσῳ μᾶλλον τὴν ψυχὴν ταύτην τὴν νῦν ἐν στενότητι καὶ συνοχῇ πολλῇ οὖσαν καὶ μηδὲ ἑαυτῇ ἐπαρκεῖν δυναμένην διὰ τὴν συνοχὴν τῶν πονηρῶν λογισμῶν εὐλογήσας πνεύματι ἁγίῳ πλατύνει καὶ ἁπλώσει τὰ κεκαλλυμένα τῶν ἀρετῶν αὐτῆς μέλη, ὥστε οὐ μόνον αὐτὴν κορέννυσθαι, ἀλλὰ καὶ ἄλλους κορεννύειν ἐκ τῶν τοῦ πνεύματος διδασκαλιῶν. 63.4.3 Καὶ εἰ ἐν τῷ Ἠλίᾳ ὀλίγη «νεφέλη ὡς ἴχνος ἀνδρὸς» ἐκάλυψε τὸν οὐρανὸν παραχρῆμα θελήματι θεοῦ, πόσῳ μᾶλλον ἔνθα βαλεῖ ῥανίδα πνεύματος ἁγίου αὐξήσας πληρώσει ὅλην τὴν ψυχὴν τὴν ἑαυτὴν τῷ κυρίῳ ἀποδιδοῦσαν καὶ ἀπεργάσεται πνεῦμα. καὶ εἰ ὁ παραλυτικὸς ἐκεῖνος ὁ προσχὼν μετὰ πίστεως τῷ κυρίῳ εὐθέως ἰάθη ἐκ τῆς παραλύσεως αὐτοῦ, πόσῳ μᾶλλον ψυχὴ εἰς ἣν ἔλθῃ Χριστός, προσχοῦσα τῷ ὑπερλαμπρῷ καὶ ἐπουρανίῳ κάλλει τοῦ φωτὸς τοῦ προσώπου αὐτοῦ ἰαθήσεται καὶ ὑγιανεῖ ἐκ τῆς δεινῆς παραλύσεως τῶν παθῶν τῆς ἀτιμίας φωτιζομένη καὶ καταλαμπομένη ὑπὸ τοῦ ἀρρήτου κάλλους αὐτοῦ. 63.4.4 καὶ εἰ ἡ αἱμορροοῦσα γυνὴ ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ καὶ παραχρῆμα ἔστη ἡ ῥεύσις τοῦ αἵματος τῆς ἀκαθαρσίας αὐτῆς, πόσῳ μᾶλλον ψυχὴ πιστεύσασα ἐν ἀληθείᾳ καὶ ἁψαμένῃ τοῦ κρασπέδου τοῦ πνεύματος τῆς θεότητος τοῦ Χριστοῦ διὰ τῆς εἰλικρινοῦς πίστεως ὑγιάνει καὶ σταλῇ ἡ πηγὴ τῆς ἀκαθαρσίας τῶν ἀκαθάρτων καὶ πονηρῶν λογισμῶν. καὶ εἰ ἐκεῖ ὁ τυφλὸς βοήσας καὶ φωνήσας τὸν κύριον ἔτυχε τῆς ἰάσεως καὶ ἀνέβλεψε, πόσῳ μᾶλλον τῆς ψυχῆς τῆς πιστῆς βοώσης καὶ καλούσης αὐτὸν ἐλθὼν ἀνοίξει τοὺς νοεροὺς αὐτῆς ὀφθαλμοὺς τοῦ θεωρεῖν «τὴν δόξαν κυρίου ἀνακεκαλυμμένῳ προσώπῳ». 63.4.5 Τοιγαροῦν ἐρχέσθω ἡ νύμφη ψυχὴ πρὸς τὸν ἑαυτῆς νυμφίον Χριστόν, τεθυμιαμένη ἐκ τῶν καλῶν καὶ ἀγαθῶν αὐτῆς ἔργων. ἀλλ' ὥσπερ τὸ θυμίαμα τοῦτοώς προειρήκαμενἐὰν μὴ βληθῇ καὶ μιχθῇ πυρί, πλουσίαν εὐωδίαν οὐκ ἀποδίδωσι, ἐπὰν δὲ μιχθῇ τῷ πυρὶ ἐνεργεῖ καὶ ἡδυτάτην καὶ σφοδροτάτην εὐωδίαν ἀποδίδωσι, καὶ ἀληθινὸν θυμίαμα οὐκ ἀποδείκνυται, τὸν αὐτὸν τρόπον καὶ τὰ καλὰ ἔργα τῆς ψυχῆς πάντα· ἡ εὐχή, ὁ κλαυθμός, ἡ νηστεία, ἡ ἀγρυπνία, καὶ τὰ λοιπὰ τῶν ἀρετῶν ἔργα, ἐὰν μὴ βληθῇ καὶ μιχθῇ ἐκεῖ τὸ πῦρ τοῦ πνεύματος τὸ οὐράνιον, οὐ δίδωσιν ἐνέργειαν ὀσμῆς ἡδυτάτης καὶ εὐωδίας πνευματικῆς ἀρετῶν τελείων. φησὶ γὰρ ὁ ἀπόστολος· «Χριστοῦ εὐωδία ἐσμέν». τεθυμίαται οὖν ἡ νύμφη ψυχὴ τοῖς ἑαυτῆς ἀγαθοῖς ἔργοις, τοῦ οὐρανίου πυρὸς ἐξάπτοντος καὶ εἰς πνευματικὴν εὐωδίαν ἀπεργαζομένου. αἰτήσωμεν οὖν καὶ ἡμεῖς τὸ οὐράνιον πῦρ τοῦ πνεύματος τὸ ἐρχόμενον καὶ καῖον καὶ φλέγον ἀδιαλείπτως τὰς ψυχὰς ἡμῶν πρὸς τὸν ἄνω πόθον καὶ τὴν εἰς Χριστὸν ἀδιάλειπ63.4.6 τον καὶ ἄτρεπτον ἀγάπην. ἕστηκε τοίνυν οὗτος ὁ ἰατρὸς καὶ νυμφίος, φωνῶν καὶ λέγων ταῖς βουλομέναις τῆς αἰωνίου ζωῆς ἐπιλαβέσθαι ψυχαῖς· "1κτήσασθε ὀφθαλμοὺς τοὺς βλέποντάς μου τὴν δόξαν, κτήσασθε ὦτα τὰ ἀκούοντα τῆς ἐμῆς ὁμιλίας, κτήσασθε παρ' ἐμοῦ ὕδωρ ζῶν, ὃ ἔσται ἡμῖν πηγὴ ἁλλομένη εἰς ζωὴν αἰώνιον. λάβετε παρ' ἐμοῦ οὐράνιον ἄρτον ἐξ οὗ τραφεῖσαι οὐκ ἀποθανεῖσθε, πίετε ἐκ τοῦ πνευματικοῦ μου οἴνου καὶ εὐφράνθητε οὐρανίῳ εὐφροσύνῃ καὶ μεθυσθῆτε μέθην νηφάλιον καὶ πνευματικήν, ἵν' ὥσπερ ἐν τοῖς σωματικῶς μεθύουσιν ὁ οἶνος λαλεῖ, οὕτω καὶ ὑμεῖς μεθυσθεῖσαι πνευματικῶς λαλήσητε ἐν πνεύματι μυστηρίων οὐρανίων διηγήματα, καθὼς γέγραπται· «καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον». λάβετε ἔλαιον ἀγαλλιάσεως τὸ ἀναψύχον καὶ ἀναπαῦον ὑμᾶς. λάβετε φῶς αἰώνιον παρ' ἐμοῦ, ἵνα μὴ ἐν σκότει ἀπομείνασαι ἀπόλλυσθε, λάβετε παρ' ἐμοῦ ἐξ οὐρανοῦ πῦρ ἅγιον καὶ πνευματικὸν ἔξαπτον καὶ φλέγον ἀδιαλείπτως εἰς τὸν πρὸς ἐμὲ πόθον. λάβετε παρ' ἐμοῦ ἐνδύματα φωτὸς ἄρρητα καλύπτοντα καὶ σκέποντα ὑμᾶς, ἵνα μὴ γυμναὶ 63.4.7 οὖσαι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%). Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀσχημονεῖτε."2 ταῦτα ἐν ἑκάστῳ ἡμῶν ἀεὶ ὁ κύριος βοᾷ καὶ διὰ τῶν πνευματικῶν κηρύκων κηρύσσει, ὁ ἡμέτερος ἰατρός, ὁ νυμφίος τῶν ψυχῶν ἡμῶν, ὁ ἐλθὼν καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, ἵνα τὰς ψυχὰς ἡμῶν ἁγίας καὶ καθαρὰς ἀπεργασάμενος καὶ ἀσπίλους καὶ ἀμώμους ἑαυτῷ παραστήσας τῆς αἰωνίου ζωῆς σὺν αὐτῷ ἀπολαῦσαι καταξιώσῃ. Δόξα τῇ εὐσπλαγχνίᾳ αὐτοῦ καὶ τῇ ἀνεκδιηγήτῳ ἀγάπῃ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

64.τ.1 ΛΟΓΟΣ ΞΔ΄.

64.1.1 Ἡ τῷ θεῷ ἑαυτὴν ὁλοτελῶς ἀφιερώσασα ψυχὴ καὶ τῆς οὐρανίου βασιλείας ἐπιθυμοῦσα κληρονόμος γενέσθαι, ἡ νοεροῖς ὄμμασι κατανοοῦσα τῶν αἰωνίων ἀγαθῶν τὸ ἄρρητον καὶ ἀνεννόητον κάλλος καὶ διαπύρῳ πόθῳ πρὸς αὐτὸν τετρωμένη οὐ τοσοῦτον τῆς παρὰ ἀνθρώπων ἐπιδέεται ὑπομνήσεως, ἐπειδὴ βεβαίᾳ πίστει καὶ ἀσφαλεῖ ἐλπίδι οὐ τὰ βλεπόμενα σκοπεῖ, ἀλλὰ τὰ μὴ βλεπόμενα, καὶ πρὸς ἐκεῖνα τῷ πνευματικῷ πόθῳ τετρωμένη καὶ τὴν μέριμναν ὅλην ἐν πολλῇ ἐπιθυμίᾳ πρὸς τὴν κτῆσιν τῆς ἐπουρανίου δωρεᾶς ἔχουσα λήθην 64.1.2 ποιεῖται πάσης σαρκικῆς καὶ ἐπιγείου φρονήσεως, ἑλκομένη ὁσημέραι ὑπὸ τῆς πνευματικῆς ἀγάπης πρὸς τὸν πόθον τοῦ ἐπουρανίου νυμφίου. διὸ χώραν οὐκ ἔχουσιν ἐν τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει ἐνεργεῖν τὰ ἄλογα τῆς ἀτιμίας πάθη οὐδὲ τὸν θανατηφόρον τῆς κακίας σπόρον ὁ πονηρὸς ἐπισπεῖραι δύναται διὰ τὸ ὅλην τὴν προαίρεσιν νεύειν εἰς ἐπιθυμίαν τῆς πρὸς θεὸν εὐαρεστήσεως, μηδὲν προκρίνουσα ἕτερον τῶν δεσποτικῶν προσταγμάτων τὸ ἴδιον θέλημα ἑτοίμως ἀρνεῖται, ἵνα τὸ τοῦ κυρίου θέλημα ὑγιῶς καὶ ὁλοκλήρως 64.1.3 κατεργάσηται. διὸ εὐκόλως διὰ τὴν τοιαύτην πρὸς θεὸν διάθεσιν λύπην κόσμου ἀφ' ἑαυτῆς ἐξορίζει, τὴν πρὸς τὸν κύριον χαρὰν ἐννοουμένη ὀργὴν καὶ θυμὸν καὶ μῆνιν ὑποτάσσει τῇ πραότητι καὶ ἐπιεικείᾳ καὶ χρηστότητι ὑπερήφανον καὶ φίλαρχον τῆς κακίας φρόνημα καὶ τύφον μάταιον τῇ πολλῇ ταπει64.1.4 νοφροσύνῃ καὶ τῇ πρὸς πάντας ὑποταγῇ καθαιρεῖ καὶ νεκροῖ. μιμεῖται γὰρ τὸν κύριον τὸν ὑπὸ ἀγγέλων προσκυνούμενον καὶ ὑπὸ δυνάμεων δοξολογούμενον, ἑαυτὸν εἰς τοσοῦτο ὑποδούλιον τῶν ἰδίων δούλων καταστήσαντα, ὡς ῥαπιζόμενον ὑπὸ δούλου μαστιγούμενον τε καὶ ὀνειδιζόμενον, ἔτι δὲ καὶ σταυρούμενον ὑπὸ ἀδίκων μὴ ἀνθίστασθαι, ἀλλ' ὑπομένειν πάντα τῆς ἡμετέρας ἕνεκα σωτηρίας, ὑπογραμμὸν ὁσιότητος καταλιπόντα τοῖς βουλομένοις ἀκολουθεῖν ὀπίσω αὐτοῦ, ἵνα οὕτω τὴν αἰωνίαν ζωὴν κληρονομῆσαι δυνηθῶσιν. 64.1.5 Ὅσαι δὲ φιλοπαθεῖς καὶ φιλήδονοι καὶ φιλόσαρκοι ψυχαὶ αἱ τοῖς ἰδίοις θελήμασιν ἐξακολουθοῦσαι καὶ ἰδίοις ὅροις εἴκουσαι, τῶν εὐαγγελικῶν ἐντολῶν μὴ ἐφαπτόμεναι, τὴν μόρφωσιν τῆς εὐσεβείας ὡσπερεὶ προσωπεῖον περικείμεναι καὶ οἰήματι μόνον ἑαυτὰς ἀπατῶσαι, εἶναί τι νομίζουσι μηδὲν οὖσαι, νενοθευμένην κατεργαζόμεναι δικαιοσύνην, αἱ σωματικὰς μὲν ἀσκήσεις καὶ ἐγκρατείας ἀφειδοῦς κάματον ὑπομένειν μέγιστον αἱροῦνται, ὅπερ οὐκ ἔστιν ἀρετῆς ἀπόδειξις, ἀνοίας δὲ καὶ ἀδιακρισίας αἰτία. τὰ κρυπτὰ τῆς κακίας πάθη μὴ ἐρευνήσασαι τὸν ἔνδοθεν τῆς ψυχῆς ἄνθρωπον ἀτημέλητον εἴασαν, εἰς τὴν 64.1.6 ἔξωθεν δικαιοσύνην μόνον ἐμπληροφορούμεναι. αἱ γὰρ τοιαύτην ἔχουσαι ἀγνοίας αἰτίᾳ διάθεσιν ψυχαὶ ὀργῆς ἀναίρεσιν οὐ ποιοῦνται, μᾶλλον δὲ οὐ κρατοῦσι. μηνίουσι καὶ οἰκτρᾶς ἕνεκεν προφάσεως ζήλου καὶ ἔριδος ἀκμάζουσαν ἔχουσι τὴν ἐνέργειαν, ὑπόκρισιν καὶ δόλον ἐναποκείμενα κέκτηνται ὑπερηφανίαν τε καὶ ἔπαρσιν καὶ κενοδοξίαν εἰς τοσοῦτο νοσοῦσιν ὡς καὶ πασχούσας καὶ δεινῶς ἐγκειμένας τῷ πάθει ἀγνοεῖν τὴν δυσίατον



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

νόσον, καὶ ἡ χαρὰ τοῦ κυρίου 64.1.7 οὐκ ἔστιν ἐν αὐταῖς διὰ τὸν τῆς οἰήσεως ὄγκον. ἡ γὰρ τοῦ ἔνδον ἀνθρώπου ἐπιμέλειά ἐστιν ἡ τῶν προειρημένων παθῶν ἀναίρεσις καὶ ἡ τῶν ἀρετῶν διὰ τῆς τοῦ Χριστοῦ χάριτος ἐντελὴς ἐνέργεια ἐν πραΰτητι, ἐν ἐπιεικείᾳ, ἐν ταπεινοφροσύνῃ πολλῇ, ἐν τῷ πᾶσιν ἑαυτὸν ὑποτάσσειν καὶ «μηδενὶ κακὸν ἀντὶ κακοῦ» ἀποδιδόναι, ἀλλ' εὔχεσθαι ἔσχατον εἶναι καὶ ταπεινότερον πάντων· 64.1.8 «ὁ γὰρ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται». ὥσπερ γὰρ τὴν σωματικὴν ἄσκησιν καὶ ἐργασίαν ἐπιδεικνυμένη ἡ ψυχὴ πόνῳ καὶ ἀγῶνι κατορθοῖ, οὕτω καὶ τῆς πνευματικῆς ἐργασίας, λέγω δὴ τῆς κατὰ τὸν ἔσω ἄνθρωπον καθαρότητος πάσῃ σπουδῇ ἐπιμελήσασθαι ὀφείλει, ἵνα καὶ ἔσωθεν καὶ ἔξωθεν κατὰ τὸ τοῦ κυρίου παράγγελμα τὸ ποτήριον ᾖ καθαρόν, ὅπως μὴ τῇ τῶν Φαρισαίων νενοθευμένῃ δικαιοσύνῃ ὅμοιοι γενώμεθα τὸ ἔξωθεν μόνον πλύνοντες, τὸ δὲ ἔσωθεν πλῆρες ῥύπου ἔχοντες. καὶ ταῦτα μὲν πρὸς ἐκείνους ὅσοι ἀγνοίας αἰτίᾳ τὸν λογισμὸν τυφλώττουσι καὶ δοκοῦσι μὲν ζῆλον θεοῦ ἔχειν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν αὐτὸν ἔχουσιν. 64.1.9 Ὑμεῖς δὲ Χριστοῦ χάριτι τὸν εὐαγγελικὸν καὶ ἀκριβῆ τῆς ἀληθείας λόγον ἐπακούοντες καὶ σύνεσιν Χριστοῦ κεκτημένοι, οἱ τῆς χάριτος τὴν γεῦσιν αὐτῇ πείρᾳ πληροφορίας ἐν καρδίᾳ λαβόντες, οὐκέτι μικραῖς ἀρεταῖς ἐναπομένειν, οὐδ' ἐπὶ τῇ γεγονυίᾳ ὑμῖν βραχείᾳ παρακλήσει θεοῦ ἵστασθαι ὀφείλετε, ἀλλὰ πόθῳ πόθον καὶ τόνῳ τόνον καὶ σπουδῇ σπουδὴν καὶ προθυμίᾳ προθυμίαν καὶ νηστείᾳ νηστείαν καὶ εὐχῇ εὐχὴν καὶ ἀγρυπνίᾳ ἀγρυπνίαν καὶ ἁπαξαπλῶς ἀρεταῖς ἀρετὰς ἐπισυνάπτειν ὀφείλετε, ἵνα ἡμέραν ἐξ ἡμέρας προκοπῆς αἴσθησιν λαβόντες ἐν πληροφορίᾳ «εἰς τέλειον ἄνδρα, εἰς μέτρον τῆς πνευματικῆς ἡλικίας» φθάσωμεν, εἰς καθαρότητα καρδίας καταντήσωμεν, εἰς ἁγιασμὸν τέλειον ψυχῆς καὶ σώματος ἐν πληρώματι χάριτος ἐλθεῖν καταξιωθῶμεν, καὶ οὕτως 64.1.10 ἀληθῶς Χριστοῦ ἄξιοι γενόμενοι τὴν αἰώνιον ζωὴν κληρονομήσωμεν. δειξάτω οὖν ἕκαστος ὑμῶν τὴν ἐν Χριστῷ προκοπὴν διὰ πολλῆς ταπεινοφροσύνης καὶ πραότητος καὶ ἐπιεικείας πάντων δοῦλοι καὶ καταπάτημα γενώμεθα, ἵνα ὑψωθῶμεν παρὰ Χριστοῦ. ὀνειδιζόμενοι, καὶ ἐξουθενούμενοι μυκτηριζόμενοι τὲ καὶ λοιδορούμενοι μετὰ χαρᾶς ὑπομείνωμεν, ἵνα τέλειον τὸν ἐπουράνιον μισθὸν κομισώμεθα καὶ ὁλόκληρον «τὸν ἀμαράντινον στέφανον τῆς δόξης» ἀποληψόμεθα, μὴ διὰ μικρᾶς αἰτίας θυμούμενοι καὶ ζηλοῦντες καὶ μηνίοντες καὶ 64.1.11 ὑπερηφάνῳ φρονήματι ἐπαιρόμενοι ἐκπέσωμεν τῆς προκειμένης ζωῆς. ἀπολέσθω γὰρ ὅλος ὁ κόσμος καὶ τὰ τοῦ κόσμου, καὶ μόνον ἀτάραχοι διαμείνωμεν εἰς εὐαρέστησιν θεοῦ ὁλοτελῶς ἀπασχολούμενοι καὶ τὰς ἐντολὰς αὐτοῦ ποιεῖν ἐπιθυμοῦντες, ὅπως εἰς τέλος τὸ θέλημα τοῦ κυρίου τελείως κατεργασάμενοι 64.1.12 τελείως καὶ τῆς αἰωνίου ζωῆς τυχεῖν δυνηθῶμεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ δόξα, τιμή, κράτος σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.